Gr 21

Toronto University Library

Presented by

The Revd. H. H. Halford-Adcock. M.A.

through the Committee formed in

The Old Country

to aid in replacing the loss caused by

The disastrous Fire of February the 14th 1890

Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

http://www.archive.org/details/oratoresattici03bekk

ORATORES

ATTICI

IMMANUELIS BEKKERI

Gr. C.
B.

ORATORES

ATTICI

EX RECENSIONE

IMMANUELIS BEKKERI.

TOMUS III.

ISÆUS DINARCHUS LYCURGUS
ÆSCHINES DEMADES.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCCXXIII.

ISÆUS
DINARCHUS
LYCURGUS
ÆSCHINES
ET
DEMADES.

EX RECENSIONE

IMMANUELIS BEKKERI.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCCXXII.

8098

PRÆFATIO.

Isæi codices habui sex,

A. Crippsianum mus. Britann. Burnei. 95. B. f.
B. Laurentianum plut. 4. cod. 11.
L. Marcianum append. class. 8. cod. 6.
P. Ambrosianum A. 99.
Q. ——— D. 42.
Z. Vratislaviensem gymnasii Magdalen.

Horum Ambrosianum priorem, utpote recentissimum, nonnisi ad primam orationem contuli: alter neque antiquior est, et Isæi solas habet primam et secundam, aliorum multa, patrum fragmenta, Lysiæ ἐπιτάφιον, Gorgiæ Helenam, Aristidis et Polemonis declamationes aliquot, Andocidis de Pace et adversus Alcibiadem orationes.

Dinarchi codices habui quattuor,

A. Crippsianum mus. Britann. Burnei. 95. B. f.
B. Laurentianum plut. 4. cod. 11.
L. Marcianum append. class. 8. cod. 6.
Z. Vratislaviensem gymn. Magdal.

Lycurgum edo e codicibus quinque,

A. Crippsiano mus. Britann. Burnei. 95. B. f.
B. Laurentiano plut. 4. cod. 11.
L. Marciano append. class. 8. cod. 6.
P. Ambrosiano A. 99.
Z. Vratislaviensi gymn. Magdal.

Æschinis codicibus usus sum tredecim,

Romanis tribus,

a. Angelico C. 3. 11.

b. Barberino 263.
c. Urbinate 116.

Venetis duobus,

d. Marciano 50. et
e. ——— append. class. 8. cod. 4.

Parisiensibus octo,

f. (sive V.) Coisliniano 249.
g. Regio 2930.
h. ———2947.
i. ———2996.
k. ———2998.
l. ———3002.
m. ———3003.
n. ———3004.

Horum,

a. bombycinus est vel chartaceus, forma maxima. Insunt præter Æschinem Aristidis orationes 36: nam quem index promittit, Demades deest. Scholia post initium Timarcheæ deficiunt.

b. forma est quadrata, foliis 304, quorum 65 membranacea sunt, reliqua chartacea. Scripserunt eum manus quattuor: prima (a fol. 1. ad fol. 28.) Aristotelis mechanica dedit; altera Πλήθωνος νόμων συγγραφῆς βιβλίον α et μαγικὰ λόγια τῶν ἀπὸ Ζωροάστρου μάγων; tertia, eademque recentissima, a fol. 69 incipiens, Æschinem; quarta inde a fol. 197 Πολυβίου τοῦ ϛ λόγου περὶ διαφόρων πολιτειῶν. Hunc cum in Timarchea vidissem ab Angelico non multum discrepare, deinde omisi.

c. membranaceus, forma maxima, foliis 93. Hunc quoque notæ pejoris librum nonnisi ad unam adversus Ctesiphontem orationem adque epistolas adhibui. Scholia desunt.

d. chartaceus, forma maxima, orationes et epistolas habet, scholiis et ipse destitutus.

e. membranaceus, forma quadrata, foliis 209: insunt Demosthenis adversus Philippum et pro Ctesiphonte, Æschinis de falsa legatione et adversus Ctesiphontem orationes.

De Parisiensibus vide catalogos bibliothecarum Coislinianæ et Regiæ.

Demadis fragmentum in sex codicibus inveni,

C. Laurentiano (plut. 57. cod. 4.)
E. ——— (—— — —— 52.)
I. Marciano 522.
M. Vaticano 66.
N. ——— 1366.
T. Paris. Regio 2944.

INDEX ORATIONUM

TOMI TERTII.

ΑΙΣΧΙΝΟΥ. 285—570.

Κατὰ Τιμάρχου. pag. 293.
Περὶ Παραπρεσβείας. 373.
Κατὰ Κτησιφῶντος. 453.

Ἐπιστολαί. 571—594.

Φιλοκράτει α. pag. 571.
Κτησιφῶντι β. 573.
. . . . γ. 574.
. . . . δ. 575.
. . . . ε. 577.
Φιλοκράτει ς. 579.
Τῇ βουλῇ καὶ τῷ Δήμῳ ζ. 580.
. . . . η. 581.
. . . . θ. ib.
. . . . ι. 582.
Τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων. . ια. 585.
ιβ. 590.

ΔΕΙΝΑΡΧΟΥ. 173—225.

Κατὰ Δημοσθένους. pag. 173.
Κατὰ Ἀριστογείτονος. 210.
Κατὰ Φιλοκλέους. 219.

ΔΗΜΑΔΟΥ. 595—600.

Ὑπὲρ τῆς Δωδεκαετίας. pag. 595.

ΙΣΑΙΟΥ. 1—169.

Περὶ τοῦ Ἀγνίου κλήρου. pag. 145.
Περὶ τοῦ Ἀπολλοδώρου κλήρου. 94.
Περὶ τοῦ Ἀριστάρχου κλήρου. 136.
Περὶ τοῦ Ἀστυφίλου κλήρου. 124.
Περὶ τοῦ Δικαιογένους κλήρου. 60.
Περὶ τοῦ Κίρωνος κλήρου. 108.
Περὶ τοῦ Κλεωνύμου κλήρου. 1.
Περὶ τοῦ Μενεκλέους κλήρου. 15.
Περὶ τοῦ Νικοστράτου κλήρου. 51.
Περὶ τοῦ Πύρρου κλήρου. 29.
Περὶ τοῦ Φιλοκτήμονος κλήρου. 76.
Ἀποσπασμάτια. 163.

ΛΥΚΟΥΡΓΟΥ. 227—284.

Κατὰ Λεωκράτους. pag. 229.

ΓΕΝΟΣ ΙΣΑΙΟΥ.

Ἰσαῖος ὁ ῥήτωρ ἐγένετο κατὰ μέν τινας Ἀθηναῖος, κατὰ δέ τινας Χαλκιδεύς, πατρὸς δὲ Διαγόρου, μαθητὴς δὲ Ἰσοκράτους τοῦ ῥήτορος, διδάσκαλος δὲ Δημοσθένους· ἤκμασε δὲ κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, καὶ ἐπεβίω μέχρι τῆς Φιλίππου ἀρχῆς, ὥς φησι Διονύσιος ὁ Ἁλικαρνασεὺς ὁ κριτικός. λέγεται δὲ μειράκιον μὲν ὢν ἡδοναῖς σχολάζειν καὶ πότοις, καὶ λεπτῆς ἐσθῆτος ἀντιποιεῖσθαι καὶ συνεχῶς ἐρᾶν, ἀνὴρ δὲ γενόμενος τοσοῦτον μεταβεβληκέναι τὴν πολιτείαν ὥσθ' ἕτερον ἐξ ἑτέρου δοκεῖν. Λιδύος γοῦν ἐρωτήσαντος αὐτὸν εἰ ἡ δεῖνα καλὴ αὐτῷ φαίνεται, λέγεται εἰπεῖν "οὐκ οἶδα· τοὺς γὰρ τοιούτους ἀφῃ-ρέθην ὀφθαλμούς." ταῦτα δέ φησι Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν, οὐ πάντως περὶ τούτου λέγων Ἰσαίου· ἀμέλει γοῦν καὶ Ἀσσύριον αὐτὸν καλεῖ. ἄδηλος δὲ ὁ ἀκριβὴς τοῦ θανάτου αὐτοῦ χρόνος. χαρακτῆρα δὲ τὸν Λυσίου πάνυ ἀκριβῶς ἐζήλωσε, ὥστε μηδὲ ῥᾴδιον εἶναι διελεῖν τοὺς λόγους. ἔστι δὲ αὐτοῖς ἡ κοινωνία κατά τε τὴν λέξιν καὶ τὰ ἐνθυμήματα, κατὰ μὲν τὴν λέξιν ὅτι ἡ Λυσίου ἐστὶ καθαρὰ καὶ ἀκριβὴς καὶ σα-φὴς καὶ κυρία καὶ σύντομος, ἔοικε δὲ κατὰ ταῦτα πάντα ἡ Ἰσαίου σχεδόν. διαφέρει δὲ ὅτι [τῇ μὲν Λυσίου] πολὺ τὸ ἀφελὲς καὶ τὸ ἠθικόν, καὶ ἡ χάρις μεγάλη· ἡ δὲ Ἰσαίου τεχνικωτέρα δόξειεν ἂν εἶναι καὶ ἀκριβεστέρα καὶ σχημα-τισμοῖς διειλημμένη ποικίλοις· ὅσον γὰρ ὑπολείπεται [κατὰ τὴν χάριν], τοσοῦτον ὑπερέχει κατὰ τὴν δεινότητα· κατὰ μὲν οὖν τὴν λέξιν τοιαύτην εὑρήσομεν τὴν διαφοράν, κατὰ δὲ τὰ πράγματα ταύτην, ὅτι παρὰ Λυσίᾳ μὲν οὐ πολλὴν τὴν τέχνην εὑρήσομεν οὔτε ἐν τοῖς μερισμοῖς τῶν πραγμάτων οὔτε ἐν τῇ τάξει τῶν ἐνθυμημάτων, παρὰ δὲ Ἰσαίῳ πολλὴ τῆς τέχνης ἡ ἀκρίβεια. καὶ γὰρ προκατασκευαῖς χρῆται καὶ μερισμοῖς, καὶ

πρὸς μὲν τὸν ἀντίδικον διαπονηρεύεται, τοὺς δὲ δικαστὰς καταστρατηγεῖ. πολὺς δ' ἐστὶν ἐν τῷ δικανικῷ, καὶ σχεδὸν μόνον τοῦτο ἤσκησεν. ἀμέλει γοῦν πηγή τις τῆς τοῦ Δημοσθένους ἐκαλεῖτο δεινότητος. αὕτη δὲ ἦν ἡ διαφορὰ Λυσίου καὶ Ἰσαίου, ὥστε Λυσίας μὲν ὑπὲρ ἀδίκων ἔπειθε λέγων, Ἰσαῖος δὲ καὶ ὑπὲρ ἀγαθῶν λέγων ὕποπτος ἦν.

ΠΕΡΙ ΤΟΥ ΚΛΕΩΝΥΜΟΥ ΚΛΗΡΟΥ.

Α.

ΥΠΟΘΕΣΙΣ.

Ἀδελφιδοῖ Κλεωνύμου τελευτήσαντος ἐπὶ τὸν κλῆρον ἔρχονται [a] κατὰ γένος. [b] καὶ τὰς διαθήκας, ἃς παρέχονται εἰς αὐτοὺς οἱ περὶ [c] Φερένικον καὶ Σίμωνα καὶ Ποσείδιππον, γράψαι, ὡς ἀληθὲς [d] ἦν, καὶ θεῖναι παρὰ τοῖς ἄρχουσιν ὁμολογοῦντες Κλεώνυμον κατὰ τὴν πρὸς Δεινίαν τὸν ἐπίτροπον αὐτῶν ὀργήν, ὕστερον δὲ ἐπιχειρήσαντα λῦσαι καὶ μεταπεμψάμενον τὸν ἀστυνόμον ἐξαίφνης [e] ἀποθανεῖν·] καὶ Πολύαρχον δὲ τὸν πάππον αὐτῶν, Κλεωνύμου δὲ πατέρα, προστάξαι, εἴ τι [f] πάσχοι Κλεώνυμος, δοῦναι αὐτοῖς τὰ ὑπάρχοντα. Ἡ στάσις ὅρος διπλοῦς κατὰ ἀμφισβήτησιν· οἱ μὲν γὰρ ἄλλοι ταῖς [g] γενομέναις ἐξ ἀρχῆς [h] διαθήκαις διισχυρίζονται, οἱ [i] δ' ἀντιλέγοντες [k] φασὶν ὅτι [l] μετεκαλέσατο τὸν ἄρχοντα, ἵνα λύσῃ αὐτάς· καὶ τελευταῖον [m] τοῖς παρὰ τοῦ Κλεωνύμου [n] γενομένοις.

ΠΟΛΛΗ μὲν ἡ μεταβολή μοι γέγονεν, ὦ ἄνδρες, τελευ- 35
τήσαντος Κλεωνύμου. ἐκεῖνος γὰρ ζῶν μὲν ἡμῖν [o] κα-
τέλιπε τὴν [p] οὐσίαν, ἀποθανὼν δὲ κινδυνεύειν περὶ [q] αὐτῆς
2 πεποίηκε. καὶ τότε μὲν οὕτως ὑπ' αὐτοῦ σωφρόνως
ἐπαιδευόμεθα, ὥστ' οὐδ' [r] ἀκροασόμενοι οὐδέποτ' ἤλθομεν 5
[s] ἐπὶ δικαστήριον, νῦν δὲ ἀγωνιούμενοι περὶ πάντων ἥκομεν

[a] κατὰ γένος] κατὰ τὸ γένος P.Z.
[b] καὶ] om. Q.
[c] Φερένικον] φερόνικον P.Z.
[d] ἦν,] ἦν A.B.L.P.Q.Z.
[e] [ἀποθανεῖν] om. A.B.L.P.Q.Z.
[f] πάσχοι] πάσχει L.P.
[g] γενομέναις] γινομέναις P.
[h] διαθήκαις] δίκαις L.P.Z.
[i] δ' ἀντιλέγοντες] δὲ λέγοντες A. B.L.P.Q.Z.
[k] φασὶν] φησὶν A.
[l] μετεκαλέσατο] μετεκαλέσαντο A.B.L.P.Z.
[m] τοῖς] om. A.B.L.P.Q.Z.
[n] γενομένοις] γενόμενος P.
[o] κατέλιπε] κατέλυσε P.Z.
[p] οὐσίαν] ἀσίαν Z.
[q] αὐτῆς] αὐτοῖς B.
[r] ἀκροασόμενοι] ἀκροασάμενοι pr. A.
[s] ἐπὶ δικ.] ἐπὶ τὸ δικ. P.Z.

τῶν ὑπαρχόντων· οὐ γὰρ τῶν Κλεωνύμου μόνον ἀμφισβητοῦσιν, ἀλλὰ καὶ τῶν πατρῴων, ὀφείλειν ἐπὶ τούτοις
3 [t] ἐκείνῳ φάσκοντες [u] ἀργύριον. καὶ οἱ μὲν οἰκεῖοι καὶ [x] οἱ προσήκοντες οἱ [y] τούτων ἀξιοῦσιν ἡμᾶς καὶ τῶν ὁμολογουμένων, ὧν Κλεώνυμος κατέλιπεν αὐτοῖς, τούτων [z] ἰσομοιρῆσαι· οὗτοι δὲ εἰς τοῦτο ἥκουσιν ἀναισχυντίας, ὥστε καὶ τὰ πατρῷα προσαφελέσθαι ζητοῦσιν ἡμᾶς, οὐκ ἀγνοοῦντες ὦ ἄνδρες τὸ δίκαιον, [a] ἀλλὰ πολλὴν ἡμῶν [b] ἐρη-
4 μίαν καταγνόντες. σκέψασθε γὰρ οἷς ἑκάτεροι πιστεύοντες ὡς ὑμᾶς εἰσεληλύθαμεν. οὗτοι μὲν διαθήκαις ἰσχυριζόμενοι τοιαύταις, ἃς [c] ἐκεῖνος [d] διέθετο μὲν οὐχ ἡμῖν ἐγκαλῶν ἀλλ' ὀργισθεὶς τῶν οἰκείων τινὶ τῶν ἡμετέρων, ἔλυσε δὲ πρὸ τοῦ θανάτου, πέμψας [e] Ποσείδιππον ἐπὶ
5 τὴν ἀρχήν· ἡμεῖς δὲ γένει μὲν ἐγγυτάτω προσήκοντες, χρώμενοι δὲ ἐκείνῳ πάντων [f] οἰκειότατα, δεδωκότων δ' ἡμῖν [g] καὶ τῶν νόμων κατὰ τὴν ἀγχιστείαν καὶ αὐτοῦ τοῦ Κλεωνύμου διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν αὐτῷ, ἔτι δὲ [h] Πολυάρχου, τοῦ πατρὸς Κλεωνύμου, πάππου δ' ἡμετέρου, προστάξαντος, εἴ τι [i] πάθοι Κλεώνυμος ἄπαις,
6 ἡμῖν δοῦναι τὰ αὐτοῦ. τοσούτων τοίνυν ἡμῖν ὑπαρχόντων [k] οὗτοι, καὶ συγγενεῖς ὄντες καὶ οὐδὲν δίκαιον εἰπεῖν ἔχοντες, οὐκ αἰσχύνονται καταστήσαντες ἡμᾶς εἰς [l] ἀγῶνα περὶ τούτων, περὶ ὧν αἰσχρὸν ἦν ἀμφισβητῆσαι καὶ τοῖς

[t] ἐκείνῳ A.B.L.Q. om. P.Z. vulg. ἐκεῖνον.
[u] ἀργύριον A. ἀργύριῶν B.L. vulg. ἀργύρια.
[x] οἱ προσήκοντες οἱ] οἱ προσήκοντες ἐπὶ τούτοις οἱ A.B.Q.
[y] τούτων] τούτῳ Z.
[z] ἰσομοιρῆσαι] ἰσομοιρίσαι A.B.Q.
[a] ἀλλὰ] ἀλλὰ καὶ Z.
[b] ἐρημίαν ἡμῶν A. vulg. ἡμῶν ἐρημίαν.
[c] ἐκεῖνος] κεῖνος Q.
[d] διέθετο μὲν] δὴ ὑπέθετο μὲν A. B.L. μὲν ὑπέθετο δὴ P.Z.
[e] Ποσείδιππον] ποσίδιππον P.
[f] οἰκειότατα] οἰκειοτάτῳ Q.
[g] καὶ τῶν νόμων] om. P.Z.
[h] Πολυάρχου A.B.L.P.Z. λυάρχου Q. Reiskius Πολιάρχου.
[i] πάθοι] πάθῃ Q.
[k] οὗτοι] οὗτος B.L.P.Z.
[l] ἀγῶνα] ἀγῶνας Q.

7 μηδὲν προσήκουσιν. Οὐχ ὁμοίως δέ μοι δοκοῦμεν, ὦ ἄνδρες, διακεῖσθαι πρὸς ἀλλήλους. ἐγὼ μὲν γὰρ οὐχ ὅτι ἀδίκως κινδυνεύω, τοῦθ' ἡγοῦμαι μέγιστον εἶναι τῶν παρόντων κακῶν, ἀλλ' ὅτι ἀγωνίζομαι πρὸς [m] οἰκείους, οὓς οὐδ' [n] ἀμύνεσθαι καλῶς ἔχει· οὐ γὰρ ἂν ἐλάττω συμφο- 15
ρὰν [o] ἡγησαίμην κακῶς ποιεῖν τούτους ἀμυνόμενος, οἰκεί-
8 ους ὄντας, ἢ κακῶς παθεῖν ἐξ ἀρχῆς ὑπὸ τούτων· οὗτοι δ' οὐ τοιαύτην ἔχουσι [p] τὴν γνώμην, ἀλλ' ἥκουσιν ἐφ' 36
[q] ἡμᾶς καὶ τοὺς φίλους παρακαλέσαντες καὶ ῥήτορας παρασκευασάμενοι καὶ οὐδὲν [r] ἀπολείποντες τῆς αὐτῶν δυνάμεως, ὥσπερ ὦ ἄνδρες [s] ἐχθροὺς τιμωρησόμενοι, καὶ
9 οὐκ ἀναγκαίους [t] καὶ συγγενεῖς [u] κακῶς ποιησοντες. τὴν μὲν οὖν τούτων ἀναισχυντίαν καὶ τὴν αἰσχροκερδειαν ἔτι μᾶλλον γνώσεσθε, ἐπειδὰν πάντων [x] ἀκούσητε· ὅθεν δ' 5
οἶμαι τάχιστ' ἂν [y] ὑμᾶς μαθεῖν περὶ ὧν ἀμφισβητοῦμεν, ἐντεῦθεν ἄρξομαι διδάσκειν.

10 Δεινίας γὰρ ὁ τοῦ πατρὸς ἀδελφὸς [z] ἐπετρόπευσεν ἡμᾶς, θεῖος ὢν ὀρφανοὺς ὄντας. Κλεωνύμου δ' οὗτος, ὦ ἄνδρες, διάφορος ὢν ἔτυχεν. ὁπότερος μὲν οὖν αὐτῶν ἦν τῆς διαφορᾶς αἴτιος, ἴσως οὐκ ἐμὸν ἔργον ἐστὶ κατηγορεῖν·
11 πλὴν τοσοῦτόν γε ἂν δικαίως αὐτοῖς ἀμφοτέροις μεμψαί- 10
μην, ὅτι [a] καὶ φίλοι τέως ὄντες καὶ προφάσεως οὐδεμιᾶς γενομένης ἐκ λόγων τινῶν οὕτως εἰχῇ πρὸς ἀλλήλους [b] ἔχ-
12 θραν ἀνείλοντο. ὅτι γοῦν ἐκ ταύτης τῆς [c] ὀργῆς [d] Κλεώνυ-

[m] οἰκείους] ἀλλήλους P.
[n] ἀμύνεσθαι] ἀμύνασθαι Q.
[o] ἡγησαίμην] ἡγησάμην A.B.L. P.Q.Z.
[p] τὴν] om. P.
[q] ἡμᾶς] ὑμᾶς P.
[r] ἀπολείποντες] ἀπολείπονται Q. ἀπολιπόντες Reiskius.
[s] ἐχθροὺς] τοὺς ἐχθροὺς vulg.
[t] καὶ post ἀναγκαίους om. Z.
[u] καλῶς] κακοὺς A.B.L.P.Z.
[x] ἀκούσητε] ἀκούσετε Q.
[y] ὑμᾶς μαθεῖν] μαθεῖν ὑμᾶς Q.
[z] ἐπετρόπευσεν] ἐπετρόπευεν P.Z.
[a] καὶ om. P.Z.
[b] ἔχθραν] ἔχθρας vulg.
[c] ὀργῆς] ἀρχῆς Q.
[d] Ante Κλεώνυμος cum A.B.Q. omisi articulum ὁ.

μος ταύτας ποιεῖται τὰς διαθήκας, οὐχ ἡμῖν ἐγκαλῶν, ὡς ὕστερον ἐσώθη, ἔλεγεν, ὁρῶν δὲ ἡμᾶς ἐπιτροπευομένους ὑπὸ Δεινίου, [e] καὶ δεδιὼς μὴ τελευτήσειεν αὐτὸς ἔτι παῖδας ἡμᾶς καταλιπὼν καὶ τῆς οὐσίας ἡμετέρας οὔσης γέν-
13 οιτο κύριος Δεινίας· ἡγεῖτο γὰρ δεινὸν εἶναι τὸν ἔχθιστον τῶν οἰκείων ἐπίτροπον καὶ κύριον [f] τῶν αὐτοῦ καταλιπεῖν, καὶ ποιεῖν [g] αὐτῷ τὰ νομιζόμενα [h] τοῦτον, ἕως ἡμεῖς ἡβήσαιμεν, ᾧ ζῶν διάφορος ἦν. ταῦτα διανοηθεὶς ἐκεῖνος, εἴτ'
14 ὀρθῶς εἴτε μή, τὰς διαθήκας ταύτας διέθετο. καὶ εὐθὺς ἐρωτῶντος τοῦ Δεινίου παραχρῆμα εἴ τι ἡμῖν ἢ τῷ πατρὶ [i] ἐγκαλεῖ τῷ ἡμετέρῳ, ἀπεκρίνατο πάντων τῶν πολιτῶν ἐναντίον ὅτι οὐδὲν πονηρὸν ἐγκαλεῖ, καὶ ἐμαρτύρησεν ὡς ὀργιζόμενος ἐκείνῳ καὶ οὐκ ὀρθῶς βουλευόμενος ταῦτα διέθετο. πῶς γὰρ ἂν εὖ φρονῶν, ὦ ἄνδρες, κακῶς ποιεῖν
15 ἡμᾶς [k] ἐβουλήθη τοὺς μηδὲν αὐτὸν [l] ἠδικηκότας; ὕστερον δὲ τούτων, ὃ μέγιστον [m] ὑμῖν τεκμήριον ὅτι οὐδὲ ταῦτα ἔπραξεν ἡμᾶς βλάπτειν βουλόμενος· τελευτήσαντος γὰρ Δεινίου καὶ τῶν πραγμάτων [n] ἡμῖν πονήρως ἐχόντων οὐδὲ περιεῖδεν ἡμᾶς οὐδενὸς ἐνδεεῖς ὄντας, ἀλλ' αὐτοὺς μὲν εἰς τὴν οἰκίαν τὴν αὐτοῦ κομισάμενος ἐπαίδευε, τὴν δ' οὐσίαν ἀφελέσθαι τῶν [o] χρήστων ἐπιβουλευσάντων ἔσωσεν ἡμῖν, ἐπεμελεῖτό τε ὁμοίως τῶν ἡμετέρων ὥσπερ τῶν αὐτοῦ
16 πραγμάτων. καίτοι χρὴ θεωρεῖν [p] αὐτοῦ τὴν ἔννοιαν ἐκ τούτων τῶν ἔργων μᾶλλον ἢ ἐκ τῶν διαθηκῶν, καὶ τεκμηρίοις χρῆσθαι μὴ τοῖς μετ' ὀργῆς πραχθεῖσιν, ἐν οἷς ἅπαντες πεφύκαμεν ἁμαρτάνειν, ἀλλ' ἀφ' ὧν ὕστερον φανερὰν
17 αὐτοῦ τὴν διάνοιαν ἐποίησεν. ἔτι γὰρ μᾶλλον ἐν τοῖς τε-

[e] καὶ om. P.Z.
[f] τῶν αὐτοῦ] om. Q.
[g] αὐτῷ] αὐτὸν L.P.Z.
[h] τοῦτον] τούτων P.Z.
[i] ἐγκαλεῖ] om. Q.
[k] ἐβουλήθη] ἠβουλήθη vulg.
[l] ἠδικηκότας] ἀδικήσαντας Q.
[m] ὑμῖν] ἡμῖν A.B.L.P.Q.Z.
[n] ἡμῖν πονήρως] πονήρως ἡμῖν Q.
[o] χρήστων] χρηστῶν A.B.L.P. Q.Z. vulg. χρημάτων.
[p] αὐτοῦ τὴν] τὴν αὐτοῦ Q.

λευταίοις ἐδήλωσεν ὡς εἶχε πρὸς ἡμᾶς. ἤδη γὰρ ἀσθενῶν ταύτην τὴν νόσον ἐξ ἧς ἐτελεύτησεν, [q]ἐβουλήθη ταύτας τὰς διαθήκας ἀνελεῖν καὶ προσέταξε [r]Ποσειδίππῳ τὴν ἀρχὴν
18 εἰσαγαγεῖν. ὁ δὲ οὐ μόνον οὐκ εἰσήγαγεν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν [s]ἀπέπεμψεν. ὀργισθεὶς δὲ τούτῳ Κλεώνυμος πάλιν [t]ἐς τὴν ὑστεραίαν Δι- 35
οκλεῖ καλέσαι τοὺς ἄρχοντας προσέταξε· καὶ οὐχ οὕτως [u]ὡς ἀσθενῶν] διακείμενος, ἀλλ' ἔτι πολλῶν οὐσῶν ἐλπίδων ἐξαπίνης τῆς νυκτὸς ταύτης [x]ἀπέθανε.

19 Πρῶτον μὲν [y]οὖν ὑμῖν παρέξομαι μάρτυρας ὡς οὐχ ἡμῖν ἐγκαλῶν ἀλλὰ Δεινίᾳ πολεμῶν ταύτας τὰς διαθήκας διέθετο, ἔπειτα ὡς ἐκείνου τελευτήσαντος ἐπεμελεῖτό τε τῶν ἡμετέρων ἁπάντων, καὶ αὐτὸς ἐπαίδευεν εἰς τὴν
20 οἰκίαν [z]τὴν [a]αὐτοῦ κομισάμενος, πρὸς δὲ τούτοις ὡς Πο- 40
σειδίππον ἔπεμψεν ἐπὶ [b]τὸν ἀστυνόμον, οὗτος δ' οὐ μόνον [c]αὐτὸν οὐκ εἰσεκάλεσεν, ἀλλὰ καὶ [d]ἐλθόντα ἐπὶ τὴν θύραν [e]Ἀρχωνίδην ἀπέπεμψεν. Ὡς οὖν ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

21 [f]Ἔτι [g]τοίνυν [h]ὡς οἱ τούτων φίλοι καὶ Κηφισανδρος [i]ἠξίουν νείμασθαι τὴν οὐσίαν καὶ τὸ τρίτον μέρος ἡμᾶς ἔχειν ἁπάντων τῶν Κλεωνύμου, καὶ τούτων μοι κάλει [k]τοὺς μάρτυρας.

37

[q] ἐβουλήθη] ἠβουλήθη vulg.
[r] Ποσειδίππῳ τὴν] Ποσειδίππῳ ἐπὶ τὴν vulg.
[s] ἀπέπεμψεν] ἀνέπεμψεν A.B.L. P.Q.Z.
[t] ἐς A.B.L.P.Z. vulg. εἰς.
[u] [ὡς ἀσθενῶν] Deleverim.
[x] ἀπέθανε] ἐτελεύτησε Q.
[y] οὖν] om. L.P.Z.
[z] Alterum τὴν recepi ex A.Q.
[a] αὐτοῦ] ἑαυτοῦ Q. om. P.Z.
[b] τὸν ἀστυνόμον] τοῦ ἀστυνόμου L.P.Z. Cf. Valcken. ad Herodot. 7, 15.
[c] αὐτὸν] αὐτὸς A.B.L.P.Z.
[d] ἐλθόντα] ἐλθόντας A.B.L.
[e] Ἀρχωνίδην] ἀρχονίδην A.B.L. P.Q.Z. Suspectum nomen etiam Ionesio.
[f] Ἔτι] ἴστι P.Z.
[g] τοίνυν] τούτων Q.
[h] ὡς recepi ex A.Q.
[i] ἠξίουν] ἠξίου Q.
[k] τοὺς] om. A.Q.

ΜΑΡΤΥΡΕΣ.

22 Ἡγοῦμαι μὲν τοίνυν, ὦ ἄνδρες, πᾶσι τοῖς [1] τῶν κλήρων
ἀμφισβητοῦσιν, ὅταν ἀποφήνωσι σφᾶς αὐτοὺς ὥσπερ
ἡμεῖς καὶ τῷ γένει προτέρους ὄντας καὶ τῇ φιλίᾳ τῇ πρὸς
τὸν τετελευτηκότα, περίεργον εἶναι τοὺς ἄλλους [m] λόγους
λέγειν· [n] ἐπειδὴ δὲ [o] τούτων οὐδέτερον ἔχοντες οὕτω τολ- 5
μῶσι τῶν [p] οὐ προσηκόντων ἀμφισβητεῖν καὶ ψευδεῖς
παρασκευάζονται λόγους, βούλομαι βραχέα καὶ περὶ
23 τούτων αὐτῶν εἰπεῖν. ἰσχυρίζονται γὰρ ταῖς διαθήκαις,
λέγοντες ὡς Κλεώνυμος μετεπέμπετο τὴν ἀρχὴν οὐ λῦσαι
βουλόμενος αὐτὰς ἀλλ' ἐπανορθῶσαι καὶ βεβαιῶσαι σφί-
24 σιν αὐτοῖς τὴν δωρεάν. ὑμεῖς δὲ σκοπεῖσθε τὰς διαθήκας
τὰς μετ' ὀργῆς [q] γενομένας πότερα εἰκός ἐστι βουληθῆναι 10
Κλεώνυμον ἀνελεῖν, ἐπειδὴ πρὸς ἡμᾶς οἰκείως ἔσχεν, ἢ
σκοπεῖν ὅπως [r] ἔτι βεβαιότερον ἡμᾶς ἀποστερήσειε τῶν
25 αὐτοῦ. τοῖς μὲν γὰρ ἄλλοις κἀκείνων ὧν ἂν ὀργισθέντες
τοὺς οἰκείους ἀδικήσωσιν ὕστερον [s] μεταμέλει· οὗτοι δὲ
ἐκεῖνον ἀποφαίνουσιν, ἐν ᾧ πρὸς ἡμᾶς οἰκειότατα διέκειτο,
μᾶλλον βεβαιοῦν τὴν διαθήκην βουλόμενον, ἣν ὀργιζόμενος
ἐποιήσατο. ὥστ' εἰ καὶ ἡμεῖς ὁμολογήσομεν ταῦτα καὶ 15
ὑμεῖς αὐτοὶ [t] πιστεύσετε, ἐνθυμεῖσθε ὅτι παράνοιαν [u] αὐτοῦ
26 τὴν μεγίστην οὗτοι κατηγοροῦσι. τίς γὰρ ἂν γένοιτο ταύ-
της [x] μανία μείζων, ἢ τότε μὲν ὅτε Δεινίᾳ διάφορος [y] ὢν
ἔτυχεν, ἡμᾶς κακῶς ποιεῖν τε καὶ διατίθεσθαι τοιαύτας
διαθήκας, ἐξ ὧν οὐκ ἐκεῖνον ἐτιμωρεῖτο ἀλλὰ τοὺς οἰκειο-

[1] τῶν κλήρων] τὸν κλῆρον Q.
[m] λόγους] om. P.
[n] ἐπειδὴ A.B.L.P.Z. vulg. ἐπεί.
[o] τούτων] vulg. οἱ τούτων.
[p] οὐ προσηκόντων] ἀπροσηκόντων Z.
[q] γενομένας] γινομένας A.B.L. P.Z.
[r] ἔτι recepi ex A.Q.
[s] μεταμέλλει L.
[t] πιστεύσετε] πιστεύσοιτε A.B. L.P.Q.Z.
[u] αὐτοῦ τὴν μεγίστην οὗτοι] εὗτοι τὴν μιγίστην αὐτοῦ.
[x] μανία] μανίας Z.
[y] ὢν] ἦν Z.

τάτους ἠδίκει· νυνὶ δὲ χρώμενος ἡμῖν καὶ περὶ πλείστου ποιούμενος ἁπάντων, μόνους ἐβουλήθη τοὺς [z] ἀδελφιδοῦς, 20
ὡς οὗτοί φασιν, ἀκλήρους [a] ποιῆσαι τῶν ἑαυτοῦ. καὶ τίς
ἂν εὖ φρονῶν, ὦ ἄνδρες, τοιαῦτα περὶ τῶν [b] αὑτοῦ βουλεύ-
27 σαιτο; ὥστ' ἐκ τούτων τῶν λόγων ῥᾳδίαν [c] ὑμῖν τὴν δι-
άγνωσιν πεποιηκασι περὶ αὐτῶν. εἰ μὲν γὰρ ἀνελεῖν τὰς
διαθήκας βουλόμενος μετεπέμπετο τὴν ἀρχήν, ὥσπερ
ἡμεῖς φαμέν, οὐδεὶς ἔνεστι [d] τούτοις λόγος· εἰ δ' οὕτω
παραφρονῶν ἔτυχεν ὥσθ' ἡμᾶς [e ἀεὶ] περὶ ἐλαχίστου 25
[f] ποιεῖσθαι τοὺς γενει πρωτεύοντας καὶ χρωμένους αὐτῷ
πάντων οἰκειότατα, [g] δικαίως ἂν δήπου τὰς τοιαύτας δι-
28 αθήκας ἀκύρους [h] ποιήσαιτε. Ἔτι τοινυν ἐνθυμεῖσθε ὅτι
φάσκοντες καλεῖν τὴν ἀρχὴν [i] Κλεώνυμον, ἵνα βεβαιώσῃ
τὴν αὐτῶν δωρεάν, προσταχθὲν αὐτοῖς οὐκ ἐτόλμησαν
[k] εἰσαγαγεῖν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ
29 τὴν θύραν ἀπέπεμψαν. καὶ δυοῖν τοῖν ἐναντιωτάτοιν θά- 30
τερα μέλλοντες, ἢ τὴν οὐσίαν ἕξειν βεβαιοτέραν [l] ἢ ἐκεινῳ
μὴ ποιήσαντες ἀπεχθήσεσθαι, τὴν ἀπέχθειαν εἵλοντο
30 μᾶλλον ταύτης τῆς δωρεᾶς. καίτοι πῶς ἂν ἕτερα τούτων
γένοιτο ἀπιστότερα; τοὺς μὲν τηλικαῦτα μέλλοντας ἐκ
τοῦ πράγματος κερδαινειν, ὥσπερ ζημιωθησομένους, φυ-
λάξασθαι τὴν διακονίαν, Κλεώνυμον δ' ὑπὲρ τῆς τούτων
ὠφελείας τοσαύτην ποιήσασθαι σπουδὴν ὥστε Ποσειδιππῳ
μέν, ὅτι κατημέλησεν, ὀργισθῆναι, Διοκλέους δὲ ταῦτα

[z] ἀδελφιδοῦς] vulg. ἀδελφιδούς.
[a] ποιῆσαι] vulg. εἶναι.
[b] αὑτοῦ] ἑαυτοῦ Z.
[c] ὑμῖν] ἡμῖν A.B.L.P.Q.Z.
[d] τούτοις] τοιούτοις Q.
[e] [ἀεὶ] om. Q.
[f] ποιεῖσθαι] ποιεῖν Q.
[g] δικαίως] δικαίους Z.
[h] ποιήσαιτε] ποήσετε Q. ceteri cum vulg. ποιήσητε.
[i] Κλεώνυμον] τὸν κλεώνυμον Q.
[k] εἰσαγαγεῖν] προσαγαγεῖν P.
[l] ἢ ἐκεῖνο A.B. ἢ ἐκείνῳ Q. ceteri et hæc om. et quæ sequuntur ad illa Menecleæ extrema ἀλλ' ἐπειδὴ τὸ πρᾶγμα εἰς ὑμᾶς ἀφῖκται, om. et Burneianus 96. B. e.

31 πάλιν [m] ἐς τὴν ὑστεραίαν δεηθῆναι; Εἰ γὰρ δή, ὦ ἄνδρες, ὡς οὗτοί φασιν, ἐν ταῖς νῦν γεγραμμέναις διαθήκαις ἔδωκεν αὐτοῖς τὴν οὐσίαν, καὶ τοῦτ' ἄξιον εἶναι μοι δοκεῖ θαυμάζειν, ὅ τί ποτε ἐπανορθώσας κυριωτέρας αὐτὰς ἡγοῖτ' ἂν ποιῆσαι· τοῖς γὰρ ἄλλοις οὗτος ὅρος ἐστίν, ὦ ἄνδρες,
32 τῶν δωρεῶν. Ἔτι δὲ καὶ εἴ τι προσγράψαι τούτοις [n] ἐβούλετο, διὰ τί οὐκ ἐν ἑτέρῳ γράψας αὐτὰ γραμματείῳ [o] κατέλιπεν, ἐπειδὴ τὰ γράμματα παρὰ τῶν ἀρχόντων οὐκ ἐδυνήθη λαβεῖν; ἀνελεῖν [p] μὲν γὰρ ὦ ἄνδρες οὐχ οἷός τ' ἦν ἄλλο γραμματεῖον ἢ τὸ παρὰ τῇ ἀρχῇ κείμενον· γράψαι δ' ἐξῆν εἰς ἕτερον εἴ τι ἐβούλετο, καὶ μηδε τοῦθ'
33 ἡμῖν ἀμφισβητήσιμον ἐᾷν. Εἰ τοίνυν καὶ τοῦτο συγχωρήσαιμεν, ὡς ἐκεῖνος ἐπανορθῶσαι τὰς διαθήκας ἐβούλετο, πᾶσι δήπου φανερὸν [q] ὑμῖν ἐστὶν ὅτι οὐκ ὀρθῶς αὐτὰς ἔχειν ἡγεῖτο. καίτοι σκοπεῖτε καὶ ἐντεῦθεν [r] τὴν ἀναισχυντίαν αὐτῶν, οἵτινες ταύτας τὰς διαθήκας ἀξιοῦσιν εἶναι κυρίας, ἃς ὁμολογοῦσι μηδ' αὐτὸν τὸν διαθέμενον ταῦτα ὀρθῶς ἔχειν ἡγεῖσθαι, καὶ πείθουσιν [s] ὑμᾶς [t] ἐναντία καὶ τοῖς νόμοις καὶ τῷ δικαίῳ καὶ τῇ τοῦ τετελευ-
34 τηκότος γνώμῃ ψηφίσασθαι. Ἔτι τοίνυν τούτων ἁπάντων ἀναισθέστατος τῶν λόγων ἐστίν, ὅταν τολμῶσι λέγειν ὡς Κλεώνυμος οὐδὲν ἡμᾶς τῶν αὐτοῦ λαβεῖν [u] ἐβούλετο. καίτοι, ὦ ἄνδρες, τίνας ἂν ἄλλους ταῦτα ἔχειν [x] ἐβουληθη [y] μᾶλλον ἢ τούτους, οὓς καὶ [z] ζῶν ἐκ τῶν αὐτοῦ πλεῖστα
35 τῶν οἰκείων ὠφέλει; Πάντων δ' ἂν εἴη θαυμασιώτατον,

[m] ἐς] εἰς Q.
[n] ἐβούλετο] ἐβάλετο Q.
[o] κατέλιπεν] κατέλειπεν B. et pr. A.
[p] μὲν] om. A.B.
[q] ὑμῖν] ἡμῖν A.
[r] τὴν] καὶ τὴν Q.
[s] ὑμᾶς] ἡμᾶς B.Q.
[t] ἐναντία τοῖς] ἐναντία καὶ τοῖς Q.
[u] ἠβούλετο] ἐβούλετο B.
[x] ἠβουλήθη Q. et pr. A. ἐβουλήθη B.
[y] μᾶλλον] om. Q.
[z] ζῶν] τῶν Q.

εἰ Κηφίσανδρος μὲν ὁ τούτων οἰκεῖος δίκαιον ἡγεῖτο εἶναι μέρος ἕκαστον ἡμῶν ἔχειν τῆς οὐσίας, Κλεώνυμος δ' ὃς ἦν ἡμῖν οἰκειότατος καὶ ἡμᾶς εἰς τὴν [a] οἰκίαν τὴν [b] ἑαυτοῦ λαβὼν ἐθεράπευε καὶ ἐπεμελεῖτο τῶν ἡμετέρων ὥσπερ τῶν αὐτοῦ πραγμάτων, οὗτος μόνος ἐβούλετο ἡμᾶς ἀκλήρους
36 εἶναι τῶν αὐτοῦ. καὶ τίς ἂν ὑμῶν πιστεύσειεν εὐνουστέρους καὶ μετριωτέρους τοὺς ἀντιδίκους ἡμῖν εἶναι τῶν οἰκειοτάτων; [c] κἀκεῖνον μέν, ᾧ καὶ ἀναγκαῖον εὖ ποιεῖν ἡμᾶς καὶ αἰσχρὸν ἡμῶν ἀμελῆσαι, μηδὲν τῶν αὐτοῦ [d] ἡμῖν δοῦναι· τούτους δὲ οἷς οὔτ' ἀνάγκη ἐστὶν οὔτ' αἰσχύνην οὐδεμίαν φέρει, τῶν οὐ προσηκόντων, ὡς φασιν, ἡμῖν μεταδιδόναι; Ἀλλὰ ταῦτα μὲν ὦ ἄνδρες πολλὴν ἀπιστίαν ἔχει.

37 [e] Ἔπειτα, εἰ μὲν καὶ νῦν οὕτω πρὸς ἀμφοτέρους ἡμᾶς ἔχων ἐτελεύτησεν, ὥσπερ ὅτε τὰς διαθήκας [e] ταύτας ἐποιήσατο, εἰκότως ἄν τις ὑμῶν [f] πιστεύσαι τοῖς λόγοις τοῖς
38 τουτωνί· [g] νυνὶ δὲ πᾶν τοὐναντίον εὑρήσετε. τότε μὲν γὰρ ἔτυχε Δεινία, ὃς ἡμᾶς ἐπετρόπευε, διάφορος ὢν ἡμῖν τε [h] οὔπω χρώμενος τούτοις τε ἅπασιν ἐπιτηδείως διακειμένος· νῦν δὲ τούτων μὲν τισι διάφορος ἐγένετο, ἡμῖν δὲ πάντων ἐχρῆτο οἰκειότατα. καὶ ἐξ ὧν μὲν αὐτῷ πρὸς τούτους ἐγένετο ἡ διαφορά, περιεργόν ἐστι λέγειν· σημεῖα δ' [i] ὑμῖν ἐρῶ μεγάλα, [k] περὶ ὧν καὶ μάρτυρας ἔξω
39 παρασχέσθαι. πρῶτον μὲν γὰρ θύων τῷ Διονύσῳ, καὶ τοὺς οἰκείους ἅπαντας καλέσας καὶ τῶν ἄλλων πολιτῶν πολλούς, Φερένικον οὐδαμοῦ παρεστήσατο. ἔπειτα μικρὸν

[a] οἰκίαν τὴν] οἰκειότητα Angelus Maius.
[b] ἑαυτοῦ] αὐτοῦ B.
[c] κἀκεῖνον] ἢ ἐκεῖνον Maius.
[d] ἡμῖν δοῦναι] δοῦναι ἡμῖν Q.
[e] ταύτας] om. Maius.
[f] πιστεύσαι] πιστεύση Maius.
[g] νυνὶ] νῦν Maius.
[h] οὔπω Maius; libri οὔτω.
[i] ὑμῖν ἐρῶ] ἡμῖν ἐρῶ A.B.
[k] περὶ—παρασχέσθαι] om. Maius.

πρὶν τελευτῆσαι βαδίζων εἰς Πάνορμον μετὰ Σίμωνος,
40 καὶ συντυχὼν αὐτῷ, προσειπεῖν οὐκ ἐτόλμησεν. ἔτι δὲ
πρὸς τούτοις πυθανομένου τὴν διαφορὰν τοῦ Σίμωνος τήν
τ' ἔχθραν διηγήσατο, καὶ προσηπείλησε ὅτι [l]δηλώσοι ποτ'
ἂν τούτῳ ὡς διακεῖται πρὸς αὐτόν. Καὶ ὡς ἀληθῆ λέγω,
κάλει μάρτυρας.

[m] ΜΑΡΤΥΡΕΣ.

41 Οἴεσθε οὖν, ὦ ἄνδρες, τὸν οὑτωσὶ πρὸς ἑκατέρους [n]ἡμᾶς
διακείμενον ἡμῖν μέν, οἷς οἰκειότατα ἐχρῆτο, οὕτω ποιεῖν
[o]ὅπως μηδὲ λόγον [p]ὑπολείψει, τούτοις δέ, ὧν τισὶ καὶ
διάφορος [q]ἦν, σκοπεῖν ὅπως ἅπασαν [r]βεβαιώσει τὴν
[s]οὐσίαν; καὶ τούτους μὲν [t]νῦν περὶ πλείονος ποιεῖσθαι
ταύτης ὑπούσης τῆς ἔχθρας, ἡμᾶς δὲ τοσαύτης οἰκειότητος
καὶ φιλίας [u]γενομένης πειρᾶσθαι μᾶλλον κακῶς ποιεῖν;
42 Ἀλλ' ἔγωγε, εἰ κατηγορεῖν ἐβούλοντο τῶν διαθηκῶν ἢ
τοῦ τετελευτηκότος, οὐκ οἶδ' ὅ τι ἂν ἄλλο πρὸς ὑμᾶς
εἶπον, [x]οἵ γε τὰς [y]μὲν διαθήκας ἀποφαίνουσιν οὔτ' ὀρθῶς
ἐχούσας οὔτ' ἀρεσκούσας τῷ διαθεμένῳ, τοῦ δὲ [z]τοσαύ-
την μανίαν κατηγοροῦσιν, ὥστε φασὶν [a]αὐτὸν περὶ πλεί-
ονος ποιεῖσθαι τοὺς αὐτῷ [b]διαφερομένους ἢ τοὺς οἰκείως
χρωμένους, καὶ οἷς μὲν ζῶν οὐ διελέγετο ἅπασαν δοῦναι
τὴν οὐσίαν, τοὺς δ' [c]οἰκειότατα κεχρημένους οὐδὲ πολλο-
43 στοῦ μέρους ἀξιῶσαι. ὥστε τίς ἂν ὑμῶν ταύτας [d]εἶναι

[l] δηλώσοι] δηλώσει A.B.
[m] ΜΑΡΤΥΡΕΣ] om. A.B.Q.
[n] ἡμᾶς] ἡμῶν Q.
[o] ὥστε] ὅπως Q.
[p] ὑπολείψει] ὑπολείψειν A.B.
[q] ἦν] om. Q.
[r] βεβαιώσει] βεβαιώση Q.
[s] οὐσίαν] ἔχθραν Q.
[t] νῦν] om. Q.
[u] γενομένης] γινομένης Q.
[x] οἵ γε] οἵ τε Q.
[y] μὲν διαθήκας] διαθήκας μὲν A.B.
[z] τοσαύτην μανίαν] τοσαύτην τὴν μανίαν Maius.
[a] αὐτὸν] αὐτῷ A.
[b] διαφερομένους] διαφέροντας Q.
[c] οἰκειότατα κεχρημένους] Libri οἰκειότητα κεκτημένους, Maius οἰκειότητος κεκτημένους.
[d] εἶναι κυρίας τὰς διαθήκας ψηφίσαιτο] κυρίας εἶναι ψηφ. τὰς διαθ. Q.

κυρίας τὰς διαθήκας ψηφίσαιτο, ἃς ὁ μὲν διαθέμενος ὡς οὐκ ὀρθῶς ἐχούσας ἀπεδοκίμασεν, οὗτοι δ' ἔργῳ λύουσιν ἐθέλοντες ἡμῖν ἰσομοιρῆσαι τῆς οὐσίας, πρὸς δὲ τούτοις ἡμεῖς ὑμῖν ἀποφαίνομεν ἐναντίας οὔσας καὶ τῷ νόμῳ καὶ τοῖς δικαίοις καὶ τῇ τοῦ τετελευτηκότος διανοίᾳ;

44 Οἶμαι δ' ὑμᾶς τὸ περὶ [e] ἡμῶν δίκαιον σαφέστατ' ἂν παρ' αὐτῶν τούτων πυνθάνεσθαι. εἰ γάρ τις αὐτοὺς ἔροιτο διὰ τί ἀξιοῦσι κληρονόμοι γενέσθαι τῶν Κλεωνύμου, τοῦτ' ἂν εἰπεῖν ἔχοιεν, ὅτι καὶ γένει πόθεν προσήκουσι καὶ

45 [f] ἐκεῖνος αὐτοῖς χρόνον τινὰ ἐπιτηδείως διεκειτο. οὐκ [g] ἂν ἄρα ὑπὲρ ἡμῶν μᾶλλον ἢ ὑπὲρ σφῶν αὐτῶν εἶεν εἰρηκότες; εἴ τε γὰρ διὰ τὴν τοῦ γένους ἀγχιστειαν δεῖ γενέσθαι τινὰς κληρονόμους, ἡμεῖς ἐγγυτέρω γένει προσήκομεν· εἴ τε διὰ τὴν φιλιαν τὴν ὑπάρχουσαν, ἴσασιν αὐτὸν ἅπαντες ἡμῖν οἰκειότερον διακείμενον. ὥστ' οὐ χρὴ παρ' ἡμῶν, ἀλλὰ καὶ παρ' αὐτῶν τούτων πυνθάνεσθαι τὸ δί-

46 καιον. Πάντων δ' ἂν εἴη δεινότατον, εἰ τοῖς μὲν ἄλλοις ψηφίζοισθε, ὅταν [h] θάτερα τούτων [i] ἀποφαίνωσι σφᾶς αὐτούς, ἢ γένει προτέρους ὄντας ἢ τῇ φιλίᾳ τῇ πρὸς [k] τὸν τετελευτηκότα, ἡμᾶς δ' οἷς ἐστὶν ἀμφότερα ταῦτα παρὰ πάντων ὁμολογούμενα, ἀξιώσετε μόνους ἀκλήρους ποιῆσαι τῶν ἐκείνου.

47 Καὶ εἰ μὲν [l] Πολύαρχος ὁ πατὴρ ὁ Κλεωνύμου, πάππος δ' ἡμέτερος, ζῶν ἐτύγχανε καὶ τῶν ἐπιτηδείων ἐνδεὴς ὤν, ἢ Κλεώνυμος ἐτελεύτησε θυγατέρας ἀπορουμένας καταλιπών, ἡμεῖς ἂν διὰ τὴν ἀγχιστειαν καὶ τὸν πάππον γηροτροφεῖν [m] ἠναγκαζόμεθα καὶ τὰς Κλεωνύμου θυγατέρας

[e] ἡμῶν] ἡμᾶς Q.
[f] ἐκεῖνος] Maius ἐκείνοις.
[g] ἂν Maius: libri οὖν.
[h] θάτερα] θάττερα A. θέατρα Q.
[i] ἀποφαίνωσι] Maius ἀποφήνωσι.
[k] τὸν] om. Q.
[l] Πολύαρχος Maius: libri ναύαρχος.
[m] ἠναγκαζόμεθα] Maius ἠναγκάζομεν.

ἢ λαβεῖν αὐτοὶ γυναῖκας ἢ προῖκα ἐπιδιδόντες ἑτέροις
48 ἐκδιδόναι, καὶ ταῦθ' ἡμᾶς καὶ ἡ συγγένεια καὶ οἱ νόμοι
καὶ ἡ παρ' [n] ὑμῶν αἰσχύνη ποιεῖν ἠνάγκαζεν ἄν, ἢ ταῖς
μεγίσταις ζημίαις καὶ τοῖς ἐσχάτοις ἐνείδεσι περιπεσεῖν·
εἰ δ' οὐσία κατελείφθη, δίκαιον [o] ἡγήσεσθ' εἶναι ταύτης
49 ἑτέρους ἡμῶν μᾶλλον κληρονομεῖν; οὐκ ἄρα δίκαια οὐδ'
ὑμῖν αὐτοῖς συμφέροντα οὐδὲ τοῖς νόμοις ὁμολογούμενα
ψηφιεῖσθε, εἰ τῶν μὲν συμφορῶν τοὺς ἐγγυτάτω γένει
κοινωνεῖν ἀναγκάσετε, χρημάτων δὲ καταλειφθέντων πάν-
τας ἀνθρώπους [p] κυριωτέρους ἢ τούτους ποιήσετε.
50 Χρὴ δὲ ὦ ἄνδρες καὶ διὰ τὴν συγγένειαν καὶ διὰ τὴν
τοῦ πράγματος ἀλήθειαν, ὅπερ [q] ποιεῖτε, τοῖς κατὰ γένος
[r] ψηφίζεσθαι μᾶλλον ἢ τοῖς κατὰ διαθήκην ἀμφισβη-
τοῦσι. τὴν μὲν γὰρ τοῦ γένους οἰκειότητα πάντες ἐπιστά-
μενοι τυγχάνετε, καὶ οὐχ οἷόν τε [s] τοῦτ' ἐστὶ πρὸς ὑμᾶς
ψεύσασθαι· διαθήκας δ' ἤδη πολλοὶ ψευδεῖς ἀπέφηναν,
καὶ οἱ μὲν τὸ παράπαν οὐ γενομένας, ἐνίων δ' οὐκ ὀρθῶς
51 βεβουλευμένων. καὶ νῦν [t] ὑμεῖς τὴν μὲν συγγένειαν καὶ
τὴν οἰκειότητα τὴν ἡμετέραν, οἷς ἡμεῖς ἀγωνιζόμεθα,
ἅπαντες ἐπίστασθε· τὰς δὲ διαθήκας, αἷς οὗτοι πιστεύ-
οντες ἡμᾶς συκοφαντοῦσιν, οὐδεὶς [u] ὑμῶν οἶδε κυρίας γενο-
52 μένας. ἔπειτα τὴν μὲν ἡμετέραν συγγένειαν εὑρήσετε καὶ
παρ' αὐτῶν τῶν ἀντιδίκων ὁμολογουμένην, τὰς δὲ διαθή-
κας ὑφ' ἡμῶν ἀμφισβητουμένας· οὗτοι γὰρ τὸ ἀνελεῖν
αὐτὰς ἐκείνου βουλομένου διεκώλυσαν. ὥσθ' [x] ὑμῖν, ὦ
ἄνδρες, πολὺ κάλλιόν ἐστι ψηφίσασθαι [y] κατὰ τὸ γένος

[n] ὑμῶν] ἡμῶν A.B.
[o] ἡγήσεσθ'] Maius ἡγήσεσθ' ἄν.
[p] κυριωτέρους] κύρια Q. κυρίους Maius.
[q] ποιεῖτε] ποιεῖται Q.
[r] ψηφίζεσθαι] ψηφίζεσ Q.
[s] τοῦτ' ἐστὶ] ἐστὶ τοῦτο Q.
[t] ὑμεῖς] ἡμεῖς A.B.Q.
[u] ὑμῶν] ἡμῶν Q.
[x] ὑμῖν] ὑμῖν A.Q.
[y] κατὰ τὸ γένος] Maius κατὰ γένος.

τὸ παρ' ἀμφοτέρων ἡμῶν ὁμολογούμενον μᾶλλον ἢ κατὰ
53 τὰς διαθήκας τὰς οὐ δικαίως γεγενημένας. πρὸς δὲ τούτοις ἐνθυμήθητε ὅτι αὐτὰς ἔλυσε μὲν Κλεώνυμος εὖ φρονῶν, διέθετο δὲ ὀργισθεὶς καὶ οὐκ ὀρθῶς [z]βουλευόμενος· ὥστε πάντων ἂν εἴη δεινότατον, εἰ κυριωτέραν αὐτοῦ τὴν ὀργὴν ἢ τὴν διάνοιαν ποιήσετε.

54 Οἶμαι δ' ὑμᾶς καὶ λαμβάνειν παρὰ τούτων ἀξιοῦν καὶ μὴ τυγχάνοντας ἀγαναχτεῖν, οἷς ἂν ὑπάρχῃ καὶ παρ' ὑμῶν τῶν αὐτῶν τυχεῖν. εἰ τοινυν συνέβη Κλεωνύμῳ μὲν ζῆν, ἐξερημωθῆναι δὲ τὸν ἡμέτερον οἶκον ἢ τὸν τούτων, σκέψασθε [a]ποτέρων ἐκεῖνος [b]ἐγίγνετο κληρονόμος· δίκαιον γάρ ἐστι τούτους ἔχειν τὰ ἐκείνου, παρ' ὧν ὠφεί-
55 λετο καὶ λαβεῖν αὐτῷ. εἰ μὲν τοινυν Φερενίκος [c]ἢ τῶν ἀδελφῶν τις ἐτελεύτησεν, οἱ παῖδες οἱ τούτων, [d]οὐκ ἐκεῖνος ἐγίγνετο κύριος τῶν καταλειφθέντων· ἡμῶν δὲ τοιαύτῃ τύχῃ χρησαμένων Κλεώνυμος ἁπάντων ἐγίγνετο κληρονόμος. οὔτε γὰρ παῖδες ἡμῖν ἦσαν οὔτ' ἄλλοι συγγενεῖς, ἀλλ' ἐκεῖνος [e]καὶ γένει [f]προσήκων ἐγγυτάτω καὶ τῇ
56 χρείᾳ πάντων [g]ἦν οἰκειότατος· ὥστε διὰ ταῦτα καὶ οἱ νόμοι δεδώκασιν αὐτῷ, καὶ ἡμεῖς [h]οὐδένα ἄλλον ἠξιώσαμεν ταύτης τῆς δωρεᾶς. οὐ γὰρ δήπου ζῶντες μὲν οὕτως ἂν [i]ἐνεχειρίσαμεν αὐτῷ τὴν [k]οὐσίαν, ὥστε περὶ τῶν ἡμετέρων κυριωτέραν εἶναι τὴν ἐκείνου διάνοιαν τῆς ἡμετέρας αὐτῶν, ἀποθνήσκοντες δὲ ἄλλους [l]κληρονόμους ἐβουληθη-
57 μεν αὐτῶν μᾶλλον ἢ [m]τὸν πάντων οἰκειότατον. ὥσθ'

[z] βουλευόμενος] βεβουλευμένος Q.
[a] ποτέρων Maius: libri πότερον.
[b] ἐγίνετο] ἐγένετο Q.
[c] ἢ τῶν ἀδελφῶν τις] ἤ τις τῶν ἀδελφῶν Q.
[d] οὐκ ἐκεῖνος] οὐ κεῖνος A.B.
[e] καὶ ante γένει om. Maius.
[f] προσήκων] Quidni προσῆκεν?
[g] ἦν] Hoc quoque om. Maius.
[h] οὐδένα] Immo οὐδέν' ἄν.
[i] ἐνεχειρίσαμεν B. et correctus A. ἐνεχειρήσαμεν Q.
[k] οὐσίαν] αἰτίαν A.B.
[l] κληρονόμους] Aut legendum κληρονομεῖν aut addendum ποιῆσαι.
[m] τὸν] Maius τῶν.

ἡμᾶς μὲν [n] ἐν ἀμφοτέροις, ὦ Ἀθηναῖοι, καὶ ἐν τῷ δοῦναι καὶ ἐν τῷ λαβεῖν οἰκείους ὄντας εὑρήσετε, τούτους δὲ νῦν μὲν ἀναισχυντοῦντας καὶ τὴν οἰκειότητα καὶ τὴν ἀγχιστείαν λέγοντας, ὅτι λήψεσθαί τι προσδοκῶσιν· ἐν δὲ τῷ δοῦναι πολλοὺς ἂν [o] καὶ συγγενεῖς καὶ φίλους ἐκείνου [p] προείλοντο οἰκειοτέρους.

58 Κεφάλαιον δὲ τῶν εἰρημένων, ᾧ πάντας ὑμᾶς [q] προσέχειν δεῖ τὸν νοῦν· ὅσῳ γὰρ ἂν ταῦτα λέγοντες [r] ἀποφαίνωσι καὶ πειρῶνται πείθειν ὑμᾶς ὡς ἐκεῖνος διέθετο ταύτας τὰς διαθήκας καὶ οὐδὲ πώποτε [s] ὕστερον αὐτῷ μετεμέλησε, καὶ νῦν [t] ἐβούλετο ἡμᾶς μὲν μηδὲν [u] τῶν αὐτοῦ
59 λαβεῖν, σφίσι δ' αὐτοῖς βεβαιῶσαι τὴν δωρεάν, καὶ ταῦτα πάντα λέγοντες [x] καὶ διισχυριζόμενοι μηδέτερον ἀποφήνωσι, [y] μήθ' ὡς ἐγγυτέρω τῷ γένει προσήκουσι μήθ' ὡς οἰκειότερον ἡμῶν πρὸς Κλεώνυμον διέκειντο, ὑμεῖς ἐνθυμεῖσθε ὅτι ἐκείνου κατηγοροῦσιν, ἀλλ' οὐχ ὡς δίκαιόν
60 ἐστι τὸ πρᾶγμα διδάσκουσιν ὑμᾶς. ὥσθ' ὑμεῖς [z] ὅταν μὲν τοῖς τούτων λόγοις πιστεύητε, οὐ τούτους προσήκει ποιῆσαι τῶν ἐκείνου κληρονόμους, ἀλλὰ παράνοιαν [a] Κλεωνύμου καταγινώσκειν, ὅταν δὲ τοῖς ἡμετέροις, ἐκεῖνόν τε νομίζειν ὀρθῶς βεβουλεῦσθαι λῦσαι τὰς διαθήκας βουλόμενον, ἡμᾶς τε μὴ συκοφαντεῖν ἀλλὰ δικαίως τούτων
61 ἀμφισβητεῖν. ἔπειτα, ὦ ἄνδρες, ἐνθυμεῖσθε ὅτι οὐχ οἷόν τε [b] ὑμῖν ἐστὶ κατὰ τοὺς τούτων λόγους γνῶναι περὶ αὐτῶν. πάντων γὰρ ἂν εἴη δεινότατον, εἰ τῶν ἀντιδίκων

[n] ἐν ἀμφοτέροις] om. Q.
[o] καὶ ante συγγενεῖς om. A.B.
[p] προείλοντο] προείχοντο Q.
[q] προσέχειν δεῖ] δεῖ προσέχειν Q.
[r] ἀποφαίνωσι] Maius ἀποφήνωσι.
[s] ὕστερον αὐτῷ] αὐτῷ ὕστερον Q.
[t] ἐβούλετο ἡμᾶς μὲν] μὲν ἐβούλετο ἡμᾶς A.B.
[u] τῶν] om. B.
[x] καὶ ante διισχ. a recentiore manu habet A.
[y] μήθ'] μηδ' A. μὴ δ' B.Q.
[z] ὅταν μὲν] om. Q. Maius εἰ.
[a] Κλεωνύμου] κλεώνυμον Q.
[b] ὑμῖν] ἡμῖν A.

γινωσκόντων ἡμᾶς δίκαιον εἶναι τὸ μέρος αὐτῶν λαβεῖν, [c] ὑμεῖς ἅπαντ' αὐτοὺς ἔχειν [d] ψηφίσαισθε, καὶ τούτους μὲν ἠγήσαισθε χρῆναι πλείω λαβεῖν ὧν [e] αὐτοὶ σφᾶς αὐτοὺς ἠξίωσαν, ἡμᾶς δὲ μηδὲ τούτων ἀξιώσαιτε ὧν οἱ ἀντίδικοι συγχωροῦσιν ἡμῖν.

ΠΕΡΙ ΤΟΥ ΜΕΝΕΚΛΕΟΥΣ ΚΛΗΡΟΥ.

Β.

ΥΠΟΘΕΣΙΣ.

Μενεκλέους ποιησαμένου υἱὸν καὶ ἐπιβιώσαντος τῇ ποιήσει εἴκοσι τρία ἔτη, ἀδελφῶν ἀμφισβητησάντων τοῦ κλήρου ἐμαρτύρησέ τις Φιλωνίδης μὴ εἶναι τὸν κλῆρον ἐπίδικον, καταλείψαντος υἱὸν Μενεκλέους. τούτῳ ἐπέσκηψαν ψευδομαρτυρίας οἱ ἀδελφοί, καὶ πρὸς τούτους ὁ παῖς ὑπὲρ αὐτοῦ τὴν ἀπολογίαν εἰσέρχεται. Ἔστι δὲ ὁ λόγος οὗτος ἐναντίος τῷ περὶ τοῦ Κλεωνύμου κλήρου· ἐκεῖ μὲν γὰρ ὑπὲρ συγγενείας εἶπεν, ὧδε δὲ ὑπὲρ διαθήκης. Ἡ στάσις ἀντίληψις κατὰ στοχασμόν· λέγει γὰρ ὅτι ἐξῆν αὐτῷ ποιεῖν ἑαυτῷ υἱόν. εἶτα τὸ στοχαστικόν, ὅτι οὐ πεισθεὶς γυναικὶ ἐποιήσατό με.

ΗΓΟΥΜΗΝ μέν, ὦ ἄνδρες, εἴτις καὶ ἄλλος ἐποιήθη ὑπό τινος [a] κατὰ τοὺς νόμους, καὶ ἐγὼ ποιηθῆναι, καὶ οὐκ ἄν ποτε εἰπεῖν οὐδένα τολμῆσαι ὡς ἐποιήσατό με
2 Μενεκλῆς παρανοῶν ἢ γυναικὶ πειθόμενος· ἐπειδὴ δὲ ὁ θεῖος οὐκ ὀρθῶς βουλευόμενος, ὡς ἐγώ φημι, πειρᾶται ἐξ ἅπαντος τρόπου τὸν ἀδελφὸν τὸν αὑτοῦ ἄπαιδα τεθνεῶτα καταστῆσαι, οὔτε τοὺς θεοὺς τοὺς πατρῴους οὔθ' [b] ὑμῶν

[c] ὑμεῖς] om. Q.
[d] ψηφίσαισθε—ἠγήσαισθε—ἀξιώσαιτε] Sic correxi librorum ψηφίσεσθε—ἠγήσεσθε—ἀξιώσετε.
[e] αὐτοὶ] αὐτὸς B.
[a] κατὰ τοὺς νόμους] κατὰ νόμους pr. A. Sic et infra.
[b] ὑμῶν] ὑμᾶς Q.

αἰσχυνόμενος οὐδένα, ἐμοὶ ἀνάγκη ἐστὶ πολλὴ βοηθεῖν [c]τῷ
3 τε πατρὶ τῷ ποιησαμένῳ [d]με καὶ ἐμαυτῷ. [e]διδάσκω
οὖν ὑμᾶς ἐξ ἀρχῆς ὡς προσηκόντως τε καὶ κατὰ τοὺς
νόμους ἐγένετο ἡ ποίησις, καὶ οὐκ ἔστιν ἐπίδικος ὁ κλῆρος
[f]ὁ Μενεκλέους ὅντος [g]ἐμοῦ υἱοῦ ἐκείνου, ἀλλ' ὁ μάρτυς
διεμαρτύρησε τἀληθῆ. δέομαι [h]δ' ὑμῶν ἁπάντων καὶ
ἀντιβολῶ καὶ ἱκετεύω μετ' εὐνοίας ἀποδέχεσθαί μου τοὺς
λόγους.

4 Ἐπώνυμος γὰρ ὁ [i]Ἀχαρνεύς, ὁ πατὴρ ὁ ἡμέτερος, ὦ
ἄνδρες, φίλος ἦν καὶ ἐπιτήδειος Μενεκλεῖ, καὶ ἐχρῆτο
οἰκείως· ἦμεν δὲ αὐτῷ παῖδες [k]τέτταρες ἡμεῖς, δύο μὲν
υἱεῖς, δύο δὲ θυγατέρες. τελευτήσαντος δὲ τοῦ πατρὸς ἐκ-
δίδομεν ἡμεῖς τὴν πρεσβυτέραν ἀδελφήν, ἐπειδὴ εἶχεν
5 ὥραν, Λευκολόφῳ, προῖκα [l]ἐπιδόντες εἴκοσι μνᾶς. καὶ
ἀπ' ἐκείνου τοῦ χρόνου τετάρτῳ [m]ἔτει ὕστερον ἥτε ἀδελφὴ
ἡμῖν ἡ νεωτέρα σχεδὸν ἡλικίαν εἶχεν ἀνδρὶ συνοικεῖν, καὶ
τῷ Μενεκλεῖ ἡ γυνὴ τελευτᾷ ἣν εἶχε πρότερον. ἐπειδὴ οὖν
ἐκείνη τὰ νομιζόμενα ἐποίησεν ὁ Μενεκλῆς, ἥτει τὴν ἀδελ-
φὴν ἡμᾶς, ὑπομιμνήσκων τήν τε φιλίαν [n]τὴν τοῦ πατρὸς
6 καὶ ἑαυτοῦ, καὶ ὡς πρὸς ἡμᾶς αὐτὸς ἦν διακείμενος· καὶ
ἡμεῖς εἰδότες ὅτι [o]καὶ ὁ πατὴρ οὐδενὶ ἂν [p]ἔδωκεν ἥδιον ἢ
ἐκείνῳ, δίδομεν αὐτῷ, οὐκ ἄπροικον, ὡς οὗτος λέγει ἑκά-
στοτε, ἀλλὰ τὴν ἴσην προῖκα [q]ἐπιδόντες ἥνπερ καὶ τῇ
πρεσβυτέρᾳ ἀδελφῇ ἐπέδομεν· καὶ ἐκ τοῦ τρόπου τούτου,

[c] τε τῷ] τῷ τε Bremius apud Orellium.
[d] με] om. Q.
[e] διδάσκω] Malim διδάξω μέν.
[f] ὁ ante Μενεκλέους om. Q.
[g] ἐμοῦ υἱοῦ] υἱοῦ ἐμοῦ Q.
[h] δ' om. Q.
[i] Ἀχαρνεὺς] χαρνεὺς Q.
[k] τέτταρες] τέσσαρες Q.
[l] ἐπιδόντες] ἐπιδιδόντες pr. A.
[m] Post ἔτει C. duas litteras habet deletas, Q. addit ἢ πέμπτῳ.
[n] τὴν ante τοῦ recepi ex Q.
[o] καὶ post ὅτι om. B. ὅτι ipsum una cum illis ὁ πατὴρ om. Q.
[p] ἔδωκεν ἥδιον] ἥδιον ἔδωκεν Q.
[q] ἐπιδιδόντες pr. A. ceteri ἐπιδόντες.

πρότερον ὄντες αὐτοῦ φίλοι, κατέστημεν οἰκεῖοι. Καὶ ὡς ἔλαβεν εἴκοσι μνᾶς [r]ὁ Μενεκλῆς ἐπὶ τῇ ἀδελφῇ προῖκα, τὴν μαρτυρίαν ταύτην [s]πρῶτον βούλομαι παρασχέσθαι.

[t]ΜΑΡΤΥΡΙΑ.

7 Ἐκδόντες τοίνυν τὰς ἀδελφάς, ὦ ἄνδρες, καὶ ὄντες αὐτοὶ ἐν ἡλικίᾳ ἐπὶ τὸ στρατεύεσθαι ἐτραπόμεθα, καὶ ἀπεδημήσαμεν μετὰ Ἰφικράτους εἰς Θράκην· ἐκεῖ δὲ [u]δόξαντές του εἶναι ἄξιοι, περιποιησάμενοί τι κατεπλεύσαμεν δεῦρο, καὶ καταλαμβάνομεν τῇ πρεσβυτέρᾳ ἀδελφῇ ὄντα δύο παιδία, τὴν δὲ νεωτέραν, ἣν εἶχε [x]Μενεκλῆς,
8 ἄπαιδα. καὶ ἐκεῖνος [y]δευτέρῳ μηνὶ ἢ τρίτῳ, πολλὰ ἐπαινέσας τὴν ἀδελφήν, λόγους ἐποιεῖτο πρὸς ἡμᾶς, καὶ [z]ἔφη τήν τε ἡλικίαν ὑφορᾶσθαι τὴν ἑαυτοῦ καὶ τὴν ἀπαιδίαν· οὔκουν ἔφη δεῖν ἐκείνην τῆς χρηστότητος τῆς ἑαυτῆς τοῦτο ἀπολαῦσαι, [a]ἄπαιδα καταστῆναι συγκαταγηρά-
9 σασαν αὐτῷ· ἱκανὸς γὰρ [b]ἔφη αὐτὸς ἀτυχῶν εἶναι. καὶ ἐκ ταύτης τῆς λέξεως δῆλον ὅτι φιλῶν [c]ἀπεβάλετο· οὐδεὶς γὰρ μισῶν [d]τινὰ ἱκετεύει [e]αὐτῷ. ἐδεῖτο οὖν ἡμῶν δοῦναι χάριν ταύτην αὐτῷ, ἐκδοῦναι ἄλλῳ αὐτὴν μετὰ τῆς γνώμης τῆς ἑαυτοῦ. καὶ ἡμεῖς ἐκελεύομεν αὐτὸν πεί-
10 θειν αὐτὴν περὶ τούτων· ὅ τι γὰρ ἐκείνη πεισθῇ, τοῦτ' ἔφαμεν [f]ποιήσειν. κἀκείνη τὸ μὲν πρῶτον οὐδ' ἠνέσχετ' αὐτοῦ λέγοντος, προϊόντος δὲ τοῦ χρόνου μόλις ἐπείσθη· καὶ οὕτως ἐκδίδομεν αὐτὴν Ἠλείῳ [g]Σφηττίῳ, καὶ ὁ

[r] ὁ Μενεκλῆς] om. Q.
[s] πρῶτον] om. Q.
[t] ΜΑΡΤΥΡΙΑ] om. B.Q.
[u] δόξαντές του] δόξαντες τοῦ A. B.Q.
[x] Μενεκλῆς] ὁ Μενεκλῆς Q.
[y] δευτέρῳ μηνὶ] μηνὶ δευτέρῳ Q.
[z] ἔφη] ἔφην Q.
[a] ἄπαιδα κατ. συγκ. αὐτῷ] om. Q.
[b] ἔφη αὐτὸς ἀτυχῶν] ἀτυχῶν ἔφη αὐτὸς Q.
[c] ἀπεβάλετο] ἀπεβάλλετο Q.
[d] τινὰ] om. Q.
[e] αὐτῷ] αὐτὸν Q.
[f] ποιήσειν] ποιῆσαι Q.
[g] Σφηττίῳ Q. ceteri σφητίῳ.

Μενεκλῆς τήν τε προῖκα ἐπιδίδωσιν [h] αὐτῇ, μετασχὼν
τοῦ οἴκου τῆς μισθώσεως τῶν παίδων [i] τῶν Νικίου, καὶ τὰ
ἱμάτια ἃ ἦλθεν ἔχουσα [k] παρ' ἐκεῖνον, καὶ τὰ χρυσίδια
11 ἃ ἦν, δίδωσιν αὐτῇ. Μετὰ δὲ ταῦτα χρόνου διαγενομένου
ἐσκόπει ὁ Μενεκλῆς ὅπως μὴ ἔσοιτο ἄπαις, ἀλλ' ἔσοιτο
αὐτῷ ὅς τις ζῶντά [l] τε [m] γηροτροφήσοι καὶ τελευτήσαντα
θάψοι [n] αὐτὸν καὶ εἰς τὸν ἔπειτα χρόνον τὰ νομιζόμενα
12 αὐτῷ [o] ποιήσοι. τούτῳ μὲν οὖν ἐώρα ἕνα μόνον υἱὸν ὄντα,
ὥστε ἐδόκει αὐτῷ αἰσχρὸν εἶναι ἄπαιδα τοῦτον καθι-
στάντα ἀρρένων παίδων αὐτῷ [p] κελεύειν δοῦναι τοῦτον εἰσ-
ποιήσασθαι. [q] εὗρισκεν οὖν οὐδένα ἄλλον οἰκειότερον ὄνθ'
13 ἡμῶν ἑαυτῷ. λόγους οὖν πρὸς ἡμᾶς ἐποιεῖτο, καὶ ἔφη δοκεῖν
αὐτῷ καλῶς ἔχειν, ἐπειδὴ οὕτως [r] αὐτῷ ἡ τύχη συνέβη
ὥστε ἐκ τῆς ἀδελφῆς τῆς ἡμετέρας παῖδας αὐτῷ μὴ
γενέσθαι, ἐκ ταύτης τῆς οἰκίας υἱὸν αὐτῷ ποιήσασθαι,
ὅθεν [s] καὶ φύσει παῖδας [t] ἐβουλήθη ἂν αὐτῷ γενέσθαι·
"ὑμῶν οὖν" ἔφη "βούλομαι τὸν ἕτερον ποιήσασθαι, ὁπο-
14 "τέρῳ ὑμῶν καλῶς ἔχει." καὶ ὁ ἀδελφὸς [u] ὁ ἐμὸς ἀκού-
σας ταῦτα, ἐπειδὴ προετίμησεν αὐτοὺς πάντων, ἐπήνεσέ
[x] τε τοὺς λόγους αὐτοῦ, καὶ εἶπεν ὅτι δέοιτο ἥ τε ἡλικία
[y] καὶ ἡ παροῦσα ἐρημία ἐκείνου τοῦ [z] θεραπεύσοντος αὐτὸν
15 καὶ [a] ἐπιδημήσοντος· "ἐμοὶ μὲν οὖν" [b] ἔφη "[c] συμβαίνει

[h] αὐτῇ Tyrwhittus: libri αὐτῷ.
[i] τῶν Νικίου] Libri τοῦ Νικίου.
[k] παρ' ἐκεῖνον A.B. παρ' ἐκείνου Q.
[l] τε] γε Q. ceteri om.
[m] γηροτροφήσοι] γηροτροφήσει Q.
[n] αὐτόν] om. Q.
[o] ποιήσοι] ποιήσει Q.
[p] κελεύειν] κελεύει Q.
[q] εὗρισκεν] εὑρίσκομεν Q.
[r] αὐτῷ post οὕτως om. Q.
[s] καὶ φύσει A.Q. καὶ ἔφη B. quo factum est ut apud Tyrwhittum legatur φησὶ καί.
[t] ἐβουλήθη] ἐβουλήθην B.
[u] ὁ ἐμὸς] Accesserunt ex Q.
[x] τε recepi ex A.Q.
[y] καὶ post ἡλικία om. Q.
[z] θεραπεύσοντος] θεραπεύσαντος pr. A.
[a] ἐπιδημήσοντος] ἐπιδημήσαντος Q.
[b] ἔφη om. Q.
[c] συμβαίνει Q. ceteri συμβαίνειν.

" [d]ἀποδημία, ὡς σὺ οἶσθα· ὁ δὲ ἀδελφὸς οὑτοσί" ἐμὲ λέγων " τῶν τε σῶν ἐπιμελήσεται καὶ τῶν ἐμῶν, ἐὰν " [e]βούλῃ τοῦτον ποιήσασθαι." [f]καὶ ὁ Μενεκλῆς καλῶς ἔφη αὐτὸν λέγειν, καὶ ἐκ τοῦ τρόπου τούτου ποιεῖταί με.

16 Ὡς οὖν κατὰ τοὺς νόμους ἐπεγένετο ἡ ποίησις, τοῦτο [g]ὑμᾶς [h]βούλομαι διδάξαι. καί μοι τὸν νόμον ἀνάγνωθι, ὃς κελεύει τὰ [i]ἑαυτοῦ ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ,

17 ἐὰν μὴ παῖδες ἄῤῥενες ὦσι γνήσιοι. ὁ γὰρ νομοθέτης, ὦ ἄνδρες, διὰ τοῦτο τὸν νόμον ἔθηκεν οὕτως, ὁρῶν [k]μόνην ταύτην καταφυγὴν οὖσαν τῆς ἐρημίας καὶ παραψυχὴν τοῦ βίου τοῖς ἄπαισι τῶν ἀνθρώπων, τὸ ἐξεῖναι ποιή-

18 σασθαι ὅν τινα [l]ἂν βούλωνται. διδόντων οὖν [m]τῶν νόμων αὐτῷ ποιεῖσθαι διὰ τὸ εἶναι ἄπαιδα, ἐμὲ ποιεῖται, οὐκ ἐν διαθήκαις ὦ ἄνδρες γράψας, μέλλων ἀποθνήσκειν, ὥσπερ ἄλλοι τινὲς τῶν ἀνθρώπων, οὐδ' ἀσθενῶν· ἀλλ' ὑγιαίνων, [n]εὖ φρενῶν, εὖ νοῶν, ποιησάμενος εἰσάγει με εἰς τοὺς φράτορας παρόντων τούτων, καὶ εἰς τοὺς δημότας

19 με ἐγγράφει καὶ εἰς τοὺς [o]ὀργεῶνας. καὶ τότε μὲν οὐδὲν ἀντέλεγον αὐτῷ οὗτοι ὡς [p]οὐ φρονοῦντι· καίτοι πολὺ κάλλιον ἦν ζῶντα πεισθεὶν ἐκεῖνον, εἴ τι βούλοιντο, μᾶλλον ἢ τελευτήσαντα ὑβρίζειν καὶ ἐξερημοῦν αὐτοῦ τὸν οἶκον. ἐπεβίω γὰρ ἐκεῖνος μετὰ τὴν ποίησιν οὐχ ἑνιαυτὸν ἕνα ἢ δύο, ἀλλὰ τρία καὶ εἴκοσιν ἔτη· καὶ ἐν [q]τούτῳ τῷ χρόνῳ, τοσούτῳ ὄντι, οὐδὲν ἐκεῖνος μετέγνω τῶν πεπραγμένων

[d] ἀποδημεῖν ἀεὶ Casp. Orellius, ἀποδημία Q. ἀποδημίαν A.B.
[e] βούλῃ Q. ceteri βούλει.
[f] καὶ ὁ] om. Q.
[g] ὑμᾶς] ἡμᾶς B.
[h] βούλομαι] βούλεται Q.
[i] ἑαυτοῦ] αὐτοῦ Q.
[k] μόνην] μόνον Q.
[l] ἂν Q. ceteri ἐάν.
[m] τῶν νόμων αὐτῷ] αὐτῷ τῶν νόμων Q.
[n] εὖ φρενῶν, εὖ νοῶν A.Q. εὐφρενῶν εὐνοῶν B.
[o] ὀργεῶνας] ὀργεῶνας Q. qui sic et infra.
[p] οὐ φρονοῦντι Tyrwhittus: libri εὖ φρονοῦντι.
[q] τούτῳ τῷ] τῷ τούτῳ Q.

ἑαυτῷ, διὰ τὸ παρὰ πάντων ὁμολογεῖσθαι ὅτι ἦν ὀρθῶς
20 βεβουλευμένος. καὶ ὡς ἀληθῆ λέγω ταῦτα, τῆς μὲν ποιήσεως [r]ὑμῖν τοὺς φράτορας καὶ τοὺς ὀργεῶνας καὶ τοὺς δημότας παρέξομαι μάρτυρας, ὡς δ' ἐξῆν ποιήσασθαι, τὸν νόμον αὐτὸν [s]ὑμῖν ἀναγνώσεται, καθ' ὃν ἡ ποίησις ἐγένετο. Καὶ μοι τὰς μαρτυρίας ἀνάγνωθι ταύτας [t]καὶ τὸν νόμον.

[u] ΜΑΡΤΥΡΙΑΙ. ΝΟΜΟΣ.

21 Ὡς μὲν τοίνυν ἐξῆν τῷ Μενεκλεῖ ποιήσασθαι υἱὸν αὐτῷ ὁντινα ἐβούλετο, ὁ νόμος [x]αὐτὸς δηλοῖ· ὡς δὲ ἐποιήσατο, οἵ τε φράτορες [y]καὶ οἱ δημόται καὶ οἱ ὀργεῶνες ὑμῖν μεμαρτυρήκασιν· ὥστε περιφανῶς ἀποδέδεικται ἡμῖν, ὦ ἄνδρες, ὁ μάρτυς τἀληθῆ διαμεμαρτυρηκώς, καὶ οὗτοι πρός γε τὴν ποίησιν αὐτὴν λόγον οὐδ' ὁντινοῦν δύναιντ' ἂν ἀν-
22 τειπεῖν. Πραχθέντων δὲ τούτων ἐσκόπει ὁ Μενεκλῆς γυναῖκά μοι, καὶ ἔφη με χρῆναι γῆμαι· καὶ ἐγὼ λαμβάνω τὴν τοῦ Φιλωνίδου θυγατέρα. κἀκεῖνός τε τὴν πρόνοιαν εἶχεν, ὥσπερ εἰκός ἐστι πατέρα περὶ [z]υἱέος ἔχειν, καὶ ἐγὼ τὸν αὐτὸν τρόπον ὥσπερ γόνῳ [a]ὄντα πατέρα ἐμαυτοῦ ἐθεράπευόν τε καὶ ἠσχυνόμην, καὶ ἐγὼ καὶ ἡ γυνὴ ἡ ἐμή, ὥστε ἐκεῖνον πρὸς τοὺς δημότας ἐπαινεῖν ἅπαντας.

23 Ὅτι δὲ οὐ παρανοῶν οὐδὲ γυναικὶ πειθόμενος ὁ Μενεκλῆς ἐποιήσατο, ἀλλ' εὖ φρονῶν, ἐνθένδε ἐστὶν [b]ὑμῖν ῥᾴδιον ἐπιγνῶναι. πρῶτον μὲν γὰρ ἡ ἀδελφή, περὶ ἧς οὗτος [c]τὸν πλεῖστον τοῦ λόγου πεποίηται, ὡς ἐκείνη πεισθεὶς

[r] ὑμῖν] ἡμῖν A.B. om. Q.
[s] ὑμῖν] ἡμῖν Q.
[t] καὶ τὸν νόμον] καὶ νόμον Q.
[u] ΜΑΡΤΥΡΙΑΙ. ΝΟΜΟΣ] om. Q.
[x] αὐτὸς] αὐτὸς ὑμῖν Q.
[y] καὶ οἱ δημόται] om. Q.
[z] υἱεός] υἱέως Q.
[a] ὄντα πατέρα] πατέρα ὄντα Q.
[b] ὑμῖν ῥᾴδιον] ῥάδιον ὑμῖν Q.
[c] τὸν πλεῖστον Q. ceteri τὸ πλεῖστον.

ἐμὲ ἐποιήσατο, πολλῷ πρότερον ἦν ἐκδεδομένη [d] πρὶν ἢ τὴν ποίησιν γενέσθαι· ὥστ' εἰγ' ἐκείνη πεισθεὶς [e] τὸν υἱὸν ἐποιεῖτο, τῶν ἐκείνης παίδων τὸν ἕτερον ἐποιήσατ' ἄν· δύο
24 γάρ εἰσιν αὐτῇ. ἀλλ' ὦ ἄνδρες οὐχ ὑπ' ἐκείνης πεισθεὶς ἐμὲ ἐποιήσατο υἱόν, ἀλλὰ μάλιστα μὲν ὑπὸ τῆς ἐρημίας ἐπείσθη, δεύτερον δὲ διὰ τὰς προειρημένας αἰτίας καὶ διὰ τὴν εὔνοιαν τὴν ὑπάρχουσαν πρὸς τὸν πατέρα τὸν ἐμόν, τρίτον δὲ διὰ τὸ μὴ εἶναι συγγενῆ μηδένʼ ἄλλον αὐτῷ,
25 ὁπόθεν ἂν ἐποιήσατο υἱόν. ταῦτα [f] τηνικαῦτα [g] ἐνῆγεν ἐμὲ ποιήσασθαι· ὥστε οὐ παραφρονῶν φαίνεται οὐδὲ τῇ γυναικὶ πεισθείς, εἰ μὴ ἄρα τὴν ἐρημίαν αὐτοῦ καὶ τὴν ἀπαιδίαν οὗτος βούλεται τὸ ὄνομα τοῦτο προσαγορεύειν.
26 Ἡδέως δ' ἄν μοι [h] δοκῶ [i] τούτου πυθέσθαι τοῦ φάσκοντος εὖ φρονεῖν, τίνα ποιήσασθαι ἐχρῆν ἀπὸ τῶν συγγενῶν; [k] πότερα τὸν υἱὸν τὸν τούτου; ἀλλ' οὐκ ἂν αὐτῷ ἔδωκεν, ἄπαιδα αὐτὸν καθιστάς· οὐχ οὕτως [l] οὗτός ἐστι φιλοχρήματος. ἀλλὰ τὸν τῆς ἀδελφῆς ἢ τὸν τῆς ἀνεψιᾶς ἢ τὸν τοῦ ἀνεψιοῦ; ἀλλὰ τὴν ἀρχὴν οὐκ ἐγένετο [m] αὐτῷ
27 οὐδεὶς τούτων τῶν συγγενῶν. οὐκοῦν ἐξ ἀνάγκης ἦν αὐτῷ ἄλλον τινὰ ποιήσασθαι μᾶλλον ἢ ἄπαιδα [n] καταγηρᾶν, ὥσπερ οὗτος ἀξιοῖ νυνὶ αὐτόν. ἐγὼ τοίνυν πάντας [ἀνθρώπους] ἂν οἶμαι ὁμολογῆσαι [o] ὑμᾶς ὡς οὐκ ἂν ποιησάμενος ἄλλον οἰκειότερον ἐμοῦ ποιήσαιτ' ἄν. δειξάτω γὰρ οὗτος ὑμῖν. ἀλλ' οὐκ ἄν ποτε δύναιτο· ἦν [p] γὰρ οὐδεὶς ἄλλος συγγενὴς [q] αὐτῷ πλὴν τούτων.

[d] πρὶν om. Q.
[e] τὸν υἱὸν ἐποιεῖτο] ἐμὲ ἐποιήσατο Q.
[f] τηνικαῦτα] Malim τὰ τηλικαῦτα.
[g] ἐνῆγεν] ἐνῆγον Q.
[h] δοκῶ Casp. Orellius. libri ποθῶ.
[i] τούτου] τοῦτο Q.
[k] πότερα] πότερον Q.
[l] οὗτός ἐστι] ἐστὶν οὗτος Q.
[m] αὐτῷ οὐδεὶς Q.
[n] καταγηρᾶν] κατηγορεῖν Q.
[o] ὑμᾶς] Delebat Bremius.
[p] γὰρ post ἦν om. Q.
[q] αὐτῷ] αὐτῷ νῦν Q.

28 Ἀλλὰ νῦν οὗτος ἐπιτιμῶν αὐτῷ φαίνεται οὐχ ὅτι τὸν υἱὸν οὐκ ἐποιήσατο τὸν αὐτοῦ, ἀλλ' ὅτι τὸ παράπαν ἐποιήσατο καὶ οὐκ ἐτελεύτησεν ἄπαις. τοῦτ' ἔστιν ὁ ἐπιτιμᾷ, ἐπίφθονον πρᾶγμα καὶ οὐ δίκαιον ποιῶν· ὄντων γὰρ αὐτῷ παίδων ἐκείνῳ [r]ὄντι ἄπαιδι καὶ ἀτυχοῦντι
29 φαίνεται ἐπιτιμῶν. καὶ τοῖς μὲν ἄλλοις ἅπασιν ἀνθρώποις καὶ Ἕλλησι καὶ βαρβάροις δοκεῖ [s]καλῶς οὗτος ὁ νόμος κεῖσθαι ὁ περὶ τῆς ποιήσεως, καὶ διὰ τοῦτο χρῶνται πάντες αὐτῷ· ὁ δὲ θεῖος οὑτοσὶ οὐκ αἰσχύνεται [t]τὸν αὐτοῦ ἀδελφὸν ταύτης τῆς ἐξουσίας ἀποστερῶν νῦν, [u]τοῦ ποιήσασθαι, ἧς οὐδὲ τοῖς [x]οὐδὲν γένει προσήκουσιν οὐδεὶς
30 πώποτε ἐφθόνησεν. Οἶμαι δὲ καὶ τοῦτον, εἴ τις ἐρωτήσειεν αὐτὸν [y]τί δή ποτ' ἂν ἐποίησεν εἰς τὴν αὐτὴν [z]τύχην ἐκείνῳ καταστάς, οὐκ ἄλλ' οὐδὲν εἰπεῖν ἢ ὅτι ἐποίησατ' ἂν ὅς τις αὐτὸν ἔμελλε ζῶντα [a]θεραπεύσειν καὶ τελευτήσαντα θάψειν· καὶ δῆλον ὅτι κατὰ τὸν αὐτὸν τοῦτον νόμον ἡ ποίησις ἐγένετ' ἄν, καθ' ὃν περ ἡ ἐμή. εἶτα αὐτὸς μὲν εἰ ἦν ἄπαις, ἐποιήσατ' ἄν· [b]τὸν δὲ Μενεκλέα ποιήσαντα ταὐτὰ τούτῳ παραφρονεῖν φησὶ καὶ γυναικὶ [c]πειθόμενον ποιήσασθαι. πῶς οὖν οὐ σχέτλια λέγων φαίνε-
31 ται; ἐγὼ γὰρ οἶμαι πολλῷ μᾶλλον τοῦτον [d]παραφρονεῖν τῷ τε λόγῳ τούτῳ ᾧ νυνὶ λέγει, καὶ οἷς ποιεῖται. [e]τοῖς τε γὰρ νόμοις καὶ τοῖς δικαίοις καὶ οἷς αὐτὸς

[r] ὄντι ἄπαιδι] ἄπαιδι ὄντι Q.

[s] καλῶς] καλὸς Q.

[t] τὸν αὐτοῦ ἀδελφὸν] τὸν ἀδελφὸν τὸν αὐτοῦ Q.

[u] τοῦ ποιήσασθαι] His facile caruerim.

[x] οὐδὲν Q. ceteri οὐ, A quidem a recenti manu.

[y] τί δήποτ' Tyrwhittus: ἤδη ποτ' A.B. ποτ' Q.

[z] τύχην ἐκείνῳ] ἐκείνῳ τύχην Q.

[a] θεραπεύσειν A.B. θεραπεύειν Q.

[b] τὸν δὲ M.—πειθόμενον ποιήσασθαι] Horum loco superiora illa ὅστις αὐτὸν—θάψειν iterum ponit Q.

[c] πειθόμενον] πυθόμενον B.

[d] παραφρονεῖν τῷ] παραφρονεῖν φήσει καὶ γυναικὶ πειθόμενον. πῶς οὖν οὐ σχ. λ. φ. ἐγὼ γὰρ οἶμαι πολλῷ τοῦτον παραφρονεῖν μᾶλλον τῷ Q.

[e] τοῖς τε γὰρ νόμοις καὶ δικαίοις]

ἐποίησεν ἂν τἀναντία λέγων φαίνεται, καὶ οὐκ αἰσχύνεται [f] αὐτῷ μὲν τὸν νόμον [g] τὸν περὶ τῆς ποιήσεως ποιῶν κύριον, τῷ δὲ ἀδελφῷ τὸν αὐτὸν τοῦτον ζητῶν ἄκυρον ποιῆσαι.

32 Εἶτα [h] νῦν διὰ τί διαφερόμενος ζητεῖ [i] οὗτος τὸν ἀδελφὸν τὸν ἑαυτοῦ ἄπαιδα καταστῆσαι, ἄξιόν ἐστιν, ὦ ἄνδρες, ἀκοῦσαι. εἰ μὲν γὰρ περὶ τοῦ ὀνόματός μοι [k] διαφέρεται [l] εἰ ἐγὼ ἔσομαι υἱὸς Μενεκλέους, πῶς οὐ φθονερός
33 ἐστιν; εἰ δὲ περὶ χρημάτων ἐστὶν ὁ λόγος αὐτῷ, ἐπιδειξάτω ὑμῖν ὁποῖον χωρίον [m] ἢ συνοικίαν ἢ οἰκίαν [n] κατέλιπεν ἐκεῖνος, ἃ ἐγὼ ἔχω νυνί. εἰ δὲ μηδὲν τούτων κατέλιπεν, ἃ δ' ἦν αὐτῷ [o] ὑπολοιπα, ἐπειδὴ τῷ ὀρφανῷ τὸ ἀργύριον ἀπέδωκεν, οὗτος ἔλαβε [p] ζῶντος ἐκείνου ἔτι, πῶς
34 οὐ περιφανῶς ἐξελέγχεται ἀναιδὴς ὤν; Ὡς δὲ [q] ἔχει, ἐγὼ ἐπιδείξω. ἐπειδὴ γὰρ [r] ἔδει τῷ ὀρφανῷ τὰ χρήματα ἀποδιδόσθαι, ὁ δ' οὐκ εἶχεν ὁπόθεν ἀποδῷ, τόκοι δὲ πολλοῦ χρόνου συνερρυηκότες ἦσαν αὐτῷ, τὸ χωρίον ἐπώλει.
35 καὶ οὗτος καιροῦ λαβόμενος καὶ βουλόμενος αὐτῷ ἐπηρεάζειν, ὅτι ἐμὲ ἐποίησατο, διεκώλυε τὸ χωρίον πραθῆναι, ἵνα κατόχιμον γένηται καὶ ἀναγκασθῇ τῷ ὀρφανῷ ἀποστῆναι. ἠμφισβήτει οὖν αὐτῷ μέρους τινὸς τοῦ χωρίου, πρότερον οὐδεπώποτε ἀμφισβητήσας, καὶ ἀπηγόρευε τοῖς
36 ὠνουμένοις μὴ ὠνεῖσθαι. κἀκεῖνος ἠγανάκτει, οἶμαι, καὶ ἠναγκάζετο ὑπολείπεσθαι [s] οὗ ἠμφισβήτησεν οὗτος. τὸ

τοῖς γὰρ δικαίοις καὶ τοῖς νόμοις Q.

[f] αὐτῷ] αὐτῷ μὲν Q. μὲν αὐτῷ A. B.

[g] τὸν π. τ. π. ποιῶν] ποιῶν τὸν π. τ. π. Q.

[h] νῦν] om. Q.

[i] οὗτος] Malim οὕτως.

[k] διαφέρεται καὶ ἀναίνεται] διαφαίνεται pr. A.

[l] εἰ] εἰς B. ὡς Tyrwhittus.

[m] ἢ συνοικίαν] om. Q. malim ἢ τὴν οἰκίαν, omissis illis ἢ οἰκίαν.

[n] κατέλιπεν] κατέλειπεν pr. A.

[o] ὑπόλοιπα] κατέλειπεν Q.

[p] ζῶντος ἐκείνου] ἐκείνου ζῶντος Q.

[q] ἔχει] Immo ἔχει οὕτως.

[r] ἔδει] Tyrwhittus ἐχρῆ.

[s] οὗ] οὐκ Q.

δὲ ἄλλο [t] ἀποδίδοται Φιλίππῳ τῷ Πιτθεῖ ἑβδομήκοντα μνῶν, καὶ οὕτω διαλύει τὸν ὀρφανόν, ἑπτὰ μνᾶς καὶ τάλαντον ἀποδοὺς ἀπὸ [u] τῆς τιμῆς τοῦ χωρίου· τούτῳ δὲ
37 λαγχάνει δίκην τῆς ἀπορρήσεως. λόγων δὲ πολλῶν [x] γενομένων καὶ ἔχθρας πολλῆς ἔδοξεν ἡμῖν χρῆναι, ἵνα μή ποτε [y] εἴπῃ τις ἐμὲ φιλοχρηματεῖν καὶ ἐχθροὺς ἀδελφοὺς ὄντας [z] αὐτοὺς καθιστάνειν, ἐπιτρέψαι τῷ τε [a] κηδεστῇ τῷ
38 τούτου καὶ τοῖς φίλοις διαιτῆσαι. ἐκεῖνοι δ' εἶπον ἡμῖν, [b] εἰ μὲν ἐπιτρέποιμεν αὐτοῖς ὥστε τὰ δίκαια διαγνῶναι, οὐκ ἂν ἔφασαν διαιτῆσαι· οὐδὲν γὰρ δεῖσθαι ἀπέχθεσθαι οὐδετέροις ἡμῶν· εἰ δ' ἐάσομεν αὐτοὺς γνῶναι τὰ συμφέροντα πᾶσιν, ἔφασαν διαιτήσειν. καὶ ἡμεῖς, ἵνα δὴ πραγμάτων ἀπαλλαγῶμεν, [c] ὡς τε δηώμεθα, οὕτως ἐπιτρέ-
39 πομεν. καὶ ἐκεῖνοι ὀμόσαντες ἡμῖν πρὸς τῷ βωμῷ τῷ τῆς Ἀφροδίτης [d] Κεφαλαίωσιν τὰ συμφέροντα γνώσεσθαι, διήτησαν ἡμᾶς ἀποστῆναι ὧν οὗτος ἠμφισβήτησε καὶ δοῦναι δωρεάν· οὐ γὰρ ἔφασαν εἶναι ἄλλην ἀπαλλαγὴν οὐδεμίαν, εἰ μὴ μεταλήψονται οὗτοι τῶν ἐκείνου.
40 ἐκ δὲ τοῦ λοιποῦ χρόνου ἔγνωσαν ἡμᾶς εὖ ποιεῖν ἀλλήλους καὶ λόγῳ καὶ ἔργῳ, καὶ ταῦτα ὀμόσαι [e] ἠνάγκασαν ἡμᾶς ἀμφοτέρους πρὸς τῷ βωμῷ ἢ μὴν [f] ποιήσειν· καὶ ἡμεῖς ὠμόσαμεν εὖ ποιεῖν ἀλλήλους ἐκ τοῦ [g] ἐπιλοίπου χρόνου, κατὰ δύναμιν εἶναι, καὶ λόγῳ καὶ ἔργῳ.
41 καὶ ὡς ὅ τε ὅρκος ἐγένετο, καὶ ἔχουσιν οὗτοι ἃ ἐγνώσθη

[t] ἀποδίδοται] Libri ἀποδιδόναι.
[u] τῆς] om. Q.
[x] γενομένων] λεγομένων Q.
[y] εἴπῃ τις] τις εἴπῃ Q.
[z] αὐτοῦ] αὐτοὺς Bremius.
[a] κηδεστῇ] κηδευτῇ Q.
[b] εἰ μὴ] om. Q.
[c] ὥστε δηώμεθα A.B.Q. "fortasse ὡς ἐδεόμεθα" Tyrwhittus, qui edidit ὥς τε δεώμεθα.
[d] Κεφαλαίωσιν] Κεφαλαίας Tyrwhittus.
[e] ἠνάγκασαν ἡμᾶς] ἡμᾶς ἠνάγκασαν Q.
[f] ποιεῖν] ποιήσειν Q.
[g] ἐπιλοίπου] λοιποῦ pr. A.

αὐτοῖς [h] ὑπὸ τῶν οἰκείων [i] τῶν τούτου, εἶτα νυνὶ ταυτὶ τὰ ἀγαθὰ ποιοῦσιν ἡμᾶς, τὸν μὲν τεθνεῶτα [k] ἄπαιδα βουλόμενοι καταστῆσαι, ἐμὲ δ' ἐκβάλλειν ὑβρίσαντες ἐκ τοῦ οἴκου, τοὺς γνόντας αὐτοὺς ὑμῖν παρέξομαι μάρτυρας, ἐὰν ἐθέλωσιν ἀναβαίνειν (εἰσὶ γὰρ τούτων οἰκεῖοι), εἰ δὲ μή, τοὺς παραγενομένους. Καί μοι τὰς μαρτυρίας ἀνάγνωθι ταυτασί· σὺ δ' [l] ἐπίλαβε τὸ ὕδωρ.

[m] ΜΑΡΤΥΡΙΑΙ.

42 Λάβε δή μοι τὰς μαρτυρίας ἐκείνας, ὡς τό τε χωρίον ἑβδομήκοντα μνῶν ἐπράθη, καὶ ὡς ἀπέλαβεν ὁ ὀρφανὸς ἑπτὰ καὶ ἑξήκοντα μνᾶς πραθέντος τοῦ χωρίου.

[n] ΜΑΡΤΥΡΙΑΙ.

43 Ὁ θεῖος [o] τοίνυν οὑτοσί, ὦ ἄνδρες, κεκληρονομηκὼς τῶν ἐκείνου ἔργῳ καὶ οὐ λόγῳ ὥσπερ ἐγώ, καὶ ἔχων ἐμοῦ πολλῷ πλείονα· ἐγὼ [p] μὲν γὰρ τὰς τριακοσίας δραχμὰς ἔλαβον τὰς [q] περιλειφθείσας ἀπὸ τῆς τιμῆς τοῦ χωρίου, καὶ οἰκίδιον ὃ ἐστιν οὐκ ἄξιον τριῶν μνῶν· οὗτος δὲ πλεῖον ἢ δέκα μνῶν χωρίον ἔχων, εἶτα προσέτι ὧν ἦκεν τὸν [r] οἶκον
44 αὐτοῦ ἐξερημώσων. καὶ ἐγὼ μὲν ὁ ποιητὸς ἐκείνου τε [s] ζῶντα ἐθεράπευον, καὶ αὐτὸς καὶ ἡ ἐμὴ γυνή, [t] θυγάτηρ οὖσα τουτουὶ Φιλωνίδου, καὶ τῷ ἐμῷ [u] παιδίῳ ἐθέμην τὸ ὄνομα [x] τὸ ἐκείνου, ἵνα μὴ ἀνώνυμος ὁ οἶκος [y] αὐτοῦ γένηται, καὶ τελευτήσαντα ἔθαψα ἀξίως ἐκείνου τε καὶ

[h] ὑπὸ] ἀπὸ A.B.
[i] τῶν τούτου] τὸν τούτου B.
[k] ἄπαιδα βουλόμενοι] βουλόμενοι ἄπαιδα Q.
[l] ἐπίλαβε Tyrwhittus: ἐπίβαιλε Q. ἐπίβαλε A. ἐπίβαλλε B.
[m] ΜΑΡΤΥΡΙΑΙ] μαρτυρία A. om. Q.
[n] ΜΑΡΤΥΡΙΑΙ] om. Q.
[o] τοίνυν] om. Q.
[p] μὲν recepi ex Q.
[q] περιλειφθείσας] Apud Tyrwhittum ἀπολειφθείσας.
[r] οἶκον αὐτοῦ ἐξερημώσων] οἶκον ἐξερημωθέντα Q.
[s] καὶ ante ζῶντα addidit Tyrwhittus.
[t] θυγάτηρ] θεράπων Q.
[u] παιδίῳ] παιδίων B.
[x] τὸ post ὄνομα om. Q.
[y] αὐτοῦ] ἐκείνου Q.

ἐμαυτοῦ, καὶ ἐπίθημα καλὸν ἐπέθηκα, καὶ τὰ [z]ἔνατα καὶ [a]τἆλλα πάντα ἐποίησα [b]τὰ περὶ τὴν ταφὴν ὡς οἷόν τε κάλλιστα, ὥστε τοὺς δημότας ἐπαινεῖν ἅπαντας· 45 οὗτος δὲ ὁ συγγενής, ὁ ἐπιτιμῶν αὐτῷ ὅτι υἱὸν ἐποιήσατο, ζῶντος μὲν τὸ χωρίον τὸ περιλειφθὲν αὐτῷ περιείλετο, τελευτήσαντα δ' αὐτὸν ἄπαιδα καὶ ἀνώνυμον βούλεται 46 καταστῆσαι. τοιοῦτός ἐστιν οὗτος. Καὶ ὡς ἔθαψά τ' ἐγὼ αὐτὸν καὶ τὰ τρίτα καὶ τὰ ἔνατα ἐποίησα καὶ τἆλλα τὰ περὶ τὴν ταφήν, τὰς μαρτυρίας ὑμῖν [c]τῶν εἰδότων ἀναγνώσεται.

[d]ΜΑΡΤΥΡΙΑΙ.

47 Ὅτι τοίνυν ὁ Μενεκλῆς, ὦ ἄνδρες, [e]ἐποιήσατό με οὐ παρανοῶν οὐδὲ γυναιχὶ πειθόμενος, βούλομαι ὑμῖν καὶ αὐτοὺς [f]τούτους μάρτυρας παραστήσασθαι, καὶ ἐμοὶ μαρτυροῦντας ἔργῳ καὶ οὐ λόγῳ, ἐξ ὧν ἔπραξαν αὐτοί, ὅτι ἐγὼ τἀληθῆ λέγω. τὰς γὰρ διαλύσεις φαίνονται πρὸς [g]ἐμὲ ποιησάμενοι ἀμφότεροι οὗτοι, καὶ οὐ πρὸς τὸν Μενεκλέα, καὶ ὀμόσαντες ὅρκους [ἐμοὶ] καὶ ἐγὼ τούτοις. 48 καί τοι εἴ γε [h]μὴ κατὰ τοὺς νόμους [i]ἐγεγένητο ἡ ποίησις, μηδὲ κληρονόμος ἦν ἐγὼ [k]τῶν Μενεκλέους ὑπ' αὐτῶν τούτων δεδοκιμασμένος, τί ἔδει αὐτοὺς ὀμνύναι ἐμοὶ ἢ παρ' ἐμοῦ λαμβάνειν ὅρκους; [l]οὐδὲ ἓν δήπου. οὐκοῦν ὁπότε ἐποίησαν ταῦτα, φαίνονται αὐτοὶ οὗτοι ἐμοὶ μαρτυροῦντες ὅτι κατὰ τοὺς νόμους ἐποιήθη ἡ ποίησις καὶ δι- 49 καίως εἰμὶ κληρονόμος τῶν Μενεκλέους. ἐγὼ δ' οἶμαι

[z] ἔνατα B. ἔννατα ceteri.
[a] τἆλλα A. τἄλλα ceteri.
[b] τὰ ante περὶ om. Tyrwhittus.
[c] τῶν εἰδότων] om. pr. A.
[d] ΜΑΡΤΥΡΙΑΙ] om. Q.
[e] ἐποιήσατό με] om. Q.
[f] τούτους] om. Tyrwhittus.
[g] ἐμὲ Tyrwhittus: libri με.
[h] μὴ et τοὺς om. pr. A.
[i] ἐγεγένητο] Apud Tyrwhittum ἐγένετο.
[k] τῶν Μενεκλέους Q. ceteri τοῦ Μενεκλέους.
[l] οὐδὲ ἓν] Apud Tyrwhittum οὐδέν.

καταφανὲς [m] ὑμῖν ἅπασι τοῦτ' εἶναι, ὡς καὶ παρὰ τούτων αὐτῶν ὁμολογούμενόν ἐστιν ὅτι ὁ [n] Μενεκλῆς οὐ [o] παρεφρόνει, ἀλλὰ πολὺ μᾶλλον οὗτος νυνί, [p] ὅς γε ποιησάμενος τῆς ἔχθρας διάλυσιν πρὸς ἡμᾶς καὶ ὁμόσας ὅρκους πάλιν νῦν ἥκει τὰ ὁμολογηθέντα καὶ ὁμοθέντα παραβάς, καὶ ἀφελέσθαι με ἀξιοῖ ταυτὶ τὰ λοιπά, οὕτως ὄντα μι-
50 κρά. ἐγὼ δὲ εἰ [q] μὴ πάνυ τὸ πρᾶγμα αἰσχρὸν εἶναι ἐνόμιζον καὶ ἐπονείδιστον, προδοῦναι τὸν πατέρα οὗ εἶναι ὠνομάσθην καὶ ὃς ἐποιήσατό με, ταχὺ ἂν ἀπέστην αὐτῷ τῶν ἐκείνου· ἔστι γὰρ ὑπόλοιπον οὐδὲ ἕν, ὡς καὶ ὑμᾶς
51 οἶομαι αἰσθάνεσθαι. νυνὶ δὲ δεινὸν τὸ πρᾶγμα καὶ αἰσχρὸν [r] εἶναι τῇδε νομίζω, εἰ ἡνίκα μὲν ὁ Μενεκλῆς εἶχέ τι, τότε μὲν ἔδωκα ἐμαυτὸν υἱὸν αὐτῷ ποιήσασθαι, καὶ ἀπὸ τῆς οὐσίας τῆς ἐκείνου, πρὶν πραθῆναι τὸ χωρίον, ἐγυμνασιάρχουν ἐν τῷ δήμῳ καὶ ἐφιλοτιμήθην ὡς υἱὸς [s] ὢν ἐκείνου, καὶ τὰς στρατείας, ὅσαι [t] ἐγένοντο ἐν τῷ χρόνῳ τούτῳ,
52 ἐστράτευμαι ἐν τῇ φυλῇ τῇ ἐκείνου καὶ ἐν τῷ δήμῳ· ἐπειδὴ δὲ ἐκεῖνος ἐτελεύτησεν, εἰ προδώσω καὶ ἐξερημώσας αὐτοῦ τὸν οἶκον ἀπιὼν οἰχήσομαι, πῶς οὐκ ἂν δεινὸν τὸ πρᾶγμα εἶναι καὶ καταγέλαστον δοκοίη, καὶ τοῖς βουλομένοις περὶ ἐμοῦ βλασφημεῖν πολλὴν ἐξουσίαν [u] παράσχομαι;
53 καὶ οὐ μόνον ταῦτ' ἔστι τὰ ποιοῦντά με [x] ἀγωνίζεσθαι τὸν ἀγῶνα τοῦτον, ἀλλ' εἰ οὕτω φαῦλος ἄνθρωπος δοκῶ εἶναι καὶ μηδενὸς ἄξιος, ὥστε ὑπὸ μὲν εὖ φρονοῦντος μηδ' ὑφ'

[m] ὑμῖν ἅπασι] ἅπασιν ὑμῖν Q.
[n] Μενεκλῆς] Apud Tyrwhittum ὁ Μενεκλῆς.
[o] παρεφρόνει] παραφρωεῖ Q.
[p] ὅς γε A.Q. ὅς τε B.
[q] μὴ] om. Q.
[r] εἶναι post δεινὸν ponit Q.
[s] ὢν om. Q.
[t] ἐγένοντο] ἐγένετο Q.
[u] παράσχομαι A.B. παράσχωμαι Tyrwhittus: Q. quid habet non liquet; ultima ejus littera videtur esse ῃ.
[x] ἀγωνίζεσθαι τὸν ἀγῶνα τοῦτον] τὸν ἀγῶνα τοῦτον ἀγωνίζεσθαι Q.

ἐνὸς ἂν ποιηθῆναι τῶν φίλων, ὑπὸ δὲ παραφρονοῦντος, ταῦτ' ἔστι [y] τὰ λυποῦντά με.

54 Ἐγὼ οὖν δέομαι ὑμῶν πάντων, ὦ ἄνδρες, καὶ ἀντιβολῶ καὶ ἱκετεύω ἐλεῆσαί με καὶ [z] ἀποψηφίσασθαι τοῦ μάρτυρος τουτουί. ἀπέφηνα δ' ὑμῖν πρῶτον μὲν [a] ποιηθέντα ἐμαυτὸν ὑπὸ τοῦ Μενεκλέους ὡς ἄν τις δικαιότατα ποιηθῇ, καὶ οὐ λόγῳ οὐδὲ διαθήκῃ [b] τὴν ποίησιν γεγενημένην, ἀλλ' ἔργῳ· καὶ τούτων ὑμῖν τούς τε φράτορας καὶ τοὺς δημότας καὶ τοὺς ὀργεῶνας παρεσχόμην μάρτυρας· καὶ ἐκεῖνον ἐπέδειξα
55 τρία καὶ εἴκοσιν ἐπιβιοῦντα ἔτη. εἶτα τοὺς νόμους ἐπέδειξα ὑμῖν τοὺς ἅπασι τοῖς ἀνθρώποις ἐξουσίαν διδόντας υἱεῖς ποιεῖσθαι. καὶ ἔτι πρὸς τούτοις ζῶντά τε φαίνομαι θε-
56 ραπεύων αὐτὸν καὶ τελευτήσαντα θάψας. οὗτος δὲ νυνὶ ἄκληρον μὲν ἐμὲ [c] ποιεῖ τοῦ κλήρου τοῦ πατρῴου, εἴτε μείζων ἐστὶν οὗτος εἴτε ἐλάττων, ἄπαιδα δὲ τὸν τελευτήσαντα καὶ ἀνώνυμον βούλεται καταστῆσαι, ἵνα μήτε τὰ ἱερὰ τὰ πατρῷα ὑπὲρ ἐκείνου μηδεὶς τιμᾷ μήτ' ἐναγίζῃ αὐτῷ καθ' ἕκαστον ἐνιαυτόν, ἀλλὰ ἀφαιρεῖται [d] τὰς τιμὰς τὰς ἐκεί-
νου· ἃ προνοηθεὶς ὁ Μενεκλῆς, κύριος ὢν τῶν ἑαυτοῦ, ἐποι-
57 ήσατο υἱόν ἑαυτῷ, ἵνα τούτων ἁπάντων τυγχάνῃ. Μὴ οὖν, ὦ ἄνδρες, πεισθέντες ὑπὸ τούτων ἀφέλησθέ [e] μου τὸ ὄνομα τῆς κληρονομίας, ὃ ἔτι μόνον λοιπόν [f] ἐστιν, ἄκυρον δὲ τὴν ποίησιν αὐτοῦ [g] καταστήσητε· ἀλλ' ἐπειδὴ τὸ 30
πρᾶγμα εἰς ὑμᾶς ἀφῖκται καὶ ὑμεῖς κύριοι γεγόνατε,
58 βοηθήσατε [h] καὶ [i] ἡμῖν καὶ ἐκείνῳ τῷ ἐν Ἅιδου ὄντι, καὶ

[y] τὰ λυποῦντά με] με τὰ λυποῦντα Q.
[z] ἀποψηφίσασθαι] ἀποψηφίσαι Q.
[a] ποιηθέντα ἐμαυτὸν] ἐμαυτὸν ποιηθέντα Q.
[b] τὴν ποίησιν γεγενημένην ἀλλ' ἔργῳ] ἀλλ' ἔργῳ τὴν ποίησιν γενομένην Q.
[c] ποιεῖν] ποιεῖ Q.
[d] τὰς τιμὰς om. Q.
[e] μου] με Q.
[f] ἐστιν Tyrwhittus: libri ἔσται.
[g] καταστήσητε] καταστήσετε A.
[h] καὶ post βοηθήσατε om. Q.
[i] ἡμῖν] ἐμοὶ Q.

μὴ περιίδητε, πρὸς θεῶν καὶ δαιμόνων δέομαι ὑμῶν, προπηλακισθέντα αὐτὸν ὑπὸ τούτων, ἀλλὰ μεμνημένοι [k] τοῦ νόμου καὶ τοῦ ὅρκου ὃν ὀμωμόκατε καὶ [l] τῶν [m] εἰρημένων ὑπὲρ τοῦ πράγματος, τὰ δίκαια [n] καὶ τὰ εὔορκα κατὰ τοὺς νόμους ψηφίσασθε.

ΠΕΡΙ ΤΟΥ ΠΥΡΡΟΥ [a] ΚΛΗΡΟΥ. 38

Γ.

ΥΠΟΘΕΣΙΣ.

Πύῤῥου τὸν ἕτερον [b] τῆς ἀδελφῆς [c] υἱὸν υἱοποιησαμένου Ἔνδιον, καὶ τούτου πλέον ἢ εἴκοσιν ἔτη [d] τὸν κλῆρον κατασχόντος, εἶτα ἀποθανόντος, Ξενοκλῆς λαχὼν τῶν χρημάτων ὑπὲρ Φίλης, τῆς ἑαυτοῦ γυναικός, διεμαρτύρησεν εἶναι αὐτὴν [e] γνησίαν Πύῤῥου θυγατέρα, ἀμφισβητούσης τοῦ κλήρου τῆς Ἐνδίου μητρός· καὶ ἑάλω ψευδομαρτυριῶν, Νικοδήμου [f] καὶ αὐτοῦ μαρτυρήσαντες ἐγγυῆσαι Πύῤῥῳ τὴν ἀδελφὴν κατὰ τοὺς νόμους, ἐξ ἧς γεγονέναι τὴν Φίλην. ὁ Ἐνδίου δὲ ἀδελφὸς νόθην εἶναί φησιν, ἐξ ἑταίρας Πύῤῥῳ γενομένην, καὶ οὕτως ὑπὸ Ἐνδίου ἐκδοθῆναι Ξενοκλεῖ. Ἡ στάσις στοχασμός, τὸ δὲ ἔγκλημα ψευδομαρτυριῶν κατὰ τοῦ Νικοδήμου.

ΑΝΔΡΕΣ δικασταί, ὁ ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς Πύῤῥος, ἄπαις ὢν γνησίων παίδων, ἐποιήσατο [g] Ἔνδιον τὸν ἀδελφὸν τὸν ἐμὸν υἱὸν ἑαυτῷ· ὃς κληρονόμος ὢν τῶν ἐκείνου ἐβίω πλείω ἔτη ἢ εἴκοσι, καὶ ἐν χρόνῳ τοσούτῳ ἔχον-

[k] τοῦ νόμου] τῶν τε νόμων Q.
[l] τῶν post καὶ deest Tyrwhitto.
[m] εἰρημένων ὑπὲρ τοῦ] ἐχρημένων διὰ τοῦ Q.
[n] καὶ τὰ] κατὰ B.
[a] ΚΛΗΡΟΥ] κλήρου κατὰ πύησιν πρὸς τὸ γένος διαμαρτυρία A. et mutato διαμαρτυρία in διαμαρτυρίαν B. κλ. καὶ π. π. τὸ γ. διὰ μαρτυρίας Z.
[b] Articulum τῶν ante τῆς addidit Reiskius.
[c] υἱῶν] υἱὸν Z.
[d] τὸν κλῆρον] τοῦ κλήρου A.B.L.Z.
[e] γνησίαν Πύῤῥου] vulg. Πυῤῥου γνησίαν.
[f] καὶ αὐτοῦ] Immo θείου αὐτοῦ.
[g] ἑαυτῷ] vulg. αὐτῷ.

τος ἐκείνου τὸν κλῆρον οὐδεὶς πώποτε προσεποιήσατο οὐδ' 5
2 ἠμφισβήτησε τῆς κληρονομίας ἐκείνῳ. τελευτήσαντος δὲ τοῦ ἀδελφοῦ πέρυσιν, ὑπερβᾶσα τὸν τελευταῖον κληρονόμον, γνησία θυγάτηρ τοῦ ἡμετέρου θείου ἥκει φάσκουσα εἶναι Φίλη, καὶ κύριος Ξενοκλῆς Κύπριος τοῦ Πύῤῥου κλήρου λαχεῖν τὴν λῆξιν ἠξίωσεν, ὃς τετελευτήκει πλείω ἢ εἴκοσιν ἔτη, τρία τάλαντα [h] τίμημα τῷ κλήρῳ ἐπιγραψά-
3 μενος. ἀμφισβητούσης δὲ τῆς μητρὸς τῆς ἡμετέρας, 10 ἀδελφῆς δὲ τοῦ Πύῤῥου, ὁ κύριος τῆς εἰληχυίας τοῦ κλήρου γυναικὸς ἐτόλμησε διαμαρτυρῆσαι μὴ ἐπίδικον τῇ ἡμετέρᾳ μητρὶ τὸν τοῦ ἀδελφοῦ κλῆρον εἶναι, ὡς οὔσης
4 γνησίας θυγατρὸς Πύῤῥῳ, οὗ ἦν ἐξ ἀρχῆς ὁ κλῆρος. [i] ἐπισκηψάμενοι δὲ ἡμεῖς, καὶ εἰς ὑμᾶς εἰσαγαγόντες τὸν διαμαρτυρῆσαι τολμήσαντα κατὰ ταῦτα, ἐκεῖνόν τε ἐξελέγξαντες περιφανῶς τὰ ψευδῆ μεμαρτυρηκότα τὴν τῶν 15 ψευδομαρτυριῶν δίκην εἴλομεν παρ' ὑμῖν, καὶ τουτονὶ Νικόδημον παραχρῆμα ἐξηλέγξαμεν ἐν τοῖς αὐτοῖς δικασταῖς ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα ταύτῃ, ὅς γε ἐτόλμησε μαρτυρῆσαι ἐγγυῆσαι τῷ θείῳ τῷ ἡμετέρῳ τὴν
5 ἀδελφὴν τὴν ἑαυτοῦ γυναῖκα εἶναι κατὰ τοὺς νόμους. ὅτι μὲν οὖν καὶ ἐν τῇ προτέρᾳ δίκῃ ἡ τούτου μαρτυρία ψευδὴς ἔδοξεν εἶναι, ὁ τόθ' ἑαλωκὼς μάρτυς σαφέστατα τοῦτον ἐξελέγχει. εἰ γὰρ μὴ ἐδόκει οὗτος τὰ ψευδῆ τότε [k] μαρ- 20 τυρῆσαι, δῆλον ὅτι ἐκεῖνός τ' ἂν ἀποφυγὼν τὴν διαμαρτυρίαν ἀπῆλθε, καὶ κληρονόμος [l] ἂν τῶν τοῦ θείου ἡ διαμαρτυρηθεῖσα γνησία θυγάτηρ εἶναι, ἀλλ' οὐκ ἂν ἡ ἡμετέρα
6 [m] κατέστη μήτηρ. ἀλόντος δὲ τοῦ μάρτυρος καὶ ἀποστάσης τοῦ κλήρου τῆς ἀμφισβητούσης γνησίας θυγατρὸς

[h] *τίμημα*] vulg. om.
[i] *ἐπισκηψάμενοι* Reiskius cum Tayloro: libri *ἐπισκεψάμενοι*.
[k] *μαρτυρῆσαι*] *μαρτυρήσας ψευδὴς ἔδοξεν εἶναι* Z.
[l] *ἂν*] vulg. *ἦν*.
[m] *κατέστη* A. *κατέστεν* B. vulg. *κατέστενε*.

Πύῤῥῳ εἶναι, μεγάλη ἀνάγκη ἅμα καὶ [n] τὴν τούτου μαρτυρίαν ἐαλωκέναι· περὶ γὰρ αὐτοῦ τούτου διαμαρτυρήσας
25 τὴν τῶν ψευδομαρτυριῶν δίκην ἠγωνίζετο, πότερον ἐξ ἐγγυητῆς ἢ ἐξ ἑταίρας ἡ ἀμφισβητοῦσα τοῦ κλήρου τῷ θείῳ
7 γυναικὸς εἴη. γνώσεσθε [o] δ' ἀκούσαντες καὶ ὑμεῖς τῆς τε ἀντωμοσίας τῆς ἡμετέρας καὶ τῆς τούτου μαρτυρίας καὶ τῆς ἀλούσης διαμαρτυρίας. Ἀναγίνωσκε λαβὼν τασδὶ αὐτοῖς.

ΑΝΤΩΜΟΣΙΑ. ΜΑΡΤΥΡΙΑ. ΔΙΑΜΑΡΤΥΡΙΑ.

8 Ὡς μὲν ἔδοξε παραχρῆμα εὐθὺς τότε τὰ ψευδῆ [p] μαρ-
30 τυρῆσαι Νικόδημος, ἐπιδέδεικται τότε πᾶσι· προσήκει δὲ καὶ παρ' ὑμῖν τοῖς περὶ αὐτοῦ τούτου τὴν δίκην μέλλουσι ψηφιεῖσθαι ἐξελεγχθῆναι τὴν τούτου μαρτυρίαν.
9 ἐπιθυμῶ δὲ πρῶτον μὲν περὶ αὐτοῦ τούτου πυθέσθαι, ἤν τινά ποτε προῖκά φησιν ἐπιδοὺς ἐκδοῦναι τὴν [q] ἀδελφὴν ὁ μεμαρτυρηκὼς τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ, εἶτα πότερον ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ζῶντα ἢ τε-
35 λευτήσαντος [r] τὸν οἶκον αὐτοῦ, καὶ παρ' ὅτου ἐκομίσατο τὴν τῆς ἀδελφῆς προῖκα οὗτος, ἐπειδὴ τετελευτηκὼς ἦν ᾧ
10 μεμαρτύρηκεν οὗτος αὐτὴν ἐγγυῆσαι, ἢ εἰ μὴ ἐκομίζετο, ὁποίαν δίκην σιτου ἢ τῆς προικὸς αὐτῆς ἐν εἴκοσιν ἔτεσι τῷ ἔχοντι τὸν κλῆρον [s] δικάσασθαι ἠξίωσαν, ἢ εἴ του ἀν-39
θρώπων ἐναντίον προσῆλθεν ἐγκαλῶν τῷ κληρονόμῳ περὶ τῆς προικὸς τῆς ἀδελφῆς ἐν χρόνῳ τοσούτῳ. περὶ τε οὖν τούτων ἡδέως ἂν πυθοίμην, ὅ τι ποτ' [t] ἦν τὸ αἴτιον τοῦ μηδὲν τούτων γεγενῆσθαι περὶ τῆς ἐγγυητῆς (ὡς μεμαρτύρη-
11 κεν οὗτος) γυναικός, καὶ πρὸς τούτοις εἴ τις ἄλλος ἐγ-

[n] τὴν] περὶ Z. omisso mox δίκην.
[o] δ'] om. A.L.
[p] μαρτυρῆσαι Reiskius: libri διαμαρτυρῆσαι.
[q] ἀδελφὴν] προῖκα Z.
[r] τὸν οἶκον] om. A.
[s] δικάσασθαι] διαδικάσασθαι Z.
[t] ἦν] vulg. οὖν.

γυητὴν ἔσχε τὴν τούτου ἀδελφὴν γυναῖκα, ἢ τῶν πρότερον χρησαμένων πρὶν γνῶναι τὸν ἡμέτερον θεῖον αὐτήν, ἢ ὅσοι ἐκείνου γιγνώσκοντος ἐπλησίαζον αὐτῇ, ἢ ὅσοι ὕστερον ἐπλησίαζον τετελευτηκότος ἐκείνου· δῆλον γὰρ ὅτι τὸν αὐτὸν τρόπον ὁ ἀδελφὸς αὐτὴν ἅπασι τοῖς πλησιάζουσιν [u] ἐκδε-
12 δώκει. περὶ ὧν εἰ δεήσειε καθ' ἕκαστον διελθεῖν, οὐκ ἂν πάνυ μικρὸν ἔργον γένοιτο. ἐὰν μὲν οὖν ὑμεῖς κελεύητε, περὶ ἐνίων μνησθείην ἂν αὐτῶν· εἰ δέ τισιν ὑμῶν ἀηδὲς ἀκούειν ἐστίν, ὥσπερ ἐμοὶ λέγειν τι περὶ τούτων, αὐτὰς τὰς μαρτυρίας ὑμῖν παρέξομαι τὰς μαρτυρηθείσας ἐν τῇ προτέρᾳ δίκῃ, ὧν οὐδεμιᾷ ἐπισκήψασθαι ἠξίωσαν οὗτοι.
13 καίτοι ὅπου κοινὴν αὐτὴν ὡμολογήκασιν εἶναι τοῦ βουλομένου τὴν γυναῖκα, πῶς ἂν εἰκότως ἡ αὐτὴ γυνὴ ἐγγυητὴ δόξειεν εἶναι; ἀλλὰ μὴν ὁπότε μὴ [x] ἐπεσκημμένοι εἰσὶ ταῖς περὶ αὐτοῦ τούτου μαρτυρίαις, [y] ὡμολογηκότες εἰσὶ ταῦτα.
14 ἀκούσαντες δὲ καὶ ὑμεῖς αὐτῶν τῶν μαρτυριῶν, γνώσεσθε ὡς οὗτός τε περιφανῶς τὰ ψευδῆ μεμαρτύρηκε, καὶ ὀρθῶς καὶ κατὰ τοὺς νόμους οἱ δικάσαντες τὴν δίκην ἔγνωσαν τὴν κληρονομίαν μὴ προσήκειν τῇ μὴ ὀρθῶς [z] γεγενημένῃ γυναικί. Ἀναγίνωσκε· σὺ δ' [a] ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΙΑΙ.

15 Ὡς μὲν ἑταίρα ἦν τῷ βουλομένῳ καὶ οὐ γυνὴ τοῦ ἡμετέρου θείου, ἣν οὗτος ἐγγυῆσαι ἐκείνῳ μεμαρτύρηκεν, ὑπὸ τῶν ἄλλων οἰκείων καὶ ὑπὸ τῶν γειτόνων τῶν ἐκείνου μεμαρτύρηται πρὸς ὑμᾶς· οἳ μάχας καὶ κώμους καὶ ἀσέλγειαν πολλήν, ὁπότε ἡ τούτου ἀδελφὴ εἴη παρ' αὐτῷ, με-
16 μαρτυρήκασι [b] γίνεσθαι περὶ αὐτῆς. [c] καίτοι οὐ δήπου γε

[u] ἐκδεδώκει] ἐδεδώκει libri : vulg. ἐνδεδώκει.
[x] ἐπεσκημμένοι] ἐσκεμμένοι L.Z.
[y] ὡμολογηκότες] ὡμολογηκότος L.Z.
[z] γεγενημένῃ] γεγεννημένῃ B.
[a] ἐπίλαβε Taylorus : ἐπίβαλε Z. ἐπίβαλλε A.B.L.
[b] γίνεσθαι] γενέσθαι Z.
[c] καίτοι] καὶ Z.

ἐπὶ γαμετὰς γυναῖκας οὐδεὶς ἂν κωμάζειν τολμήσειεν· οὐδὲ αἱ γαμεταὶ γυναῖκες ἔρχονται μετὰ τῶν ἀνδρῶν ἐπὶ τὰ δεῖπνα, οὐδὲ συνδειπνεῖν ἀξιοῦσι μετὰ τῶν ἀλλοτρίων, καὶ ταῦτα μετὰ τῶν ἐπιτυχόντων. ἀλλὰ μὴν τῷ γε μεμαρτυρηκότι οὐδ' ἐπισκήψασθαι οὗτοι ἠξίωσαν. Καὶ ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε πάλιν αὐτοῖς τὴν μαρτυρίαν.

[d] ΜΑΡΤΥΡΙΑ.

17 Ἀνάγνωθι δὴ καὶ τὰς περὶ τῶν πλησιασάντων αὐτῇ μαρτυρίας, ἵνα εἰδῶσιν ὅτι ἑταίρα τε ἦν τοῦ βουλομένου, καὶ ὅτι οὐδ' ἐξ ἑνὸς ἄλλου φαίνεται τεκοῦσα. ἀναγίνωσκε αὐτοῖς.

[e] ΜΑΡΤΥΡΙΑΙ.

18 Ὡς μὲν τοίνυν ἦν κοινὴ τῷ βουλομένῳ, ἣν οὗτος ἐγγυῆσαι τῷ ἡμετέρῳ θείῳ μεμαρτύρηκε, μνημονεύειν χρὴ ὑφ' ὅσων ὑμῖν μεμαρτύρηται, καὶ ὅτι οὐδενὶ ἄλλῳ ἐγγυηθεῖσα οὐδὲ συνοικήσασα φαίνεται· σκεψώμεθα δὲ καὶ ἐξ ὧν ἄν τις ὑπονοήσειεν ἐγγύην γενέσθαι τοιαύτης γυναικός, εἰ ἄρα
19 καὶ τῷ ἡμετέρῳ θείῳ τοιοῦτόν [f] τι συμβέβηκεν. ἤδη γάρ τινες νέοι ἄνθρωποι ἐπιθυμήσαντες τοιούτων γυναικῶν, [g] καὶ ἀκρατῶς ἔχοντες αὐτῶν, ἐπείσθησαν ὑπ' ἀνοίας [h] εἰς αὐτοὺς τοιοῦτόν τι ἐξαμαρτεῖν. πόθεν οὖν ἄν τις σαφέστερον γνοίη περὶ τούτων, ἢ ἔκ τε τῶν μαρτυριῶν τῶν τούτοις μεμαρτυρημένων ἐν τῇ προτέρᾳ δίκῃ καὶ ἐκ τῶν
20 εἰκότων τῶν περὶ αὐτὸ τὸ πρᾶγμα σκεψάμενος; ἐνθυμεῖσθε δὲ τὴν ἀναίδειαν ὧν λέγουσιν. ὁ μὲν γὰρ ἐγγυᾶν μέλλων εἰς τὸν τριτάλαντον οἶκον, ὥς φησι, τὴν ἀδελφήν, διαπραττόμενος [i] τηλικαῦτα ἕνα μάρτυρα παρεῖναι αὐτῷ

[d] ΜΑΡΤΥΡΙΑ] om. Z.
[e] ΜΑΡΤΥΡΙΑΙ] *μαρτυρία* A.B. *μάρτυρες* Z.
[f] τι] τοι Z.
[g] καὶ ἀκρατῶς ἔχοντες αὐτῶν] om. Z.
[h] εἰς αὐτοὺς Reiskius: libri εἰς αὐτάς.
[i] τηλικαῦτα] Taylorus: libri τηνικαῦτα.

21 [k] Πυρετίδην προσεποιήσατο. καὶ τούτου ἐκμαρτυρίαν ἐπ' ἐκείνῃ τῇ δίκῃ [l] παρέσχοντο οὗτοι· ἣν Πυρετίδης οὐκ ἀναδέδεκται αὐτοῖς, οὐδὲ ὁμολογεῖ μαρτυρῆσαι οὐδὲ εἰδέναι
22 τούτων ἀληθὲς ὂν οὐδέν. μέγα δὲ τεκμήριον ὡς περιφανῶς ψευδῆ τὴν μαρτυρίαν οὗτοι [m] παρέσχοντο ταύτην· ἴστε γὰρ πάντες ὡς ὅταν μὲν [n] ἐπὶ [o] προδήλους πράξεις ἴωμεν, ἃς δεῖ μετὰ μαρτύρων γενέσθαι, τοὺς [p] οἰκειοτάτους καὶ 40
οἷς ἂν [q] τυγχάνωμεν χρώμενοι μάλιστα, τούτους παραλαμβάνειν εἰώθαμεν ἐπὶ τὰς πράξεις τὰς τοιαύτας, τῶν δὲ ἀδήλων καὶ ἐξαίφνης γινομένων τοὺς προστυχόντας
23 ἕκαστοι μάρτυρας ποιούμεθα. καὶ ἐπὶ μὲν ταῖς μαρτυρίαις αὐταῖς τοῖς παραγενομένοις αὐτοῖς, ὁποῖοί τινες ἂν ὦσι, τούτοις μάρτυσι χρῆσθαι ἀναγκαῖόν ἐστιν [r] ἡμῖν· παρὰ δὲ τῶν ἀσθενούντων ἢ τῶν ἀποδημεῖν μελλόντων 5
ὅταν τις ἐκμαρτυρίαν ποιῆται, τοὺς ἐπιεικεστάτους τῶν πολιτῶν καὶ τοὺς ἡμῖν γνωριμωτάτους ἕκαστος ἡμῶν πα-
24 ρακαλεῖ μάλιστα, καὶ οὐ μεθ' ἑνὸς οὐδὲ μετὰ δυοῖν, ἀλλ' ὡς ἂν μετὰ πλείστων δυνώμεθα τὰς ἐκμαρτυρίας πάντες ποιούμεθα, ἵνα τῷ τε [s] ἐκμαρτυρήσαντι μὴ ἐξείη ὕστερον ἐξάρνῳ γενέσθαι τὴν μαρτυρίαν, ὑμεῖς τε πολλοῖς καὶ καλοῖς κἀγαθοῖς [t] ταὐτὰ μαρτυροῦσι πιστεύοιτε μᾶλλον. 10
25 Ξενοκλῆς τοίνυν [u] Βήσαζε μὲν ἰὼν εἰς τὸ ἐργαστήριον τὸ ἡμέτερον εἰς τὰ ἔργα, οὐχ ἡγήσατο δεῖν τοῖς ἀπὸ [x] τοῦ αὐτομάτου ἐκεῖ [y] ἐντυχοῦσι μάρτυσι χρῆσθαι περὶ τῆς

[k] Πυρετίδην] Πυθετίδην L.Z.

[l] παρέσχοντο] B.L. vulg. παρέσχον.

[m] παρέσχοντο] vulg. παρέσχον.

[n] ἐπὶ] ὡς ἐπὶ A.B.L.Z.

[o] προδήλους] προδηλωσ L. προδήλως Z.

[p] οἰκειοτάτους] οἰκτροτάτους Z.

[q] τυγχάνωμεν] τυγχάνομεν L.Z.

[r] ἡμῖν — ἡμῖν — ἡμῶν] ὑμῖν — ὑμῖν — ὑμῶν A.B.L.Z.

[s] ἐκμαρτυρήσαντι A.B. vulg. μαρτυρήσαντι.

[t] ταὐτὰ] Reiskius ταὐτά.

[u] Βήσαζε A.B.L. vulg. Θήβαζε. Conf. Boeckh. de Laurio (Commentar. Academ. Berolin. a a. 1814. et 1815. p. 89.)

[x] ταὐτομάτου] τοῦ αὐτομάτου A. B.L.Z.

[y] ἐντυχοῦσι] vulg. τυχοῦσι.

ἐξαγωγῆς, ἀλλ᾽ ἦκεν ἔχων [z] ἔνθεν Διόφαντον τὸν Σφήττιον μεθ᾽ ἑαυτοῦ, ὃς ἔλεγε τὴν δίκην ὑπὲρ τούτου, καὶ Δωρόθεον τὸν Ἐλευσίνιον καὶ τὸν ἀδελφὸν αὐτοῦ Φιλοχάρη καὶ ἄλλους πολλοὺς μάρτυρας, παρακεκληκὼς ἐνθένδε στα- 15
26 δίους εὐθὺς τριακοσίους ἐκεῖσε· περὶ δὲ τῆς [a] ἐγγύης τῆς τήθης τῶν παίδων τῶν ἑαυτοῦ ἐν τῷ ἄστει ἐκμαρτυρίαν (ὡς φησι) ποιούμενος τῶν μὲν οἰκείων οὐδένα τῶν ἑαυτοῦ παρακεκληκὼς φαίνεται, Διονύσιον δὲ Ἐρχιέα, καὶ Ἀριστόλοχον τὸν [b] Αἰθαλίδην. μετὰ δυοῖν τούτοιν ἐν τῷ ἄστει αὐτοῦ τὴν ἐκμαρτυρίαν ποιήσασθαι φασιν οὗτοι. τοιαῦτα μὲν τὰ τούτων· οἷς οὐδ᾽ ἂν περὶ ὁτουοῦν πιστεύσειεν [c] ἄλ-
27 λου οὐδείς. ἴσως γὰρ [d] ἦν νὴ Δία [e] πάρεργον καὶ φαῦλον, 20
περὶ οὗ τὴν ἐκμαρτυρίαν παρὰ τοῦ Πυρετίδου φασὶ ποιήσασθαι οὗτοι, ὥστε οὐδὲν θαυμαστὸν ὀλιγωρηθῆναι [f] ἦν τὸ πρᾶγμα, καὶ πῶς; [g] ᾧ γε περὶ αὐτοῦ τούτου ὁ ἀγὼν ἦν ὁ τῶν ψευδομαρτυριῶν, ὃν Ξενοκλῆς ἔφευγεν, ἢ ἐξ ἑταίρας
28 ἢ ἐξ ἐγγυητῆς τὴν ἑαυτοῦ γυναῖκα εἶναι. εἶτα ἐπὶ [h] ταύτην ἂν τὴν μαρτυρίαν, εἰ ἦν ἀληθής, οὐκ ἂν ἅπαντας τοὺς οἰκείους τοὺς ἑαυτοῦ παρακαλεῖν ἐκεῖνος ἠξίωσεν; ναὶ μὰ 25
29 Δία, ὡς ἔγωγε ᾤμην, εἴγε ἦν ἀληθὲς τὸ πρᾶγμα. οὐ τοίνυν φαίνεται, ἀλλ᾽ ὁ μὲν Ξενοκλῆς πρὸς τοὺς ἐπιτυχόντας δύο ἐκμαρτυρησάμενος τὴν μαρτυρίαν ταύτην, Νικόδημος δὲ [i] οὗτος ἕνα μόνον μάρτυρα παρακαλέσας μεθ᾽ ἑαυτοῦ τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ ἐγγυῆσαί
30 φησι τὴν ἀδελφήν. καὶ οὗτος μὲν τὸν Πυρετίδην μόνον,

[z] ἔνθεν] Immo ἐνθένδε vel ἐντεῦθεν.
[a] ἐγγύης τῆς τήθης] τηθῆς χήτης Z. Et τηθῆς etiam reliqui et hic et infra.
[b] Αἰθαλίδην] αἰθαλιότην Z.
[c] ἄλλου] ἄλλος A.B.
[d] ἦν] ἢ L. ἢ καὶ Z.
[e] πάρεργον καὶ φαῦλον] παρέργου καὶ φαύλου Z.
[f] ἦν] ἢ L.Z.
[g] ᾧ γε Reiskius: libri ὅστε.
[h] ταύτην] vulg. ταύτην ἦν.
[i] οὗτος ἕνα] οὗτος ἦν. ἕνα A.B. L.Z.

οὐχ ὁμολογοῦντα, προσεποιήσατο μετ' αὐτοῦ παραγενέσθαι· ὑπὸ δὲ τοῦ ἐγγυήσασθαι μέλλοντος [k] τὴν τοιαύτην Λυσιμένης καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Χαίρων καὶ Πυλάδης, φασὶ παρακληθέντες [l] τῇ ἐγγύῃ παραγενέσθαι, καὶ ταῦτα θεῖοι ὄντες τῷ ἐγγυωμένῳ. ὑμέτερον οὖν ἔργον σκέψασθαι νῦν, εἰ δοκεῖ πιστὸν εἶναι τὸ πρᾶγμα. ἐγὼ μὲν γὰρ νομίζω, ἐκ τῶν εἰκότων σκοπούμενος, πολὺ ἂν μᾶλλον τὸν Πύῤῥον πάντας ἂν τοὺς οἰκείους βούλεσθαι λεληθέναι, εἴ τι παρεσκευάζετο ὁμολογεῖν ἢ πράττειν ἀνάξιον τῶν αὐτοῦ, ἢ παρακαλέσαι μάρτυρας τοὺς θείους τοὺς ἑαυτοῦ ἐπὶ ἁμάρτημα τηλικοῦτον.

Ἔτι δὲ καὶ περὶ [m] ἐκείνου θαυμάζω, εἰ μηδεμίαν προῖκα μήθ' ὁ διδοὺς μήθ' ὁ λαμβάνων διωμολογήσαντο [n] ἕξειν ἐπὶ τῇ γυναικί. τοῦτο μὲν γὰρ [o] εἴ τινα ἐδίδου, εἰκὸς ἦν καὶ τὴν δοθεῖσαν ὑπὸ τῶν παραγενέσθαι φασκόντων μαρτυρεῖσθαι· τοῦτο δ' εἰ δι' ἐπιθυμίαν τὴν ἐγγύην ὁ θεῖος ἡμῶν ἐποιεῖτο τῆς τοιαύτης γυναικός, δῆλον ὅτι κἂν ἀργύριον πολλῷ μᾶλλον [p] ὁ ἐγγυῶν διωμολογήσατο ἔχειν αὐτὸν ἐπὶ τῇ γυναικί, ἵνα μὴ ἐπ' ἐκείνῳ γένοιτο ῥᾳδίως ἀπαλλάττεσθαι, ὁπότε βούλοιτο, τῆς γυναικός· καὶ μάρτυράς γε πολλῷ πλείους [q] τὸν ἐγγυῶντα παρακαλεῖν ἢ τὸν ἐγγυώμενον τὴν τοιαύτην. οὐδεὶς γὰρ ὑμῶν ἀγνοεῖ ὅτι [r] ὀλίγα διαμένειν εἴωθε τῶν τοιούτων. ὁ μὲν τοίνυν ἐγγυῆσαι φάσκων μετὰ ἑνὸς μάρτυρος καὶ ἄνευ ὁμολογίας προικὸς εἰς τὸν τριτάλαντον οἶκον ἐγγυῆσαί φησι τὴν

[k] τὴν τοιαύτην] om. Z.

[l] τῇ ἐγγύῃ A. vulg. om. articulum.

[m] ἐκείνου] τούτου Z.

[n] ἕξειν] ἔξειν B.Z. et pr. L.

[o] εἰ] om. L.Z.

[p] ὁ ἐγγυῶν Stephanus: ἢ ὁ ἐγγυῶν A.B.L. ἢ ὁμολογῶν Z.

[q] ἢ τὸν ἐγγυῶντα L.Z. ἢν τὸν ἐγγυῶντα A.B. Reiskius τὸν ἐγγυῶντα.

[r] ὀλίγα διαμένειν] ὀλι διαμένειν A. ὁ λόγος διαμένειν B.L.Z. vulg. ὁ λόγος οὐ διαμένειν.

ἀδελφήν· οἱ δὲ θεῖοι τῷ [s]ἀδελφιδῷ ἄπροικον τὴν τοιαύτην ἐγγυωμένῳ μεμαρτυρήκασι παραγενέσθαι.

Καὶ οἱ αὐτοὶ θεῖοι οὗτοι ἐν τῇ δεκάτῃ τῆς θυγατρὸς ἀποφανθείσης εἶναι ὑπὸ τοῦ [t]ἀδελφιδοῦ κληθέντες μεμαρ-
35 τυρήκασι παραγενέσθαι. ἐφ' ᾧ δὴ καὶ δεινῶς ἀγαναχτῶ, ὅτι ὁ μὲν ἀνὴρ λαγχάνων ὑπὲρ τῆς γυναικὸς τῆς αὐτοῦ τοῦ κλήρου τοῦ πατρῴου Φίλην ὄνομα εἶναι ἐγράψατο τῇ γυναικί, οἱ δὲ τοῦ [u]Πύρρου θεῖοι ἐν τῇ δεκάτῃ φάσκοντες παραγενέσθαι τὸ τῆς τήθης ὄνομα Κλειταρέτην τὸν πατέρα
36 ἐμαρτύρησαν θέσθαι αὐτῇ. θαυμάζω οὖν εἰ ὁ ἀνὴρ ὁ συνοικῶν πλείω ἢ ὀκτὼ ἔτη ἤδη μὴ ἤδει τοὔνομα τῆς ἑαυτοῦ γυναικός. εἶτα οὐδὲ παρὰ τῶν [x]αὐτοῦ μαρτύρων πρότερον ἐδυνήθη πυθέσθαι, οὐδ' ἡ μήτηρ τῆς γυναικὸς τὸ τῆς θυ-
37 γατρὸς ὄνομα τῆς αὐτῆς ἐν χρόνῳ τοσούτῳ ἔφρασεν αὐτῷ, οὐδ' ὁ θεῖος [y]αὐτὸς Νικόδημος, ἀλλ' ἀντὶ τοῦ τῆς τήθης ὀνόματος (εἴ τις ἤδει τοῦθ' ὑπὸ τοῦ πατρὸς κείμενον ταύτῃ) Φίλην ὁ ἀνὴρ ὄνομα ἐπεγράψατο εἶναι αὐτῇ, καὶ ταῦτα λαγχάνων αὐτῇ τοῦ κλήρου τοῦ πατρῴου. τίνος [z]ἕνεκα; ἢ ἵνα καὶ τοῦ τῆς τήθης ὀνόματος τοῦ ὑπὸ τοῦ πατρὸς τε-
θέντος ἄκληρον ὁ ἀνὴρ καταστήσειεν εἶναι τὴν αὐτοῦ γυ-
38 ναῖκα; ἆρά γε οὐχὶ δῆλον, ὦ ἄνδρες, ὅτι ἃ πάλαι οὗτοι μαρτυροῦσι γενέσθαι, πολλῷ πλέον τῆς [a]λήξεως τοῦ κλήρου σύγκειται αὐτοῖς; οὐ γὰρ ἄν ποτε [b]οἱ μὲν εἰς τὴν δεκάτην (ὡς φασι) κληθέντες τῆς τοῦ Πύρρου θυγατρός, ἀδελφιδῆς δὲ τούτου, ἐξ ἐκείνης τῆς ἡμέρας, ἥτις ἦν ποτέ, ἀκριβῶς εἰς τὸ δικαστήριον ἦκον μεμνημένοι ὅτι Κλειτα-
39 ρέτην ὁ πατὴρ ἐν τῇ δεκάτῃ ὠνόμηνεν, οἱ δ' οἰκειότατοι τῶν

[s] ἀδελφιδῷ] ἀδελφῷ Z.
[t] ἀδελφιδοῦ] ἀδελφοῦ Z.
[u] Πύρρου θεῖοι] θείου πύρροι Z.
[x] αὐτοῦ] vulg. αὐτῶν.
[y] αὐτὸς] αὐτῷ Z.
[z] ἕνεκα] ὄνομα Z.
[a] λήξεως] λέξεως L.Z.
[b] οἱ] εἰ A.B.L.Z.

ἁπάντων, ὁ πατὴρ καὶ ὁ θεῖος καὶ ἡ μήτηρ οὐκ ἂν ᾔδει τὸ ὄνομα τῆς θυγατρὸς (ὡς [c] φησι) τῆς αὐτοῦ. πολύ γε μάλιστ' ἄν, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα. Ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον ἐγχωρήσει εἰπεῖν.

40 Περὶ δὲ τῆς τούτου μαρτυρίας οὐ χαλεπὸν καὶ ἐξ αὐτῶν τῶν νόμων ἐστὶ γνῶναι ὅτι φαίνεται περιφανῶς τὰ ψευδῆ μεμαρτυρηκὼς οὗτος. ὅπου γάρ, ἐάν τίς τι ἀτίμητον δῷ ἕνεκα τοῦ [d] γάμου, ἐὰν [e] ἀπολίπῃ ἡ γυνὴ τὸν ἄνδρα ἢ ἐὰν ὁ ἀνὴρ ἐκπέμψῃ τὴν γυναῖκα, οὐκ ἔξεστι πράξασθαι τῷ δόντι ὃ μὴ [f] ἐν προικὶ τιμήσας ἔδωκεν, [g] ἤπου ὅστις γέ φησιν ἄνευ ὁμολογίας προικὸς τὴν ἀδελφὴν 41 ἐγγυῆσαι, περιφανῶς ἀναίσχυντος ὢν [h] ἐλέγχεται. τί γὰρ [i] ἔμελλεν ὄφελος εἶναι [k] αὐτῷ τῆς ἐγγύης, εἰ ἐπὶ τῷ ἐγγυησαμένῳ ἐκπέμψαι ὁπότε βούλοιτο τὴν γυναῖκα [l] ἦν; ἦν δ' ἂν ἐπ' ἐκείνῳ, ὦ ἄνδρες, δῆλον ὅτι, εἰ μηδεμίαν προῖκα 42 διωμολογήσατο ἔξειν ἐπ' αὐτῇ. εἶτ' ἐπὶ τούτοις ἂν Νικόδημος [m] ἐνεγύησε τῷ ἡμετέρῳ θείῳ τὴν ἀδελφήν; καὶ ταῦτα εἰδὼς τὸν ἅπαντα χρόνον ἄτοκον οὖσαν αὐτήν, καὶ τῆς ὁμολογηθείσης προικὸς ἐκ τῶν νόμων γινομένης εἰς αὐτόν, εἴ τι [n] ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ; ἆρ' οὖν δοκεῖ τῳ ὑμῶν ὀλιγώρως οὕτως ἔχειν χρημάτων Νικόδημος, ὥστε παραλιπεῖν ἄν τι τῶν τοιούτων; ἐγὼ 43 μὲν γὰρ οὐ νομίζω. εἶτα παρὰ [o] τούτου ὁ ἡμέτερος θεῖος ἠξίωσεν ἂν ἐγγυήσασθαι τὴν ἀδελφήν, ὃς αὐτὸς ξενίας

[c] φησὶ] φασὶ A.B.
[d] γάμου Reiskius: libri νόμου.
[e] ἀπολίπῃ] ἀπολείπῃ pr. A.
[f] ἐνπροικὶ] vulg. om. præpositionem.
[g] ἤ που] εἴπου pr. A.
[h] ἐλέγχεται] ἔλεγεν Z.
[i] ἔμελλεν ὄφελος εἶναι A.B. vulg. ἔμελλεν εἶναι.
[k] αὐτῷ] om. Z.
[l] ἦν. ἦν A. ἦν ἦν B.L.Z. vulg. ἦν.
[m] ἐνεγύησε correctus A. vulg. ἐνεγγύησε.
[n] ἔπαθεν] ἔπαθες Z.
[o] τούτου] τούτους Z.

φεύγων ὑπὸ ἑνὸς τῶν φρατόρων [p] ὧν φησὶν αὐτοῦ εἶναι, παρὰ τέτταρας ψήφους μετέσχε τῆς πόλεως; [q] Καὶ ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε τὴν μαρτυριαν.

ΜΑΡΤΥΡΙΑ.

44 Οὗτος τοίνυν τῷ ἡμετέρῳ θείῳ ἄπροικον τὴν ἀδελφὴν τὴν ἑαυτοῦ μεμαρτύρηκεν ἐγγυῆσαι, καὶ ταῦτα τῆς προικὸς εἰς αὐτὸν γινομένης, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ. Λάβε δὴ καὶ ἀνάγνωθι τοὺς νόμους τουσδὶ 40 αὐτοῖς.

ΝΟΜΟΙ.

45 Δοκεῖ ἂν ὑμῖν οὕτως ὀλιγώρως ἔχειν χρημάτων Νικόδημος, ὥστε, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα, οὐκ ἂν σφόδρα διακριβώσασθαι περὶ τῶν ἑαυτῷ συμφερόντων; ναὶ μὰ Δία, ὡς ἔγωγ' οἶμαι, ἐπεὶ καὶ οἱ ἐπὶ [r] παλλακίᾳ διδόντες [s] τὰς ἑαυτῶν πάντες πρότερον διομολογοῦνται περὶ 46 τῶν δοθησομένων ταῖς παλλακαῖς· Νικόδημος δὲ ἐγγυᾶν μέλλων (φησὶ) τὴν ἀδελφὴν τὴν αὑτοῦ μόνον τὸ κατὰ τοὺς 42 νόμους ἐγγυῆσαι διεπράξατο; ὃς ἐπ' ὀλίγῳ ἀργυρίῳ, οὗ ἐπιθυμῶν λέγει πρὸς ὑμᾶς, σφόδρα βούλεται πονηρὸς εἶναι.

Περὶ μὲν οὖν τῆς τούτων πονηρίας καὶ σιωπῶντος ἐμοῦ οἱ πολλοὶ γινώσκουσιν [t] ὑμῶν, ὥστε οὐκ ἀπορῶ γε μαρ- 47 τύρων, ὅταν τι λέγω περὶ αὐτοῦ· βούλομαι δὲ πρῶτον ἐκ τῶν τοιῶνδε ἐξελέγξαι τοῦτον ἀναισχυντότατον τῇ μαρτυρίᾳ 5 ὄντα ταύτῃ. [u] φέρε γάρ, ὦ Νικόδημε, εἰ ἦσθα ἐγγεγυηκὼς τῷ Πύρρῳ τὴν ἀδελφὴν καὶ εἰ ἤδεις ἐξ αὐτῆς θυγατέρα γνησίαν καταλειπομένην, πῶς ἐπέτρεψας τῷ ἡμε-

[p] ὧν Reiskius: libri ὦν.

[q] ναὶ] καὶ Z.

[r] παλλακίᾳ vel παλλακείᾳ reponendum censui pro librorum omnium παλλακίδι.

[s] τὰς] vulg. τά.

[t] ὑμῶν. ὥστε οὐκ ἀπορῶ γε μαρτύρων, ὅταν τι λέγω περὶ αὐτοῦ. βούλομαι A.B. vulg. ὑμῶν. βούλομαι.

[u] φέρε γὰρ ὦ A.B. vulg. φέρε ὦ.

τέρῳ ἀδελφῷ ἐπιδικάσασθαι τοῦ κλήρου ἄνευ τῆς γνησίας
48 θυγατρός, ἣν φὴς τῷ ἡμετέρῳ θείῳ καταλειφθῆναι; ἢ οὐκ
ἤδεις ἐν τῇ ἐπιδικασίᾳ τοῦ κλήρου νόθην καθισταμένην τὴν
ἀδελφιδῆν τὴν σαυτοῦ; ὁπότε γάρ τις ἐπεδικάζετο τοῦ
κλήρου, νόθην τὴν θυγατέρα τοῦ [x] καταλιπόντος τον κλῆρον
49 καθίστη. ἔτι δὲ [y] πρότερον ὁ Πύῤῥος ὁ ποιησάμενος τὸν
ἀδελφὸν τὸν ἐμὸν υἱὸν αὐτῷ· οὔτε γὰρ διαθέσθαι οὔτε δοῦ-
ναι οὐδενὶ οὐδὲν ἔξεστι τῶν ἑαυτοῦ ἄνευ τῶν θυγατέρων, ἐάν
τις καταλιπὼν γνησίας τελευτᾷ. γνώσεσθε δὲ αὐτῶν
ἀκούσαντες τῶν νόμων ἀναγινωσκομένων. Ἀναγίνωσκε
[z] τούσδε αὐτοῖς.

ΝΟΜΟΙ.

50 Δοκεῖ ἂν ὑμῖν ὁ μεμαρτυρηκὼς ἐγγυῆσαι ἐπιτρέψαι
ἄν τι τούτων [a] γίγνεσθαι, καὶ οὐκ ἂν ἐπὶ τοῦ κλήρου τῇ
λήξει, ἣν ὁ [b] Ἔνδιος λαχὼν ἐπεδικάζετο, ἀμφισβητῆσαι
ἂν ὑπὲρ τῆς [c] ἀδελφιδῆς τῆς ἑαυτοῦ, καὶ οὐκ ἂν διαμαρ-
τυρῆσαι οὐκ ἐπίδικον τῷ Ἐνδίῳ τὸν ἐκείνης πατρῷον κλῆ-
ρον εἶναι; Ἀλλὰ μὴν ὥς γε ἐπεδικάσατο ὁ ἡμέτερος
ἀδελφὸς τοῦ κλήρου καὶ οὐκ ἠμφισβήτησεν οὐδεὶς ἐκείνῳ,
ἀναγίνωσκε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

51 Γενομένης τοίνυν τῆς ἐπιδικασίας ταύτης οὐκ ἐτόλμη-
σεν ἀμφισβητῆσαι τοῦ κλήρου Νικόδημος, οὐδὲ διαμαρ-
τυρῆσαι τὴν ἀδελφιδῆν τὴν ἑαυτοῦ γνησίαν θυγατέρα Πύῤῥῳ
[d] καταλειφθῆναι.

52 Περὶ μὲν οὖν τῆς διαδικασίας ἔχοι ἄν [e] τις ψεῦδος

[x] καταλιπόντος] καταλείποντος pr. A.
[y] πρότερον] πότερον L.
[z] τούσδε A.B. vulg. τουσδί.
[a] γίγνεσθαι] γενέσθαι Z.
[b] Ἔνδιος] ἔνδικος L.Z.
[c] ἀδελφιδῆς] ἀδελφῆς Z. et pr. A.
[d] καταλειφθῆναι] καταληφθῆναι Z.
[e] τις] vulg. τι.

προφασίσασθαι πρὸς ὑμᾶς· ἢ γὰρ λαθεῖν ἡμᾶς προσποιήσαιτ' ἂν οὗτος, [f] ἢ καὶ ψεύδεσθαι αἰτιῶτ' ἂν ἡμᾶς. τοῦτο μὲν οὖν παρῶμεν· ἐπειδὴ δὲ τῷ Ξενοκλεῖ [g] ἐνεγύα ὁ Ἐνδιος τὴν [h] ἀδελφιδῆν σου, ἐπέτρεψας [i] ἂν ὦ Νικόδημε τὴν ἐκ τῆς ἐγγυητῆς τῷ Πύρρῳ [k] γεγενημένην ὡς ἐξ [l] ἑταί-
53 ρας ἐκείνῳ οὖσαν ἐγγυᾶσθαι; καὶ οὐκ ἂν [m] εἰσήγγελλες πρὸς τὸν ἄρχοντα κακοῦσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ εἰσποιήτου οὕτως ὑβριζομένην καὶ ἄκληρον τῶν [n] ἑαυτῆς πατρῴων καθισταμένην, ἄλλως τε καὶ μόνων τούτων τῶν δικῶν ἀκινδύνων τοῖς διώκουσιν οὐσῶν, καὶ ἐξὸν τῷ βουλο-
54 μένῳ βοηθεῖν ταῖς ἐπικλήροις; οὔτε γὰρ ἐπιτίμιον ταῖς πρὸς τὸν ἄρχοντα εἰσαγγελίαις [o] ἔπεστιν, οὐδ' ἐὰν [p] οὐδεμίαν τῶν ψήφων οἱ εἰσαγγείλαντες [q] μεταλάβωσιν, οὔτε πρυτανεῖα οὔτε παράστασις οὐδεμία τίθεται τῶν εἰσαγγελιῶν· ἀλλὰ τοῖς μὲν διώκουσιν ἀκινδύνως εἰσαγγέλλειν ἔξεστι, τῷ βουλομένῳ, τοῖς δ' ἀλισκομένοις [r] ἔσχα-
55 ται τιμωρίαι ἐπὶ ταῖς εἰσαγγελίαις ἔπεισιν. [ἔπειτα εἰ ἦν ἐξ ἐγγυητῆς ἡ τούτου ἀδελφιδῆ τῷ ἡμετέρῳ θείῳ γεγενημένη, ἐπέτρεψεν ἂν Νικόδημος ὡς ἐξ ἑταίρας οὖσαν αὐτὴν ἐγγυᾶσθαι; καὶ γενομένων αὐτῶν οὐκ ἂν [s] εἰσήγγελλε πρὸς τὸν ἄρχοντα ὑβρίζεσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ οὕ-
56 των ἐγγυήσαντος αὐτήν;] καὶ εἰ ἦν ἀληθῆ ἃ νυνὶ [t] τετόλμηκας μαρτυρῆσαι, παραχρῆμα εὐθὺς τότε ἐτιμωρήσω [u] ἂν τὸν ἀδικοῦντα, ἢ καὶ ταῦτα λαθεῖν σεαυτὸν [x] προσ-

[f] ἢ καὶ ψεύδεσθαι] vulg. ἢ ψεύδεσθαι.
[g] ἐνεγύα B. et correctus A.
[h] ἀδελφιδῆν] ἀδελφήν Z.
[i] ἂν] om. A.B.L.Z.
[k] γεγενημένην] γεγενημένης A.
[l] ἑταίρας] ἑτέρας B.L.
[m] εἰσήγγελλες] εἰσήγγελες Z.
[n] ἑαυτῆς A.B. vulg. αὐτῆς.
[o] ἔπεστιν Reiskius: libri ἔνεστιν.
[p] οὐδεμίαν] Immo μηδεμίαν.
[q] μεταλάβωσιν] καταλάβωσιν Z.
[r] ἔσχαται] ἐσχάται pr. A. et correctus L.
[s] εἰσήγγελλε] εἰσήγγειλε Z.
[t] τετόλμησας Reiskius: libri τεταλμήκασι.
[u] ἂν] om. pr. L.
[x] προσποιήσει L.Z. vulg. προσποιήσῃ.

ποιήσει; ἔπειτ' οὐδ' [y] ἐκ τῆς ἐπιδοθείσης αὐτῇ προικὸς
57 ἦσθου; ὥστε καὶ δι' αὐτὸ τοῦτο ἀγαναχτήσαντι δήπου
σοὶ εἰσαγγεῖλαι τὸν [v] Ενδιον [z] προσῆκεν, [a] εἰ αὐτὸς μὲν τρι- 40
τάλαντον οἶκον ἔχειν ἠξίου ὡς προσῆκον αὐτῷ, τῇ δὲ γνη-
σίᾳ οὔσῃ τρισχιλίας δραχμὰς προῖκα ἐπιδοὺς ἐκδοῦναι
ἠξίωσεν ἄλλῳ. εἶτ' ἐπὶ τούτοις οὐκ ἀγαναχτήσας εἰσήγ-
γειλεν ἂν τὸν [v] Ενδιον οὗτος; ναὶ μὰ Δία, εἴ γ' ἦν ἀληθες
58 τὸ πρᾶγμα. οἶμαι δὲ [b] οὐδ' ἂν τὴν ἀρχὴν ἐκεῖνον οὐδ'
ἄλλον δὲ τῶν εἰσποιήτων οὐδένα οὕτως εὐήθη οὐδ' ἂν ὀλί-
γωρον [c] τῶν νόμων τῶν κειμένων γίνεσθαι, ὥσθ' ὑπαρχού- 43
σης γνησίας θυγατρὸς τῷ τὸν κλῆρον καταλιπόντι ἑτέρῳ
59 [d] δοῦναι ταύτην ἀνθ' ἑαυτοῦ. ἀκριβῶς γὰρ ἤδει διότι τοῖς
γε ἐκ τῆς γνησίας θυγατρὸς παισὶ γεγονόσιν ἁπάντων
τῶν παππῴων κληρονομία προσήκει. εἶτα εἰδὼς ἄν τις
ταῦτα ἑτέρῳ παραδοίη τὰ αὑτοῦ, καὶ ταῦτα τηλικαῦτα
60 ὄντα ὅσων ἠμφισβήτησαν οὗτοι; [e] δοκεῖ δ' ἄν τις ὑμῖν 5
οὕτως ἀναιδὴς ἢ τολμηρὸς εἰσποίητος γενέσθαι, ὥστε μηδὲ
τὸ δέκατον μέρος ἐπιδοὺς ἐκδοῦναι τῇ γνησίᾳ θυγατρὶ τῶν
πατρῴων; γενομένων δὲ τούτων δοκεῖ ἂν ὑμῖν ὁ θεῖος ἐπι-
τρέψαι, ὁ ἐγγυῆσαι μεμαρτυρηκὼς αὐτῆς τὴν μητέρα;
61 ἐγὼ μὲν γὰρ οὐ νομίζω, ἀλλὰ καὶ ἠμφισβήτησεν ἂν τοῦ
κλήρου καὶ διεμαρτύρησε καὶ [f] εἰσήγγειλεν ἂν πρὸς τὸν
ἄρχοντα, καὶ ἄλλο εἴ τι ἦν ἰσχυρότερον τούτων, ἅπαντ' 10
62 ἂν διεπράξατο. ὁ μὲν τοίνυν [v] Ενδιος ὡς ἐξ ἑταίρας οὖσαν
[g] ἐνεγύησεν, ἣν φησιν ἀδελφιδῆν Νικόδημος εἶναι αὐτῷ·

[y] ἐκ τῆς] ἐξ Z.
[z] προσῆκεν] προσήκει B. προσήκει A.
[a] εἰ αὐτὸς correctus A. vulg. αὐτός.
[b] οὐδ' ἂν] Malim οὐδ' αὖ.
[c] τῶν νόμων] τοῦ νόμου Z.
[d] δοῦναι] δοθῆναι Z.
[e] δοκεῖ] δοκῇ pr. A.
[f] εἰσήγγειλεν] εἰσήγγελλεν A.L. εἰσήγγελεν B.
[g] ἐνεγύησεν correctus A. ἐνεγύσεν B.

οὗτος δὲ οὔτε τῷ Ἐνδίῳ τοῦ Πύῤῥου [h] κλήρου ἀμφισβητῆσαι ἠξίωσεν, οὔτ' [i] ἐγγυήσαντα τὴν ἀδελφιδῆν ὡς οὖσαν ἐξ ἑταίρας εἰσαγγεῖλαι πρὸς τὸν ἄρχοντα ἠξίωσεν, οὔτ' ἐπὶ τῇ δοθείσῃ προικὶ αὐτῇ ἠγανάκτησεν οὐδέν, ἀλλὰ
63 πάντα ταῦτα εἴασε γενέσθαι. οἱ δὲ νόμοι περὶ ἁπάντων διορίζουσι τούτων. ἀναγνώσεται οὖν πρῶτον ὑμῖν τὴν περὶ τῆς ἐπιδικασίας τοῦ κλήρου μαρτυρίαν πάλιν, ἔπειτα τὴν περὶ τῆς ἐγγυήσεως τῆς γυναικός. Ἀναγίνωσκε αὐτοῖς.

[k] ΜΑΡΤΥΡΙΑ.

[l] Ἀνάγνωθι δὴ καὶ τοὺς νόμους.

ΝΟΜΟΙ.

Λάβε δὴ καὶ τὴν τούτου μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

64 Πῶς οὖν τις σαφέστερον [m] ἐξελέγχει ψευδομαρτυριῶν διώκων ἢ ἔκ τε τῶν πεπραγμένων αὐτοῖς τούτοις ἐπι-
65 δεικνύων καὶ ἐκ τῶν νόμων ἁπάντων τῶν ἡμετέρων; Περὶ μὲν οὖν τούτου σχεδὸν εἴρηται τὰ πολλά· σκέψασθε δὲ καὶ [n] περὶ τοῦ ἔχοντος τὴν [o] ἀδελφιδῆν τὴν τούτου γυναῖκα, ἐὰν ἄρα τι γένηται καὶ ἐκ τούτου τεκμήριον ὡς ἔστι
66 ψευδῆ τὰ μεμαρτυρημένα Νικοδήμῳ. ὡς μὲν οὖν [p] ἐνεγυήσατο καὶ ἔλαβεν ὡς οὖσαν ἐξ ἑταίρας τὴν γυναῖκα, ἐπιδέδεικται καὶ μεμαρτύρηται· ὡς δ' ἀληθὴς ἡ μαρτυρία ἐστὶν αὕτη, [q] ὁ Ξενοκλῆς αὐτὸς ἔργῳ οὐκ ὀλίγον χρό-
67 νον ἤδη [ἀληθῆ ταῦτα] [r] μεμαρτύρηκε. δῆλον γὰρ ὅτι εἰ

[h] κλήρου] om. L.Z.

[i] ἐγγυήσαντα] Alterum α a correctore habet A.

[k] Titulos om. Z.

[l] ἀνάγνωθι δὴ καὶ] vulg. ἀνάγνωθι καί.

[m] ἐξελέγχει A.B.L.Z. vulg. ἐξελέγχοι. Fortasse legendum ἐξελέγξει.

[n] περὶ τοῦ A.B. vulg. περὶ μὲν τοῦ.

[o] ἀδελφιδῆν] ἀδελφὴν pr. A.

[p] ἐνεγυήσατο B. et correctus A.

[q] ὁ Ξενοκλῆς αὐτὸς ἔργῳ] ἔργῳ ὁ Ξενοκλῆς αὐτὸς Z.

[r] μεμαρτύρηκε] μεμαρτυρηκώς Z.

μὴ [s]ἐνεγεγύητο παρὰ τοῦ Ἐνδίου ὡς ἐξ [t]ἑταίρας οὖσαν τὴν γυναῖκα, ὄντων αὐτῷ παίδων ἤδη τηλικούτων ἐκ τῆς γυναικός, ζῶντι ἂν τῷ Ἐνδίῳ ἠμφισβήτησεν [u]ὑπὲρ τῆς γνησίας θυγατρὸς τῶν πατρῴων, ἄλλως τε καὶ [x]παρεσκευασμένος μὴ ὁμολογεῖν τὴν τοῦ Ἐνδίου ποίησιν τῷ
68 Πύῤῥῳ [y]γενέσθαι· ὡς [z]δὴ οὐχ ὁμολογῶν πῶς [a]ἐπεσκήπτετο τοῖς μεμαρτυρηκόσιν ἐπὶ τῇ διαθήκῃ τοῦ Πύῤῥου παραγενέσθαι. καὶ ὡς ἀληθῆ λέγω, ἀναγνώσεται [b]ὑμῖν τὴν μαρτυρίαν τὴν μαρτυρηθεῖσαν. Ἀναγίνωσκε αὐτοῖς.

ΜΑΡΤΥΡΙΑ.

69 Ἀλλὰ μὴν κἀκεῖνό γε δῆλον, ὡς [οὐχ] ὁμολογοῦσι τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύῤῥου γενέσθαι. οὐ γὰρ ἂν ὑπερβάντες τὸν τελευταῖον τοῦ οἴκου γεγενημένον κληρονόμον ὑπὲρ τῆς γυναικὸς τοῦ Πύῤῥου κλήρου λαχεῖν τὴν
70 [c]λῆξιν ἠξίωσαν οὗτοι. ὁ μὲν γὰρ Πύῤῥος πλείω [d]ἢ εἴκοσιν ἔτη [e]τετελεύτηκεν ἤδη, ὁ δὲ Ἔνδιος τοῦ Μεταγειτνιῶνος μηνὸς πέρυσιν, ἐν ᾧ ἔλαχον τοῦ κλήρου τὴν λῆξιν τρίτῃ ἡμέρᾳ εὐθέως οὗτοι. ὁ δὲ νόμος πέντε ἐτῶν κελεύει δικάσασθαι τοῦ κλήρου, ἐπειδὰν τελευτήσῃ ὁ κληρονόμος.
71 οὐκοῦν δυοῖν τὰ ἕτερα προσῆκε τῇ γυναικί, ἢ ζῶντι τῷ Ἐνδίῳ ἀμφισβητῆσαι τῶν πατρῴων, ἢ ἐπειδὴ τετελευτηκὼς ἦν ὁ εἰσποίητος, [f]τῶν τοῦ ἀδελφοῦ τὴν [g]ἐπιδικασίαν ἀξιοῦν ποιεῖσθαι, ἄλλως τε καὶ εἰ, ὡς φασὶν οὗτοι, [h]ἠγγυήκει αὐτὴν τῷ Ξενοκλεῖ ὡς [i]γνησίαν ἀδελφὴν οὖσαν

[s] ἐνεγεγύητο B. et correctus A. qui pr. ἐνεγγεγγύητο: ἐγεγένητο L. Z. vulg. ἐγγεγύητο.
[t] ἑταίρας] ἑταίραν B.
[u] περὶ] Malim ὑπέρ.
[x] παρεσκευασμένος] παρασκευασμένος B.L.
[y] γενέσθαι] γεγονέναι Z.
[z] δὴ] δ' A. δι' L.
[a] ἐπεσκήπτετο Reiskius: libri ἐπέσκηπτε.
[b] ὑμῖν] ἡμῖν A.
[c] λῆξιν] λέξιν Z.
[d] ἢ] om. Z.
[e] τετελεύτηκεν] ἐτελεύτησεν Z.
[f] τῶν] om. Z.
[g] ἐπιδικασίαν] διαδικασίαν Z.
[h] ἠγγυήκει A.B. vulg. ἐγγυήκει.
[i] γνησίαν] ἰδίαν Z.

72 [k] αὐτοῦ. ἀκριβῶς γὰρ ἐπιστάμεθα πάντες ὅτι [l] ἀδελφῶν
μὲν [m] κλήρων [n] ἐπιδικασία πᾶσίν ἐστιν [o] ἡμῖν· ὅτῳ δὲ
[p] γόνῳ γεγόνασι γνήσιοι παῖδες, οὐδενὶ ἐπιδικάζεσθαι τῶν
πατρῴων προσήκει. καὶ περὶ τούτων οὐδένα λόγον λεχθῆ-
ναι δεῖ· ἅπαντες γὰρ ὑμεῖς καὶ οἱ ἄλλοι πολῖται ἀνεπί- 44
73 δικα ἔχουσι τὰ ἑαυτῶν ἕκαστοι πατρῷα. οὗτοι τοίνυν εἰς
τοῦτο τόλμης ἀφιγμένοι εἰσίν, ὥστε τῷ μὲν εἰσποιήτῳ
οὐκ ἔφασαν ἐπιδικάσασθαι προσήκειν τῶν δοθέντων, τῇ δὲ
Φίλῃ, ἣν φασι θυγατέρα γνησίαν τῷ Πύρρῳ καταλελεῖ-
φθαι, λαχεῖν τοῦ κλήρου τοῦ πατρῴου [q] τὴν λῆξιν ἠξίω-
74 σαν. καίτοι (ὅπερ εἶπον καὶ πρότερον) ὅσοι μὲν καταλί- 5
πωσι γνησίους παῖδας ἐξ αὐτῶν, οὐ προσήκει τοῖς παισὶν
ἐπιδικάσασθαι τῶν πατρῴων· ὅσοι δὲ διαθήκαις αὐτοὶ
εἰσποιοῦνται, [r] τούτοις [s] ἐπιδικάζεσθαι προσήκει τῶν δο-
θέντων. τοῖς μὲν γάρ, ὅτι γόνῳ γεγόνασιν, οὐδεὶς ἂν
δήπου ἀμφισβητήσειε περὶ τῶν πατρῴων· πρὸς δὲ τοὺς
εἰσποιητους ἅπαντες οἱ κατὰ γένος προσήκοντες ἀμ-
75 φισβητεῖν ἀξιοῦσιν. ἵνα οὖν μὴ παρὰ τοῦ ἐντυχόντος τῶν
κλήρων αἱ λῆξεις τοῖς ἀμφισβητεῖν βουλομένοις γίγνων- 10
ται, καὶ μὴ ὡς ἐρήμων τῶν κλήρων ἐπιδικάζεσθαί [t] τινες
τολμῶσι, τούτου ἕνεκα τὰς ἐπιδικασίας οἱ εἰσποίητοι
76 πάντες ποιοῦνται. μηδεὶς οὖν [u] ὑμῶν ἡγείσθω, εἰ ἐνόμιζε
γνησίαν εἶναι τὴν [x] ἑαυτοῦ γυναῖκα Ξενοκλῆς, λαχεῖν ἂν
ὑπὲρ αὐτῆς τὴν λῆξιν τοῦ κλήρου τοῦ [y] πατρῴου, ἀλλ'
ἐβάδιζεν ἂν ἡ γνησία εἰς τὰ ἑαυτῆς πατρῷα, καὶ εἴ τις

[k] αὐτοῦ A.B. vulg. αὐτῷ.
[l] ἀδελφῶν] ἀδελφὼν pr. A.
[m] κλήρων] κλῆρον Z. et pr. A.L.
[n] ἐπιδικασία] ἐπὶ δικασίᾳ Z.
[o] ἡμῖν] vulg. ὑμῖν.
[p] γόνῳ A.B. vulg. μόνῳ.
[q] τὴν λῆξιν] vulg. om.
[r] τούτοις] τούτους Z. B.M. utrum casum habeant, non liquet.
[s] ἐπιδικάζεσθαι] ἐπιδικάσασθαι Z.
[t] τινὲς] τινὸς pr. A.
[u] ὑμῶν ἡγείσθω εἰ A.B. vulg. ὑμῶν εἰ.
[x] ἑαυτοῦ] τούτου Z.
[y] πατρῴου] πρώτου Z.

αὐτὴν ἀφῃρεῖτο ἢ ἐβιάζετο, ἐξῆγεν ἂν ἐκ τῶν πατρώων,
καὶ οὐκ ἂν ἰδίας μόνον δίκας ἔφευγεν ὁ βιαζόμενος,
ἀλλὰ καὶ δημοσίᾳ εἰσαγγελθεὶς εἰς τὸν ἄρχοντα ἐκιν-
77 δύνευεν ἂν περὶ τοῦ σώματος καὶ τῆς οὐσίας ἁπάσης
τῆς ἑαυτοῦ. Ἔτι δ' ἂν [z]πρότερον τοῦ Ξενοκλέους οἱ
τοῦ Πύῤῥου θεῖοι, εἰ ἤδεσαν γνησίαν θυγατέρα τῷ ἑαυ-
τῶν [a]ἀδελφιδῷ [b]καταλειπομένην καὶ ἡμῶν μηδένα λαμ-
βάνειν ἐθέλοντα αὐτήν, οὐκ ἄν ποτε ἐπέτρεψαν Ξενοκλέα,
τὸν μηδαμόθεν μηδὲν γένει προσήκοντα Πύῤῥῳ, λαβόντα
78 ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα. ἢ
δεινόν γ' ἂν εἴη. τὰς μὲν ὑπὸ τῶν [c]πατέρων ἐκδοθείσας
καὶ συνοικούσας ἀνδράσι γυναῖκας, περὶ ὧν τίς ἂν ἄμει-
νον ἢ ὁ πατὴρ βουλεύσαιτο; καὶ τὰς οὕτω δοθείσας, ἂν
ὁ πατὴρ αὐτῶν [d]τελευτήσῃ μὴ καταλιπὼν αὐταῖς γνη-
σίους ἀδελφούς, τοῖς [e]ἐγγύτατα γένους ἐπιδίκους ὁ νόμος
[f]εἶναι κελεύει, καὶ πολλοὶ συνοικοῦντες ἤδη ἀφῄρηνται
79 τὰς ἑαυτῶν γυναῖκας. εἶτα τὰς μὲν ὑπὸ τῶν πατέρων
ἐκδοθείσας διὰ τὸν νόμον ἐξ ἀνάγκης ἐπιδίκους εἶναι
προσήκει· Ξενοκλεῖ δὲ ἄν τις [g]τόδ' ἐπέτρεψε τῶν τοῦ
Πύῤῥου θείων, εἰ ἦν γνησία θυγάτηρ ἐκείνῳ [h]καταλειπο-
μένη, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς
γυναῖκα, καὶ τοσαύτης οὐσίας τοῦτον [i]καταστῆναι κλη-
80 ρονόμον ἀνθ' ἑαυτῶν; μὴ νομίσητε ὑμεῖς, ὦ ἄνδρες· οὐδεὶς
[k]γὰρ ἀνθρώπων μισεῖ τὸ λυσιτελοῦν, οὐδὲ περὶ πλείονος

[z] πρότερον] πρότεροι Reiskius.
[a] ἀδελφιδῷ] ἀδελφῷ Z.
[b] καταλειπομένην] καταλιπομένην B.L.Z.
[c] πατέρων A.B.L. vulg. πατρώων. Sic et v. 25.
[d] τελευτήσῃ] vulg. τελευτήσας.
[e] ἐγγύτατα] ἐγγύτητα Z.
[f] εἶναι] om. Z.
[g] τόδ'] vulg. τῷδ'.
[h] καταλειπομένη] καταλιπομένη B.L.Z.
[i] καταστῆναι Reiskius: libri καταστῆσαι.
[k] γὰρ ἀνθρώπων μισεῖ τὸ λυσιτελοῦν, οὐδὲ περὶ πλείονος τοὺς ἀλλοτρίους ἑαυτοῦ A. γὰρ ἑαυτοῦ B.L.Z. vulg. γὰρ ἄλλους περὶ πλείονος ἑαυτοῦ.

τοὺς ἀλλοτρίους ἑαυτοῦ ποιεῖται. ἐὰν οὖν προφασίζωνται διὰ τὴν τοῦ Ἐνδίου ποίησιν μὴ ἐπίδικον εἶναι τὴν γυναῖκα, καὶ διὰ ταῦτα μὴ φῶσιν ἀμφισβητῆσαι αὐτῆς, πρῶτον μὲν ἐκεῖνα αὐτοὺς ἐρέσθαι χρή, εἰ ὁμολογοῦντες τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύρρου γενέσθαι ἐπε-
81 σκημμένοι εἰσὶ τοῖς μεμαρτυρηκόσι ταῦτα, εἶτα [τι] παρελθόντες τὸν τελευταῖον τοῦ οἴκου γεγενημένον κληρονόμον τοῦ [l] Πύρρου κλήρου τὴν λῆξιν λαχεῖν ἠξίωσαν παρὰ τὸν νόμον. πρὸς δὲ τούτοις ἐκεῖνο αὐτοὺς ἔρεσθε, εἴ τις τῶν γνησίων [m] αὐτοῦ ἐπιδικάζεσθαι ἀξιοῖ. ταῦτα πρὸς τὴν
82 ἀναίδειαν αὐτῶν πυνθάνεσθε. ὡς δ' ἦν ἐπίδικος ἡ γυνή, εἴπερ γνησία [n] καταλειφθείη, ἐκ τῶν νόμων σαφέστατα μαθεῖν ἔστι τοῦτο. ὁ γὰρ νόμος διαῤῥήδην λέγει ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ τις τὰ αὑτοῦ, ἐὰν μὴ παῖδας γνησίους [o] καταλίπῃ ἄῤῥενας· ἂν δὲ θηλείας καταλίπῃ,
83 [p] σὺν ταύταις. οὐκοῦν μετὰ τῶν θυγατέρων ἔστι δοῦναι καὶ διαθέσθαι τὰ αὑτοῦ· ἄνευ δὲ τῶν γνησίων θυγατέρων οὐχ οἵόντε οὔτε ποιήσασθαι οὔτε δοῦναι οὐδενὶ
84 οὐδὲν τῶν ἑαυτοῦ. οὐκοῦν εἰ μὲν ἄνευ τῆς γνησίας θυγατρὸς τὸν [q] Ἔνδιον Πύῤῥος ἐποιεῖτο υἱὸν αὑτῷ, ἄκυρος ἂν ἦν [r] αὐτοῦ ἡ ποίησις κατὰ τὸν νόμον· εἰ δὲ τὴν θυγατέρα ἐδίδου καὶ ἐπὶ [s] τούτῳ ποιησάμενος κατέλιπε, πῶς ἂν ὑμεῖς ἐπετρέψατε ἐπιδικάζεσθαι, τῷ τοῦ Πύῤῥου θείῳ, τὸν [q] Ἔνδιον τοῦ Πύῤῥου κλήρου ἄνευ τῆς γνησίας θυγατρός, εἰ ἦν ἐκείνῳ, ἄλλως τε [t] εἰ καὶ ἐμαρτυρήσατε ὡς

[l] Πύῤῥου κλήρου τὴν A.B. vulg. Πύῤῥου τήν.
[m] τῶν αὐτοῦ Reiskius: libri om. articulum.
[n] κατελείφθη] καταλειφθείη A. B.L.Z.
[o] καταλίπῃ] καταλείπῃ pr. A.
[p] σὺν] vulg. ἐπί.
[q] Ἔνδιον] εὔδιον Z. qui sic etiam p. 45, 1.
[r] αὐτοῦ] αὐτῷ L.
[s] τούτῳ] τοῦτο Z.
[t] εἰ καὶ ἐμαρτυρήσατε A. B. vulg. εἰ ἐμαρτυρήσατε.

ἐπέσκηψεν ὑμῖν ὁ [u] ἀδελφιδοῦς ἐπιμελεῖσθαι τούτου τοῦ
85 παιδίου; ἀλλ' ὦ γαθέ, τοῦτο μὲν καὶ λαθεῖν φήσαιτ' ἂν
ὑμᾶς· [x] ὅτε δ' [y] ἐνεγύα καὶ ἐξεδίδου ὁ Ἔνδιος τὴν γυ-
ναῖκα, ἐπετρέπετε ὑμεῖς οἱ θεῖοι τὴν τοῦ [z] ἀδελφιδοῦ τοῦ 5
ὑμετέρου αὐτῶν ὡς ἐξ ἑταίρας οὖσαν ἐκείνῳ ἐγγυᾶσθαι,
ἄλλως τε καὶ παραγενέσθαι φάσκοντες, ὅτε ὁ ἀδελφι-
δοῦς ὑμῶν [a] ἐνεγυᾶτο τὴν μητέρα τὴν ταύτης κατὰ νόμους
ἔζειν γυναῖκα, ἔτι δὲ καὶ ἐν τῇ δεκάτῃ [b] τῇ ταύτης κλη-
86 θέντες [c] συνεστιᾶσθαι. πρὸς δὲ τούτοις (τουτὶ γὰρ τὸ δει-
νόν ἐστιν) ἐπισκῆψαι φάσκοντες ὑμῖν τὸν ἀδελφιδοῦν
ἐπιμελεῖσθαι [d] τούτου τοῦ παιδίου, οὕτως ἐπεμελήθητε
ὥστ' [e] ἐᾶσαι ὡς ἐξ ἑταίρας οὖσαν αὐτὴν ἐγγυᾶσθαι, ἄλ- 10
λως τε καὶ ἔχουσαν τοὔνομα τῆς ὑμετέρας αὐτῶν ἀδελ-
φῆς, ὡς ἐμαρτυρεῖτε.

87 Ἐκ τοίνυν τούτων, ὦ ἄνδρες, καὶ ἐξ αὐτοῦ τοῦ πράγ-
ματος ῥᾴδιόν ἐστι γνῶναι ὅσον ἀναισχυντότατοι ἀνθρώπων
εἰσὶν οὗτοι. τίνος γὰρ ἕνεκα, εἰ ἦν γνησία θυγάτηρ τῷ
ἡμετέρῳ θείῳ καταλειπομένη, ποιησάμενος ὁ θεῖος κατ-
88 έλιπε τὸν ἐμὸν ἀδελφὸν υἱὸν ἑαυτῷ; πότερον ὅτι προσή- 15
κοντες αὐτῷ ἐγγυτέρω γένους ἡμῶν ἦσαν ἄλλοι, οὓς βου-
λόμενος τὴν ἐπιδικασίαν τῆς θυγατρὸς ἀποστερῆσαι ἐποι-
εῖτο τὸν ἀδελφὸν υἱὸν [f] αὐτῷ; ἀλλ' οὔτε ἐγένετο οὔτ' ἔστι.
μὴ γενομένων δὲ παίδων γνησίων ἐκείνῳ ἐγγυτέρω ἡμῶν
[g] οὐδὲ εἷς· ἀδελφὸς μὲν γὰρ οὐκ ἦν αὐτῷ οὐδ' ἀδελφοῦ
89 παῖδες, ἐκ δὲ τῆς ἀδελφῆς ἡμεῖς ἦμεν αὐτῷ. ἀλλὰ νὴ
Δία ἄλλον τινὰ ποιησάμενος τῶν συγγενῶν ἔδωκεν ἂν

[u] ἀδελφιδοῦς] ἀδελφὸς Z.
[x] ὅτε] ὅτι Z. qui sic et v. 6.
[y] ἐνεγύα B. et correctus A.
[z] ἀδελφιδοῦ A. vulg. ἀδελφοῦ.
[a] ἐνεγυᾶτο B. et correctus A.
[b] τῇ ταύτης B.L. ceteri om. articulum.
[c] συνεστιᾶσθαι] συνίστασθαι A.
[d] τούτου] om. pr. A.
[e] ἐᾶσαι] σαι Z.
[f] αὐτῷ] ἑαυτῷ Z.
[g] οὐδὲ εἷς A. vulg. οὐδείς.

ἔχειν τὸν κλῆρον καὶ τὴν θυγατέρα τὴν ἑαυτοῦ; καὶ τί [20]
[h] αὐτὸν ἔδει [i] καταφανῶς καὶ ὁτῳοῦν [k] ἀπέχθεσθαι τῶν οἰκείων, ἐξόν, εἴπερ ἦν ἐγγεγυημένος τὴν ἀδελφὴν τὴν Νικοδήμου, τὴν θυγατέρα τὴν ἐκ ταύτης ἀποφανθεῖσαν εἶναι εἰς τοὺς φράτορας εἰσαγαγόντι ὡς οὖσαν γνησίαν ἑαυτῷ, ἐπὶ ἅπαντι τῷ κλήρῳ ἐπίδικον καταλιπεῖν αὐτήν, καὶ ἐπισκῆψαι τῶν γιγνομένων τῆς θυγατρὸς παίδων εἰσα-
90 γαγεῖν [l] υἱὸν ἑαυτῷ. δῆλον μὲν γὰρ ὅτι [m] ἐπίκληρον καταλιπὼν ἀκριβῶς ἂν ἤδει ὅτι δυοῖν θάτερον ἔμελλεν [25]
ὑπάρχειν αὐτῇ· ἢ γὰρ ἡμῶν τινὰ [n] τῶν ἐγγύτατα γένους ἐπιδικασάμενον ἔξειν γυναῖκα, ἢ εἰ μηδεὶς ἡμῶν ἐβούλετο λαμβάνειν, τῶν θείων τινὰ [o] τούτων τῶν μαρτυρούντων, εἰ δὲ μή, τῶν ἄλλων τινὰ συγγενῶν τὸν αὐτὸν τρόπον περὶ πάσης τῆς οὐσίας ἐπιδικασάμενον κατὰ τοὺς νόμους
91 [p] ἔξειν [q] ταύτην γυναῖκα. οὐκοῦν ἐκ μὲν τοῦ τὴν θυγατέρα εἰς τοὺς φράτορας εἰσαγαγεῖν καὶ μὴ ποιήσασθαι τὸν [30]
ἐμὸν ἀδελφὸν υἱὸν αὐτῷ, [r] ταῦτα διεπράξατο· ἐκ δὲ [s] τοῦ τὸν μὲν ποιήσασθαι, τὴν δὲ μὴ εἰσαγαγεῖν, τὴν μὲν νόθην, ὥσπερ αὐτῷ προσῆκε, καὶ ἄκληρον κατέστησε, τὸν
92 δὲ κληρονόμον κατέλιπε [t] τῶν ἑαυτοῦ. ἀλλὰ μὴν [u] ὥς γε οὔτε γαμηλίαν εἰσήνεγκεν ὁ θεῖος ἡμῶν, οὔτε τὴν θυγατέρα, ἣν φασι γνησίαν [x] αὐτῷ εἶναι οὗτοι, εἰσαγαγεῖν εἰς τοὺς φράτορας ἠξίωσε, καὶ [y] ταῦτα νόμου ὄντος αὐτοῖς,

[h] αὐτὸν ἔδει A.B. αὐτῷ L.Z. vulg. ἐχρῆν αὐτόν.
[i] καταφανῶς] καταφανὲς Z.
[k] ἀπέχθεσθαι] ἀπέχεσθαι Z.
[l] υἱὸν] om. pr. A.
[m] ἐπίκληρον καταλιπὼν pr. A. vulg. ἐπίκληρον μὲν καταλιπών.
[n] τῶν] τὸν Z.
[o] τούτων] om. pr. A.
[p] ἔξειν Reiskius: libri ἔχειν.
[q] ταύτην] ταύτην τὴν Z.
[r] ταῦτα A.B.L. τοῦτο Z. vulg. ταῦτ' ἄν.
[s] τοῦ τὸν] τοῦ τοῦτον A.B. τούτου τὸν L. τούτου τὴν Z.
[t] τῶν ἑαυτοῦ] τὸν ἑαυτοῦ Z.
[u] ὥσγε] ὥστε A.B.L.Z.
[x] αὐτῷ] om. pr. A.
[y] ταῦτα νόμου A.B. vulg. ταῦτα τοῦ νόμου.

ἀναγνώσεται δὲ ὑμῖν τὴν τῶν φρατόρων τῶν ἐκείνου μαρ- 35
τυρίαν. Ἀναγίνωσκε· σὺ δ' [z] ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΙΑ.

[a] Λάβε δὲ καὶ ὡς ἐποιήσατο τὸν ἐμὸν ἀδελφὸν υἱὸν
αὐτῷ.

ΜΑΡΤΥΡΙΑ.

93 Εἶτα ὑμεῖς τὴν Νικοδήμου μαρτυρίαν τῶν αὐτοῦ τοῦ
θείου ἐκμαρτυριῶν πιστοτέραν [b] ἡγήσεσθε [c] εἶναι, καὶ τὴν
οὕτω κοινὴν τοῖς βουλομένοις γεγενημένην, ταύτην ἐπιχει-
ρήσει τις ὑμᾶς πείθειν ὅτι ἐγγυητὴν γυναῖκα ὁ ἡμέτερος 40
94 θεῖος ἔσχεν; ἀλλ' [d] ὑμεῖς, ὡς ἔγωγ' οἶμαι, οὐ [e] πιστεύ-
σετε, ἐὰν μὴ ἀποφαίνῃ ὑμῖν, ὅπερ ἀρχόμενος εἶπον τοῦ
λόγου, πρῶτον μὲν ἐπὶ τίνι προικὶ οὗτος ἐγγυῆσαι τῷ
Πύῤῥῳ φησὶ τὴν ἀδελφήν, ἔπειτα πρὸς ὁποῖον ἄρχοντα ἡ
ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ἢ τὸν οἶκον τὸν αὐτοῦ,
95 εἶτα παρ' ὅτου ἐκομίσατο τὴν προῖκα αὐτῆς, ἐπειδὴ τετε-
λευτηκὼς ἦν ᾧ φησὶν αὐτὴν ἐγγυῆσαι· ἢ εἰ ἀπαιτῶν μὴ
ἐδύνατο κομίσασθαι ἐν εἴκοσιν ἔτεσιν, ὁποίαν δίκην σίτου 45
ἢ τῆς προικὸς αὐτῆς ὑπὲρ τῆς ἐγγυητῆς γυναικὸς ἐδικά-
96 σατο τῷ ἔχοντι [f] τὸν Πύῤῥου κλῆρον οὗτος. ἔτι δὲ πρὸς
τούτοις ἐπιδειξάτω [g] ὅτῳ πρότερον ἢ ὕστερον [h] ἐνεγύησεν
οὗτος τὴν ἀδελφήν, ἢ εἰ ἐξ ἄλλου τινὸς γεγενημένοι εἰσὶ
παῖδες αὐτῇ. ταῦτα οὖν ἀξιοῦτε πυνθάνεσθαι παρ' αὐτοῦ,
καὶ περὶ τῆς τοῖς φράτορσι γαμηλίας μὴ ἀμνημονεῖτε. 5
97 οὐ γὰρ τῶν ἐλαχίστων πρὸς τὴν [i] τούτου μαρτυρίαν τεκ-

[z] ἐπίλαβε Stephanus: libri ἐπί-
βαλλε.
[a] λάβε δὲ καὶ] vulg. λάβε καὶ.
[b] ἡγήσεσθε] vulg. ἡγεῖσθε.
[c] εἶναι] om. Z.
[d] ὑμεῖς ὡς ἔγωγ' οἶμαι οὐ A.B. vulg. ὑμεῖς οὐ.
[e] πιστεύσετε Aldus: libri πι-
στεύετε.
[f] τὸν Πύῤῥου A. B. vulg. τοῦ Πύῤῥου.
[g] ὅτῳ] vulg. ὅτι.
[h] ἐνεγύησεν B. et correctus A.
[i] τούτου] τούτων A.

μήριόν ἐστι τοῦτο. δῆλον γὰρ ὅτι, εἰ ἐπείσθη ἐγγυήσασθαι, ἐπείσθη ἂν καὶ γαμηλίαν ὑπὲρ αὐτῆς τοῖς φράτορσιν εἰσενεγκεῖν καὶ εἰσαγαγεῖν τὴν ἐκ ταύτης ἀποφανθεῖσαν θυγατέρα ὡς γνησίαν οὖσαν αὐτῷ, καὶ [ἔν τε τῷ δήμῳ] [k] κεκτημένος τὸν τριτάλαντον οἶκον, εἰ ἦν γεγαμη-
98 κώς, ἠναγκάζετο ἂν ὑπὲρ τῆς [l] γαμετῆς γυναικὸς καὶ θεσμοφόρια ἑστιᾶν τὰς γυναῖκας, καὶ τἆλλα ὅσα προσῆκε λειτουργεῖν ἐν τῷ δήμῳ ὑπὲρ τῆς γυναικὸς ἀπό γε οὐσίας τηλικαύτης. οὐ τοίνυν φανεῖται οὐδὲν τούτων γεγενημένον οὐδεπώποτε. οἱ μὲν οὖν φράτορες μεμαρτυρήκασιν ὑμῖν. λάβε δὴ καὶ τὴν τῶν δημοτῶν [m] τῶν ἐκείνου μαρτυρίαν.

[a] ΠΕΡΙ ΤΟΥ ΝΙΚΟΣΤΡΑΤΟΥ ΚΛΗΡΟΥ.

Δ.

ΥΠΟΘΕΣΙΣ.

Νικοστράτου ἐν ὑπερορίᾳ τελευτήσαντος, Ἄγνων καὶ [b] Ἀγνόθεος [c] ὡς ὄντες ἀνεψιοὶ ἐκ [d] πατραδέλφου ἀμφισβητοῦσι τοῦ κλήρου πρὸς Χαιρίδην, φάσκοντα κληρονόμον αὐτοῦ εἶναι κατὰ δόσιν, ὃ ἐστι κατὰ διαθήκας. Ἰσαῖος οὖν ὁ ῥήτωρ, ὡς συγγενὴς ὢν τῶν περὶ τὸν Ἄγνωνα, λέγει συνηγορῶν αὐτοῖς. Ἡ στάσις στοχασμός.

ΕΠΙΤΗΔΕΙΟΙ μοι τυγχάνουσιν, ὦ ἄνδρες, ὄντες Ἄγνων τε οὑτοσὶ καὶ Ἀγνόθεος, καὶ ὁ πατὴρ αὐτῶν ἔτι πρότερον.

[k] κεκτημένος A. cum Valcken. Adon. p. 313. C. κεκτημένοι B. κεκτημένη L.Z.

[l] γαμετῆς] om. Z.

[m] τῶν ἐκείνου] vulg. om. articulum.

[a] ΠΕΡΙ A.B. vulg. ὑπέρ.

[b] Ἀγνόθεος A. Ἀγνώθεος B.Z. vulg. Ἀγνόθεος.

[c] ὡς ὄντες A.B. ὡς ὄντος Z. vulg. ὄντες.

[d] πατραδέλφου] vulg. πατραδέλφων.

εἰκὸς οὖν μοι δοκεῖ εἶναι, ὡς ἂν οἷός τε ὦ, συνειπεῖν αὐ-
τοῖς.

2 Περὶ μὲν οὖν τῶν ἐν τῇ ὑπερορίᾳ πραχθέντων [c] οὔτε μάρτυρας ἐξευρεῖν οἷόν τε, οὔτε τοὺς ἀντιδίκους, ἐάν τι ψεύδωνται, ἐλέγχειν ῥᾴδιον, διὰ τὸ μηδέτερον τούτων ἐκεῖσε ἀφῖχθαι· τὰ δὲ ἐνθάδε συμβεβηκότα [f] δοκεῖ μοι ὑμῖν ἱκανὰ γενέσθαι ἂν τεκμήρια, ὅτι ἅπαντες οἱ κατὰ τὴν δόσιν [g] τῶν Νικοστράτου ἀμφισβητοῦντες ἐξαπατῆ-
3 σαι ὑμᾶς βούλονται. Πρῶτον μὲν οὖν, ὦ ἄνδρες, περὶ τῆς τῶν ὀνομάτων ἐπιγραφῆς ἄξιόν ἐστιν ἐξετάσαι, καὶ σκέψασθαι ὁπότεροι [h] ἁπλούστερον καὶ κατὰ φύσιν μᾶλ-
4 λον τὰς λήξεις ἐποιήσαντο. [i] Ἄγνων μὲν γὰρ οὗτοσὶ καὶ [k] Ἀγνόθεος Θρασυμάχου ἐπεγράψαντο τὸν Νικόστρατον, καὶ ἑαυτοὺς ἐκείνῳ ἀνεψιοὺς ἀποφαίνουσι, καὶ τούτων μάρτυρας παρέχονται· Χαριάδης δὲ καὶ οἱ συνδικοῦντες αὐτῷ [i] Σμίκρου μὲν [k] πατρὸς εἶναί φασι τὸν Νικόστρατον,
5 ἀμφισβητοῦσι δὲ τοῦ Θρασυμάχου υἱοῦ κλήρου. καὶ οἵδε μὲν οὐδὲ προσποιοῦνται ἐκείνου τοῦ ὀνόματος οὔτε γινώσκειν οὔτε προσήκειν αὐτοῖς· φασὶ μὲν οὖν εἶναι Θρασυμάχου Νικόστρατον, τούτου δὲ ὁμοίως τῆς οὐσίας ἀμ-
6 φισβητοῦσι. καὶ εἰ μὲν τὸ ὄνομα [l] πατρόθεν [m] τὸ αὐτὸ ὡμολόγουν εἶναι [n] τοῦ Νικοστράτου, περὶ δὲ τοῦ κλήρου μόνου διεφέροντο, οὐδὲν ἂν ἔδει ὑμᾶς σκέψασθαι ἀλλ' εἴ τι διέθετο ἐκεῖνος ὁ Νικόστρατος, ὃν ἀμφότεροι ὡμολόγουν· νῦν δὲ πῶς [o] οἰόντε τῷ ἀνδρὶ δύο πατέρας ἐπιγρά-

[c] οὔτε] ὡς οὔτε A.B.Z.
[f] δοκεῖ ὑμῖν] δοκεῖ μοι ὑμῖν A.B.
[g] τῶν Νικοστράτου B. et rec. A. qui pr. om. articulum: vulg. τοῦ Νικοστράτου.
[h] ἁπλούστερον] ἁπλούστεροι Z.
[i] Σμίκρου A.B. vulg. Σμικροῦ.
[k] πατρὸς] πνεύματος Z.
[l] πατρόθεν] Addidi ex A.
[m] τὸ αὐτὸ A.B. αὐτῷ Z. vulg. αὐτοῦ.
[n] τοῦ] Malim τό.
[o] οἰόντε] οἴονται Z.

ψασθαι; τοῦτο γὰρ Χαριάδης πεποίηκεν· αὐτός τε γὰρ ἔλαχε τοῦ Σμίκρου Νικοστράτου, τούτοις δὲ τοῦ Θρασυμάχου λαχοῦσι παρακατέβαλεν ὡς τὸν αὐτὸν ὄντα.
7 ἔστι μὲν οὖν ἅπαντα ταῦτα ἐπήρεια καὶ παρασκευή. ἡγοῦνται γὰρ τούτους, ἁπλοῦ μὲν ὄντος τοῦ πράγματος καὶ μηδεμιᾶς αὐτοῖς ταραχῆς ἐγγιγνομένης, οὐ [p]χαλε- 47
πῶς ἐπιδείξειν ὅτι οὐδὲν Νικόστρατος διεθετο· ἐὰν δὲ μὴ τὸν πατέρα τὸν αὐτὸν εἶναι φῶσι, τοῦ δὲ κλήρου μηδὲν ἧττον ἀμφισβητῶσιν, ἀκριβῶς ἴσασιν ὅτι πλείονι λόγῳ εἰπεῖν [q]τουτουσὶ δεήσει ὡς Νικόστρατος Θρασυμάχου ἦν
8 ἢ ὡς οὐδὲν διεθετο. ἔτι δὲ καὶ ὁμολογοῦντες Θρασυμάχου μὲν εἶναι τὸν Νικόστρατον οὐκ ἂν εἶχον ἐξελέγξαι τούσδε ὡς οὐκ εἰσὶν ἐκείνῳ ἀνεψιοί· ἄλλον δὲ πατέρα τῷ τεθνεῶτι κατασκευάζοντες οὐ μόνον περὶ τῶν διαθηκῶν ἀλλὰ καὶ περὶ τοῦ γένους λόγον [r]ἐμβεβληκασιν.

9 Οὐκ ἐκ τούτων δὲ μόνον [s]γνοίητ' ἂν ὅτι ἄλλοι τινές εἰσιν οἱ ταῦτα ἐπὶ [t]τουτουσὶ ἐπάγοντες, ἀλλὰ καὶ ἐκ τῶν κατ' ἀρχὰς γεγενημένων. τίς γὰρ οὐκ ἀπεκείρατο, ἐπειδὴ τὼ [u]δύο ταλάντω [x]ἐξάκις ἦλθετον; ἢ τίς οὐ μέλαν ἱμάτιον ἐφόρεσεν, ὡς διὰ τὸ πένθος κληρονομήσων 10
τῆς οὐσίας; ἢ πόσοι συγγενεῖς καὶ [y]υἱεῖς κατὰ δόσιν
10 προσεποιήσαντο τῶν Νικοστράτου; Δημοσθένης μέν γε ἀδελφιδοῦς ἔφη αὐτῷ εἶναι, ἐπειδὴ δ' [z]ἐξηλέγχθη ὑπὸ τούτων, ἀπέστη· Τήλεφος δὲ δοῦναι αὐτῷ Νικόστρατον ἅπαντα τὰ ἑαυτοῦ· καὶ οὗτος οὐ πολλῷ ὕστερον ἐπαύσατο. Ἀμινιάδης δὲ υἱὸν αὐτῷ πρὸς τὸν ἄρχοντα ἦκεν

[p] χαλεπῶς A.B. vulg. χαλεπόν.
[q] τουτουσὶ] vulg. τούτοις.
[r] ἐμβεβλήκασιν] ἐμβεβήκασιν B. Z.
[s] γνοίητ'] γνοίτ' B.
[t] τουτουσὶ A.B. vulg. τουτουσίν.
[u] δύο A.B. vulg. δύω: Z. om.
[x] ἐξάκις] ἑξάκις Z. ἐξ Ἄκης Valcken. Diatrib. in Eurip. p. 294.
[y] υἱεῖς] υἱοῖς Z.
[z] ἐξηλέγχθη] ἐξηλέγχη A.B.

ἄγων οὐδὲ τριετῆ γεγονότα, καὶ ταῦτ' οὐκ ἐπιδεδημηκό-
11 τος τοῦ Νικοστράτου ἔνδεκα ἐτῶν Ἀθήνησι. Πύρρος δὲ ὁ
Λαμπρεὺς τῇ μὲν Ἀθηνᾷ ἔφη τὰ χρήματα ὑπὸ Νικο-
στράτου καθιερῶσθαι, αὐτῷ δ' ὑπ' αὐτοῦ ἐκείνου δεδό-
σθαι. Κτῆσις δ' ὁ Βησαιεὺς καὶ Κραναὸς τὸ μὲν πρῶ-
τον δίκην ἔφασαν τοῦ Νικοστράτου ταλάντου καταδεδι-
κάσθαι, ἐπειδὴ δ' οὐκ εἶχον τοῦτο ἀποδεῖξαι, ἀπελεύθε-
ρον αὐτὸν ἑαυτῶν προσεποιήσαντο εἶναι· καὶ οὐδ' οὗτοι ἃ
12 ἔλεγον ἀπέδειξαν. καὶ οἱ μὲν εὐθὺς κατὰ τὰ πρῶτα ἐπὶ
[a] τὰ Νικοστράτου [b] ἄξαντες οὗτοί εἰσι· Χαριάδης δὲ τότε
μὲν οὐδαμοῦ ἠμφισβήτησεν, ὕστερον δὲ οὐ μόνον αὐτὸς
ἀλλὰ καὶ τὸ ἐκ τῆς ἑταίρας παιδίον εἰσποιῶν ἦλθε.
τοῦτο δ' ἦν αὐτῷ ὡς ἢ τῶν χρημάτων κληρονομήσοντι ἢ τὸ
13 παιδίον ἀστὸν ποιήσοντι. [c] αἰσθόμενος δὲ καὶ οὗτος ὅτι
περὶ τοῦ γένους ἐλεγχθήσοιτο, τὴν μὲν τοῦ παιδίου ἀμ-
φισβήτησιν παρέλυσεν, ἑαυτῷ δὲ κατὰ δόσιν παρακατέ-
βαλεν.

Ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες, ὅστις κατὰ δόσιν χρημάτων
ἀμφισβητῶν ἡττηθείη, μὴ κατὰ τὸ τέλος ζημιοῦσθαι,
ἀλλ' ἐφ' ὅσαπερ λῃψόμενος [d] ἦει, τοσαῦτα τῇ πόλει ἀπο-
14 τίνειν· οὕτω γὰρ οὔθ' οἱ νόμοι κατεφρονοῦντο οὔτε τὰ γένη
ὑβρίζετο [e] πρὸς τούτων, οὐδ' ἂν τῶν τεθνεώτων οὐδεὶς κατ-
εψεύδετο. ἐπειδὴ δὲ ἅπασι καὶ τῶν ἀλλοτρίων ἁπάν-
των, καθ' ὅ τι ἄν τις βούληται, ἀμφισβητεῖν ἔξεστιν,
ὑμᾶς χρὴ περὶ αὐτῶν ὡς οἷόν τ' ἀκριβέστατα ἐξετάζειν
15 καὶ μηδὲν εἰς ὅσον δύνασθε παραλείπειν. ἐν μόναις δὲ
ταῖς τῶν κλήρων εἰσαγωγαῖς δοκεῖ μοι προσήκειν τεκμη-
ρίοις μᾶλλον ἢ μάρτυσι πιστεύειν. περὶ μὲν γὰρ τῶν

[a] τὰ Νικοστράτου] τοῦ Νικοστράτου Z. et pr. A.
[b] ἄξαντες] ἀίξαντες A.B. ἀΐξαντες Z.
[c] αἰσθόμενος] ἠσθόμενος Z.
[d] ἦει] Malim ἴοι vel ᾖει.
[e] πρὸς] πρὸ δὲ A.B.Z.

ἄλλων συμβολαίων οὐ πάνυ χαλεπὸν τοὺς τὰ ψευδῆ
μαρτυροῦντας ἐλέγχειν· ζῶντος γὰρ καὶ παρόντος τοῦ
16 πράξαντος καταμαρτυροῦσι· περὶ δὲ τῶν διαθηκῶν πῶς
ἄν τις γνοίη τοὺς μὴ τἀληθῆ λέγοντας, εἰ μὴ πάνυ με- 35
γάλα τὰ διαφέροντα εἴη, αὐτοῦ μὲν καθ' οὗ μαρτυροῦσι
τεθνεῶτος, τῶν δὲ συγγενῶν μηδὲν τῶν πεπραγμένων εἰδό-
17 των, τοῦ δὲ ἐλέγχου μηδαμῶς ἀκριβοῦς γινομένου; ἔτι δὲ,
ὦ ἄνδρες, καὶ τῶν [f] διατιθεμένων οἱ πολλοὶ οὐδὲ λέγουσι
τοῖς παραγινομένοις ὅ τι διατίθενται, ἀλλ' αὐτοῦ μόνου
τοῦ καταλιπεῖν διαθήκας μάρτυρας παρίστανται, τοῦ δὲ
συμβαίνοντός ἐστι καὶ γραμματεῖον ἀλλαγῆναι καὶ τὰ- 40
ναντία ταῖς τοῦ τεθνεῶτος διαθήκαις μεταγραφῆναι· οὐδὲν
γὰρ μᾶλλον οἱ μάρτυρες εἴσονται, εἰ ἐφ' αἷς ἐκλήθησαν
18 διαθήκαις, αὗται ἀποφαίνοιντο. ὁπότε [g] δὲ καὶ τοὺς ὁμο-
λογουμένως παραγενομένους οἷόντ' ἐστὶν ἐξαπατῆσαι,
πῶς οὐκ ἂν ὑμᾶς γε τοὺς μηδὲν τοῦ πράγματος εἰδότας
πολὺ μᾶλλον ἑτοιμότερόν τις παρακρούσασθαι ἐγχειρή-
σαι; ἀλλὰ μὴν καὶ ὁ νόμος, ὦ ἄνδρες, οὐκ ἐάν τις δια- 48
θῆται μόνον, κυρίας εἶναι κελεύει τὰς διαθήκας, ἀλλὰ
19 ἐὰν εὖ φρονῶν. σκεπτέον δὴ ὑμῖν πρῶτον μὲν εἰ [h] ἐποιή-
σατο τὰς διαθήκας, ἔπειτα, εἰ [i] μὴ παρανοῶν διέθετο.
ἀντιλεγόντων δ' ἡμῶν μηδὲ τὸ παράπαν γενέσθαι τὰς
διαθήκας, ἐκ τίνος ἂν τρόπου, εἴ τις παρανοῶν διέθετο,
20 γνοίητε, πρὶν [k] περὶ αὐτοῦ τοῦ διαθέσθαι πιστεῦσαι; τοὺς 5
μὲν οὖν κατὰ τὴν δόσιν ἀμφισβητοῦντας ὁρᾶτε ὅσον ἔργον
ἐστὶν αἰσθέσθαι εἰ ἀληθῆ λέγουσι· τοὺς δὲ κατὰ τὸ γένος
πρῶτον μὲν [l] οὐδὲν δεῖ μάρτυρας παρασχέσθαι ὡς αὐτῶν

[f] διατιθεμένων] διαθεμένων pr. A.
[g] δὲ] δὴ B.
[h] ἐποιήσατο] ἐποιήσατε Z.
[i] μὴ] μὲν B.Z. C. μὲν an μὴ habeat, incertum est; habet autem a rec. manu et supra versum.
[k] περὶ] om. A.
[l] οὐδὲν A.B. vulg. οὐ.

ἐστὶν ὁ κλῆρος (παρὰ πάντων γὰρ ὡμολόγηται τοῖς ἐγ-
21 γυτάτω γένους τὰ τοῦ τελευτήσαντος γίνεσθαι), ἔπειτα
οἱ νόμοι οὐ [m] μόνον οἱ περὶ τῶν γενῶν ἀλλὰ καὶ οἱ περὶ
τῶν δόσεων τοῖς συγγενέσι βοηθοῦσι. δοῦναι μὲν γὰρ ὁ
νόμος [οὐδένα] [n] οὐδενὶ ἐᾷ τὰ ἑαυτοῦ, ἐὰν ὑπὸ γήρως ἢ
ὑπὸ νόσου ἢ ὑπὸ τῶν ἄλλων ἃ καὶ ὑμεῖς ἴστε παρανοήσῃ·
κατὰ δὲ τὸ γένος καὶ τὰ τοῦ ὀπωσοῦν διακειμένου ὁ ἐγ-
22 γύτατα γένους ἀναμφισβητήτως λαμβάνει. χωρὶς δὲ
τούτων ταῖς μὲν διαθήκαις διὰ μαρτύρων ὑμᾶς δεῖ πι-
στεῦσαι, ὑφ' ὧν [o] ἕνι καὶ ἐξαπατηθῆναι (οὐ γὰρ [p] ἂν ἦσαν
ψευδομαρτυριῶν ἐπισκήψεις), τῇ δ' ἀγχιστείᾳ δι' ὑμῶν
αὐτῶν· κατὰ γὰρ τοὺς νόμους οἱ συγγενεῖς ἀμφισβητοῦ-
23 σιν, οὓς ὑμεῖς ἔθεσθε· πρὸς δὲ τούτοις, ὦ ἄνδρες, εἰ [q] μὲν
οἱ κατὰ τὰς [r] διαθήκας ἀμφισβητοῦντες ὁμολογουμένως
Νικοστράτῳ ἐπιτήδειοι ὄντες ἐτύγχανον, τὸ μὲν ἀκριβὲς
οὐδ' ἂν οὕτως, ὅμως μέντοι μᾶλλον εἰκὸς ἦν ἀληθεῖς εἶναι
24 δόξειν τὰς διαθήκας· ἤδη γάρ τινες οὐκ εὖ διακείμενοι
τοῖς συγγενέσιν ὀθνείους φίλους τῶν πάνυ σφόδρα προση-
κόντων περὶ πλείονος ἐποιήσαντο· νῦν δὲ οὔτε συσσίτους
οὔτε φίλους οὔτ' ἐν τάξει τῇ αὐτῇ. τούτων δ' ὑμῖν μάρτυ-
25 ρας ἁπάντων παρεσχήμεθα. Ὁ δὲ μέγιστον, καὶ μά-
λιστα τῆς [s] Χαριάδου ἀναισχύντου καταμαρτυρεῖ, τοῦτο
σκέψασθε. ὅπου γὰρ τὸν αὐτὸν [t] ποιησάμενον [κληρονόμον]
οὔτ' ἀποθανόντα ἀνείλετο οὔτ' ἔκαυσεν οὔτε ὠστολόγησεν,
ἀλλὰ πάντα τοῖς μηδὲν προσήκουσι παρῆκε ποιῆσαι,
πῶς οὐκ [ἂν] ἀνοσιώτατος εἴη, [u] ὃς τῷ τεθνεῶτι μηδὲν
τῶν νομιζομένων ποιήσας τῶν χρημάτων αὐτοῦ κληρονο-

[m] μόνον οἱ] μόνον οὐ Z.
[n] οὐδενὶ] Malim οὐδένα οὐδενί.
[o] ἔνι] ἐνὶ Z.
[p] ἂν] om. Z.
[q] μὲν οἱ κατὰ] vulg. μὲν κατά.
[r] διαθήκας] συνθήκας Z.
[s] Χαριάδου] Χαρίδου B.
[t] ποιησάμενον οὔτ'] vulg. ποιησάμενον κληρονόμον οὔτ'.
[u] ὃς τῷ] ὥστε τῷ εἶναι Z.

μεῖν ἀξιοῖ; ἀλλὰ νὴ Δία ἐπειδὴ τούτων οὐδὲν ἐποίησε, τὴν οὐσίαν τοῦ Στρατονίκου [x] διεχείρισεν; ἀλλὰ καὶ [y] ταῦτα μεμαρτύρηται ὑμῖν, καὶ τὰ πλεῖστα οὐδ' αὐτὸς [z] ἀρνεῖται. προφάσεις δὲ οἴομαι ἀναγκαίας ἐφ' ἑκάστας τῶν πράξεων εὑρῆσθαι· τί γὰρ ὑπολείπεται τῷ διαρρήδην ὁμολογοῦντι;

27 Σαφῶς μὲν οὖν ἴστε, ὦ ἄνδρες, ὅτι οὗτοι οὐ δικαίως τῶν Στρατονίκου ἐφίενται, ἀλλὰ βούλονται μὲν ὑμᾶς ἐξαπατῆσαι, τουτουσὶ δὲ συγγενεῖς ὄντας ἐκείνου, ἃ οἱ 28 νόμοι ἔδοσαν αὐτοῖς, ἀποστερῆσαι. οὐ μόνον δὲ Χαριάδης τοῦτο πεποίηκεν, ἀλλὰ καὶ ἄλλοι πολλοὶ [a] ἤδη τῶν ἐν τῇ ὑπερορίᾳ ἀποθνησκόντων οὐδὲ γινώσκοντες [b] ἐνίους τῆς οὐσίας ἠμφισβήτησαν· ἐνθυμοῦνται γὰρ ὅτι κατορθώσασι μὲν τὰ ἀλλότρια ἔχειν, [c] διαμαρτοῦσι δὲ μικρὸς ὁ κίνδυνος· μαρτυρεῖν δὲ καὶ τὰ ψευδῆ τινὲς ἐθέλουσιν, οἱ δ' 29 ἔλεγχοι περὶ ἀφανῶν. [d] συνελόντι πολὺ τὸ διαφέρον κατὰ γένος ἢ κατὰ δόσιν ἀμφισβητεῖν. ἀλλ' ὑμᾶς χρὴ ὦ ἄνδρες πρῶτον μὲν τὰς διαθήκας σκοπεῖν, εἰ δοκοῦσι γενέσθαι· τοῦτο γὰρ οἵ τε νόμοι ἡγοῦνται καὶ δικαιότατόν 30 ἐστι. μὴ σαφῶς [e] δὲ μήτ' αὐτοὺς τὴν ἀλήθειαν εἰδότας, μήτε τῶν μαρτύρων τοῦ τελευτήσαντος ἐπιτηδείων ὄντων, ἀλλὰ Χαριάδου τοῦ τἀλλότρια βουλομένου λαβεῖν, [f] τί ἂν εἴη δικαιότερον ἢ τοῖς συγγενέσι τὰ τοῦ [g] συγγενοῦς ψηφίζεσθαι; καὶ γὰρ [h] εἴ τι οἴδε ἔπαθον, οὐδενὶ ἂν ἄλλῳ ἢ Νικοστράτῳ τὰ τούτων [i] ἐγένετο· κατὰ γὰρ τὸ αὐτὸ

[x] διεχείρισεν] διεχείρησεν Z.
[y] ταῦτα μεμαρτύρηται ὑμῖν A.B. vulg. ταῦτα ὑμῖν.
[z] ἀρνεῖται] vulg. ἀνεῖται.
[a] ἤδη τῶν] vulg. ἤδη δὲ τῶν.
[b] ἐνίους] ἐκείνους Z.
[c] διαμαρτοῦσι] διαμαρτυροῦσι Z.
[d] συνελόντι πολὺ] vulg. συνελόντι δὲ πολύ.
[e] δὲ A.B. vulg. δή.
[f] τί ἂν δικαιότερον Z. vulg. τί ἄν τι δικαιότερον.
[g] συγγενοῦς ψηφίζεσθαι. καὶ A.B. vulg. συγγενοῦς. καὶ.
[h] εἴτι οἵδε A.B. οἵδε τι Z. vulg. οἵδε εἴτι.
[i] ἐγένετο Z. vulg. ἐγένοντο.

γένος ἂν ἠμφισβήτει, ἀνεψιὸς ὢν αὐτοῖς ἐκ πατραδέλφων.
31 Μὰ Δί᾽ ἀλλ᾽ οὐκ ἔστιν ὁ Ἄγνων οὐδ᾽ ὁ Ἀγνόθεος τοῦ Νικοστράτου [k] συγγενεῖς, ὡς οἱ ἀντίδικοι φασίν, ἀλλ᾽ [l] ἕτεροι. ἔπειτα τῷ μὲν κατὰ τὴν δόσιν τοῦ κλήρου λαχόντι μαρτυροῦσιν, αὐτοὶ δὲ κατὰ τὸ γένος οὐκ ἀμφισβητήσουσιν; οὐ γὰρ εἰς τοῦτό γε ἀνοίας ἥκουσιν ὥστε πιστεύσαντες 49
ταῖς διαθήκαις οὕτω ῥᾳδίως τοσούτων χρημάτων ἀφίστα-
32 ται. ἀλλὰ μὴν καὶ ἐξ ὧν αὐτοὶ οὗτοι λέγουσι, τούσδε τοῖς συγγενέσιν αὐτοῖς ἐπιδικάσασθαι συμφέρει τῶν Νικοστράτου μᾶλλον ἢ [m] Χαριάδην. εἰς γὰρ τὸν λοιπὸν χρόνον, εἰ μὲν οἵδε [n] κατὰ τὸ γένος ἀμφισβητοῦντες λή- 5
ψονται τὸν κλῆρον, ἐξέσται καὶ τούτοις, ὁπόταν βούλωνται, κατὰ τὸ γένος λαχοῦσιν ἐπιδεῖξαι ὑμῖν ὡς αὐτοὶ ἐγγυτέρω ἦσαν τοῦ Νικοστράτου, καὶ ὡς [o] Σμίκρου ἦν καὶ
33 οὐ Θρασυμάχου· ἐὰν δὲ Χαριάδης αὐτῶν κληρονομήσῃ, οὐκ ἔσται οὐδενὶ συγγενεῖ ἐπὶ τὰ Νικοστράτου ἐλθεῖν. κατὰ δόσιν γὰρ ἔχοντος τοῦ [p] ἐπιδεδικασμένου, τί φανοῦνται λέγοντες οἱ [q] κατὰ τὸ γένος λαγχάνοντες;

Ὅπερ ἂν [r] οὖν καὶ ὑμῶν ἕκαστος ἀξιώσειε, τοῦτο καὶ 10
34 τουτοισὶ τοῖς νεανίσκοις βεβαιώσατε. [s] παρέσχοντο δ᾽ ὑμῖν μάρτυρας πρῶτον μὲν ὡς ἀνεψιοί εἰσιν ἐκ πατραδέλφων Νικοστράτου, ἔπειτα δὲ ὡς οὐδεπώποτε [t] ἐκείνῳ διάφοροι ἦσαν, ἔτι δὲ καὶ ὡς ἔθαψαν Νικόστρατον, πρὸς δὲ τούτοις ὡς Χαριάδης οὑτοσὶ οὐδαμῶς [u] οὔτ᾽ ἐνθάδε οὔτ᾽ ἐπὶ στρατεύματι ἐχρῆτο Νικοστράτῳ, ἔτι δὲ καὶ τὴν κοινωνίαν, ἣ μάλιστ᾽ οὗτος [x] ἰσχυρίζεται, ψευδῆ οὖσαν.

[k] συγγενεῖς] συγγενὴς Z.
[l] ἕτεροι] vulg. ἕτερον.
[m] Χαριάδην A.B. vulg. Χαριάδου.
[n] κατὰ τὸ γένος] κατὰ γένος Z.
[o] Σμίκρου] μικρὸν Z.
[p] ἐπιδεδικασμένου] ἐπιδικασμένου B.Z.
[q] κατὰ τὸ γένος] κατὰ γένος Z.
et pr. Λ.
[r] οὖν] om. Z.
[s] παρέσχοντο] παρέσχον Z.
[t] ἐκείνῳ] ἐκεῖνοι A.B.Z.
[u] οὔτ᾽ — οὔτ᾽] οὐδ᾽ — οὔτ᾽ A.B. vulg. οὐδ᾽ — οὐδ᾽.
[x] ἰσχυρίζεται] διισχυρίζεται Z.

35 Καὶ ἄνευ τούτων, ὦ ἄνδρες, ἄξιον ὑμῖν ἐξετάσαι ἑκα- 15
τέρους αὐτῶν οἵοί εἰσι. Θράσιππος μὲν γὰρ ὁ Ἄγνωνος
καὶ Ἀγνοθέου πατὴρ [y] ἤδη τι καὶ ἐλειτούργησεν ὑμῖν καὶ
36 εἰσήνεγκε, καὶ [z] ἄλλως σπουδαῖος ἦν πολίτης· αὐτοὶ δὲ
οὗτοι οὔτε ἀποδεδημήκασιν οὐδαμῇ πώποτε, ὅποι ἂν μὴ
ὑμεῖς προστάξητε, οὔτ' ἐνθάδε μένοντες ἄχρηστοί εἰσι τῇ
πόλει, ἀλλὰ καὶ στρατεύονται καὶ εἰσφέρουσι καὶ τἆλλα
πάντα ποιοῦσι τὰ προσταττόμενα καὶ αὐτούς (ὡς πάν- 20
τες ἴσασι) κοσμίους παρέχουσιν, ὥστε πολὺ μᾶλλον τού-
37 τους προσήκει κατὰ δόσιν τῶν χρημάτων τῶν Νικοστρά-
του ἢ Χαριάδην ἀμφισβητεῖν. οὗτος γάρ, ὅτ' ἐπεδήμει ἐν-
θάδε, πρῶτον μὲν εἰς τὸ δεσμωτήριον ὡς κλέπτης ὢν ἐπ'
αὐτοφώρῳ ἀπήχθη, [a] τότε δὲ ἀφεθεὶς μεθ' [b] ἑτέρων τινῶν
ὑπὸ τῶν ἕνδεκα, οὓς δημοσίᾳ ἅπαντας ὑμεῖς ἀπεκτεί- 25
νατε, πάλιν ἀπογραφεὶς εἰς τὴν βουλὴν κακουργῶν,
ὑποχωρῶν ᾤχετο [c] καὶ οὐχ ὑπήκουσεν, ἀλλ' ἀπ' ἐκεί-
νου ἐπτακαίδεκα ἐτῶν Ἀθήναζε οὐκ ἀφίκετο, πλὴν ἐπειδὴ
38 Νικόστρατος ἀπέθανε. καὶ ὑπὲρ μὲν ὑμῶν οὔτε στρα-
τείαν οὐδεμίαν ἐστράτευται οὔτε εἰσφορὰν οὐδεμίαν εἰσ-
ενήνοχε, πλὴν εἴ τι ἄρα ἐξ ὅτου τῶν Νικοστράτου ἠμ-
39 φισβήτησεν, οὔτ' ἄλλ' οὐδὲν ὑμῖν λελειτούργηκεν. ἔπειτα
τοιοῦτος ὢν οὐκ ἀγαπᾷ εἰ μὴ τῶν ἡμαρτημένων [d] δίκην 30
δώσει, ἀλλὰ καὶ τῶν ἀλλοτρίων ἀμφισβητεῖ; εἰ μὲν οὖν
οἵδε φιλοπράγμονες ἢ ἄλλοις ὅμοιοι πολίταις ἦσαν, ἴσως
ἂν οὐ περὶ τῶν Νικοστράτου χρημάτων ἠμφισβήτει, ἀλλ'
ὑπὲρ τοῦ σώματος ἠγωνίζετο· νῦν δ' ὦ ἄνδρες δικασταὶ
40 τοῦτον μὲν [e] ἄλλος, ἐάν τις βούληται, τιμωρήσεται, του-

[y] ἤδη τι καὶ] A.B. vulg. ἤδη καί.
[z] ἄλλως] ἄλλος Z.
[a] τότε δὲ ἀφεθεὶς] A.B. vulg. τοῦτο ἀφαιρεθείς.
[b] ἑτέρων τινῶν ὑπὸ τῶν ἕνδεκα] ἑταίρων τινῶν ἕνδεκα Z.
[c] καὶ οὐχ] ἀλλ' οὐχ Z.
[d] δίκην δώσει] δώσει δίκην Z.
[e] ἄλλος] ἄλλως Z.

τοισὶ δ' ὑμεῖς βοηθήσατε, καὶ μὴ περὶ πλείονος ποιήσησθε τοὺς ἀδίκως τἀλλότρια ἔχειν βουλομένους ἢ τοὺς γένει τῷ τεθνεῶτι προσήκοντας καὶ χωρὶς τούτων ἤδη τι ἐκείνον εὐ-
41 εργετηκότας, ἀλλὰ καὶ τῶν νόμων ἀναμνησθέντες καὶ τῶν ὅρκων οὓς ὠμόσατε, πρὸς δὲ τούτοις καὶ τῶν μαρτυριῶν ἃς ἡμεῖς παρεσχήμεθα, τὰ δίκαια [f] ψηφίσασθε.

[a] ΠΕΡΙ ΤΟΥ ΔΙΚΑΙΟΓΕΝΟΥΣ ΚΛΗΡΟΥ.

Ε.

ΥΠΟΘΕΣΙΣ.

Δικαιογένους τελευτήσαντος ἄπαιδος ἐπὶ τέσσαρσιν ἀδελφαῖς Πρόξενος ἦκε διαθήκην ἔχων, ἐν ᾗ [b] Δικαιογένης ὁ τελευτήσας τὸν υἱὸν [c] αὐτοῦ Προξένου Δικαιογένην υἱὸν θετὸν ἐποιήσατο ἐπὶ τῷ τρίτῳ μέρει τῆς οὐσίας. τοῦτον δὲ τὸν τρόπον διανειμαμένων αὐτῶν τὴν ὅλην οὐσίαν, τελευταῖον ἦλθεν ὁ υἱὸς Προξένου Δικαιογένης φάσκων ἐπὶ ὅλῃ τῇ οὐσίᾳ γεγονέναι υἱός, καὶ νικήσας ἀνέλαβε καὶ τὰ δύο μέρη τῶν ἀδελφῶν τοῦ τελευτήσαντος. ὕστερον πάλιν οἱ παῖδες τῶν ἀδελφῶν δικασάμενοι πρὸς Δικαιογένην ἐνίκησαν, καὶ συνέθετο Δικαιογένης ἀποδοῦναι πάλιν τὰ δύο μέρη αὐτοῖς καθαρὰ καὶ ἀνέπαφα, [d] ἐγγυησαμένου ταῦτα Λεωχάρους. νῦν δὲ ἀρνουμέναν τὰ δόξαντα τῶν περὶ Δικαιογένην καὶ [e] Λεωχάρην, ἐγκαλοῦσιν οἱ παῖδες τῶν ἀδελφῶν περὶ τῶν δύο μερῶν τῷ μὲν ὡς συνθεμένῳ, τῷ δὲ ὡς ἐγγυητῇ. Ἡ στάσις στοχασμός· ἀρνοῦνται γάρ.

ΩΙΟΜΕΘΑ μέν, ὦ ἄνδρες, περὶ ὧν [f] διαφερόμεθα πρὸς Δικαιογένην, τὰ ὡμολογημένα ἐπὶ τοῦ δικαστηρίου κύρια

[f] ψηφίσασθε] ψηφίσησθε Z.

[a] ΠΕΡΙ ΤΟΥ ΔΙΚΑΙΟΓΕΝΟΥΣ ΚΛΗΡΟΥ: πρὸς λεώχαριν καὶ δικαιογένην A. πρὸς λεώχαριν καὶ δικαιογενῆ B.

[b] Δικαιογένης] διογένης Z. qui sic ubique.

[c] αὐτοῦ] αὐτοῦ τοῦ A.

[d] ἐγγυησαμένου] ἐγγυασαμένου Z.

[e] Λεωχάρην] λεώχαριν A.

[f] διαφερόμεθα] διεφερόμεθα A.

ἡμῖν ἔσεσθαι· ἀποστάντος γὰρ Δικαιογένους τοῖν δυοῖν μεροῖν τοῦ κλήρου, καὶ ἐγγυητὰς καταστήσαντος ἢ μὴν παραδώσειν ἡμῖν ταῦτα τὰ μέρη ἀναμφισβήτητα, ἀφή-
2 καμεν ἀλλήλους τῶν ἐγκλημάτων· ἐπειδὴ δὲ ὦ ἄνδρες οὐ ποιεῖ Δικαιογένης ἃ ὡμολόγησε, δικαζόμεθα Λεωχάρει ἐγγυητῇ γενομένῳ Δικαιογένους, ὥσπερ ἀντωμόσαμεν. Καί μοι ἀνάγνωθι τὴν ἀντωμοσίαν.

ΑΝΤΩΜΟΣΙΑ.

3 Ὡς τοίνυν ἀληθῆ ἀντωμόσαμεν, Κηφισόδοτος οὑτοσὶ [g] οἶδε, καὶ μάρτυρας ὑμῖν παρεξόμεθα πρῶτον μὲν ὡς ἀπέστη Δικαιογένης ἡμῖν τοῖν δυοῖν μεροῖν τοῦ κλήρου, εἶτα ὡς [h] ἐνεγυήσατο Λεωχάρης. Καί μοι ἀνάγνωθι τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

4 [i] Τῶν μὲν μαρτύρων ἀκηκόατε, καὶ ὡς οὐ τἀληθῆ μεμαρτυρήκασιν, οὐδ' ἂν αὐτὸν οἶμαι [k] Λεωχάρην εἰπεῖν· ἴσως δὲ ἐπ' ἐκεῖνον [l] τρέψεται τὸν λόγον, ὡς Δικαιογένης τε ἃ ἡμῖν ὡμολόγησεν ἅπαντα πεποιηκε, καὶ αὐτὸς τὴν
5 ἐξεγγύην ὅτι ἀπέδωκεν. εἰ οὖν ταῦτ' ἐρεῖ, ψεύσεται καὶ ῥᾳδίως ἐλεγχθήσεται. ἀναγνώσεται γὰρ ὑμῖν ὅσα κατέλιπε Δικαιογένης ὁ Μενεξένου ἐν τῷ κλήρῳ, καὶ τὰ χρήματα ἃ ἔλαβε. ταῦτα εἰ μὲν μή φασι Δικαιογένην τὸν ἡμέτερον θεῖον ζῶντα [m] κεκτῆσθαι καὶ ἀποθνήσκοντα ἡμῖν δοῦναι, ἀποδειξάτωσαν· εἰ δὲ καὶ ἐκεῖνον καταλι-
6 πεῖν καὶ ἡμᾶς κεκομίσθαι, μαρτυρησάτω τις αὐτοῖς. ὅτι μὲν γὰρ Δικαιογένης ὡμολόγει παραδώσειν ἡμῖν [n] ὧν κα-

[g] οἶδε] δδε Z.

[h] ἐνεγυήσατο] ἐνεγγυήσατο A. expuncto altero γ. ἐνεγγυήσατο B. vulg. ἐγγυήσατο.

[i] Τῶν] ὧν B. vulg. ὡς.

[k] Λεωχάρην] λεώχαριν A.

[l] τρέψεται τὸν λόγον] τρέψε τὸν λόγον B. τρέψετο ὁ λόγος Z.

[m] κεκτῆσθαι καὶ] κεκτῆσθαι ταῦτα καὶ Z.

[n] ὧν κατέλιπεν ὁ Μενεξένου] ὧν κατέλιπεν ὁ προξένου Z. ἃ Μενεξένου ὧν κατέλιπε.

τέλιπεν ὁ Μενεξένου τὰ δύο μέρη, ἡμεῖς μάρτυρας παρεξόμεθα, καὶ ὅτι [o]Λεωχάρης [p]ἐνεγυήσατο αὐτὸν ταῦτα ποιήσειν. καὶ γὰρ δικαζόμεθα διὰ τοῦτο, καὶ ταῦτα ἀντωμόσαμεν. Καί μοι ἀνάγνωθι [q]τὴν ἀντωμοσίαν.

ΑΝΤΩΜΟΣΙΑ.

7 Εἰ μὲν τοίνυν, ὦ ἄνδρες, περὶ τούτου ἔμελλον ἀπολογήσασθαι μόνον Λεωχάρης ἢ Δικαιογένης, ἦρκει ἄν μοι τὰ εἰρημένα· ἐπειδὴ δὲ παρεσκευασμένοι εἰσὶν ἐξ ἀρχῆς [r]περὶ τοῦ κλήρου λέγειν, βούλομαι ὑμᾶς καὶ παρ' ἐμοῦ [s]τὰ πραχθέντα πυθέσθαι, ἵνα εἰδότες τἀληθῆ, ὅ τι ἂν 8 δοκῇ ὑμῖν, ψηφίσησθε, ἀλλὰ μὴ ἐξηπατημένοι. Μενεξένῳ γὰρ τῷ ἡμετέρῳ πάππῳ ἐγένετο υἱὸς μὲν εἷς, Δικαιογένης, θυγατέρες δὲ τέτταρες, ὧν ἔλαβε μίαν μὲν [t]Πολύαρτος ὁ πατὴρ ὁ ἐμός, ἄλλην δὲ Δημοκλῆς ὁ [u]Φρεάρριος, τὴν δὲ Κηφισοφῶν ὁ Παιανιεύς· ἡ δὲ Θεοπόμπῳ 9 ἐγήματο τῷ [x]Κηφισοδότου πατρί. καὶ ὁ μὲν Δικαιογένης, τριήραρχος ἐκπλεύσας τῆς παράλου, ἐτελεύτησε μαχόμενος ἐν Κνίδῳ· ἀποθανόντος δ' αὐτοῦ ἄπαιδος διαθήκην ἀπέφηνε Πρόξενος ὁ Δικαιογένους πατήρ, ᾗ πιστεύσαντες 10 οἱ ἡμέτεροι πατέρες ἐνείμαντο τὸν κλῆρον. καὶ ἐπὶ μὲν τῷ τρίτῳ μέρει τοῦ κλήρου Δικαιογένης ὅδε τῷ Μενεξένου Δικαιογένει, ἡμετέρῳ δὲ θείῳ, υἱὸς [y]ἐγίνετο ποιητός· τῶν δὲ λοιπῶν ἑκάστη τὸ μέρος ἐπεδικάσατο τῶν Μενεξένου θυ- 11 γατέρων. ὧν ἐγὼ τοὺς τότε παρόντας ὑμῖν μάρτυρας παρέξομαι. ἐπειδὴ δὲ ἐνείμαντο τὸν κλῆρον, ὀμόσαντες μὴ

[o] λεωχάρης] λεώχαρις A. qui ita solet.

[p] ἐνεγυήσατο B. et correctus A.

[q] τὴν ἀντωμοσίαν] τὴν ἀπογραφὴν aut simile quid mavult Jones.

[r] περὶ κλήρου] περὶ τοῦ κλήρου Reiskius.

[s] τὰ πραχθέντα A.B. vulg. τὰ παρ' ἐμοῦ πραχθέντα.

[t] Πολύαρτος] Πολυάρατος Reiskius.

[u] Φρεάρριος] φρεάριος B.Z. et correctus A. qui pr. φρέαρρειος.

[x] Κηφισοδότου] Κηφισιοδότου A.Z.

[y] ἐγίνετο A.B. vulg. ἐγένετο.

παραβήσεσθαι τὰ ὡμολογημένα, ἐκέκτητο ἕκαστος δώδεκα ἔτη ἃ ἔλαχε· καὶ ἐν τοσούτῳ χρόνῳ οὐσῶν [z] δικῶν οὐθεὶς αὐτῶν ἠξίωσε τὰ πεπραγμένα εἰπεῖν ἀδίκως πε-
12 πρᾶχθαι, πρὶν δυστυχησάσης τῆς πόλεως καὶ στάσεως γενομένης [a] κἀγῶνος οὐτοσὶ πεισθεὶς ὑπὸ Μέλανος τοῦ Αἰγυπτίου, [b] ὥπερ καὶ τἆλλα ἐπείθετο, ἡμφισβήτει ἡμῖν
13 ἅπαντος τοῦ κλήρου, φάσκων [c] ἐφ' ὅλῃ ποιηθῆναι υἱὸς ὑπὸ τοῦ θείου τοῦ ἡμετέρου. ἡμεῖς μὲν οὖν μαίνεσθαι [d] αὐτὸν ἡγούμεθα τῇ λήξει, οὐκ ἄν ποτε οἰόμενοι τὸν αὐτὸν ἄνδρα τοτὲ μὲν φάσκοντα ἐπὶ τῷ τρίτῳ μέρει ποιηθῆναι [e] τοτὲ δ'
14 ἐφ' ἅπαντι τῷ κλήρῳ [f] δόξαι τἀληθὲς λέγειν [g] ὑμῖν· εἰς δὲ τὸ δικαστήριον εἰσελθόντες καὶ πολλῷ πλείω καὶ δικαιότερα λέγοντες ἠδικήθημεν, οὐχ ὑπὸ τῶν δικαστῶν ἀλλ' ὑπὸ Μέλανος τοῦ Αἰγυπτίου καὶ τῶν ἐκείνου φίλων, οἳ διὰ τὰς τῆς πόλεως συμφορὰς ἐξουσίαν σφίσιν αὐτοῖς ἡγοῦντο εἶναι [h] κεκτῆσθαί τε τἀλλότρια καὶ τὰ ψευδῆ ἀλλήλοις μαρτυρεῖν· ὑπὸ δὲ τῶν τὰ τοιαῦτα ποιούντων
15 ἐξηπατήθησαν οἱ δικασταί. καὶ ἡμεῖς μὲν καταψευδομαρτυρηθέντες ἀπωλέσαμεν τὰ ὄντα· καὶ γὰρ ὁ πατὴρ οὐ πολλῷ χρόνῳ ὕστερον μετὰ τὴν δίκην ἐτελεύτησε, πρὶν
16 ἐπεξελθεῖν οἷς ἐπεσκήψατο τῶν μαρτύρων· Δικαιογένης δὲ [i] πρὸς ἡμᾶς ὡς ἐβούλετο ἀγωνισάμενος τῇ αὐτῇ ἡμέρᾳ ἐξήλασε μὲν τὴν [k] Κηφισοφῶντος τοῦ Παιανιέως θυγατέρα ἐκ τοῦ μέρους, [l] ἀδελφιδῆν οὖσαν [m] Δικαιογένους τοῦ καταλιπόντος τὰ χρήματα, ἀφείλετο δὲ τὴν Δημοκλέους

[z] δικῶν] δι ὧν Z.
[a] κἀγῶνος] om. pr. A. καγὼ B. et rec. A. κἀγὼ Z.
[b] ὥπερ] ὅπερ Z. ὥσπερ pr. B.
[c] ἐφ' ὅλῃ] ἐφ' ὅλην B. ὑφ' ὅλην A. ὑφ' ὅλου Z.
[d] αὐτὸν—λήξει] αὐτοῦ—λέξει Z.
[e] τοτὲ δ'] ποτὲ δ'
[f] δόξαι] δόξα Z.
[g] ὑμῖν] ἡμῖν B.Z.
[h] κεκτῆσθαί τε A.B. vulg. κεκτῆσθαι.
[i] πρὸς ἡμᾶς A.B. vulg. ὡς ἡμᾶς.
[k] Κηφισοφῶντος] lacunam habet pr. A.
[l] ἀδελφιδῆν] ἀδελφὴν pr. A.
[m] Δικαιογένους] τοῦ διογένους Z.

γενομένην γυναῖκα, [n] ἃ Δικαιογένης ἀδελφὸς ὢν ἔδωκεν, ἀφείλετο [δὲ] καὶ τὴν Κηφισοδότου μητέρα καὶ αὐτὸν
17 τοῦτον ἅπαντα. καὶ γὰρ τούτων τε ἅμα καὶ ἐπίτροπος καὶ κύριος καὶ [o] ἀντίδικος ἦν, καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οἰκειότητος ἐλέου παρ' αὐτοῦ [p] ἔτυχον, ἀλλ' ὀρφανοὶ καὶ [q] ἔρημοι καὶ πένητες γενόμενοι πάντων καὶ
18 τῶν καθ' ἡμέραν ἐπιτηδείων ἦσαν ἐνδεεῖς. οὕτως [r] αὐτοὺς Δικαιογένης οὑτοσὶ ἐγγυτάτω [s] ὢν γένους ἐπετρόπευεν· ὅσγε, ἃ μὲν ὁ πατὴρ αὐτοῖς Θεόπομπος κατέλιπε, τοῖς τούτων ἐχθροῖς παρέδωκεν, ἃ [t] δὲ ὁ πρὸς μητρὸς θεῖος καὶ
19 ὁ πάππος αὐτοῖς ἔδωκεν, αὐτὸς ἀφείλετο πρὸ δίκης. καὶ ὃ πάντων [u] δεινότατον, τὴν οἰκίαν αὐτῶν τὴν πατρῴαν, παίδων ὄντων τούτων, πριάμενος καὶ κατασκάψας τὸν κῆπον ἐποιήσατο πρὸς τῇ αὐτοῦ οἰκίᾳ τῇ ἐν ἄστει. καὶ λαμβάνων μίσθωσιν ὀγδοήκοντα μνᾶς ἐκ τῶν Δικαιογένους τοῦ ἡμετέρου θείου χρημάτων, τὸν ἐκείνου ἀδελφιδοῦν Κηφισόδοτον τῷ ἑαυτοῦ ἀδελφῷ Ἁρμοδίῳ συνέπεμψεν εἰς
Κόρινθον [x] ἀντ' ἀκολούθου· εἰς τοῦτο ὕβρεως καὶ μιαρίας
20 ἀφίκετο. καὶ πρὸς τοῖς ἄλλοις κακοῖς ὀνειδίζει καὶ ἐγκαλεῖ αὐτῷ ὅτι ἐμβάδας καὶ τριβώνια φορεῖ, [y] ὥσπερ ἀδικούμενός τι εἰ ἐμβάδας Κηφισόδοτος φορεῖ, ἀλλ' οὐκ ἀδικῶν ὅτι ἀφελόμενος [z] αὐτὸν τὰ ὄντα πένητα πεποίηκεν.
21 Ἀλλὰ [a] μὴν περὶ [b] τούτων τοσαῦτά μοι εἰρήσθω· πάλιν δ' ἐπάνειμι ὅθεν ἀπέλιπον. Μενέξενος γὰρ ὁ Κηφι-

[n] ἃ Reiskius: libri ᾗ.
[o] ἀντιδικος] ἀντίδοτος Z.
[p] ἔτυχον] ἔτυχεν Z.
[q] ἔρημοι καὶ πένητες A.B. vulg. πένητες καὶ ἔρημοι.
[r] αὐτοὺς] αὐταῖς Z.
[s] ὢν γένους] ὢν τοῦ γένους Z.
[t] δὲ ὁ πρὸς] δὲ πρὸς Z.
[u] δεινότατον] δεινότατος A.B.
[x] ἀντ' ἀκολούθου A. ἀντακολούθου B. vulg. ἀντακόλουθον.
[y] ὥσπερ ἀδικούμενός τι, εἰ ἐμβάδας Κηφισόδοτος φορεῖ] Hæc addidi sumpta ex A.
[z] αὐτὸν] αὐτοῦ Z.
[a] μὴν] μὲν A.B.
[b] τούτων τοσαῦτα] τούτων μὲν τοσαῦτα Reiskius.

σοφῶντος υἱός, ἀνεψιὸς ὢν [c] Κηφισοδότῳ τούτῳ καὶ ἐμοί, καὶ προσῆκον [d] αὐτῷ τοῦ κλήρου μέρος ὅσονπερ ἐμοί, ἐπεξῄει τοῖς καταμαρτυρήσασιν ἡμῶν καὶ ἐκείνου τὰ ψευδῆ,
22 καὶ Λύκωνα, [e] ὅνπερ εἰσήγαγε πρῶτον εἰς τὸ δικαστήριον, τοῦτον εἶλεν· ὃς ἐμαρτύρησε [f] Δικαιογένη ποιηθῆναι [g] τὸν νῦν ὄντα ὑπὸ τοῦ θείου τοῦ ἡμετέρου υἱὸν ἐπὶ παντὶ τῷ κλήρῳ. μαρτυρήσας δὲ ταῦτα ἑάλω ψευδομαρτυριῶν. 40
23 ἐπειδὴ δὲ Δικαιογένης ὦ ἄνδρες οὐκέτι [h] ὑμᾶς δύναται ἐξαπατᾶν, πείθει Μενέξενον τὸν ὑπὲρ ἡμῶν τε καὶ ὑπὲρ αὐτοῦ πράττοντα, ἃ ἐγὼ αἰσχυνόμενος ἀναγκάζομαι διὰ
24 τὴν ἐκείνου πονηρίαν λέγειν, τί ποιῆσαι; κομισάμενον αὐτὸν μέρος ἐκ τοῦ κλήρου ὅ τι ἐγίγνετο, ἡμᾶς μὲν ὑπὲρ ὧν ἔπραττε [i] προδοῦναι, τοὺς δὲ μὴπω ἑαλωκότας τῶν [k] μαρτύρων ἀφεῖναι. καὶ ἡμεῖς μὲν ταῦτα [l] ὑπὸ τῶν φίλων 52
καὶ τῶν ἐχθρῶν παθόντες εἴχομεν ἡσυχίαν. τούτων δ' ὑμῖν μάρτυρας παρέξομαι.

[m] ΜΑΡΤΥΡΕΣ.

25 Ὁ μὲν τοίνυν Μενέξενος παθὼν ἄξια τῶν ἑαυτοῦ τρόπων ἠπατήθη ὑπὸ τοῦ Δικαιογένους· ἀφεὶς γὰρ τοὺς μάρτυρας καὶ ἡμᾶς προδούς, ὧν ἕνεκα [n] ταῦτ' ἔπραξεν οὐκ ἐκομίσατο. ἀδικηθεὶς δὲ ὑπὸ Δικαιογένους μεθ' ἡμῶν 5
26 πάλιν ἔπραττεν. ἡμεῖς δὲ καθηγούμενοι [o] οὐκέτι προσήκειν [p] Δικαιογένει ἔχειν τῶν ἐκ τοῦ κλήρου μέρος οὐδέν, ἐπειδὴ οἱ μάρτυρες ἑάλωσαν, ἀμφισβητοῦμεν αὐτῷ ἅπαντος τοῦ
27 οἴκου κατ' ἀγχιστείαν. καὶ ὅτι ἡμεῖς τε ὀρθῶς ἐγνώκα-

[c] Κηφισοδότῳ] κηφισοδότου Z.
[d] αὐτῷ] αὐτοῦ pr. A.
[e] ὅνπερ] οὗπερ Z.
[f] Δικαιογένη A. διογένη B.Z. vulg. Δικαιογένην.
[g] τὸν νῦν] τοίνυν A.
[h] ὑμᾶς Reiskius: libri ἡμᾶς.
[i] προδοῦναι] δοῦναι pr. A.
[k] μαρτύρων] ψευδομαρτύρων Z.
[l] ὑπὸ A.Z. vulg. ἀπό.
[m] ΜΑΡΤΥΡΕΣ A. vulg. ΜΑΡΤΥΡΙΑ.
[n] ταῦτ'] τοῦτ' Z.
[o] οὐκέτι] μηκέτι Z.
[p] Δικαιογένει] τῷ διογένει Z.

μεν καὶ οὐδὲν ἔτι προσήκει Δικαιογένει τοῦ κλήρου, ῥᾳδίως διδάξω. δύο γὰρ διαθῆκαι ἐφάνησαν, ἡ μεν πάλαι πολλῷ, ἡ δ' ὕστερον· καὶ κατὰ μὲν τὴν παλαιάν, ἣν [q] ἀπέφηνε Πρόξενος ὁ Δικαιογένους τούτου πατήρ, ἐπὶ τῷ τρίτῳ μέρει τοῦ κλήρου ἐγίγνετο τῷ θείῳ τῷ ἡμετέρῳ υἱος ποιητός, καθ' ἣν δ' αὐτὸς ἀπέφηνε Δικαιογένης, ἐπὶ παντὶ τῷ οἴκῳ. ταύταιν δὲ ταῖν διαθήκαιν ἣν μὲν Πρόξενος ἀπέφηνε, Δικαιογένης ἔπεισε τοὺς δικαστὰς ὡς οὐκ ἀληθὴς εἴη· ἣν δὲ Δικαιογένης ἀπέφηνεν, οἱ μαρτυρήσαντες [r] αὐτὴν τὸν θεῖον τὸν ἡμέτερον διαθέσθαι ἐάλωσαν [s] ψευδομαρτυριῶν. ἀμφοῖν [t] δὲ ταῖν διαθήκαιν ἀκύροιν [u] γινομέναιν, καὶ ἑτέρας μηδεμιᾶς [x] ὁμολογουμένης εἶναι, κατὰ δόσιν μὲν οὐδενὶ προσῆκε τοῦ κλήρου, κατ' ἀγχιστείαν δὲ ταῖς Δικαιογένους τοῦ ἀποθανόντος ἀδελφαῖς, ὧν εἰσὶν αἱ ἡμέτεραι [y] μητέρες. διὰ δὲ ταῦτα ἔδοξέ τε ἡμῖν λαχεῖν τοῦ κλήρου κατ' ἀγχιστείαν, καὶ ἐλάχομεν τὸ μέρος ἕκαστος. μελλόντων δ' ἡμῶν ἀντόμνυσθαι διεμαρτύρησε Λεωχάρης οὐτοσὶ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον ἡμῖν. [z] ἐπισκηψαμένων δ' [a] ἡμῶν ἡ μὲν λῆξις τοῦ κλήρου διεγράφη, ἡ δὲ τῶν ψευδομαρτυριῶν δίκη εἰσήει. ἐν δὲ τῷ δικαστηρίῳ πάντα μὲν ἡμῶν εἰπόντων ἅπερ νυνί, πολλὰ δὲ [b] Λεωχάρους ἀνταπολογησαμένου, ἔγνωσαν τὰ ψευδῆ μαρτυρῆσαι Λεωχάρην οἱ δικασταί. ἐπειδὴ [c] δὲ τοῦτο φανερὸν ἐγένετο ἐξαιρεθεισῶν τῶν ψήφων, ἃ μὲν τῶν δικαστῶν καὶ ἡμῶν ἐδεήθη Λεωχάρης ἢ ὅσα ἡμῖν ἐξεγένετο διαπράξασθαι τότε, οὐκ οἶδ' ὅ τι δεῖ λέγειν, ἃ δὲ ὡμολο-

[q] ἀπέφηνε] ἀ, omissis in lacuna ceteris litteris, Z.
[r] αὐτὴν A.B. vulg. αὐτοί.
[s] ψευδομαρτυριῶν A.B. vulg. ψευδομαρτυριῶντες.
[t] δὲ] vulg. μὲν οὖν.
[u] γινομέναιν A.B. vulg. γενομέναιν.
[x] ὁμολογουμένης] ὁμολογουμένως Z.
[y] μητέρες A.B. vulg. γυναῖκες.
[z] ἐπισκηψαμένων] ἐπισκεψαμένων A.B.Z.
[a] ἡμῶν] om. Z. et pr. A.
[b] Λεωχάρους] λεωχάρην Z.
[c] δὲ] δ' Z.

32 γήθη ἡμῖν, ταῦτα [d]ἀκούσατε. [e]συγχωρούντων γὰρ ἡμῶν τῷ ἄρχοντι μὴ συναριθμεῖν ἀλλὰ συγχέαι τὰς ψήφους, ἀφίστατο μὲν Δικαιογένης τοῖν δυοῖν μεροῖν τοῦ κλήρου ταῖς Δικαιογένους ἀδελφαῖς, καὶ ὡμολόγει [f]ἀναμφισβήτητα [g]παραδώσειν ἡμῖν ταῦτα τὰ μέρη· καὶ ταῦτα [h]ἐνεγυᾶτο [i]αὐτὸν Λεωχάρης οὗτος, καὶ ὡμολόγει ποιήσειν, οὐ [k]μόνος ἀλλὰ καὶ [l]Μνησιπτόλεμος ὁ Πλωτιεύς. καὶ [m]τούτων ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

33 Ἡμεῖς τοίνυν ταῦτα παθόντες ὑπὸ Λεωχάρους, καὶ ἐγγενόμενον ἡμῖν αὐτὸν ἐπειδὴ εἵλομεν [n]τῶν ψευδομαρτυριῶν ἀτιμῶσαι, οὐκ ἐβουλήθημεν, ἀλλ' ἐξήρκεσε τὰ ἡμέτερα ἡμῖν κομισαμένοις ἀπηλλάχθαι. τοιοῦτοι δὲ γενόμενοι περὶ Λεωχάρην καὶ Δικαιογένην ἐξηπατήθημεν
34 ὑπ' αὐτῶν, ὦ ἄνδρες· οὔτε γὰρ Δικαιογένης τὰ δύο μέρη ἡμῖν τοῦ κλήρου παρέδωκεν, ὁμολογήσας ἐπὶ τοῦ δικαστηρίου, οὔτε Λεωχάρης ὁμολογεῖ ἐγγυήσασθαι αὐτὸν τότε. καίτοι εἰ μὴ ἐναντίον μὲν τῶν δικαστῶν, πεντακοσίων ὄντων, ἐναντίον δὲ τῶν περιεστηκότων ἐνεγυᾶτο, οὐκ οἶδ'
35 ὅ τι ἂν ἐποίησεν. ὡς μὲν τοίνυν περιφανῶς ψεύδονται, μάρτυρας ὑμῖν παρεχόμεθα τοὺς παρόντας, ὅτε Δικαιογένης μὲν ἀφίστατο τοῖν δυοῖν μεροῖν τοῦ κλήρου, καὶ ὡμολόγει ἀναμφισβήτητα παραδώσειν ταῖς Δικαιογένους ἀδελφαῖς, Λεωχάρης δὲ ἐνεγυᾶτο αὐτὸν ἃ ὡμολόγησε
36 καὶ ποιήσειν. δεόμεθα δὲ καὶ ὑμῶν, ὦ ἄνδρες, εἴ τις ἐτύγχανε παρὼν τότε, ἀναμνησθῆναι εἰ λέγομεν ἀληθῆ

[d] ἀκούσατε A. vulg. ἠκούσατε.
[e] συγχωρούντων γὰρ ἡμῶν] vulg. om. particulam.
[f] ἀναμφισβήτητα] ἀναμφίβητα B.
[g] παραδώσειν] vulg. δώσειν.
[h] ἐνεγυᾶτο B. et correctus A. qui ubique similiter.
[i] αὐτὸν] vulg. αὐτῷ.
[k] μόνος A.B. vulg. μόνον.
[l] Μνησιπτόλεμος] δικαιογένης Z.
[m] τούτων A. vulg. τούτου.
[n] τῶν ψευδομαρτυριῶν] vulg. om. articulum.

καὶ βοηθῆσαι ἡμῖν, ἐπεί, ὦ ἄνδρες, εἰ Δικαιογένης ἀληθῆ
λέγει, τί ἡμεῖς ὠφελούμεθα νικήσαντες, ἢ τί οὗτος ἐζη-
37 μιώθη ἡττηθείς; εἰ γὰρ ἀπέστη μόνον (ὡς φησι) τοῖν
δυοῖν μεροῖν τοῦ κλήρου, ἀναμφισβήτητον δὲ μὴ ὡμολόγει 53
παραδώσειν, τί ἐζημιοῦτο ἀφιστάμενος ὧν τιμὴν εἶχεν;
οὐδὲ γὰρ πρὶν ἡττηθῆναι τὴν δίκην εἶχεν ὧν ἡμεῖς δικαζό-
μεθα, ἀλλ' οἱ παρὰ τούτου πριάμενοι καὶ θέμενοι, οἷς
ἔδει αὐτὸν ἀποδόντα τὴν τιμὴν ἡμῖν τὰ μέρη ἀποδοῦναι.
38 διὰ ταῦτα γὰρ καὶ τοὺς ἐγγυητὰς παρ' αὐτοῦ ἐλάβομεν,
οὐ πιστεύοντες αὐτῷ ἃ ὡμολόγησε ποιήσειν. πλὴν γὰρ 5
δυοῖν οἰκιδίοιν ἔξω τείχους καὶ ἐν πεδίῳ ἑξήκοντα πλέ-
θρων οὐδὲν [o] κεκομίσμεθα, ἀλλ' οἱ παρὰ τούτου θέμενοι
39 καὶ πριάμενοι. ἡμεῖς δ' οὐκ ἐξάγομεν· δεδίαμεν γὰρ μὴ
ὄφλωμεν δίκας. καὶ γὰρ [p] Μηκίωνα, κελεύοντος Δικαι-
ογένους καὶ φάσκοντος [q] [μὴ] βεβαιώσειν, [r] ἐξάγοντες ἐκ
τοῦ βαλανείου ὤφλομεν τετταράκοντα μνᾶς διὰ Δικαιο-
40 γένην, ὦ ἄνδρες. ἡγούμενοι γὰρ οὐκ ἂν [s] αὐτὸν βεβαιώ- 10
σειν [t] οὐδὲν ὧν ἡμῖν [u] ἀπέστη ἐν τῷ δικαστηρίῳ, διισχυρι-
ζόμεθα πρὸς Μηκίωνα ἐναντίον τῶν δικαστῶν, ἐθέλοντες
ὁτιοῦν πάσχειν, εἰ βεβαιώσειεν αὐτῷ Δικαιογένης τὸ βα-
λανεῖον, οὐκ ἄν ποτε οἰόμενοι αὐτὸν ἐναντία οἷς ὡμολό-
γησε πρᾶξαι, [x] οὐ δι' ἄλλ' οὐδὲν ἢ διὰ τοὺς ἐγγυητάς,
41 ὅτι [y] καθειστήκεσαν ἡμῖν. ἀποστὰς δὲ Δικαιογένης ταῦτα
τὰ μέρη, ὧν καὶ νῦν ὁμολογεῖ ἀφεστάναι ἡμῖν, ἐβεβαί-
ωσε Μηκίωνι τὸ βαλανεῖον. καὶ ἐγὼ μὲν ὁ ἄθλιος οὐχ 15
ὅπως τι ἐκ τοῦ κλήρου εἰληφώς, ἀλλὰ προσαπολωλεκὼς

[o] κεκομίσμεθα] κεκοσμίμεθα Z.
[p] Μηκίωνα A.B. μήλλωνα Z. Reiskius Μικκίωνα.
[q] μὴ βεβαιώσειν] Particulam om. A.B.Z.
[r] ἐξάγοντες] ἐξάγοντος A.B.Z.
[s] αὐτὸν] αὐτοῦ Z.
[t] οὐδὲν] οὐδὲ A.B.Z.
[u] ἀπέστη] ὑπέστη Z.
[x] οὐ δι'] οὐδ' A.B.Z.
[y] καθειστήκεσαν A. vulg. καθειστήκεισαν.

τετταράκοντα μνᾶς, ἀπῆειν ὑβρισμένος ὑπὸ τοῦ Δικαιογένους. καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι.

[z] ΜΑΡΤΥΡΕΣ.

42 Ταῦτα μὲν πεπόνθαμεν ὑπὸ Δικαιογένους, ὦ ἄνδρες· ὁ δ' ἐγγυησάμενος αὐτὸν Λεωχάρης καὶ τῶν πάντων ἡμῖν κακῶν αἴτιος οὗ φησιν ἐγγυήσασθαι ἃ [a] καταμαρτυρεῖται αὐτοῦ, ὅτι ἐν τῷ γραμματείῳ τῷ ἐπὶ τοῦ δικαστηρίου 20
43 γραφέντι οὐκ ἔνεστι ταῦτα. ἡμεῖς δὲ ὦ ἄνδρες τότ' ἐπὶ τοῦ βήματος σπεύδοντες τὰ μὲν ἐγράψαμεν, τῶν δὲ μάρτυρας ἐποιησάμεθα· οὗτοι δέ, ἃ μὲν αὐτοῖς συμφέρει τῶν ὁμολογηθέντων [b] τότε, κύριά φασιν εἶναι, εἰ καὶ μὴ γέγραπται, ἃ δ' οὐ συμφέρει, οὐ κύρια, εἰ μὴ γέγραπται. ἐγὼ δ' ὦ ἄνδρες οὐ θαυμάζω ὅτι ἔξαρνοί εἰσι τὰ ὡμολο-
44 γημένα· οὐδὲ γὰρ τὰ γραφέντα ἐθέλουσι ποιεῖν. ἡμεῖς 25 δ' ὡς ἐλέγομεν ἀληθῆ, καὶ ἄλλο τι τεκμήριον παρεξόμεθα. Πρωταρχίδῃ γὰρ τῷ [c] Ποταμίῳ ἔδωκε Δικαιογένης τὴν ἀδελφὴν τὴν ἑαυτοῦ ἐπὶ τετταράκοντα [d] μναῖς, ἀντὶ δὲ τῆς προικὸς τὴν οἰκίαν αὐτῷ τὴν ἐν Κεραμεικῷ παρέδωκε. ταύτῃ δὲ τῇ γυναικί, ἣν ὁ Πρωταρχίδης ἔχει,
45 προσήκει τοῦ κλήρου μέρος ὅσονπερ τῇ μητρὶ τῇ ἐμῇ. ἐπεὶ δ' οὖν ἀπέστη Δικαιογένης ταῖς γυναιξὶ τοῖν δυοῖν μεροῖν 30 τοῦ κλήρου, ἠξίου ὁ Λεωχάρης τὸν Πρωταρχίδην παραδιδόναι αὐτῷ τὴν συνοικίαν ἣν εἶχεν ἀντὶ τῆς προικός, ὡς ὄντι ἐγγυητῇ αὐτῷ, τὸ δὲ μέρος ὑπὲρ τῆς γυναικὸς τοῦ κλήρου παρ' αὐτοῦ κομίζεσθαι. παραλαβὼν δὲ τὴν συνοικίαν τὸ μέρος οὐ παρέδωκε. καὶ τούτων ὑμῖν μάρτυρα τὸν Πρωταρχίδην παρέξομαι.

[z] ΜΑΡΤΥΡΕΣ A. vulg. ΜΑΡΤΥΡΙΑ.

[a] καταμαρτυρεῖται] καταμαρτυρεῖτε Z.

[b] τότε] vulg. ταῦτα.

[c] Ποταμίῳ] τῷ Ποταμίῳ A.

[d] μναῖς] μνᾶς Z.

ΜΑΡΤΥΣ.

46 Περὶ δὲ ἐπισκευῆς τοῦ βαλανείου καὶ οἰκοδομίας καὶ πρότερον εἴρηκε Δικαιογένης καὶ νῦν ἴσως ἐρεῖ, ὡς ὁμολογήσαντες αὐτῷ ἀποδώσειν τὰ ἀναλωμένα οὐκ ἀπεδώκαμεν, καὶ [e]ὅτι διὰ τοῦτο οὐ δύναται ἀπαλλάσσειν τοὺς
47 χρήστας, οὐδὲ ἡμῖν παραδοῦναι ἃ δεῖ αὐτόν. ἡμεῖς δὲ ὦ ἄνδρες [f]ἐπὶ τοῦ δικαστηρίου, ὅτε ἠναγκάζομεν αὐτὸν ἀφίστασθαι τούτων, ἀντὶ τῶν λειτουργιῶν καὶ τῶν εἰς τὰ οἰκοδομήματα ἀναλωμένων ἀφεῖμεν αὐτῷ τοὺς καρπούς, οὕτω τῶν δικαστῶν γιγνωσκόντων· ὕστερον δ' οὐκ ἀναγκαζόμενοι ἀλλ' ἑκόντες ἔδομεν αὐτῷ τὴν ἐν ἄστει οἰκίαν
48 ἐξαιρεθέντες πρὸς τῷ τρίτῳ μέρει τοῦ κλήρου ἔχειν ἀντὶ τῶν ἐπεσκευασμένων, ἣν [g]οὗτος ἀντὶ πεντακισχιλίων δραχμῶν παρέδωκε Φιλονείκῳ. [h]ἔδομεν δὲ οὐ διὰ τὴν τοῦ Δικαιογένους χρηστότητα, ὦ ἄνδρες, ἀλλ' ἐπιδεικνύμενοι ὅτι οὐ περὶ πλείονος χρήματα ποιούμεθα τῶν οἰκείων, οὐδ' ἂν πάνυ πονηροὶ ὦσι. καὶ γὰρ πρότερον ὅτ' ἐφ' ἡμῖν ἐγένετο Δικαιογένην τιμωρήσασθαι καὶ ἀφελέσθαι ἃ εἶχεν,
49 οὐκ ἐβουλήθημεν [i]τῶν τούτου κτήσασθαι οὐδέν, ἀλλὰ τὰ ἡμέτερα μόνον κομίσασθαι ἐξήρκει ἡμῖν. οὗτος δ' ὅτ' ἐκράτησεν ἡμῶν, ἀπεσύλησεν ἃ ἐδύνατο, καὶ ὡς ἐχθροὺς ἀλλ' οὐ προσήκοντας ἀπόλλυσι. τεκμήριον δὲ καὶ τῶν ἡμετέρων τρόπων καὶ τῆς τούτου ἀδικίας μέγα [k]παρεξό-
50 μεθα. μελλούσης γὰρ τῆς πρὸς Λεωχάρην δίκης εἰσιέναι ὦ ἄνδρες ἐν τῷ Μαιμακτηριῶνι μηνί, [l]ἠξίου Λεωχάρης καὶ Δικαιογένης δίαιταν ἡμᾶς [m]ἐπιτροπεύειν, τὴν δίκην ἀναβαλλομένους. καὶ ἡμεῖς ὥσπερ μικρὰ ἀδικούμενοι

[e] ὅτι] ὅτι οὐ Z.
[f] ἐπὶ τοῦ] Malim ἐπὶ μὲν τοῦ.
[g] οὗτος] οὕτως A.
[h] ἔδομεν Reiskius: παρέδομεν A. B.Z. vulg. παρέδωκε.
[i] τῶν τούτου] Articulum om. Z.
[k] παρεξόμεθα] προεξόμεθα Z.
[l] ἠξίου] vulg. ἠξίουν Stephanus.
[m] ἐπιτροπεύειν] τροπεύειν Z.

συνεχωρήσαμεν, καὶ ἐπετρέψαμεν διαιτηταῖς [n] τέτταρσιν, ὧν τοὺς μὲν δύο ἡμεῖς ἠγάγομεν, τοὺς δὲ δύο ἐκεῖνοι. 51 καὶ ἐναντίον τούτων ὡμολογήσαμεν ἐμμένειν οἷς ἂν οὗτοι γνοῖεν, καὶ ὠμόσαμεν. καὶ οἱ διαιτηταὶ ἔφασαν, εἰ μὲν ἀνώμοτοι δύναιντ' ἂν ἡμᾶς διαλλάξαι, οὕτω ποιήσειν, εἰ δὲ μή, καὶ αὐτοὶ ὀμόσαντες ἀποφανεῖσθαι ἃ δίκαια 52 ἡγοῦνται εἶναι. ἀναχρίναντες δὲ ἡμᾶς πολλάκις, καὶ [o] πυθόμενοι τὰ πραχθέντα οἱ διαιτηταί, οἱ μὲν δύο οὓς ἐγὼ [p] προὔβαλον, Διότιμος καὶ Μελάνωπος, ἤθελον καὶ ἀνώμοτοι καὶ ὀμόσαντες ἀποφήνασθαι ἃ ἐγίνωσκον ἀληθέστατα ἐκ τῶν λεγομένων, οὓς δὲ Λεωχάρης προὐβά- 53 λετο, οὐκ ἔφασαν ἀποφανεῖσθαι. καίτοι [q] Διοπείθης ὁ ἕτερος τῶν διαιτητῶν Λεωχάρει μὲν ἦν τούτῳ κηδεστής, ἐμὸς δ' ἐχθρὸς καὶ ἀντίδικος ἐξ ἑτέρων [r] συμβολαίων· Δημάρατος δὲ ὁ μετ' αὐτοῦ [s] Μνησιπτολέμῳ τῷ ἐγγυησαμένῳ Δικαιογένη μετὰ Λεωχάρους ἦν ἀδελφός. οὗτοι μέντοι οὐκ ἠθέλησαν ἀποφήνασθαι, ὁρκώσαντες ἡμᾶς ἢ μὴν ἐμμένειν οἷς ἂν αὐτοὶ γνοῖεν. καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι.

[t] ΜΑΡΤΥΡΕΣ.

54 Οὐκοῦν δεινὸν εἰ δεήσεται ὑμῶν, ὦ ἄνδρες, Λεωχάρης ἀποψηφίσασθαι ἃ Διοπείθης κηδεστὴς ὢν αὐτοῦ [u] κατέψηφίσατο; ἢ ὑμῖν πῶς καλὸν ἀπογνῶναι Λεωχάρους ἄγε οὐδ' οἱ προσήκοντες αὐτοῦ [x] ἀπέγνωσαν; δέομαι οὖν ὑμῶν καταψηφίσασθαι [y] Λεωχάρους, ἵν' ἃ ἡμῖν οἱ πρό-

[n] τέτταρσιν A.B. vulg. τέσσαρσιν.
[o] πυθόμενοι] πυνθανόμενοι pr. A.
[p] προὔβαλον] προὔβαλλον Z.
[q] Διοπείθης] διοπειθὴς A.
[r] συμβολαίων] ξυμβολαίων Z.
[s] Μνησιπτολέμῳ A. vulg. Μνησιτολέμῳ.
[t] ΜΑΡΤΥΡΕΣ] μαρτυρία B.
[u] κατεψηφίσατο] ἐψηφίσατο Z.
[x] ἔγνωσαν] ἂν ἔγνωσαν A.B. ἀπέγνωσαν Reiskius.
[y] Λεωχάρους, ἵν' ἃ ἡμῖν—τῶν δὲ Λεωχάρους ἰδίων A. Λεωχάρους ἰδίων B.Z. vulg. Λεωχάρους εἴπερ ἀδίκων.

γονοι κατέλιπον κομισώμεθα, καὶ μὴ μόνον τὰ ὀνόματα αὐτῶν ἔχωμεν ἀλλὰ καὶ τὰ χρήματα. τῶν δε Λεωχάρους ἰδίων οὐκ [z] ἐπιθυμοῦμεν. Δικαιογένην γὰρ ὦ ἄνδρες οὔτ' ἐλεεῖν ἐστὲ δίκαιοι [a] κακῶς πράττοντα καὶ πενόμενον, οὔτ' εὖ ποιεῖν ὡς ἀγαθόν τι εἰργασμένον τὴν πόλιν· οὐδέτερα γὰρ [b] αὐτῷ τούτων ὑπάρχει, ὡς ἐγὼ ἀποφαίνω, ὦ ἄνδρες. ἅμα δὲ καὶ πλούσιον καὶ πονηρότατον [c] αὐτὸν ὄντα ἀνθρώπων ἀποδείξω καὶ εἰς τὴν πόλιν καὶ εἰς τοὺς προσήκοντας καὶ εἰς τοὺς φίλους. οὗτος [d] γὰρ παραλαβὼν τὸν κλῆρον παρ' ἡμῶν φέροντα μίσθωσιν τοῦ ἐνιαυτοῦ ὀγδοήκοντα μνᾶς, καρπωσάμενος [e] αὐτὸν δέκα ἔτη οὔτε ἀργύριον [f] ὡμολόγει κεκτῆσθαι οὔτε ὅποι ἀνήλωσεν ἔχοι ἂν ἐπιδεῖξαι, ὦ ἄνδρες. ἄξιον δὲ καὶ ὑμῖν λογίσασθαι. οὗτος γὰρ τῇ μὲν φυλῇ εἰς Διονύσια χορηγήσας τέταρτος ἐγένετο, τραγῳδοῖς δὲ καὶ [g] πυρριχισταῖς ὕστατος· ταύτας δὲ μόνας ἀναγκασθεὶς λειτουργίας [h] λειτουργῆσαι ἀπὸ τοσαύτης προσόδου οὕτω [i] καλῶς ἐχορήγησεν. ἀλλὰ μὴν τριηράρχων τοσούτων κατασταθέντων οὔτ' αὐτὸς ἐτριηράρχησεν οὔθ' ἑτέρῳ συμβέβληκεν [k] ἐν τοιούτοις καιροῖς, ἀλλ' [l] ἕτεροι μὲν οὐσίαν κεκτημένοι ἐλάττω ἢ οὗτος μίσθωσιν λαμβάνει τριηραρχοῦσι. καίτοι, ὦ ἄνδρες, οὐχ ὁ πατὴρ αὐτῷ τὴν πολλὴν οὐσίαν κατέλιπεν, ἀλλ' ὑμεῖς ἔδοτε τῇ ψήφῳ· ὥστε εἰ καὶ μὴ πολίτης ἦν, διά γε τοῦτο δίκαιος ἦν τὴν πόλιν εὖ ποιεῖν. εἰσφορῶν τοίνυν τοσούτων γεγενημένων πᾶσι [m] τοῖς πολίταις εἰς τὸν πόλεμον καὶ

[z] ἐπιθυμοῦμεν] ἐπεθυμοῦμεν A.B.
[a] κακῶς] Immo ὡς κακῶς.
[b] αὐτῷ] vulg. αὐτῶν.
[c] αὐτὸν ὄντα] vulg. om. participium.
[d] γὰρ A.B. vulg. δέ.
[e] αὐτὸν] αὐτῶν Z.
[f] ὡμολόγει] Quidni ὁμολογεῖ?
[g] πυρριχίσταις Palmerius: πυρριχιέταις A.B.Z.
[h] λειτουργῆσαι] λειτουργήσας Z.
[i] καλῶς] κακῶς A.
[k] ἐν τοιούτοις A. vulg. ἐν τοῖς τοιούτοις.
[l] ἕτεροι — κεκτημένοι Reiskius: libri ἕτερος—κεκτημένος.
[m] τοῖς] om. Z.

τὴν σωτηρίαν τῆς πόλεως Δικαιογένης οὐκ ἔστιν ἥντινα εἰσενήνοχε· πλὴν ὅτε [n] Λέχαιον ἐάλω, κληθεὶς ὑπὸ ἑτέρου ἐπέδωκεν ἐν τῷ δήμῳ τριακοσίας [o] δραχμάς, ἔλαττον ἢ Κλεώνυμος ὁ Κρής· καὶ τοῦτο ἐπέδωκεν, οὐκ εἰσήνεγκεν,
60 ἀλλ' ἐπ' αἰσχίστῳ [p] ἐπιγράμματι [q] ἐξετέθη αὐτῷ [r] τοὔ- 40
νομα [s] ἔμπροσθεν τῶν [t] ἐπωνύμων, [u] ὅτι [x] οἵδε εἰς σωτηρίαν τῆς πόλεως [y] ὑποσχόμενοι τῷ δήμῳ εἰσοίσειν χρήματα
61 ἐθελονταὶ οὐκ εἰσήνεγκαν. καίτοι πῶς ἄξιον θαυμάζειν, ὦ ἄνδρες, εἰ ἐμὲ ἐξηπάτησεν [z] ἕνα ὄντα, ὃς ὑμᾶς ἅπαντας [a] ἅμα συνειλεγμένους ἐν τῇ ἐκκλησίᾳ τοιαῦτα ἐποίησε; καὶ τούτων ὑμῖν [b] τοὺς μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

62 Εἰς μὲν τὴν πόλιν οὕτω καὶ τοσαῦτα [c] λελειτούργηκε 55
Δικαιογένης ἀπὸ τοσούτων χρημάτων· περὶ δὲ τοὺς προσήκοντας τοιοῦτός ἐστιν οἷον ὁρᾶτε, ὥστε τοὺς μὲν ἡμῶν ἀφείλετο τὴν οὐσίαν, ὅτι [d] μεῖζον ἐδυνήθη, τοὺς δὲ περιεώρα εἰς τοὺς μισθωτοὺς ἰόντας δι' ἔνδειαν τῶν ἐπιτηδείων. τὴν δὲ μητέρα τὴν αὐτοῦ καθημένην ἐν τῷ τῆς Εἰληθυίας ἱερῷ πάντες ἑώρων, καὶ τούτῳ ἐγκαλοῦσαν ἃ ἐγὼ αἰσχύνομαι 5
63 λέγειν, οὗτος δὲ ποιῶν οὐκ ἠσχύνετο. τῶν δ' ἐπιτηδείων Μέλανα μὲν τὸν Αἰγύπτιον, ᾧ ἐκ μειρακίου φίλος ἦν, ὅπερ [e] ἔλαβε παρ' αὐτοῦ ἀργύριον [f] ἀποστερήσας, ἔχθι-

[n] Λέχαιον] λέχιον B.Z. λεχίων A.
[o] δραχμὰς] μνᾶς Z.
[p] ἐπιγράμματι] ὑπογράμματι
[q] ἐξετέθη] Id ego de conjectura reposui pro vulg. ἐξ ἑτέρου.
[r] τοὔνομα] om. Z.
[s] ἔμπροσθεν] ἔμπροσθε Z.
[t] ἐπωνύμων] ὁμωνύμων Z.
[u] ὅτι A.B. vulg. ὅτε.
[x] οἵδε] Hæc quoque mea conjectura est. Libri enim εἶδεν, vulg. δ' ἔδει.
[y] ὑποσχόμενοι—ἐθελονταὶ—εἰσήνεγκαν A.B.Z. vulg. ὑποσχόμενος—ἐθελοντὴς—εἰσήνεγκεν.
[z] ἕνα] ἕνοχον Z.
[a] ἅμα] om. Z.
[b] τοὺς μάρτυρας A. vulg. om. articulum.
[c] λελειτούργησε δικαιογένης A. διογένης λελειτούργηκε Z.
[d] μεῖζον] μείζων A.B.Z.
[e] ἔλαβε] ἔλαβες Z.
[f] ἀποστερήσας] om. Z.

στός ἐστι· τῶν δὲ ἄλλων αὐτοῦ φίλων οἱ μὲν οὐκ ἀπέλαβον ἃ ἐδάνεισαν, οἱ δ' ἐξηπατήθησαν, καὶ οὐκ ἔλαβον ἃ ὑπέσχετο αὐτοῖς, εἰ ἐπιδικάσαιτο τοῦ κλήρου, δώσειν.
64 καίτοι, ὦ ἄνδρες, οἱ ἡμέτεροι πρόγονοι οἱ ταῦτα κτησάμενοι καὶ καταλιπόντες πάσας μὲν χορηγίας ἐχορήγησαν, εἰσήνεγκαν δὲ εἰς τὸν πόλεμον χρήματα πολλὰ
65 ὑμῖν, καὶ τριπαρχοῦντες οὐδένα χρόνον [g] διέλιπον. καὶ τούτων μαρτύρια ἐν τοῖς ἱεροῖς ἀναθήματα ἐκεῖνοι ἐκ τῶν περιόντων, μνημεῖα τῆς αὐτῶν ἀρετῆς, ἀνέθεσαν, τοῦτο μὲν ἐν Διονύσου τρίποδας, οὓς χορηγοῦντες καὶ νικῶντες ἔλαβον, τοῦτο δ' ἐν Πυθίου· ἔτι δ' ἐν [h] ἀκροπόλει ἀπαρχὰς τῶν ὄντων ἀναθέντες πολλοῖς, ὡς ἀπὸ ἰδίας [i] κτήσεως, ἀγάλμασι χαλκοῖς καὶ λιθίνοις κεκοσμήκασι τὸ ἱερόν.
66 αὐτοὶ δ' ὑπὲρ τῆς πατρίδος πολεμοῦντες ἀπέθανον, Δικαιογένης [k] μὲν ὁ Μενεξένου τοῦ ἐμοῦ πάππου πατὴρ στρατηγῶν ὅτε ἡ ἐν Ἐλευσῖνι μάχη ἐγένετο, Μενέξενος δ' ὁ ἐκείνου υἱὸς φυλαρχῶν τῆς [l] Ὀλυσίας ἐν Σπαρτώλῳ, Δικαιογένης δὲ ὁ Μενεξένου τριπαρχῶν τῆς παράλου ἐν
67 Κνίδῳ. τὸν μὲν [m] τούτου οἶκον [n] σὺ ὦ Δικαιόγενες παραλαβὼν κακῶς καὶ αἰσχρῶς διολώλεκας, καὶ ἐξαργυρισάμενος πενίαν ὀδύρῃ, [o] ποῖ ἀναλώσας; οὔτε γὰρ εἰς τὴν πόλιν οὔτε εἰς τοὺς φίλους [p] φανερὸς εἶ δαπανηθεὶς οὐδέν.
68 [q] ἀλλὰ μὴν οὐδὲ καθιπποτρόφηκας· οὐ γὰρ πώποτε ἐκτήσω ἵππον πλείονος ἄξιον ἢ τριῶν μνῶν· οὔτε κατεζευγοτρόφηκας, [r] ἐπεὶ οὐδὲ ζεῦγος ἐκτήσω ὁρικὸν οὐδεπώποτε ἐπὶ [s] τοσούτοις ἀγροῖς καὶ κτήμασιν. ἀλλ' οὐδ' ἐκ

[g] διέλιπον] vulg. ἔλιπον.
[h] ἀκροπόλει ἀπαρχὰς A.B. vulg. ἀκροπόλει ἂς ἀπαρχάς.
[i] κτήσεως] φύσεως Z.
[k] μὲν A.B. vulg. δέ.
[l] Ὀλυσίας] ὀχυσίας Z.
[m] τούτου] τοῦτον A.
[n] σὺ] om. Z.
[o] ποῦ] Præstiterit ποῖ.
[p] φανερὸς] φανερᾶς A.B.
[q] ἀλλὰ μὴν A.B. vulg. οὐ μήν.
[r] ἐπεὶ οὐδὲ] ἐπεὶ δὲ οὐ Z.
[s] τοσούτοις] τοσούτου Z.

69 τῶν [t]πολεμίων ἐλύσω οὐδένα. ἀλλ' οὐδὲ τὰ ἀναθήματα,
ἃ Μενέξενος τριῶν ταλάντων ποιησάμενος ἀπέθανε πρὶν
ἀναθεῖναι, [u]εἰς τὴν πόλιν κεκόμικας, ἀλλ' ἐν τοῖς [x]λι-
θουργείοις ἔτι κυλινδεῖται, καὶ αὐτὸς μὲν [y]ἠξίους κεκτῆ-
σθαι ἃ σοι οὐδὲν προσῆκε χρήματα, τοῖς δὲ θεοῖς οὐκ
70 ἀπέδωκας ἃ ἐκείνων ἐγίγνετο ἀγάλματα. διὰ τί οὖν
ἀξιώσεις σου τοὺς δικαστὰς ἀποψηφισασθαι, ὦ Δικαι- 30
όγενες; πότερον ὅτι πολλὰς λειτουργίας λελειτούργηκας
τῇ πόλει, καὶ πολλὰ χρήματα δαπανήσας σεμνοτέραν
τὴν πόλιν τούτοις ἐποίησας; ἢ ὡς τριηραρχῶν πολλὰ
κακὰ τοὺς πολεμίους εἰργάσω, καὶ εἰσφορὰς δεομένῃ τῇ
πατρίδι εἰς τὸν πόλεμον εἰσενεγκὼν μεγάλα ὠφέληκας;
71 ἀλλ' οὐδέν σοι τούτων πέπρακται. ἀλλ' ὡς στρατιώτης
ἀγαθός; ἀλλ' οὐκ [z]ἐστράτευσαι τοσούτου καὶ τοιούτου
γενομένου πολέμου, εἰς ὃν [a]Ὀλύνθιοι μὲν καὶ νησιῶται 35
ὑπὲρ τῆσδε τῆς γῆς ἀποθνήσκουσι μαχόμενοι τοῖς πολε-
μίοις, σὺ δὲ ὦ Δικαιόγενες πολίτης ὢν [b]οὐδ' ἐστράτευ-
72 σαι. ἀλλ' ἴσως διὰ τοὺς προγόνους [c]ἀξιώσεις μου πλέον
ἔχειν, [d]ὅτι τὸν τύραννον ἀπέκτειναν. ἐγὼ δ' ἐκείνους μὲν
ἐπαινῶ, σοὶ δὲ οὐδὲν ἡγοῦμαι τῆς ἐκείνων ἀρετῆς μετεῖναι.
πρῶτον [e]μὲν γὰρ εἵλου ἀντὶ τῆς ἐκείνων δόξης τὴν ἡμετέ-
ραν οὐσίαν κτήσασθαι, καὶ ἐβουλήθης μᾶλλον Δικαιο- 40
γένους καλεῖσθαι υἱὸς ἢ Ἁρμοδίου, ὑπεριδὼν μὲν τὴν ἐν
Πρυτανείῳ σίτησιν, καταφρονήσας δὲ προεδριῶν καὶ ἀτε-
73 λειῶν, ἃ τοῖς ἐξ ἐκείνων γεγονόσι [f]δέδοται. ἔτι δὲ ὁ

[t] πολεμίων] πλεμένων Z.
[u] εἰς τὴν πόλιν] vulg. εἰς τὴν ἀκρόπολιν.
[x] λιθουργείοις] λιθουργίοις A.B.Z.
[y] ἠξίους] οὐδὲν ἠξίου Z.
[z] ἐστράτευσαι] ἐστράτευται Z.
[a] Ὀλύνθιοι] Ὀποΐντιοι Jones.
[b] οὐδ'] vulg. οὐκ.
[c] ἀξιώσεις A.B. vulg. ἀξιώσειέ.
[d] ὅτι τὸν τύραννον A.B. vulg. ὅτι τύραννον.
[e] μὲν γὰρ εἵλου] vulg. μὲν εἵλου.
[f] δέδοται] δέδοκται Z.

Ἀριστογείτων ἐκεῖνος καὶ Ἁρμόδιος οὐ διὰ τὸ γένος ἐτιμήθησαν ἀλλὰ διὰ τὴν ἀνδραγαθίαν, ἧς σοι οὐδὲν μέτεστιν, ὦ Δικαιόγενες.

ΠΕΡΙ ΤΟΥ ΦΙΛΟΚΤΗΜΟΝΟΣ ΚΛΗΡΟΥ. 56

5.

ΥΠΟΘΕΣΙΣ.

Εὐκτήμονος υἱὸς Φιλοκτήμων τὸν τῆς ἑτέρας τῶν ἀδελφῶν καὶ Φανοστράτου υἱὸν Χαιρέστρατον [a] ποιησάμενος κατὰ διαθήκας τὰς [b] τεθείσας παρὰ [c] Χαιρέᾳ τῷ τῆς ἑτέρας ἀδελφῆς ἀνδρί, ἐτελεύτησε ζῶντος ἔτι τοῦ πατρός· ὕστερον δὲ κἀκείνου ἀποθανόντος ἔλαχεν ὁ Χαιρέστρατος τοῦ κλήρου κατὰ τὸν νόμον. διαμαρτυρήσαντος δὲ Ἀνδροκλέους μὴ εἶναι ἐπίδικον ὄντος Ἀντιδώρου γνησίου παιδὸς Εὐκτήμονι, οἱ περὶ Χαιρέστρατον [d] ἐπεσκήψαντο τῇ διαμαρτυρίᾳ, καὶ τοῦτον καὶ τὴν ἀδελφὴν αὐτοῦ νόθους γεγονέναι φάσκοντες, τὸν δὲ νόμον διαγορεύειν νόθῳ καὶ νόθῃ μὴ εἶναι ἀγχιστείαν. Ἡ στάσις στυχασμός· ἄδηλον γὰρ εἰ [e] ἐποίησε Φιλοκτήμων Χαιρέστρατον υἱὸν ἑαυτῷ, καὶ πάλιν ἄδηλον εἰ γνήσιοί εἰσιν οἱ περὶ Ἀντίδωρον.

Ὅτι μέν, ὦ ἄνδρες, πάντων οἰκειότατα χρῶμαι Φανοστράτῳ τε καὶ Χαιρεστράτῳ τούτῳ, τοὺς πολλοὺς οἶμαι ὑμῶν εἰδέναι, τοῖς δὲ μὴ εἰδόσιν ἱκανὸν ἐρῶ τεκμήριον· ὅτε γὰρ εἰς Σικελίαν [f] ἐξέπλει τριηραρχῶν [g] Χαιρέστρατος, διὰ τὸ πρότερον αὐτὸς ἐκπεπλευκέναι προήδειν πάντας τοὺς ἐσομένους κινδύνους, ὅμως δὲ δεομένων τούτων καὶ

[a] ποιησάμενος] υἱὸν ποιησάμενος Z.
[b] τεθείσας A.B. vulg. δοθείσας.
[c] Χαιρέᾳ] ταιρέα Z.
[d] ἐπεσκήψαντο] ἐπεσκέψαντο Z.
[e] ἐποίησε] ἐπενόησε Z.
[f] ἐξέπλει] ἐνέπλει Z.
[g] Χαιρέστρατος A.B. vulg. Μενέστρατος.

συνεξέπλευσα καὶ συνεδυστύχησα καὶ ἐάλωμεν εἰς τοὺς
2 πολεμίους. ἄτοπον [h]δὴ εἰ ἐκεῖνα μὲν προδήλων ὄντων τῶν
κινδύνων ὅμως διὰ τὸ χρῆσθαι τούτοις καὶ φίλους νομί-
ζειν ὑπέμενον, νῦν δὲ [i]οὐ [k]πειρώμην συνεισπεῖν ἐξ ὧν ὑμεῖς
[l]τε τὰ εὔορκα ψηφιεῖσθε καὶ τούτοις τὰ δίκαια γενή-
σεται. δέομαι οὖν ὑμῶν συγγνώμην τε ἔχειν καὶ μετ' 20
εὐνοίας ἀκροάσασθαι· ὁ γὰρ ἀγὼν οὐ μικρὸς αὐτοῖς,
ἀλλὰ περὶ τῶν μεγίστων.
3 Φιλοκτήμων γὰρ ὁ Κηφισιεὺς φίλος ἦν Χαιρεστράτῳ
τούτῳ· δοὺς δὲ τὰ ἑαυτοῦ καὶ υἱὸν αὐτὸν ποιησάμενος
ἐτελεύτησε. λαχόντος δὲ τοῦ Χαιρεστράτου κατὰ τὸν νό-
μον τοῦ κλήρου, [m]ἐξὸν ἀμφισβητῆσαι Ἀθηναίων τῷ βου-
λομένῳ καὶ εὐθυδικίᾳ [n]εἰσελθόντι εἰς ὑμᾶς, εἰ φαίνοιτο
4 δικαιότερα λέγων, ἔχειν τὸν κλῆρον, [o]διεμαρτύρησεν Ἀν- 25
δροκλῆς οὑτοσὶ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον, ἀποστερῶν
[p]τοῦτον τῆς ἀμφισβητήσεως καὶ ὑμᾶς τοῦ κυρίους [q]γενέ-
σθαι ὄντινα δεῖ κληρονόμον [r]καταστήσασθαι τῶν Φιλο-
κτήμονος· καὶ ἐν μιᾷ ψήφῳ καὶ ἐνὶ ἀγῶνι οἴεται ἀδελ-
φοὺς καταστήσειν ἐκείνῳ τοὺς οὐδὲν προσήκοντας, καὶ τὸν
κλῆρον ἀνεπίδικον ἔξειν αὐτός, καὶ τῆς ἀδελφῆς τῆς ἐκεί-
νου κύριος γενήσεσθαι, καὶ τὴν διαθήκην ἄκυρον ποιήσειν. 30
5 πολλῶν δὲ καὶ δεινῶν ὄντων ἃ διαμεμαρτύρηκεν Ἀνδρο-
κλῆς, [s]τοῦτ' αὐτὸ πρῶτον ἐπιδείξω ὑμῖν, ὡς διέθετο καὶ
6 ἐποιήσατο υἱὸν τουτονὶ Χαιρέστρατον. ἐπειδὴ γὰρ τῷ Φι-
λοκτήμονι ἐκ μὲν τῆς γυναικὸς ἧ συνῴκει οὐκ [t]ἦν παι-

[h] δὴ A.B. vulg. δέ.
[i] οὐ A.B. vulg. μή. Z. om.
[k] πειράμην A.B. vulg. ἐπειρώμην.
[l] τά τε] Reiskius τε τά.
[m] ἐξὸν A. ceteri ἐξῆν.
[n] εἰσελθόντι A. vulg. εἰσελθόντα.
[o] διεμαρτύρησεν—κλῆρον] om. Z.
[p] τοῦτον] τούτου Z.
[q] γενέσθαι] vulg. γίνεσθαι.
[r] καταστήσασθαι] καταστήσεσθαι A.B.
[s] τοῦτ' αὐτὸ A.B. cum Valckenar. orat. p. VI. vulg. ταῦτ' αὐτῷ.
[t] ἦν] ἧ B.

δίον οὐδέν, πολέμου δ' ὄντος [u]ἐκινδύνευε καὶ ἱππεὺς
στρατευόμενος καὶ τριήραρχος πολλάκις ἐκπλέων, ἔδοξεν
αὐτῷ διαθέσθαι τὰ αὐτοῦ, μὴ ἔρημον [x]καταλίπῃ τὸν
7 οἶκον, εἴ τι πάθοι. τὼ μὲν οὖν ἀδελφὼ αὐτῷ, [y]ὥπερ ἐγε- 35
νέσθην, ἄμφω ἄπαιδε ἐτελευτησάτην· ταῖν δὲ ἀδελφαῖν
τῇ μὲν ἑτέρᾳ, ἣ ὁ Χαιρέας συνῴκει, οὐκ ἦν ἄρρεν παιδίον
οὐδὲ ἐγένετο πολλὰ ἔτη συνοικούσῃ, ἐκ δὲ τῆς ἑτέρας, ἣ
8 συνῴκει Φανόστρατος οὑτοσί, ἦστην υἱὼ δύο. τούτων τὸν
πρεσβύτερον τουτονὶ Χαιρέστρατον ἐποιήσατο υἱόν· καὶ
ἔγραψεν [z]οὕτως ἐν διαθήκῃ, εἰ μὴ γένοιτο αὐτῷ παιδίον
ἐκ τῆς γυναικός, τοῦτον κληρονομεῖν τῶν ἑαυτοῦ. καὶ τὴν 40
διαθήκην κατέθετο παρὰ τῷ κηδεστῇ Χαιρέᾳ, τῷ τὴν ἑτέ-
ραν αὐτοῦ ἀδελφὴν ἔχοντι. καὶ ὑμῖν ἥ τε διαθήκη αὕτη
[a]ἀναγνωσθήσεται καὶ οἱ παραγενόμενοι μαρτυρήσουσι.
Καί μοι ἀνάγνωθι.

ΔΙΑΘΗΚΗ.

9 Ὡς μὲν διέθετο καὶ ἐφ' οἷς ἐποιήσατο υἱὸν τοῦτον,
ἀκηκόατε· ὡς δ' ἔξον αὐτῷ ταῦτ' ἔπραξεν, ὅθεν δικαιό-
τατα ἡγοῦμαι τὰ τοιαῦτ' εἶναι μανθάνειν, τοῦτον ὑμῖν
αὐτὸν παρέξομαι τὸν νόμον. Καί μοι ἀνάγνωθι. 57

ΝΟΜΟΣ.

10 Οὑτοσὶ ὁ νόμος, ὦ ἄνδρες, κοινὸς ἅπασι κεῖται, ἐξεῖ-
ναι τὰ ἑαυτοῦ διαθέσθαι, ἐὰν μὴ παῖδες ὦσι γνήσιοι ἄρ-
ρενες, ἐὰν μὴ ἄρα μανεὶς ἢ ὑπὸ γήρως ἢ δι' ἄλλο τι [b]τῶν
ἐν τῷ νόμῳ παρανοῶν διαθῆται. ὅτι δ' οὐδενὶ τούτων ἔνο-
11 χος ἦν Φιλοκτήμων, βραχέα εἰπὼν δηλώσω ὑμῖν. ὅστις 5
γὰρ καὶ ἕως ἔζη τοιοῦτον πολίτην ἑαυτὸν παρεῖχεν, ὥστε

[u] ἐκινδύνευε] ἐκινδύνευσε Z.
[x] καταλίπῃ] καταλύσῃ Z.
[y] ὥπερ Reiskius: libri ὥσπερ.
[z] οὕτως] οὕτος A.B.Z.
[a] ἀναγνωσθήσεται] ἀναγνώσεται A.B.
[b] τῶν ἐν τῷ νόμῳ A. τῶ ἐν τῷ νόμων B. vulg. τῶν ἐκ τῶν νόμων.

διὰ τὸ ὑφ' ὑμῶν τιμᾶσθαι ἄρχειν ἀξιοῦσθαι, καὶ ἐτελεύτησε μαχόμενος τοῖς πολεμίοις, πῶς [c]ἄν τις τοῦτον τολ-
12 μήσειεν εἰπεῖν ὡς οὐκ εὖ [d]ἐφρόνει; [d]Ὅτι μὲν οὖν διέθετο καὶ ἐποιήσατο εὖ φρονῶν, ἔξον αὐτῷ, ἀποδέδεικται ὑμῖν, ὥστε κατὰ μὲν τοῦτο ψευδὴς μεμαρτυρηκὼς Ἀνδροκλῆς ἀποδέδεικται· ἐπειδὴ δὲ προσδιαμεμαρτύρηκεν [e]ὡς υἱὸν εἶναι γνήσιον Εὐκτήμονος τοῦτον, καὶ ταῦτ' ἀποδείξω
13 ψευδῆ ὄντα. Εὐκτήμονι γὰρ ὦ ἄνδρες, τῷ Φιλοκτήμονος πατρί, τοὺς μὲν [f]ὄντως γενομένους παῖδας, Φιλοκτήμονα καὶ Ἐργαμένην καὶ [g]Ἡγήμονα καὶ δύο θυγατέρας, καὶ τὴν μητέρα αὐτῶν, ἣν ἔγημεν ὁ Εὐκτήμων, [h]Μιξιάδου
[i]Κηφισιέως θυγατέρα, πάντες οἱ προσήκοντες ἴσασι καὶ οἱ φράτορες καὶ τῶν δημοτῶν οἱ πολλοί, καὶ μαρτυρήσουσιν
14 ὑμῖν· ὅτι δ' [k]οὐδ' ἄλλην τινὰ ἔγημε γυναῖκα, ἐξ ἧς τινὸς οἵδε αὐτῷ ἐγένοντο, οὐδεὶς τὸ παράπαν οἶδεν οὐδ' ἤκουσε πώποτε ζῶντος Εὐκτήμονος. καίτοι τούτους εἰκὸς πιστοτάτους εἶναι νομίζειν μάρτυρας· τοὺς γὰρ οἰκείους εἰδέναι προσήκει τὰ τοιαῦτα. Καί μοι τούτους κάλει πρῶτον, καὶ τὰς μαρτυρίας ἀνάγνωθι.

[l]ΜΑΡΤΥΡΙΑΙ.

15 [m]Ἔτι τοίνυν καὶ τοὺς ἀντιδίκους ἐπιδείξω ἔργῳ ὑμῖν ταῦτα μεμαρτυρηκότας. ὅτε γὰρ αἱ ἀνακρίσεις ἦσαν πρὸς τῷ ἄρχοντι καὶ οὗτοι [m]παρακατέβαλον ὡς ὑπὲρ γνησίων τῶνδ' Εὐκτήμονος ὄντων, ἐρωτώμενοι ὑφ' ἡμῶν τίς εἴη αὐτῶν μήτηρ καὶ ὅτου θυγάτηρ οὐκ εἶχον ἀπο-

[c] ἄν] αὖ Z.
[d] ἐφρόνει—εὖ] om. Z.
[e] ὡς] Delet Reiskius.
[f] ὄντως] οὕτω Z.
[g] Ἡγήμονα] vulg. Ἡγέμονα.
[h] Μιξιάδου] Μηξιάδου A.B.
[i] Κηφισιέως Reiskius: libri Κηφισίως.
[k] οὐδ'] οὐκ Z. Mihi delendum videtur.
[l] μαρτυρίαι A. vulg. μάρτυρες.
[m] παρακατέβαλον] παρακατέβαλλον Z.

δεῖξαι, [n] διαμαρτυρομένων ἡμῶν καὶ τοῦ ἄρχοντος κελεύοντος ἀποκρίνασθαι κατὰ τὸν νόμον. . . . . ὦ ἄνδρες, ἀμφισβητεῖν μὲν ὡς ὑπὲρ γνησίων καὶ διαμαρτυρεῖν, μητέρα δὲ ἥ τις ἦν μὴ ἔχειν ἀποδεῖξαι, μηδὲ προσήκοντα αὐτοῖς
16 μηδένα. ἀλλὰ τότε μὲν Λημνίαν [o] σκηψάμενοι ταύτην [25]
ἀναβολὴν [p] ἐποιήσαντο· τὸ δ' ὕστερον ἥκοντες εἰς τὴν ἀνάκρισιν, πρὶν καί τινα ἐρέσθαι, εὐθὺς ἔλεγον ὅτι [q] Καλλίππη [r] μήτηρ, αὕτη [s] δ' εἴη [t] Πιστοξένου θυγάτηρ, ὡς
17 ἐξαρκέσον εἰ ὄνομα μόνον ποήσαιντο τὸν Πιστόξενον. [u] ἐρομένων δ' ἡμῶν ὅστις εἴη καὶ εἰ ζῇ ἢ μή, ἐν Σικελίᾳ ἔφασαν ἀποθανεῖν στρατευόμενον, καταλιπόντα [x] ταύτην θυγατέρα παρὰ τῷ Εὐκτήμονι, [y] ἐξ ἐπιτροπευομένης [z] δὲ [30]
τούτῳ γενέσθαι, πρᾶγμα [a] πλάττοντες ἀναιδείᾳ ὑπερβάλλον καὶ οὐδὲ γενόμενον, ὡς ἐγὼ ὑμῖν ἀποφανῶ ἐκ
18 τούτων [b] πρώτων ὧν αὐτοὶ ἀπεκρίναντο. τῇ μὲν γὰρ στρατιᾷ, ἀφ' οὗ ἐξέπλευσεν εἰς Σικελίαν, ἤδη ἔστι δύο καὶ πεντήκοντα ἔτη, ἀπὸ [c] Ἀριμνήστου ἄρχοντος, τῷ δὲ πρεσβυτέρῳ τούτων, ὃν φασιν ἐκ τῆς Καλλίππης καὶ τοῦ
19 Εὐκτήμονος [d] εἶναι, οὔπω ὑπὲρ εἴκοσιν [e] ἔτη. [f] ἀφελόντι [35]
οὖν [g] ταῦτα ἀπὸ τῶν ἐν [h] Σικελίᾳ ὑπολείπεται πλείω ἢ

[n] διαμαρτυρομένων] Immo μαρτυρομένων.
[o] σκηψάμενοι] σκεψάμενοι A.Z.
[p] ἐποιήσαντο] ἐποιήσατο Z. Idem mox ἔλεγεν.
[q] Καλλίππη] om. Z.
[r] μήτηρ] Malim ἡ μήτηρ.
[s] δ' εἴη A. δείη B.Z. vulg. εἴη.
[t] Πιστοξένου] πιξένου post lacunam Z.
[u] ἐρομένων] ἐρομένου Z.
[x] ταύτην θυγατέρα A.B.Z. vulg. ταύτην τὴν θυγατέρα.
[y] ἐξ ἐπιτροπευομένης] ἐξεπιτροπευομένους B.Z.
[z] δὲ τούτῳ] ὃ τοῦτο Z.
[a] πλάττοντες] Sic correxi vulg. πράττοντες.
[b] πρῶτον] Reiskius πρώτων.
[c] Ἀριμνήστου] Cf. Wesseling. ad Diodor. Sic. 12, 82. et Luzac. de Digamia Socrat. p. 63.
[d] εἶναι] om. Z.
[e] Quæ vulg. post ἔτη adduntur, ἀπὸ Ἀριμνήστου ἄρχοντος, om. A. in marg. ponit B.
[f] ἀφελόντι A. vulg. ἀφελόντα.
[g] ταῦτα] πάντα B.Z.
[h] Σικελίᾳ ὑπολείπεται] Σικελίᾳ πραγμάτων ὑπολείπεται Z.

τριάκοντα ἔτη· ὥστ' [i]οὔτ' ἐπιτροπεύεσθαι προσήκει τὴν Καλλίππην ἔτι, τριακοντοῦτίν γε οὖσαν, οὔτε ἀνέκδοτον καὶ ἄπαιδα εἶναι, ἀλλὰ πάνυ πάλαι συνοικεῖν, ἢ ἐγγυ-
20 ηθεῖσαν [k]κατὰ νόμον ἢ ἐπιδικασθεῖσαν. ἔτι δὲ καὶ γινώσκεσθαι αὐτὴν ὑπὸ τῶν Εὐκτήμονος οἰκείων ἀναγκαῖον ἦν καὶ [l]ὑπὸ τῶν οἰκετῶν, εἴ πέρ γε συνῴκησεν ἐκείνῳ ἢ διητήθη τοσοῦτον χρόνον ἐν τῇ οἰκίᾳ. τὰ γὰρ τοιαῦτα οὐκ 40
εἰς τὴν ἀνάκρισιν μόνον δεῖ πορίζεσθαι ὀνόματα, ἀλλὰ τῇ ἀληθείᾳ γεγονότα φαίνεσθαι καὶ ὑπὸ τῶν προσηκόν-
21 των καταμαρτυρεῖσθαι. ἀποδείξαι τοίνυν [m]ἡμῶν κελευόντων ὅστις οἶδε τῶν Εὐκτήμονος οἰκείων ἢ συνοικήσασαν ἐκείνῳ [n]τινὰ ἢ τὴν Καλλίππην ἐπιτροπευομένην, καὶ παρὰ τῶν ὄντων θεραπόντων τὸν ἔλεγχον ποιεῖσθαι, ἢ εἴ τις τῶν παρ' αὐτοῖς οἰκετῶν φάσκει ταῦτα εἰδέναι, ἡμῖν παραδοῦναι, οὔτε λαβεῖν ἠθέλησαν [o]οὔθ' ἡμῖν παραδοῦναι. 58
Καί μοι λάβε τὴν τ' ἀπόκρισιν αὐτῶν καὶ τὰς ἡμετέρας μαρτυρίας καὶ προκλήσεις.

[p]ΑΠΟΚΡΙΣΙΣ. ΜΑΡΤΥΡΙΑ. ΠΡΟΚΛΗΣΙΣ.

22 Οὗτοι μὲν τοίνυν τοιοῦτο πρᾶγμα ἔφυγον· ἐγὼ δ' ὑμῖν ἐπιδείξω καὶ ὅθεν εἰσὶ καὶ οἵτινες αὐτοὺς γνησίους διεμαρτύρησαν εἶναι καὶ κληρονόμους ζητοῦσι [q]καταστῆ- 5
σαι τῶν Εὐκτήμονος. ἴσως μέν ἐστιν [r]ἀηδὲς Φανοστράτῳ, ὦ ἄνδρες, τὰς Εὐκτήμονος συμφορὰς φανερὰς καθεστάναι· ὀλίγα δ' ἀναγκαῖον ῥηθῆναι, ἵν' ὑμεῖς τὴν ἀλήθειαν
23 εἰδότες ῥᾷον τὰ δίκαια ψηφίσησθε. Εὐκτήμων μὲν γὰρ

[i] οὔτ'] οὐδ' A.B.Z.

[k] κατὰ νόμον] κατὰ τὸν νόμον Z.

[l] ὑπὸ—γε συνῴκησεν] ὑπὲρ—καὶ συνῴκηκεν Z.

[m] ἡμῶν] ὑμῶν A.

[n] τινὰ ἢ τὴν Καλλίππην ἐπιτροπευομένην] Reiskius τινὰ Καλλίππην ἢ ἐπιτροπευομένην.

[o] οὔθ' ἡμῖν παραδοῦναι] Hæc addidi ex A.B.

[p] ΑΠΟΚΡΙΣΙΣ. ΜΑΡΤΥΡΙΑ. ΠΡΟΚΛΗΣΙΣ] vulg. ἀπόκρισις καὶ μαρτυρία καὶ πρόκλησις.

[q] καταστῆσαι] καταστῆναι Z.

[r] ἀηδὲς A. ἀφηδὲς B. vulg. ἀφειδές.

ἐβίω ἔτη ἓξ [s]ἐνενήκοντα, τούτου δὲ τοῦ χρόνου τὸν μὲν πλεῖστον ἐδόκει [t]εὐδαίμων εἶναι (καὶ γὰρ οὐσία ἦν οὐκ ὀλίγη αὐτῷ καὶ παῖδες καὶ γυνή, καὶ [u]τἆλλ' ἐπιεικῶς εὐτύχει,) ἐπὶ γήρως δὲ αὐτῷ συμφορὰ ἐγένετο οὐ μικρά, ἣ ἐκείνου πᾶσαν τὴν οἰκίαν ἐλυμήνατο καὶ χρήματα πολλὰ διώλεσε καὶ αὐτὸν τοῖς οἰκειοτάτοις εἰς διαφορὰν κατέστησεν. ὅθεν δὲ καὶ ὅπως ταῦτ' [v]ἐγένετο, ὡς ἂν δύνωμαι διὰ βραχυτάτων δηλώσω. ἀπελευθέρα ἦν αὐτοῦ, ὦ ἄνδρες, ἡ ἐναυκλήρει συνοικίαν ἐν Πειραιεῖ αὐτοῦ καὶ παιδίσκας ἔτρεφε. τούτων [w]μίαν ἐκτήσατο ἡ ὄνομα ἦν Ἀλκή, ἣν καὶ ὑμῶν οἶμαι πολλοὺς εἰδέναι. αὕτη δὲ ἡ Ἀλκὴ ὠνηθεῖσα πολλὰ μὲν ἔτη καθῆστο ἐν οἰκήματι, ἤδη δὲ πρεσβυτέρα οὖσα ἀπὸ μὲν τοῦ οἰκήματος ἀνίσταται, διαιτωμένη δὲ αὐτὴ ἐν τῇ συνοικίᾳ συνῆν ἄνθρωπος ἀπελεύθερος, Δίων ὄνομα αὐτῷ, ἐξ οὗ ἔφη ἐκείνη τούτους γεγονέναι· καὶ ἔθρεψεν αὐτοὺς ὁ Δίων ὡς ὄντας ἑαυτοῦ. χρόνῳ δὲ ὕστερον ὁ μὲν Δίων ζημίαν εἰργασμένος καὶ δείσας ὑπὲρ αὐτοῦ ὑπεχώρησεν εἰς Σικυῶνα· τὴν δ' ἄνθρωπον ταύτην, τὴν Ἀλκήν, καθίστησιν Εὐκτήμων ἐπιμελεῖσθαι τῆς ἐν Κεραμεικῷ [x]συνοικίας, τῆς παρὰ τὴν πυλίδα, οὗ ὁ οἶνος ὤνιος. κατοικισθεῖσα δ' ἐνταυθοῖ [y]πολλῶν καὶ κακῶν ἦρξεν, ὦ ἄνδρες. φοιτῶν γὰρ ὁ Εὐκτήμων ἐπὶ τὸ ἐνοίκιον ἑκάστοτε τὰ πολλὰ διέτριβεν ἐν τῇ συνοικίᾳ, ἐνίοτε δὲ καὶ ἐσιτεῖτο μετὰ τῆς ἀνθρώπου, καταλιπὼν καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας καὶ τὴν οἰκίαν ἣν ᾤκει. χαλεπῶς δὲ φερούσης τῆς γυναικὸς καὶ τῶν υἱέων οὐχ ὅπως

[s] ἐνενήκοντα A.B. vulg. ἐννενήκοντα.
[t] εὐδαίμων εἶναι A.B. vulg. εἶναι εὐδαίμων.
[u] τἆλλ' A.B. vulg. τἄλλα.
[v] ἐγένετο] ἐγίνετο Z.
[w] μίαν] μία Z.
[x] συνοικίας] οἰκίας Z.
[y] πολλῶν καὶ κακῶν] πολλῶν κακῶν Z.

ἐπαύσατο, [z] ἀλλὰ τελευτῶν παντελῶς διητᾶτο ἐκεῖ, καὶ οὕτω διετέθη εἴθ' ὑπὸ φαρμάκων εἴθ' ὑπὸ νόσου εἴθ' ὑπ' ἄλλου τινός, ὥστε ἐπείσθη ὑπ' αὐτῆς τὸν πρεσβύτερον τοῖν παίδοιν εἰσαγαγεῖν εἰς τοὺς φράτορας ἐπὶ τῷ αὐτοῦ ὀνό-
29 ματι. ἐπειδὴ δὲ οὔθ' [a] ὁ υἱὸς αὐτῷ Φιλοκτήμων συνεχώρει οὔθ' οἱ φράτορες [b] εἰσεδέξαντο, ἀλλ' ἀπηνέχθη τὸ [c] κούριον, 30 ὀργιζόμενος ὁ Εὐκτήμων τῷ υἱεῖ καὶ ἐπηρεάζειν βουλόμενος ἐγγυᾶται γυναῖκα Δημοκράτους τοῦ [d] Ἀφιδναίου ἀδελφήν, ὡς ἐκ ταύτης παῖδας ἀποφανῶν καὶ εἰσποιήσων εἰς τὸν οἶκον, εἰ μὴ συγχωροίη [e] τοῦτον [ἐᾶν] εἰσαχθῆναι.
30 εἰδότες δ' οἱ ἀναγκαῖοι ὅτι ἐξ ἐκείνου μὲν οὐκ ἂν ἔτι γένοιντο παῖδες ταύτην τὴν ἡλικίαν ἔχοντος, φανήσοιντο δ' ἄλλῳ τινὶ τρόπῳ, καὶ ἐκ τούτων ἔσοιντο ἔτι μείζους δια- 35
φοραί, ἔπειθον, ὦ ἄνδρες, τὸν Φιλοκτήμονα ἐᾶσαι εἰσαγαγεῖν τοῦτον τὸν παῖδα ἐφ' οἷς ἐζήτει ὁ Εὐκτήμων, χωρίον
31 [f] ἓν δόντα. καὶ ὁ Φιλοκτήμων αἰσχυνόμενος μὲν ἐπὶ τῇ τοῦ πατρὸς [g] ἀνοίᾳ, ἀπορῶν δ' ὅ τι χρήσαιτο τῷ παρόντι κακῷ, οὐκ ἀντέλεγεν οὐδέν. ὁμολογηθέντων [h] δὲ τούτων, καὶ εἰσαχθέντος τοῦ παιδὸς ἐπὶ τούτοις, ἀπηλλάγη τῆς γυναικὸς ὁ Εὐκτήμων, καὶ ἐπεδείξατο ὅτι οὐ παίδων
32 ἕνεκα ἐγάμει, ἀλλ' ἵνα τοῦτον εἰσαγάγοι. τί γὰρ ἔδει 40 αὐτὸν γαμεῖν, ὦ [i] Ἀνδρόκλεις, εἴπερ οἴδε ἦσαν ἐξ ἀστοῦ καὶ γυναικὸς ἀστῆς, ὡς σὺ μεμαρτύρηκας; τίς γὰρ ἂν γνησίους ὄντας οἷός τε ἦν κωλῦσαι εἰσαγαγεῖν; ἢ διὰ τί ἐπὶ ῥητοῖς [k] αὐτὸν εἰσήγαγε, τοῦ νόμου κελεύοντος ἅπαντας

[z] ἀλλὰ τελευτῶν] ἀλλὰ καὶ τελευτῶν Z.

[a] οὔτος] Fortasse reponendum ὁ υἱός.

[b] εἰσεδέξαντο A.B. vulg. συνεδέξαντο.

[c] κούριον] κύριον Z.

[d] Ἀφιδναίου] ἀφνιδαίου A.

[e] τοῦτον εἰσαχθῆναι Z. vulg. τοῦτον ἐᾶν εἰσαχθῆναι.

[f] ἓν δόντα A.B. vulg. ἐνδόντα.

[g] ἀνοίᾳ] εὐνοίᾳ Z.

[h] δὲ] om. Z.

[i] Ἀνδρόκλεις A.B. vulg. ἄνδρες.

[k] αὐτὸν—ῥητοῖς] om Z.

33 τοὺς γνησίους ἰσομοίρους εἶναι τῶν πατρῴων; ἢ διὰ τί
τὸν μὲν πρεσβύτερον τοῖν παίδοιν ἐπὶ ῥητοῖς εἰσήγαγε, τοῦ
δὲ νεωτέρου ἤδη γεγονότος οὐδὲ λόγον ἐποιεῖτο ζῶντος Φι-
λοκτήμονος οὔτε πρὸς αὐτὸν ἐκεῖνον οὔτε πρὸς τοὺς οἰκεί- 59
ους; οὓς [l] σὺ νῦν διαῤῥήδην μεμαρτύρηκας γνησίους εἶναι
καὶ κληρονόμους τῶν Εὐκτήμονος. Ταῦτα τοίνυν ὡς ἀληθῆ
λέγω, ἀναγίνωσκε τὰς μαρτυρίας.

[m] ΜΑΡΤΥΡΙΑΙ.

34 Μετὰ ταῦτα τοίνυν ὁ Φιλοκτήμων τριπαρχῶν περὶ
[n] Χίον ἀποθνήσκει ὑπὸ τῶν πολεμίων· ὁ δ' Εὐκτήμων ὕστε-
ρον χρόνῳ πρὸς τοὺς [o] κηδεστὰς εἶπεν ὅτι βούλοιτο τὰ
35 πρὸς τὸν υἱὸν οἱ πεπραγμένα γράψας καταθέσθαι. καὶ
ὁ μὲν Φανόστρατος ἐκπλεῖν ἔμελλε τριπαρχῶν μετὰ Τι-
μοθέου, καὶ ἡ ναῦς [p] αὐτῷ ἐξώρμει [q] Μουνυχιάσι, καὶ ὁ
κηδεστὴς Χαιρέας παρὼν [r] συναπέστελλεν αὐτόν· ὁ δ'
Εὐκτήμων παραλαβών τινας ἦκεν οὗ ἐξώρμει ἡ ναῦς, καὶ
γράψας διαθήκην, ἐφ' οἷς [s] εἰσήγαγε τὸν παῖδα, κατα-
τίθεται μετὰ τούτων παρὰ Πυθοδώρῳ Κηφισιεῖ, προσή-
36 κοντι αὐτῷ. καὶ ὅτι μὲν ὦ ἄνδρες οὐχ ὡς περὶ γνησίων
[t] ἔπραττεν Εὐκτήμων, ὁ Ἀνδροκλῆς μεμαρτύρηκε, καὶ
αὐτὸ [u] τοῦτο ἱκανὸν τεκμήριον· τοῖς γὰρ φύσει υἱέσιν αὐτοῦ
οὐδεὶς [x] οὐδενὶ ἐν διαθήκῃ γράφει δόσιν οὐδεμίαν, διότι ὁ
νόμος αὐτὸς ἀποδίδωσι τῷ υἱεῖ τὰ τοῦ πατρὸς καὶ οὐδὲ
37 διαθέσθαι ἐᾷ ὅτῳ ἂν ὦσι παῖδες γνήσιοι. κειμένου δὲ τοῦ

[l] σὺ] om. Z.

[m] ΜΑΡΤΥΡΙΑΙ A. vulg. μαρτυρία.

[n] Pro voce Χίον lacunam habet Z.

[o] κηδεστὰς A.B. vulg. δικαστάς.

[p] αὐτῷ A. αὐ B. vulg. αὐτοῦ.

[q] Μουνυχιᾶσι Reiskius: μουνυχιάει A.B. vulg. Μουνυχίᾳ.

[r] συναπέστελλεν] συναπέστειλεν Z. συναπέστελεν B.

[s] εἰσήγαγε] συνήγαγε Z.

[t] ἔπραττεν A. vulg. διέπραττεν.

[u] τοῦτο ἱκανὸν τεκμήριον A.B. vulg. τὸ ἱκανόν.

[x] οὐδενὶ A.B. vulg. οὐδέν.

[y] γραμματείου σχεδὸν δύ' ἔτη καὶ τοῦ Χαιρέου τετελευ-
τηκότος, ὑποπεπτωκότες [z] οἴδε τῇ ἀνθρώπῳ, καὶ ὁρῶντες
ἀπολλύμενον τὸν οἶκον καὶ τὸ γῆρας καὶ τὴν ἄνοιαν τοῦ
Εὐκτήμονος, ὅτι εἴη αὐτοῖς ἱκανὴ ἀφορμή, συνεπιτίθενται.
38 καὶ πρῶτον μὲν πείθουσι τὸν Εὐκτήμονα τὴν μὲν διαθήκην
ἀνελεῖν ὡς οὐ χρησίμην οὖσαν τοῖς παισί· τῆς γὰρ φα-
νερᾶς οὐσίας οὐδένα [a] κύριον ἔσεσθαι τελευτήσαντος Εὐ-
κτήμονος [b] ἄλλον ἢ τὰς θυγατέρας καὶ τοὺς ἐκ τούτων
γεγονότας· εἰ δέ [c] ἀποδόμενός τι τῶν ὄντων ἀργύριον κα-
39 ταλίποι, τοῦτο βεβαίως ἕξειν αὐτούς. ἀκούσας δ' ὁ Εὐ-
κτήμων εὐθὺς ἀπῄτει τὸν Πυθόδωρον τὸ γραμματεῖον, καὶ
[d] προεκαλέσατο εἰς ἐμφανῶν κατάστασιν. [e] καταστάντος
δὲ ἐκείνου πρὸς τὸν ἄρχοντα, [f] ἔλεγεν ὅτι βούλοιτ' ἀνελέ-
40 σθαι τὴν διαθήκην. [g] ἐπειδὴ δ' ὁ Πυθόδωρος ἐκείνῳ μὲν καὶ
τῷ Φανοστράτῳ παρόντι ὡμολόγει ἀναιρεῖν, τοῦ δὲ Χαι-
ρέου τοῦ συγκαταθεμένου θυγάτηρ ἦν μία, ἧς ἐπειδὴ κύριος
κατασταίη, τότε ἠξίου ἀνελεῖν, καὶ ὁ ἄρχων οὕτως ἐγί-
νωσκε, διομολογησάμενος ὁ Εὐκτήμων ἐναντίον τοῦ ἄρχον-
τος καὶ τῶν [h] παρέδρων καὶ ποιησάμενος πολλοὺς μάρ-
τυρας ὡς οὐκέτ' αὐτῷ κέοιτο ἡ διαθήκη, ᾔχετο ἀπιών.
41 καὶ ἐν πάνυ ὀλίγῳ χρόνῳ, οὗπερ ἕνεκα οὗτοι λῦσαι αὐτὸν
ἔπεισαν, ἀποδίδονται ἀγρὸν μὲν Ἀθμονοῖ πέντε καὶ ἑβ-
δομήκοντα μνῶν Ἀντιφάνει, τὸ δ' [i] ἐν [k] Σηραγγίῳ βαλα-
νεῖον τρισχιλίων Ἀριστολόχῳ· οἰκίαν δὲ ἐν ἄστει τεττά-

[y] γραμματείου] γραμματίου B.Z.
[z] οἵδε B. et correctus A. vulg. ἤδη.
[a] κύριον — Εὐκτήμονος] αὔριον — τοῦ Εὐκτήμονος Z.
[b] ἄλλον] om. Z. et pr. A.
[c] καταλίποι] καταλείποι pr. A.
[d] προσεκαλέσατο] Reiskius προεκαλέσατο. A. προσεκαλέσατο πρὸς τὸν ἄρχοντα.
[e] καταστάντος] Malim καταστήσαντος.
[f] ἔλεγεν] ἔλεγον Z.
[g] ἐπειδὴ] Reiskiana ἐπειδάν.
[h] παρέδρων] παρεδρώντων Z.
[i] ἐν] om. Z.
[k] Σηραγγίῳ A.B. vulg. Σηραγγείῳ.

ρων καὶ τεσσαράκοντα μνῶν ὑποκειμένην ἀπέλυσε τῷ ἱεροφάντῃ. ἔτι δὲ αἶγας ἀπέδοτο σὺν τῷ [l] αἰπόλῳ τριῶν καὶ δέκα μνῶν, καὶ ζεύγη δύο ὁρικά, τὸ μὲν ὀκτὼ μνῶν, τὸ δὲ πεντήκοντα καὶ πενταχοσίων δραχμῶν, καὶ δημι-
42 ουργοὺς ὅσοι ἦσαν αὐτῷ. σύμπαντα δὲ πλείονος ἢ τριῶν ταλάντων, ἃ [m] ἐπράθη διὰ ταχέων πάνυ τελευτήσαντος 35
Φιλοκτήμονος. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, καθ' ἕκαστον ὑμῖν τῶν εἰρημένων πρῶτον καλῶ τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

43 Ταῦτα μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε· περὶ δὲ τῶν ὑπολοίπων εὐθὺς ἐπεβούλευον, καὶ πάντων δεινότατον πρᾶγμα κατεσκεύασαν, ᾧ ἄξιόν ἐστι προσέχειν τὸν νοῦν. ὁρῶντες γὰρ τὸν Εὐκτήμονα κομιδῇ ἀπειρηκότα ὑπὸ γήρως καὶ οὐδὲ τῆς κλίνης ἀνίστασθαι δυνάμενον, ἐσκόπουν 40
[n] ὅπως καὶ τελευτήσαντος ἐκείνου δι' αὐτῶν ἔσοιτο ἡ οὐσία.
44 καὶ τί ποιοῦσιν; ἀπογράφουσι τὼ παῖδε τούτω πρὸς τὸν ἄρχοντα ὡς εἰσποιήτω τοῖς τοῦ Εὐκτήμονος υἱέσι τοῖς τετελευτηκόσιν, ἐπιγράψαντες σφᾶς αὐτοὺς ἐπιτρόπους, καὶ μισθῶν ἐκέλευον τὸν ἄρχοντα τοὺς οἴκους ὡς ὀρφανῶν ὄντων, ὅπως ἐπὶ τοῖς τούτων ὀνόμασι τὰ μὲν μισθωθείη τῆς οὐσίας, τὰ δὲ ἀποτιμήματα κατασταθείη καὶ ὅροι τεθεῖεν, [o] καὶ ζῶντος ἔτι τοῦ Εὐκτήμονος μισθωταὶ δι' αὐτοῦ 60
45 γενόμενοι τὰς προσόδους λαμβάνοιεν. καὶ ἐπειδὴ πρῶτον τὰ δικαστήρια [p] ἐπληρώθη, ὁ μὲν ἄρχων [q] προεκήρυττεν, οἱ δ' ἐμισθοῦντο. παραγενόμενοι δέ τινες ἐξαγγέλλουσι τοῖς οἰκείοις τὴν ἐπιβουλήν, καὶ ἐλθόντες ἐδήλωσαν τὸ πρᾶγμα

[l] αἰπόλῳ] αἰπολίῳ pr. A.
[m] ἐπράθη διὰ ταχέων] ἐπράχθη δια ταχύ Z.
[n] ὅπως καὶ τελευτήσαντος A.B. vulg. om. καί. pr. A.
[o] καὶ] om. A.B.Z.
[p] ἐπληρώθη] Nonne ἐκλήρωθη?
[q] προεκήρυττεν] προσεκήρυττεν

τοῖς δικασταῖς, καὶ οὕτως [r] ἀπεχειροτόνησαν οἱ δικασταὶ μὴ μισθοῦν τοὺς οἴκους· εἰ δ' ἔλαθεν, ἀπολώλει ἂν ἅπασα ἡ οὐσία. [s] Καί μοι κάλει τοὺς παραγενομένους μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

46 Πρὶν μὲν τοίνυν τούτους γνωρίσαι τὴν ἄνθρωπον καὶ μετ' ἐκείνης ἐπιβουλεῦσαι Εὐκτήμονι, οὕτω πολλὴν οὐσίαν ἐκέκτητο Εὐκτήμων μετὰ τοῦ [t] υἱέος Φιλοκτήμονος, ὥστε ἅμα τε τὰ μέγιστα ὑμῖν λειτουργεῖν ἀμφοτέρους τῶν τε ἀρχαίων μηδὲν πραθῆναι τῶν τε προσόδων περιποιεῖν, ὥστε ἀεί τι προσκτᾶσθαι· ἐπειδὴ δ' ἐτελεύτησε Φιλοκτήμων, οὕτω διετέθη ἡ οὐσία, ὥστε τῶν ἀρχαίων μηδὲ τὰ ἡμίσεα
47 εἶναι λοιπὰ καὶ τὰς προσόδους ἁπάσας ἠφανίσθαι. καὶ οὐδὲ ταῦτα [u] ἐξήρκεσεν αὐτοῖς διαφορῆσαι, ὦ ἄνδρες, ἀλλ' [x] ἐπειδὴ καὶ ἐτελεύτησεν ὁ Εὐκτήμων, εἰς τοῦτο ἦλθον τόλμης ὥστ' ἐκείνου κειμένου [y] ἔνδον τοὺς μὲν οἰκέτας ἐφύλαττον, ὅπως μηδεὶς ἐξαγγείλειε μήτε [z] ταῖν θυγατέροιν μήτε τῇ [a] γυναικὶ αὐτοῦ μήτε τῶν οἰκείων μηδενί, τὰ δὲ χρήματα ἔνδοθεν ἐξεφορήσαντο μετὰ τῆς ἀνθρώπου εἰς τὴν [b] ὁμότοιχον [c] οἰκίαν, ἣν ᾤκει μεμισθωμένος εἷς τούτων,
48 Ἀντίδωρος ἐκεῖνος. καὶ οὐδ' ἐπειδὴ ἑτέρων πυθόμεναι ἦλθον αἱ θυγατέρες αὐτοῦ καὶ ἡ γυνή, οὐδὲ τότε [d] ἠφίουν εἰσιέναι, ἀλλ' ἀπέκλεισαν τὴν θύραν, φάσκοντες οὐ προσήκειν αὐταῖς θάπτειν Εὐκτήμονα· καὶ οὐδ' εἰσελθεῖν ἐδύ-
49 ναντο, εἰ μὴ μόλις καὶ περὶ ἡλίου δυσμάς. εἰσελθοῦσαι δὲ κατέλαβον ἐκεῖνον μὲν ἔνδον κείμενον δευτεραῖον, ὡς

[r] ἀπεχειροτόνησαν] ἐπεχειροτόνησαν Z.
[s] καί μοι—ἡ οὐσία] om. Z.
[t] υἱέος A.B. vulg. υἱέως.
[u] ἐξήρκεσεν] ἐξήρκεσαν Z.
[x] ἐπειδὴ καὶ ἐτελεύτησεν] ἐπειδὴ ἐτελεύτησεν Z.
[y] ἔνδον] om. Z.
[z] ταῖν] τοῖν Z.
[a] γυναικὶ] θυγατρὶ Z.
[b] ὁμότοιχον] ὁμότυχον B.Z.
[c] οἰκίαν] οὐσίαν Z.
[d] ἠφίουν] ἠφίων B.Z. ἠφείων A.

ἔφασαν οἱ οἰκέται, τὰ δ' ἐκ τῆς οἰκίας ἅπαντα ἐκπεφορημένα ὑπὸ τούτων. αἱ μὲν οὖν γυναῖκες, οἷον εἰκός, περὶ τὸν τετελευτηκότα ἦσαν· οὗτοι δὲ τοῖς ἀκολουθήσασι παραχρῆμα ἐπεδείκνυσαν τὰ ἔνδον ὡς εἶχε, καὶ τοὺς οἰκέτας πρῶτον ἠρώτων ἐναντίον τούτων [e]ὅποι τετραμμένα εἴη τὰ χρήματα. λεγόντων δὲ ἐκείνων ὅτι οὗτοι ἐξενηνοχότες εἶεν εἰς τὴν πλησίον οἰκίαν, καὶ ἀξιούντων παραχρῆμα [f]τῶνδε φωρᾶν κατὰ τὸν νόμον, καὶ τοὺς οἰκέτας ἐξαιτούντων τοὺς ἐκφορήσαντας, οὐκ ἠθέλησαν τῶν δικαίων οὐδὲν ποιῆσαι. Καὶ ὅτι ἀληθῆ λέγω, λάβε ταυτὶ καὶ ἀνάγνωθι.

[g]Τοσαῦτα μὲν τοίνυν χρήματα ἐκ τῆς οἰκίας ἐκφορήσαντες, τοσαύτης δ' οὐσίας πεπραμένης τὴν τιμὴν ἔχοντες, ἔτι δὲ τὰς προσόδους τὰς ἐν ἐκείνῳ τῷ χρόνῳ γενομένας διαφορήσαντες, οἴονται καὶ [h]τῶν λοιπῶν κύριοι γενήσεσθαι· καὶ εἰς τοῦτο ἀναιδείας ἥκουσιν, ὥστ' εὐθυδικίᾳ μὲν οὐκ ἐτόλμησαν εἰσελθεῖν, ἀλλὰ διεμαρτύρουν ὡς [i]ὑπὲρ γνησίων ἅμα μὲν τὰ ψευδῆ, ἅμα δὲ [k]τἀναντία οἷς [l]αὐτοὶ ἔπραξαν· οἵτινες πρὸς μὲν τὸν ἄρχοντα ἀπέγραψαν αὐτοὺς ὡς ὄντας τὸν μὲν Φιλοκτήμονος τὸν δ' Ἐργαμένους, νῦν [m]δὲ διαμεμαρτυρήκασιν Εὐκτήμονος εἶναι. καίτοι οὐδ' εἰ γνήσιοι ἦσαν, εἰσποίητοί γε, ὡς οὗτοι ἔφασαν, οὐδ' οὕτω προσῆκεν αὐτοὺς Εὐκτήμονος εἶναι· ὁ γὰρ νόμος οὐκ ἐᾷ ἐπανιέναι, ἐὰν μὴ υἱὸν καταλίπῃ γνήσιον. ὥστε καὶ ἐξ ὧν αὐτοὶ ἔπραξαν ἀνάγκη τὴν μαρτυρίαν ψευδῆ εἶναι. καὶ εἰ μὲν τότε [n]διεπράξαντο μισθω-

[e] ὅποι] ὅπη A.B.Z.

[f] τῶνδε φωρᾶν Scaliger: τῶνδ' ἐφορᾶν A. τόνδ' ἐφορᾶν B.Z.

[g] Ante vocem τοσαῦτα lacuna est in A. Deesse titulum monuit Reiskius.

[h] τῶν λοιπῶν A.B. vulg. τοῦ λοιποῦ.

[i] ὑπὲρ A.B. vulg. ἐπί.

[k] τἀναντία A.B. vulg. τὰ ἐναντία.

[l] αὐτοὶ] om. Z.

[m] δὲ] om. Z.

[n] διεπράξαντο Reiskius: libri διεπράξατο.

θῆναι τοὺς οἴκους, οὐκ ἂν ἔτι ἦν τοῖσδε ἀμφισβητῆσαι· νῦν δὲ [o] ἀποχειροτονησάντων τῶν δικαστῶν ὡς οὐδὲν αὐτοῖς προσῆκεν, οὐδὲ ἀμφισβητῆσαι τετολμήκασιν, ἀλλὰ πρὸς ὑπερβολὴν ἀναισχυντίας προσμεμαρτυρήκασι τούτους εἶναι κληρονόμους, οὓς ὑμεῖς ἀπεχειροτονήσατε.

55 Ἔτι δὲ καὶ τοῦ μάρτυρος αὐτοῦ σκέψασθε τὴν τόλμαν καὶ ἀναίδειαν, ὅστις εἴληχε μὲν αὐτῷ τῆς θυγατρὸς τῆς Εὐκτήμονος ὡς οὔσης ἐπικλήρου, καὶ αὐτοῦ τοῦ κλήρου τοῦ Εὐκτήμονος πέμπτου μέρους ὡς ἐπιδίκου ὄντος, με- 61
56 μαρτύρηκε δ' Εὐκτήμονος υἱὸν εἶναι γνήσιον. καίτοι πῶς οὗτος οὐ σαφῶς ἐξελέγχει αὐτὸς αὑτὸν τὰ ψευδῆ μεμαρτυρηκότα; οὐ γὰρ δήπου γνησίου ὄντος υἱέος Εὐκτήμονι ἐπίκληρος ἂν [p] ἦν ἡ θυγάτηρ αὐτοῦ, οὐδὲ ὁ κλῆρος ἐπίδικος. ὡς τοίνυν ἔλαχε ταύτας τὰς λήξεις, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας.

[q] ΜΑΡΤΥΡΙΑΙ.

57 Τοὐναντίον τοίνυν συμβέβηκεν ἢ ὡς ὁ νόμος γέγραπται· ἐκεῖ μὲν γάρ ἐστι νόθῳ μηδὲ νόθῃ εἶναι [r] ἀγχιστείαν μηθ' ἱερῶν μήθ' ὁσίων ἀπ' Εὐκλείδου ἄρχοντος, Ἀνδροκλείδης δὲ καὶ Ἀντίδωρος οἴονται δεῖν, ἀφελόμενοι τὰς Εὐκτήμονος θυγατέρας τὰς γνησίας καὶ τοὺς ἐκ τούτων γεγονότας, τόν τε
58 Εὐκτήμονος οἶκον καὶ τὸν Φιλοκτήμονος ἔχειν. καὶ ἡ διαφθείρασα τὴν Εὐκτήμονος γνώμην καὶ πολλῶν ἐγκρατὴς γενομένη οὕτως ὑβρίζει σφόδρα πιστεύουσα τούτοις, ὥστε οὐ μόνον τῶν Εὐκτήμονος οἰκείων καταφρονεῖ, ἀλλὰ καὶ τῆς πόλεως ἁπάσης. ἀκούσαντες δὲ ἓν μόνον σημεῖον ῥᾳδίως γνώσεσθε τὴν ἐκείνης παρανομίαν. Καί μοι λάβε [s] τοῦτον τὸν νόμον.

[o] ἀποχειροτονησάντων] ἀποχειροτονηθέντων Z.
[p] ἦν] vulg. εἴη.
[q] ΜΑΡΤΥΡΙΑΙ] om. A.B.Z.
[r] ἀγχιστείαν] ἀγχιστεία Z.
[s] τοῦτον] τούτων B.

ΝΟΜΟΣ.

59 Ταυτὶ τὰ γράμματα, ὦ ἄνδρες, ὑμεῖς οὕτω σεμνὰ καὶ εὐσεβῆ ἐνομοθετήσατε, περὶ πολλοῦ ποιούμενοι καὶ πρὸς ταύτα καὶ πρὸς τοὺς ἄλλους θεοὺς εὐσεβεῖν· ἡ δὲ τούτων μήτηρ, οὕτως [t]ὁμολογουμένη οὖσα δούλη καὶ
60 ἄπαντα τὸν [u]χρόνον αἰσχρῶς βιοῦσα, ἣν [x]οὔτε παρελθεῖν [y]εἴσω τοῦ ἱεροῦ ἔδει οὔτ' ἰδεῖν τῶν ἔνδον οὐδέν, οὔσης τῆς θυσίας ταύταις ταῖς θεαῖς ἐτόλμησε συμπέμψαι τὴν πομπὴν καὶ εἰσελθεῖν εἰς τὸ ἱερὸν καὶ ἰδεῖν ἃ οὐκ ἐξὸν αὐτῇ. ὡς δὲ ἀληθῆ λέγω, ἐκ τῶν ψηφισμάτων γνώσεσθε ἃ ἐψηφίσατο ἡ βουλὴ περὶ αὐτῆς. Λάβε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

61 Ἐνθυμεῖσθαι τοίνυν χρή, ὦ ἄνδρες, πότερον δεῖ τὸν ἐκ ταύτης τῶν [z]Φιλοκτήμονος εἶναι κληρονόμον καὶ ἐπὶ τὰ μνήματα ἰέναι [a]χεόμενον καὶ ἐναγιοῦντα, ἢ τὸν ἐκ τῆς ἀδελφῆς τοῦτον, ὃν υἱὸν αὐτὸς ἐποιήσατο· καὶ πότερον δεῖ τὴν ἀδελφὴν Φιλοκτήμονος, ἢ Χαιρέᾳ συνῴκησε, νῦν δὲ χηρεύει, ἐπὶ τούτοις γενέσθαι ἢ ἐκδοῦναι ὅτῳ [b]βούλονται ἢ ἐᾶν καταγηράσκειν, ἢ γνησίαν οὖσαν ὑφ' ὑμῶν ἐπιδι-
62 κασθεῖσαν συνοικεῖν ὅτῳ ἂν ὑμῖν δοκῇ. ἡ γὰρ ψῆφός ἐστι περὶ τούτων [c]νυνί. τουτὶ γὰρ αὐτοῖς ἡ διαμαρτυρία δύναται, ἵν' ὁ κίνδυνος τοῖσδε μὲν ᾖ περὶ τούτων, οὗτοι δὲ κἂν νῦν διαμάρτωσι τοῦ ἀγῶνος, δόξῃ δὲ ὁ κλῆρος [d]ἐπίδικος εἶναι, ἀντιγραψάμενοι δίς περὶ τῶν αὐτῶν ἀγωνί-
63 ζωνται. καίτοι εἰ μὲν διέθετο Φιλοκτήμων μὴ ἐξὸν αὐτῷ,

[t] ὁμολογουμένη] ὁμολογημένη Z.
[u] χρόνον αἰσχρῶς βιοῦσα] βίον αἰσχρῶς διαβιοῦσα Z.
[x] οὔτε — οὔτ'] οὔτε — οὐδ' Z. vulg. οὐδὲ — οὐδ'.
[y] εἴσω τοῦ ἱεροῦ] ἔνδον τῶν ἱερῶν Z.
[z] Φιλοκτήμονος] Φιλήμονος Z.
[a] χεόμενον] χρώμενον Z. et pr. B.
[b] βούλονται] vulg. βούλωνται.
[c] νυνί] νῦν Z.
[d] ἐπίδικος] ἐπὶ δίκης Z.

τοῦτ' αὐτὸ ἐχρῆν διαμαρτυρεῖν, ὡς οὐ κύριος ἦν [e] υἱὸν τόνδε ποιήσασθαι· εἰ δ' ἔξεστι μὲν διαθέσθαι, ἀμφισβητεῖ δὲ ὡς οὐ δόντος οὐδὲ διαθεμένου, μὴ [f] διαμαρτυρίᾳ κωλύειν
64 ἀλλ' εὐθυδικίᾳ εἰσιέναι. νῦν δὲ πῶς ἄν τις περιφανέστερον [g] ἐξελεγχθείη τὰ ψευδῆ μεμαρτυρηκὼς ἢ εἴ τις αὐτὸν ἔροιτο "Ἀνδρόκλειs, πῶς οἶσθα Φιλοκτήμων ὅτι οὔτε διέ-"θετο οὔτε υἱὸν Χαιρέστρατον ἐποιήσατο;" οἷς μὲν γάρ τις παρεγένετο, δίκαιον ὦ ἄνδρες μαρτυρεῖν, οἷς δὲ μὴ
65 παρεγένετο ἀλλ' ἤκουσέ τινος, [h] ἀκοὴν μαρτυρεῖν· σὺ δ' οὐ παραγενόμενος διαῤῥήδην μεμαρτύρηκας ὡς οὐ διέθετο Φιλοκτήμων, ἀλλ' ἄπαις ἐτελεύτησε. καίτοι πῶς οἷόν τε εἰδέναι, ὦ ἄνδρες; ὅμοιον γὰρ [i] ὥσπερ ἂν εἰ φαίη εἰδέναι, καὶ μὴ παραγενόμενος, ὅσα ὑμεῖς πάντες πράττετε. οὐ γὰρ δὴ τοῦτό γε ἐρεῖ, καίπερ ἀναίσχυντος ὤν, ὡς ἅπασι παρεγένετο καὶ πάντ' οἶδεν ὅσα Φιλοκτήμων ἐν τῷ
66 βίῳ διεπράξατο. [k] πάντων γὰρ αὐτὸν ἐκεῖνος ἔχθιστον ἐνόμιζε [l] διά τε τὴν ἄλλην πονηρίαν, καὶ διότι τῶν συγγενῶν μόνος μετὰ τῆς Ἀλκῆς ἐκείνης τούτῳ καὶ τοῖς ἄλλοις συνεπιβουλεύσας τοῖς τοῦ Εὐκτήμονος χρήμασι
40 τοιαῦτα διεπράξατο, οἷάπερ ὑμῖν ἀπέδειξα.

67 Πάντων δὲ μάλιστα ἀγανακτῆσαί ἐστιν ἄξιον, ὅταν οὗτοι καταχρῶνται τῷ Εὐκτήμονος ὀνόματι τοῦ [m] τουδὶ πάππου. εἰ γάρ, ὡς οὗτοι λέγουσι, τῷ μὲν Φιλοκτήμονι μὴ ἐξῆν διαθέσθαι, τοῦ δ' Εὐκτήμονός ἐστιν ὁ κλῆρος, πότερον δικαιότερον τῶν Εὐκτήμονος κληρονομεῖν τὰς ἐκείνου θυγατέρας, [n] ὁμολογουμένως οὔσας γνησίας, καὶ 62

[e] υἱὸν τόνδε] vulg. τοῦδε.
[f] διαμαρτυρίᾳ] διαμαρτυρίας Z.
[g] ἐξελεγχθείη] ἐξελεγχείη A.B.
[h] ἀκοὴν μαρτυρεῖν] ἀκοὴν μαρτυρεῖ A.Z.
[i] ὥσπερ ἂν εἰ] vulg. ὥσπερ εἰ.
[k] πάντων—διεπράξατο] om. Z.
[l] διά τε τὴν] διὰ τὴν A.B.
[m] τουδὶ A. vulg. τοῦδε.
[n] ὁμολογουμένως A. vulg. ὁμολογουμένας.

ἡμᾶς τοὺς ἐκ τούτων γεγονότας, ἢ τοὺς οὐδὲν προσήκον-
68 τας; οἳ οὐ μόνον [o] ἐξ ἡμῶν ἐλέγχονται, ἀλλὰ καὶ ἐξ
ὧν αὐτοὶ [p] οἱ ἐπίτροποι διαπεπραγμένοι εἰσί. τοῦτο γὰρ
ὑμῶν δέομαι καὶ ἱκετεύω σφόδρα μεμνῆσθαι, ὦ ἄνδρες,
ὅπερ ὀλίγῳ πρότερον ἀπέδειξα ὑμῖν, [q] ὅτι Ἀνδροκλῆς
[r] οὑτοσὶ [s] φησὶ μὲν εἶναι ἐπίτροπος αὐτῶν ὡς ὄντων γνη-
σίων Εὐκτήμονος, εἴληχε δ' αὐτὸς ἐφ' ἑαυτῷ τοῦ Εὐκτή-
μονος κλήρου [t] καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπικλή-
69 ρου· καὶ ταῦτα μεμαρτύρηται ὑμῖν. καίτοι πῶς οὐ δει-
νόν, ὦ ἄνδρες, πρὸς θεῶν Ὀλυμπίων, εἰ μὲν οἱ παῖδες
εἰσὶ γνήσιοι, τὸν ἐπίτροπον ἑαυτῷ λαγχάνειν τοῦ Εὐκτή-
μονος κλήρου καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπιδί-
κου, εἰ δὲ μή εἰσι γνήσιοι, νῦν διαμεμαρτυρηκέναι ὡς εἰσὶ
γνήσιοι; ταῦτα γὰρ αὐτὰ ἑαυτοῖς ἐναντία [u] ἐστίν. ὥστ'
οὐ μόνον ὑφ' ἡμῶν ἐλέγχεται τὰ ψευδῆ [x] διαμεμαρτυ-
70 ρηκώς, ἀλλὰ καὶ ἐξ ὧν αὐτὸς πράττει. καὶ τούτῳ μὲν
οὐδεὶς διαμαρτυρεῖ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον, ἀλλ'
εὐθυδικίαν εἰσιέναι· οὗτος δ' ἅπαντας ἀποστερεῖ τῆς
ἀμφισβητήσεως. καὶ διαρρήδην μαρτυρήσας [y] γνησίους
τοὺς παῖδας εἶναι, οἴεται ἐξαρκέσειν ὑμῖν παρεκβάσεις.
ἐὰν δὲ τοῦτο μὲν [z] μηδ' [a] ἐπιχειρήσῃ ἐπιδεικνύναι [b] ἢ καὶ
κατὰ μικρόν τι ἐπιμνησθῇ, ἡμῖν δὲ [c] λοιδορήσηται μεγά-
λῃ τῇ φωνῇ, καὶ [d] λέγῃ ὡς εἰσὶν [e] οἵδε μὲν πλούσιοι, αὐ-
τὸς δὲ πένης, διὰ δὲ ταῦτα δόξειν τοὺς παῖδας εἶναι

[o] ἐξ ἡμῶν] Malim ὑφ' ἡμῶν.
[p] οἱ] om. pr. A.
[q] ὅτι Ἀνδροκλῆς A.B. vulg. ὅτι ὁ Ἀνδροκλῆς.
[r] οὑτοσὶ] om. pr. A.
[s] φησὶ] φήσει A.B.
[t] καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπικλήρου] Hæc addidi ex A. B.
[u] ἐστίν Z. vulg. εἰσίν.
[x] διαμεμαρτυρηκὼς] μεμαρτυρηκὼς Z.
[y] γνησίους τοὺς παῖδας A.B. vulg. τοὺς παῖδας γνησίους.
[z] μηδ' A.B. vulg. μή.
[a] ἐπιχειρήσῃ Z. vulg. ἐγχειρήσῃ.
[b] ἢ καὶ κατὰ A. vulg. ἢ κατά.
[c] λοιδορήσηται] λοιδορήσεται A.Z.
[d] λέγῃ] λέγει A.Z.
[e] οἵδε μὲν] μὲν οἵδε Z.

71 γνησίους. τῆς δὲ τούτων οὐσίας, ὦ ἄνδρες, εἰς τὴν πόλιν πλείω ἀναλίσκεται ἢ εἰς αὐτοὺς τούτους. καὶ Φανόστρατος μὲν τετριηράρχηκεν ἑπτάκις ἤδη, τὰς δὲ λειτουργίας ἁπάσας λελειτούργηκε καὶ τὰς πλείστας νίκας νενίκη-
72 κεν· οὑτοσὶ δὲ Χαιρέστρατος τηλικοῦτος ὢν τετριηράρχηκε, κεχορήγηκε δὲ τραγῳδοῖς, γεγυμνασιάρχηκε δὲ λαμπάδι· καὶ τὰς εἰσφορὰς [f] εἰσενηνόχατον ἀμφότεροι πάσας ἐν τοῖς τριακοσίοις. καὶ τέως μὲν [g] δύ' ὄντες, νῦν δὲ καὶ ὁ νεώτερος οὑτοσὶ χορηγεῖ μὲν τραγῳδοῖς, εἰς δὲ τοὺς τριακοσίους ἐγγέγραπται καὶ εἰσφέρει τὰς εἰσφο-
73 ράς. ὥστ' οὐ [h] φθονεῖσθαί εἰσιν ἄξιοι, ἀλλὰ [i] πολὺ μᾶλλον νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω οὗτοι, εἰ λήψονται ἃ μὴ προσήκει αὐτοῖς. τοῦ γὰρ Φιλοκτήμονος κλήρου ἂν μὲν ἐπιδικάσηται ὅδε, ὑμῖν αὐτὸν ταμιεύσει, τὰ προσ-
74 ταττόμενα λειτουργῶν ὥσπερ καὶ νῦν, καὶ ἔτι μᾶλλον· ἐὰν δ' οὗτοι λάβωσι, διαφορήσαντες ἑτέροις [k] ἐπιβουλεύσουσι. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, ἵνα μὴ ἐξαπατηθῆτε, τῇ διαμαρτυρίᾳ τὸν νοῦν προσέχειν περὶ ἧς τὴν ψῆφον οἴσετε· καὶ πρὸς ταύτην αὐτὸν κελεύετε τὴν [l] ἀπολογίαν ποιεῖσθαι, ὥσπερ καὶ ἡμεῖς κατηγορήσαμεν. γέγραπται ὡς οὐκ ἔδωκεν οὐδὲ διεθετο Φιλοκτήμων· τοῦτο ἐπιδέδει-
75 κται ψεῦδος ὄν· καὶ γὰρ ὁ δοὺς καὶ ὁ διαθέμενος, καὶ μαρτυροῦσιν οἱ παραγενόμενοι. τί ἔτι; τελευτῆσαι ἄπαιδα Φιλοκτήμονα. πῶς οὖν [m] ἄπαις ἦν ὅς τις τὸν ἑαυτοῦ ἀδελφιδοῦν υἱὸν ποιησάμενος κατέλιπεν, ᾧ ὁμοίως ὁ νόμος τὴν κληρονομίαν ἀποδίδωσι καὶ τοῖς ἐξ αὐτοῦ [n] γενομένοις; καὶ διαρρήδην ἐν τῷ νόμῳ γέγραπται, ἐὰν ποιη-

[f] εἰσενηνόχασιν Reiskius : libri εἰσενήνοχαν.
[g] δύ' A.B. vulg. δύο.
[h] φθονεῖσθαι] φανεῖσθαι Z.
[i] πολὺ] πολλῷ Z.
[k] ἐπιβουλεύσουσι] ἐπιβουλεύουσι Z.
[l] ἀπολογίαν] διαμαρτυρίαν Z.
[m] ἄπαις ἦν ὅς Reiskius : libri ἂν αἴσιμος.
[n] γενομένοις A.B. vulg. γινομένοις.

σαμένῳ παῖδες ἐπιγένωνται, τὸ μέρος ἑκάτερον ἔχειν τῆς
76 οὐσίας καὶ κληρονομεῖν ὁμοίως ἀμφοτέρους. ὡς οὖν εἰσὶ 35
γνήσιοι οἱ παῖδες οἵδε, τοῦτ' αὐτὸ ἐπιδεικνύτω, ὥσπερ ἂν
ὑμῶν ἕκαστος. οὐ γὰρ ἂν εἴπῃ μητρὸς ὄνομα, [o] γνήσιός
ἐστιν, ἀλλ' [p] ἐὰν ἐπιδεικνύῃ [q] ὡς ἀληθῆ λέγει, [r] τοὺς συγ-
γενεῖς παρεχόμενος, τοὺς εἰδότας συνοικοῦσαν τῷ Εὐκτή-
μονι, τοὺς δημότας καὶ τοὺς φράτορας, εἴ τι ἀκηκόασι
πώποτε ἢ ἴσασιν ὑπὲρ αὐτῆς Εὐκτήμονα λειτουργήσαντα,
77 ἔτι δὲ ποῦ τέθαπται, ἐν ποίοις μνήμασι· τίς [s] οἵδε τὰ 40
νομιζόμενα ποιοῦντα Εὐκτήμονα· [t] ποῦ δ' [u] ἔτι ὄντες οἱ
παῖδες ἐναγίζουσι καὶ χέονται, καὶ τίς [x] οἵδε ταῦτα τῶν
πολιτῶν ἢ τῶν οἰκετῶν Εὐκτήμονος. ταῦτα γάρ ἐστιν
78 [y] ἔλεγχος ἅπαντα, καὶ οὐ λοιδορία. καὶ ἐὰν περὶ αὐ-
τοῦ τούτου κελεύητε ἐπιδεικνύναι ὥσπερ καὶ διεμαρτύρη-
σεν, ὑμεῖς [z] τε τὴν ψῆφον [a] ὁσίαν καὶ κατὰ τοὺς νόμους
θήσεσθε, τοῖσδέ τε τὰ δίκαια γενήσεται.

ΠΕΡΙ ΤΟΥ ΑΠΟΛΛΟΔΩΡΟΥ ΚΛΗΡΟΥ. 63

Z.

ΥΠΟΘΕΣΙΣ.

Εὔπολις καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ γεγόνασι. τούτων ὁ μὲν Μνήσων ἅπαις ἐτελεύτησεν, ὁ δὲ Θράσυλλος παῖδα καταλιπὼν Ἀπολλόδωρον· μόνος δ' Εὔπολις καταλειφθεὶς πολλὰ τὸν Ἀπολλόδωρον ἠδίκησεν. ὅθεν

[o] γνήσιός ἐστιν] Immo γνήσιοί εἰσιν.

[p] ἐὰν ἐπιδεικνύῃ] om. Z. cum vulg.

[q] ὡς] vulg. ὃς.

[r] τοὺς συγγενεῖς] Articulum om. Z.

[s] εἵδε A.B. vulg. οἵδε.

[t] ποῦ] ποῖ A.Z.

[u] ἔτι ὄντες] ἔτ' ἰόντες rec. A.

[x] οἵδε] εἵδε A.B.

[y] ἔλεγχος] ἔνοχος A.B.Z.

[z] τε] om. Z.

[a] ὁσίαν καὶ κατὰ A.B. vulg. ὁσίαν κατά.

[b] Ἀρχέδαμος, πάππος τοῦ λέγοντος [c] τὸν λόγον, τῇ [d] τοῦ Ἀπολλοδώρου μητρὶ συνοικῶν μετὰ τὸν Θρασύλλου τοῦ ἀνδρὸς αὐτῆς θάνατον, καὶ τὸν Ἀπολλόδωρον ὡς ὀρφανὸν ἐλεῶν, πολλὰ τὸν Εὔπολιν ἀπῄτησε χρήματα ὑπὲρ ὧν Ἀπολλόδωρον ἠδίκησε. τούτων μεμνημένος Ἀπολλόδωρος εἰσήγαγεν εἰς τοὺς φράτορας θετὸν υἱὸν ἑαυτῷ Θράσυλλον τοῦτον, υἱὸν ὄντα [e] τῆς τε ὁμομητρίας αὐτοῦ ἀδελφῆς καὶ [f] Ἀρχεδάμου. τοῦ δὲ Θρασύλλου ἤδη μὲν εἰς τοὺς γεννήτας καὶ φράτορας ἐγγεγραμμένου, οὔπω δ' εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, [g] ἐτελεύτησεν Ἀπολλόδωρος. καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν ἐγγέγραπται μὲν ὁ Θράσυλλος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, [h] οὐδὲν δ' ἧττον Εὐπόλιδος θυγάτηρ, τοῦ θείου Ἀπολλοδώρου, ἀμφισβητεῖ πρὸς Θράσυλλον, λέγουσα μηδ' ὅλως ἐγγεγράφθαι τὸν Θράσυλλον εἰς τοὺς φράτορας καὶ γεννήτας κατὰ γνώμην τοῦ Ἀπολλοδώρου, ἀλλὰ πεπλασμένην εἶναι τὴν ποίησιν. καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ δὲ στάσις στοχασμός. διὸ καλῶς πάνυ καὶ τεχνικῶς τὸν λόγον οἰκονομῶν, τὴν [i] ἔχθραν [k] διεξέρχεται τὴν Ἀπολλοδώρου πρὸς Εὔπολιν· ὅπερ μέγα σημεῖον γίγνεται τοῦ μὴ θέλειν αὐτὸν ὑπὸ τῆς Εὐπόλιδος θυγατρὸς κληρονομηθῆναι.

Ὠμην μέν, ὦ ἄνδρες, προσῆκειν οὐ τὰς τοιαύτας ἀμφισβητεῖσθαι ποιήσεις, εἴ τις [l] αὐτὸς ζῶν καὶ εὖ φρονῶν ἐποιήσατο, καὶ ἐπὶ τὰ ἱερὰ ἀγαγὼν εἰς τοὺς συγγενεῖς ἀπέδειξε καὶ εἰς τὰ κοινὰ γραμματεῖα [m] ἐνέγραψεν, ἅπανθ' ὅσα προσῆκεν [n] αὐτὸς ποιήσας, ἀλλ' εἴ τις τελευτήσειν μέλλων διέθετο, εἴ τι πάθοι, τὴν οὐσίαν ἑτέρῳ, καὶ ταύτην γράμμασι κατέθετο παρά τισι σημηνάμενος. ἐκεῖνον μὲν γὰρ τὸν τρόπον ποιησάμενος φανερὰς κατέστησε τὰς αὐτοῦ βουλήσεις, ὅλον τὸ πρᾶγμα ἐπικυρώσας, δόντων αὐτῷ τῶν νόμων· ὁ δ' ἐν διαθήκαις σημηνάμενος ἀδήλους ἐποίησε, διὸ πολλοὶ πεπλάσθαι φάσκοντες αὐτὰς ἀμφισβητεῖν ἀξιοῦσι πρὸς τοὺς [o] ποιη-

[b] Ἀρχίδαμος] ἀρχέδαμος A.B.
[c] τὸν] om. B.
[d] τοῦ] om. A.Z.
[e] τῆς τε ὁμομητρίας] Particulam om. Z.
[f] Ἀρχιδάμου] ἀρχεδάμου A.B.Z.
[g] ἐτελεύτησεν——γραμματεῖον] Hæc desunt Z. et vulg.
[h] οὐδὲν δ' ἧττον A.B. vulg. οὐδὲν ἧττον.
[i] ἔχθραν Reiskius: ἐλευθέραν A. B. ἐλευθερίαν Z. cum vulg.
[k] διεξέρχεται A.B. vulg. ἐξέρχεται.
[l] αὐτὸς] αὐτὸν Z.
[m] ἐνέγραψεν] ἐνέγραψαν Z.
[n] αὐτὸς] αὐτοῖς pr. A.
[o] ποιηθέντας] διηθέντας Z.

3 θέντας. ἔοικε δ' οὐδὲν προὔργου τοῦτο εἶναι· καὶ γὰρ οὕτως αὐτῶν φανερῶς πεπραγμένων ὅμως ὑπὲρ τῆς θυγατρὸς τῆς Εὐπόλιδος ἤκουσι περὶ τῶν Ἀπολλοδώρου χρημάτων πρὸς ἐμὲ ἀμφισβητήσοντες. ἐγὼ δ' εἰ μὲν ἑώρων ὑμᾶς μᾶλλον ἀποδεχομένους τὰς διαμαρτυρίας ἢ [p]τὰς εὐθυδικίας, κἂν μάρτυρας προὐβαλόμην μὴ ἐπίδικον εἶναι τὸν κλῆρον ὡς ποιησαμένου με υἱὸν Ἀπολλοδώρου
4 [q]κατὰ τοὺς νόμους· ἐπειδὴ δ' οὐ διαφεύγει τὰ δίκαια μὴ οὐ κατὰ τοῦτον γιγνώσκεσθαι τὸν τρόπον, καὶ παρ' ὑμῖν αὐτοῖς ἥκω διαλεξόμενος περὶ τῶν πεπραγμένων, ἵνα μηδεμίαν [r]ἡμῖν αἰτίαν περὶ τοῦ μὴ βούλεσθαι δοῦναι
5 δίκην τοιαύτην ἐπιφέρωσιν. ἀποδείξω δὲ ὡς οὐ μόνον ἐπὶ τοῖς ἐγγυτάτω γένους τὸν κλῆρον Ἀπολλόδωρος οὐ κατελέλοιπε, πολλὰ καὶ δεινὰ ὑπὸ [s]τούτων ἀδικηθείς, ἀλλὰ καὶ ὡς ἐμὲ ἐποιήσατο δικαίως, ὄντα ἀδελφιδοῦν,
6 καὶ μέγα εὐεργετημένος ὑφ' [t]ἡμῶν. δέομαι δὲ ὑμῶν, ὦ ἄνδρες, πάντων ὁμοίως εὔνοιάν τέ μοι παρασχεῖν, κἂν ἐπὶ τὸν κλῆρον ἀναιδῶς αὐτοὺς ἰόντας ἐξελέγχω, βοηθεῖν μοι τὰ δίκαια. ποιήσομαι δ' ὡς ἂν κἀγὼ [u]δύνωμαι διὰ βραχυτάτων τοὺς λόγους, ἐξ ἀρχῆς ὡς ἔχει τὰ [x]γενόμενα διδάσκων ὑμᾶς.

7 Εὔπολις γὰρ ὦ ἄνδρες καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ ἦσαν [y]ὁμομήτριοι καὶ ὁμοπάτριοι. τούτοις οὐσίαν ὁ πατὴρ [z]κατέλιπε πολλήν, ὥστε καὶ λειτουργεῖν ἕκαστον ἀξιοῦσθαι παρ' ὑμῖν. ταύτην ἐκεῖνοι τρεῖς ὄντες ἐνεί-
8 μαντο πρὸς ἀλλήλους. [a]τούτων τῶν δύο τελευτησάντων

[p] τὰς εὐθυδικίας] τὰς διαθήκας εὐθυδικίας Z.

[q] κατὰ] Fortasse legendum καί.

[r] ἡμῖν Reiskius: libri ὑμῖν.

[s] τούτων A. vulg. τούτου.

[t] ἡμῶν Reiskius: libri ὑμῶν.

[u] δύνωμαι] δύναμαι A.B.Z.

[x] γενόμενα] γινόμενα Z.

[y] ὁμομήτριοι καὶ ὁμοπάτριοι] ὁμοπάτριοι καὶ ὁμομήτριοι Z.

[z] κατέλιπε] κατέλειπε pr. A.

[a] τούτων τῶν δύο τελευτησάντων A. vulg. om. articulum. Sed

περὶ τὸν αὐτὸν χρόνον, ὁ μὲν [b]Μνήσων ἐνθάδε ἄγαμος καὶ ἄπαις, ὁ δὲ Θράσυλλος τῶν ἐν Σικελίᾳ καταλεγεὶς [c]τριηράρχων, καταλιπὼν υἱὸν Ἀπολλόδωρον τὸν ἐμὲ [d]νῦν 30
9 ποιησάμενον. Εὔπολις οὖν μόνος αὐτῶν λειφθεὶς οὐ μικρὰ ἀπολαῦσαι τῶν χρημάτων ἠξίωσεν, ἀλλὰ τὸν μὲν [e]Μνή- 64
σονος κλῆρον, οὗ καὶ Ἀπολλοδώρῳ προσῆκε τὸ ἡμικλήριον, πάντα εἰς [f]αὐτὸν περιεποίησε, φάσκων αὐτῷ δοῦναι τὸν ἀδελφόν, αὐτὸν δ' ἐκεῖνον οὕτω διώκησεν ἐπιτροπεύων ὥστε τριῶν αὐτῷ ταλάντων δίκην ὀφείλειν. Ἀρχέδαμος
10 γὰρ ὁ πάππος [g]οὑμός, ἐξ οὗ τὴν μητέρα ἔχων [h]τὴν Ἀπολ- 5
λοδώρου, [i]τήθην δὲ [k]ἐμήν, ὁρῶν αὐτὸν πάντων ἀποστερούμενον τῶν χρημάτων, ἔτρεφέ τε αὐτὸν παῖδα ὄνθ' ὡς ἑαυτοῦ, καὶ τὴν μητέρα κομισάμενος, ἀνδρί τε γενομένῳ συνηγωνίσατο καὶ εἰσέπραξε τὸ ἡμικλήριον ὧν Μνήσων κατέλιπεν ὅσα τε ἐκ τῆς ἐπιτροπῆς ἀπεστέρησε, δίκας δύο ἑλών, καὶ τὴν οὐσίαν ἐποίησε κομίσασθαι τὴν αὐτοῦ πᾶ-
11 σαν. καὶ διὰ ταῦτα Εὔπολις μὲν καὶ Ἀπολλόδωρος ἐχθρῶς ἔχοντες τὸν πάντα χρόνον διετέλεσαν πρὸς ἀλλή- 10
λους, ὁ δὲ πάππος [l]οὑμὸς καὶ Ἀπολλόδωρος φιλικῶς, ὥσπερ προσῆκε. τοῖς δ' ἔργοις ἄν τις τεκμήραιτο μάλιστα [m]ὅτι ὢν Ἀπολλόδωρος πέπονθεν εὖ, ἀντευποιεῖν
12 ἠξίου τοὺς ἑαυτὸν εὐεργετήσαντας. συμφορᾷ γὰρ τοῦ πάππου χρησαμένου καὶ ληφθέντος εἰς τοὺς πολεμίους καὶ χρήματα εἰσενεγκεῖν εἰς λύτρα καὶ ὁμηρεῦσαι ὑπὲρ

malim legi τούτων τῶ δύ' ἐτελευτησάτην.

[b] Μνήσων] om. Z.

[c] τριηραρχῶν Reiskiana: libri τριηράρχων.

[d] νῦν] om. Z.

[e] Μνήσονος B.Z. vulg. Μνήσωνος.

[f] αὐτὸν] ἑαυτὸν Z.

[g] οὑμὸς A.B. vulg. ὁ ἐμὸς.

[h] τὴν Ἀπολλοδώρου A.B. vulg. τοῦ Ἀπολλοδώρου.

[i] τήθην] τηθὴν A.B. τηθὺν Z.

[k] ἐμοῦ] ἐμήν Z.

[l] οὑμὸς] ὁ ἐμὸς Z.

[m] ὅτι ὢν Ἀπολλόδωρος πέπονθεν εὖ] ὅτι Ἀπολλόδωρος πέπονθεν ὁ A. B.Z.

αὐτοῦ ἠθέλησεν, ἕως οὗ εὐπορήσειεν ἐκεῖνος ταργύριον. ἐξ
[n] εὐπόρου τε [o] ἀπορωτέρῳ γεγενημένῳ συνδιώκει [p] τὰ ἐκεί-
νου, μεταδιδοὺς ὧν εἶχεν. εἰς Κόρινθόν τε στρατεύεσθαι
μέλλων, εἴ τι πάθοι, διεθετο τὴν οὐσίαν καὶ ἔδωκε τῇ
ἐκείνου μὲν θυγατρί, [q] ἐμῇ δὲ μητρί, αὐτοῦ δε ἀδελφῇ,
διδοὺς αὐτὴν Λακρατίδῃ τῷ νῦν ἱεροφάντῃ γεγενημένῳ.
τοιοῦτος ἦν ἐκεῖνος περὶ ἡμᾶς τοὺς ἐξ ἀρχῆς αὐτὸν σώσαν-
13 τας. ὡς δ' ἀληθῆ λέγω, καὶ δίκας εἵλεν Εὔπολιν δύο,
[r] τὴν μὲν ἐπιτροπῆς τὴν δὲ ἡμικληρίου, τοῦ πάππου συνη-
γωνισμένου καὶ λέγοντος, τά τε χρήματα [s] ἐκομίσατο δι'
ἡμᾶς καὶ ταύτας τὰς χάριτας ἡμῖν ἀνταπέδωκε, τούτων
πρῶτον βούλομαι παρασχέσθαι τοὺς μάρτυρας. Καί μοι
κάλει δεῦρο αὐτούς.

ΜΑΡΤΥΡΕΣ.

14 Αἱ μὲν οὖν παρ' ἡμῶν εὐεργεσίαι τοιαῦται καὶ τηλι-
καῦται τὸ μέγεθος εἰσίν· αἱ δὲ πρὸς ἐκεῖνον ἔχθραι περὶ
τοσούτων χρημάτων ἦσαν, ἃς οὐχ οἷόν τ' εἰπεῖν ὡς διελύ-
σαντο καὶ φίλοι ἐγένοντο. μεγάλα γὰρ τεκμήρια αὐτῶν
ἐστίν· Εὔπολις [t] γὰρ αὐτῷ δυοῖν θυγατέρων οὐσῶν, καὶ
ἐκ τῶν αὐτῶν γεγονὼς καὶ χρήμαθ' ὁρῶν κεκτημένον, οὐ-
15 δετέραν αὐτῷ τούτων ἔδωκε. καίτοι δοκοῦσιν ἐπιγαμίαι
καὶ μὴ συγγενεῖς ἄνδρας, ἀλλὰ καὶ τοὺς τυχόντας
ἀπαλλάττειν μεγάλης διαφορᾶς, ὅταν ἃ περὶ πλεί-
στου ποιοῦνται, ταῦτ' ἀλλήλοις ἐγχειρίζωσιν. εἶτ' οὖν
Εὔπολις γεγένηται αἴτιος, μὴ βουληθείς, εἴτ' Ἀπολλό-
δωρος λαβεῖν μὴ ἐθελήσας, τὰς ἔχθρας, ὅτι [u] διέμειναν,
τὸ ἔργον δεδήλωκε.

[n] εὐπόρου] εὐπορίας Z.
[o] ἀπορωτέρῳ γεγενημένῳ A.B. ἀπορίας γινομένης Z. vulg. ἀπορωτέρου γεγενημένου.
[p] τὰ] τε τὰ Z.
[q] ἐμῇ] ἐμοὶ Z.
[r] τὴν μὲν] τῆς μὲν Z.
[s] ἐκομίσατο] ἐκομισάμεθα Z.
[t] γὰρ αὐτῷ δυοῖν] vulg. γὰρ δυοῖν.
[u] διέμειναν] διένειμαν Z.

16 Καὶ περὶ μὲν τῆς ἐκείνων διαφορᾶς ἱκανοὺς εἶναι νομίζω καὶ τοὺς εἰρημένους λόγους. οἶδα γὰρ ὅτι καὶ ὑμῶν ὅσοι πρεσβύτεροι μνημονεύουσιν ὅτι ἐγένοντο ἀντίδικοι· τό τε γὰρ μέγεθος τῶν δικῶν, καὶ διότι πολὺ [x] αὐτὸν Ἀρχέ-
17 δαμος εἶλεν, ἐπιφάνειάν τινα ἐποίησεν. ὡς δὲ ἐμὲ ἐποιήσατο υἱὸν ζῶν αὐτὸς καὶ κύριον τῶν αὐτοῦ κατέστησε καὶ εἰς τοὺς γεννήτας καὶ εἰς τοὺς φράτορας ἐνέγραψε, τούτοις ἤδη [y] μοι τὸν νοῦν προσέχετε, ὦ ἄνδρες. Ἀπολλοδώρῳ γὰρ ἦν υἱός, ὃν ἐκεῖνος καὶ ἤσχει καὶ δι' ἐπιμελείας
18 εἶχεν, ὥσπερ καὶ προσῆκον ἦν. ἕως μὲν οὖν ἐκεῖνος ἔζη, διάδοχον τῆς οὐσίας ἤλπιζεν αὐτὸν καταστήσειν τῆς ἑαυτοῦ· ἐπειδὴ δὲ ἐτελεύτησε νοσήσας τοῦ ἐξελθόντος ἐνιαυτοῦ μηνὸς Μαιμακτηριῶνος, ἐπὶ τοῖς παροῦσιν ἀθυμήσας καὶ τὴν ἡλικίαν τὴν ἑαυτοῦ καταμεμψάμενος οὐκ ἐπελάθετο ὑφ' ὧν καὶ ἐξ ἀρχῆς εὖ πεπονθὼς ἦν, ἀλλ' ἐλθὼν
[z] ὡς τὴν ἐμὴν μητέρα, ἑαυτοῦ δὲ ἀδελφήν, ἣν περὶ πλείστου πάντων ἐποιεῖτο, λαβεῖν ἠξίωσέ με υἱὸν καὶ ἔτησε
19 καὶ ἔτυχεν. οὕτω δ' ἐπείσθη ταῦτα ποιῆσαι διὰ ταχέων, ὥστ' εὐθέως [a] με λαβὼν ᾤχετ' ἔχων πρὸς αὐτὸν καὶ [b] πάντα τὰ αὐτοῦ διοικεῖν παρέδωκεν, ὡς αὐτὸς μὲν οὐδὲν [c] ἂν ἔτι πρᾶξαι τούτων δυνηθείς, ἐμοῦ δὲ ταῦτα πάντα οἷόν
20 τε ἐσομένου ποιεῖν. καὶ ἐπειδὴ Θαργήλια ἦν, ἤγαγέ με ἐπὶ τοὺς βωμοὺς εἰς τοὺς γεννήτας τε καὶ φράτορας. ἔστι δ' αὐτοῖς νόμος ὁ αὐτός, ἐάν τέ τινα φύσει γεγονότα [d] εἰσάγῃ τις ἐάν τε ποιητόν, ἐπιτιθέναι πίστιν κατὰ τῶν ἱερῶν ἢ μὴν ἐξ ἀστῆς εἰσάγειν καὶ γεγονότα ὀρθῶς καὶ τὸν ὑπάρχοντα φύσει καὶ τὸν [e] ποιητόν· ποιήσαντος

[x] αὐτὸν Ἀρχέδαμος] αὐτῶν ἀρχέλαος Z.
[y] μοι] μου Z.
[z] ὡς Reiskius: libri εἰς.
[a] με λαβὼν] μεταλαβὼν Z.
[b] πάντα] παρέντα Z.
[c] ἂν] om. Z.
[d] εἰσάγῃ A.B. vulg. εἰσαγάγῃ.
[e] ποιητόν] ποιητήν Z.

δὲ τοῦ [f] εἰσάγοντος ταῦτα μηδὲν ἧττον διαψηφίζεσθαι καὶ τοὺς ἄλλους· κἂν δόξῃ, τότ' [g] εἰς τὸ κοινὸν γραμματεῖον ἐγγράφειν, πρότερον δὲ μή. τοιαύτας ἀκριβείας
21 ἔχει τὰ δίκαια τὰ παρ' αὐτοῖς. τοῦ νόμου [h] δὴ οὕτως ἔχοντος, καὶ τῶν φρατόρων τε καὶ γεννητῶν ἐκείνῳ οὐκ ἀπιστούντων ἐμέ τε οὐκ ἀγνοούντων, ὅτι [i] ἦν ἐξ ἀδελφῆς αὐτῷ γεγονὼς, ἐγγράφουσί με εἰς τὸ κοινὸν γραμμα- 10
τεῖον ψηφισάμενοι πάντες, ἐπιθέντος ἐκείνου τὴν πίστιν καθ' ἱερῶν. καὶ οὕτω μὲν ὑπὸ ζῶντος ἐποιήθην, καὶ εἰς τὸ κοινὸν γραμματεῖον [k] ἐνεγράφην Θράσυλλος Ἀπολλοδώρου, ποιησαμένου με ἐκείνου τοῦτον τὸν τρόπον, τῶν νόμων αὐτῷ δεδωκότων. Ὡς δ' ἀληθῆ λέγω, λάβε μοι τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

22 Οἶμαι τοίνυν, ὦ ἄνδρες, μᾶλλον ἂν ὑμᾶς τοῖς μεμαρτυρηκόσι πιστεύειν, καὶ οἵτινες τῶν ὁμοίως προσηκόντων 15
ἔργοις φανερῶς μεμαρτυρήκασιν ὡς ἐκεῖνος ταῦτα [l] ὀρθῶς καὶ κατὰ τοὺς νόμους ἔπραξε. [m] κατέλιπε γὰρ Εὔπολις θυγατέρας δύο, ταύτην τε ἣ νῦν ἀμφισβητεῖ καὶ Προνάπει συνοικεῖ, καὶ ἄλλην ἣν ἔσχεν Αἰσχίνης ὁ Λουσιεύς, ἣ τετελεύτηκεν υἱὸν [n] ἄνδρα ἤδη καταλιποῦσα, Θρασύ-
23 βουλον. ἔστι δὲ νόμος [o] ὅς, ἐὰν ἀδελφὸς ὁμοπάτωρ ἄπαις τελευτήσῃ καὶ μὴ διαθέμενος, τήν τε ἀδελφὴν ὁμοίως, 20
[p] κἂν ἐξ ἑτέρας ἀδελφιδοῦς ᾖ γεγονώς, ἰσομοίρους τῶν
24 χρημάτων καθίστησι. καὶ τοῦτο οὐκ ἀγνοούμενόν ἐστιν οὐδὲ παρ' αὐτοῖς τούτοις. ἔργῳ γὰρ οὗτοι φανερὸν τοῦτο

[f] εἰσάγοντες] εἰσαγαγόντος B.Z.
[g] εἰς τὸ κοινὸν A. vulg. εἰς κοινόν.
[h] δὲ Reiskius: libri διό.
[i] ἦν] οὖν Z.
[k] ἐνεγράφην] ἐγράφην B. ἐγράφη Z.
[l] ὀρθῶς καὶ κατὰ A. vulg. ὀρθῶς κατά.
[m] κατέλιπε] κατέλειπε B. et pr. A.
[n] ἄνδρα ἤδη] ἤδη ἄνδρα Z.
[o] ὅς] om. A.B.Z.
[p] κἂν] καὶ Z.

πεποιήκασι· τοῦ γὰρ Εὐπόλιδος υἱέος ἄπαιδος Ἀπολλοδώρου τελευτήσαντος τὰ ἡμίσεα Θρασύβουλος εἴληφεν, οὐσίας καὶ πεντεταλάντου [q] καταλειφθείσης ῥᾳδίως.
25 πατρῴων μὲν οὖν καὶ ἀδελφοῦ χρημάτων [r] τὸ ἴσον αὐτοῖς ὁ νόμος μετασχεῖν δίδωσιν· ἀνεψιοῦ δέ, καὶ εἴ τις ἔξω 26
ταύτης τῆς συγγενείας ἐστίν, οὐκ ἴσον, ἀλλὰ προτέροις τοῖς ἄρρεσι τῶν θηλειῶν τὴν ἀγχιστείαν πεποίηκε. λέγει γάρ "κρατεῖν δὲ τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων,
"οἱ ἂν ἐκ [s] τούτων αὐτῶν ὦσι, κἂν γένει [t] ἀπωτέρω τυγ-
26 "χάνωσιν ὄντες." ταύτῃ μὲν οὖν [u] οὐδὲ [x] μέρους λαχεῖν [y] προσῆκε, Θρασυβούλῳ δὲ ἁπάντων, εἰ μὴ κυρίαν ἡγεῖτο εἶναι τὴν ἐμὴν εἰσποίησιν. ἐκεῖνος τοίνυν οὔτε ἐξ ἀρχῆς ἠμφισβήτηκε πρὸς ἐμὲ οὐδὲν οὔτε νῦν δίκην εἴληχε περὶ 30
αὐτῶν, ἀλλὰ ταῦτα πάντα καλῶς ἔχειν ὡμολόγηκεν· οἱ δ' ὑπὲρ ταύτης πάντων ἀμφισβητεῖν τετολμήκασιν. εἰς τοῦτο ἀναιδείας ἐληλύθασι. Λάβε δὴ [z] αὐτοῖς τοὺς νόμους, παρ' οὓς ταῦτα πεποιήκασι, καὶ ἀνάγνωθι.

27 [a] ΝΟΜΟΙ.

Ἐνταῦθα μὲν ὁμοίως καὶ ἀδελφὴ καὶ ἀδελφιδοῦς ἰσόμοιροι κατὰ τὸν νόμον εἰσί. Λάβε δὴ καὶ τοῦτον, καὶ ἀνάγνωσκε αὐτοῖς.

28 [b] ΝΟΜΟΣ.

Ἐὰν μὴ ὦσιν ἀνεψιοὶ μηδὲ ἀνεψιῶν παῖδες, μηδὲ 35
[c] τοῦ πρὸς πατρὸς γενομένου ἢ προσήκων μηδείς, τότε ἀπέδωκε τοῖς πρὸς μητρός, διορίσας οὓς δεῖ κρατεῖν. Λάβε δὲ αὐτοῖς καὶ τοῦτον τὸν νόμον καὶ ἀνάγνωθι.

[q] καταλειφθείσης] καταληφθείσης Z.
[r] τὸ] om. Z.
[s] τῶν αὐτῶν A. τῶν B.Z. vulg. τούτων.
[t] ἀπωτέρω] vulg. ἀποτέρω.
[u] οὐδὲ] οὐδὲν A.B.Z.
[x] μέρους] μέρος pr. A.
[y] προσῆκε A.B. vulg. προσήκει.
[z] αὐτοῖς A. vulg. αὐτούς.
[a] Νόμοι A.B. vulg. Νόμος.
[b] Νόμος] om. A.B.Z.
[c] τοῦ πρὸς πατρὸς A.B. vulg. τοῦ πατρός.

ΝΟΜΟΣ.

29 [d] Ταῦτα τῶν νόμων κελευόντων ὁ μὲν ἀνὴρ ὢν οὐδὲ [e] τοῦ μέρους εἴληχεν, [f] οἱ δ' ὑπὲρ ταύτης τῆς γυναικὸς ἁπάντων· οὕτω τὴν ἀναίδειαν οὐδεμίαν ζημίαν εἶναι νομίζουσι. καὶ ὑπὲρ τούτων τολμήσουσι, καὶ τοῖς λόγοις χρῶνται τοιούτοις, ὡς αὐτοῖς ὅλου τοῦ κλήρου [g] ληκτέον, ὅτι Θρασύβουλος ἐκποίητος [h] εἰς τὸν οἶκον τὸν Ἱπποκλείδου γέγονε, λέγοντες τοῦτο μὲν ἀληθές, [i] ἐκεῖνο δ' οὐ προσῆκον. τί γὰρ ἧττον αὐτῷ τῆς συγγενείας ταύτης προσῆκεν; οὐ γὰρ κατὰ τὸν πατέρα ἀλλὰ κατὰ τὴν μητέρα καὶ τῶν Ἀπολλοδώρου τοῦ Εὐπόλιδος υἱέος τὸ μέρος εἴληφε· καὶ τῶνδε ἐξῆν αὐτῷ κατὰ ταύτην τὴν συγγένειαν λαγχάνειν, ὄντι προτέρῳ ταύτης, εἴπερ τὰ πεπραγμένα μὴ κυρίως ἔχειν ἐνόμιζεν. ἀλλ' οὐκ ἔστιν ἀναίσχυντος. μητρὸς δ' οὐδείς ἐστιν ἐκποίητος, ἀλλ' ὁμοίως ὑπάρχει τὴν αὐτὴν εἶναι μητέρα, κἂν ἐν τῷ πατρῴῳ μένῃ τις οἴκῳ, κἂν [k] ἐκποιηθῇ. διὸ τῶν Ἀπολλοδώρου χρημάτων οὐκ ἀπεστερήθη τοῦ μέρους, ἀλλὰ μετείληφε τὸ ἡμικλήριον πρὸς ταύτην νεμάμενος. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

32 Οὕτω μὲν οὐχ οἱ γεννῆται μόνον καὶ φράτορες γεγόνασι μάρτυρες τῆς ἐμῆς ποιήσεως, ἀλλὰ καὶ Θρασύβουλος [l] οὐκ ἀμφισβητῶν ἔργῳ δεδήλωκεν ὅτι τὰ πεπραγμένα Ἀπολλοδώρῳ κυρίως ἔχειν νομίζει καὶ κατὰ τοὺς νόμους· οὐ γὰρ ἄν ποτε τοσούτων χρημάτων οὐκ ἐλάγχανε. 33 γεγόνασι δὲ ὅμως καὶ ἄλλοι μάρτυρες αὐτῷ.

[d] ταῦτα τῶν] ταῦτα τούτων τῶν Z.
[e] τοῦ μέρους Reiskius : vulg. τὸ μέρος.
[f] οἱ δ' A.B.Z. vulg. ὁ δ'.
[g] ληκτέον] λεκτέων Z.
[h] εἰς τὸν οἶκον τὸν] vulg. εἰς τόν.
[i] ἐκεῖνο] vulg. ἐκείνῳ.
[k] ἐκποιηθείη] Immo ἐκποιηθῇ.
[l] οὐκ] A correctore habet A.

πρὶν γὰρ ἐμὲ ἥκειν ἐκ τῆς [m] Πυθιάδος, ἔλεγε πρὸς τοὺς δημότας Ἀπολλόδωρος ὅτι πεποιημένος εἴη με υἱὸν καὶ ἐγγεγραφὼς εἰς τοὺς συγγενεῖς καὶ φράτορας, καὶ παραδεδώκει τὴν οὐσίαν, καὶ διεκελεύεθ' ὅπως, ἄν τι [n] πάθοι πρότερον, ἐγγράφωσί με εἰς τὸ ληξιαρχικὸν γραμματεῖον Θράσυλλον Ἀπολλοδώρου καὶ [o] μὴ ὡς ἄλλως ποιήσωσι.

34 κἀκεῖνοι ταῦτα ἀκούσαντες, τούτων ἐν [p] ἀρχαιρεσίαις κατηγορούντων καὶ λεγόντων ὡς [q] οὐκ ἐποιήσατό με υἱόν, [r] καὶ ἐξ ὧν ἤκουσαν καὶ ἐξ ὧν [s] ἤδεσαν, ὀμόσαντες καθ' ἱερῶν ἐνέγραψάν με, καθάπερ ἐκεῖνος ἐκέλευε· τοσαύτη περιφάνεια τῆς ἐμῆς ποιήσεως ἐγένετο παρ' αὐτοῖς. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

35 Ἐπὶ μὲν τοσούτων μαρτύρων ὦ ἄνδρες γέγονεν ἡ ποίησις, ἔχθρας μὲν παλαιᾶς αὐτῷ πρὸς [t] τούτους οὔσης, φιλίας δὲ πρὸς ἡμᾶς καὶ συγγενείας οὐ [u] μικρᾶς ὑπαρχούσης. ὡς δ' οὐδ' εἰ μηθέτερον τούτων ὑπῆρχε, μητε ἔχθρα πρὸς τούτους μήτε φιλία πρὸς ἡμᾶς, οὐκ ἄν ποτε Ἀπολλόδωρος ἐπὶ τούτοις τὸν κλῆρον [x] τοῦτον κατ-

36 έλιπεν, οἶμαι καὶ ταῦθ' ὑμῖν ῥᾳδίως ἐπιδείξειν. πάντες γὰρ οἱ τελευτήσειν μέλλοντες πρόνοιαν ποιοῦνται σφῶν αὐτῶν, ὅπως μὴ [y] ἐξερημώσουσι τοὺς σφετέρους αὐτῶν οἴκους, ἀλλ' ἔσται τις καὶ ὁ ἐναγιῶν καὶ πάντα τὰ νομιζόμενα αὐτοῖς ποιήσων· διὸ κἂν ἄπαιδες τελευτήσωσιν,

37 ἀλλ' οὖν ποιησάμενοι καταλείπουσι. καὶ οὐ μόνον ἰδίᾳ

[m] Πυθαΐδος] πυθιάδος Z.
[n] πάθῃ Schæferus ad L. Bos. Ellips. p. 890. libri πάθοι.
[o] μὴ ὡς] ὡς μὴ Schæf.
[p] ἀρχαιρεσίαις] vulg. ἀρχαιρεσίᾳ.
[q] οὐκ] om. pr. A.
[r] καὶ ἐξ ὧν ἤκουσαν] Hæc accesserunt ex A.B.Z.
[s] ἤδεσαν] ὤμοσαν Z.
[t] τούτους] τούτοις A.Z.
[u] μικρᾶς] A. vulg. σμικρᾶς.
[x] τοῦτον] τούτου
[y] ἐξερημώσουσι B. et pr. A. vulg. ἐξερημώσωσι.

ταῦτα γινώσκουσιν, ἀλλὰ καὶ [z] δημοσίᾳ τὸ κοινὸν τῆς πόλεως οὕτω [a] ταῦτ' ἔγνωκε· νόμῳ γὰρ τῷ ἄρχοντι τῶν οἴκων, ὅπως ἂν μὴ ἐξερημῶνται, προστάττει τὴν ἐπιμέ-
38 λειαν. [b] ἐκείνῳ δὲ πρόδηλον ἦν ὅτι εἰ καταλείψει τὸν κλῆρον ἐπὶ τούτοις, ἔρημον ποιήσει τὸν οἶκον, [c] προορῶντι ταύτας τὰς ἀδελφὰς τὸν μὲν Ἀπολλοδώρου τοῦ ἀδελφοῦ κλῆρον ἐχούσας, [d] υἱὸν δ' οὐκ εἰσποιούσας ὄντων αὐταῖς παίδων, καὶ τοὺς μὲν ἄνδρας αὐτῶν τὴν γῆν, ἣν ἐκεῖνος κατέλιπε, καὶ τὰ κτήματα πέντε [e] ταλάντων πεπρακότας καὶ τὸ ἀργύριον διανειμαμένους, τὸν δὲ οἶκον αἰσχρῶς
39 οὕτω καὶ δεινῶς ἐξηρημωμένον. ὃς δὴ ταῦτ' [f] ᾔδει τὸν τούτων ἀδελφὸν πεπονθότα, πῶς ἂν προσεδόκησεν αὐτός, εἰ καὶ φίλος ἦν, τυχεῖν τῶν νομιζομένων ὑπ' αὐτῶν, ἀνεψιὸς ὢν ἀλλ' οὐκ ἀδελφὸς αὐταῖς; οὐκ ἐνῆν ἐλπίσαι δήπου-
40 θεν. Ἀλλὰ μὴν ὅτι ἄπαιδα ἐκεῖνον περιεωράκασι καὶ τὰ χρήματα ἔχουσι καὶ οἶκον ἐκ τοῦ φανεροῦ τριπαρχοῦντα ἀνηρήκασι, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

41 Εἰ τοίνυν καὶ τοιοῦτοι τὰς φύσεις περὶ [g] ἀλλήλους εἰσὶ καὶ ἔχθραι πρὸς Ἀπολλόδωρον τὸν ἐμὲ ποιησάμενον ὑπῆρ-
42 χον [h] αὐτοῖς τηλικαῦται τὸ μέγεθος, τί βέλτιον ἂν ἔπραξεν ἢ ταῦτα βουλευσάμενος ἅπερ ἐποίησεν; ἢ νὴ Δία παιδίον ἐποίσατο λαβὼν παρὰ τούτων φίλων ὄντων, καὶ τούτῳ τὴν οὐσίαν ἔδωκεν; ἀλλὰ καὶ τοῦτ' ἦν ἄδηλον καὶ τοῖς γεννήσασιν, εἴτε [i] σπουδαῖον εἴτε μηδενὸς ἄξιον ἔμελ-
43 λεν ἔσεσθαι, διὰ τὴν ἡλικίαν. ἐμοῦ δὲ πεῖραν εἰλήφει,

[z] δημοσίᾳ] om. Z.
[a] ταῦτ'] om. Z.
[b] ἐκείνῳ] ἐκεῖνο Z.
[c] διὰ τί ante προορῶντι om. A. B.Z.
[d] υἱὸν] ἐκείνῳ A. ἐν ᾧ B.Z.
[e] ταλάντων] vulg. τάλαντα.
[f] ᾔδει] ἤδη Z.
[g] ἀλλήλους] ἀλλήλων
[h] αὐτοῖς Reiskius: αὐταῖς A.B. αὐταὶ Z.
[i] σπουδαῖον] σπουδαῖα Z.

δοκιμασίαν ἱκανὴν λαβών. [k] ἔς τε γὰρ τὸν πατέρα καὶ
τὴν μητέρα οἷος ἦν ἀκριβῶς ἤδει, τῶν τ' οἰκείων ἐπιμελῆ 67
καὶ [l] τἀμαυτοῦ πράττειν ἐπιστάμενον· ἐν ἀρχῇ τε, θεσμο-
θετήσας, ὡς ἐγενόμην οὐκ ἄδικος οὐδὲ πλεονέκτης, ἠπί-
στατο σαφῶς. ὥστ' οὐκ ἀγνοῶν ἀλλὰ σαφῶς εἰδὼς
44 ἐποίει με τῶν αὐτοῦ κύριον. καὶ μὴν οὐδὲ ἀλλότριον ἀλλ'
ὄντα ἀδελφιδοῦν, οὐδ' αὖ μικρὰ πεπονθὼς ἀλλὰ μεγάλα
ἀγαθὰ ὑφ' ἡμῶν, οὐδ' αὖ ἀφιλότιμον, ὃς τὰ ὄντα [m] ἀφι- 5
έναι ἔμελλον ὥσπερ οὗτοι [n] τὰ τοῦ κλήρου πεποιήκασιν,
ἀλλὰ βουλησόμενον καὶ τριηραρχεῖν καὶ πολεμεῖν καὶ
χορηγεῖν καὶ πάνθ' ὑμῖν τὰ προσταττόμενα ποιεῖν, ὥσπερ
45 κἀκεῖνος. καίτοι εἰ καὶ συγγενὴς καὶ φίλος καὶ εὐερ-
γέτης καὶ φιλότιμος καὶ δεδοκιμασμένος ὑπῆρχον τοιοῦ-
τος εἶναι, τίς [ἂν] ἀμφισβητήσειε μὴ οὐχ ἀνδρὸς εὖ
46 φρονοῦντος εἶναι ταύτην τὴν ποίησιν; ἐγὼ τοίνυν [o] ἔν γε
τῶν ὑπ' ἐκείνου δοκιμασθέντων ἤδη πεποίηκα· γεγυμνα- 10
σιάρχηκα [p] γὰρ εἰς [q] Προμήθεια [r] τοῦδε τοῦ ἐνιαυτοῦ φιλο-
τίμως, ὡς οἱ φυλέται πάντες ἴσασιν. Ὡς δ' ἀληθῆ
λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

47 Τὰ μὲν ἡμέτερα δίκαια, καθ' ἃ προσηκόντως ἔχειν
φαμὲν τὸν κλῆρον, ταῦτ' ἐστὶν ὦ ἄνδρες· δεόμεθα δ' ὑμῶν
βοηθεῖν ἡμῖν καὶ ἕνεκα Ἀπολλοδώρου καὶ ἕνεκα τοῦ
ἐκείνου πατρός. οὐ γὰρ ἀχρήστους αὐτοὺς εὑρήσετε πολί- 15
τας, ἀλλ' ὡς οἷόν τ' εἰς τὰ ὑμέτερα [s] προθυμοτάτους.
48 ὁ μὲν γὰρ πατὴρ αὐτοῦ τάς τε ἄλλας [t] ἁπάσας λει-

[k] ἔς τε] εἴς τε B.Z. ἴστε A.
[l] τἀμαυτοῦ] vulg. τὰ ἐμαυτοῦ.
[m] ἀφιέναι] Immo ἀφανίσαι.
[n] τὰ τοῦ κλήρου] vulg. τὰ κλήρου.
[o] ἔν γε A. ἔν γε B. ἔν τε Z. vulg. ἔν τι.
[p] γὰρ] vulg. om.
[q] Προμήθεια Reiskius: libri Προμήθειαν.
[r] τοῦδε τοῦ] τοῦδ' Z.
[s] προθυμοτάτους Stephanus: libri προθυμοτέρους.
[t] ἁπάσας] om. Z.

τουργίας λελειτούργηκε, καὶ τριηπαρχῶν τὸν πάντα χρόνον διετέλεσεν, οὐκ ἐκ [u] συμμορίας τὴν ναῦν ποιησάμενος ὥσπερ οἱ νῦν, ἀλλ' ἐκ τῶν αὐτοῦ δαπανῶν, οὐδὲ δεύτερος αὐτὸς ὢν ἀλλὰ κατὰ μόνας, οὐδὲ δύο ἔτη [x] διαλιπὼν ἀλλὰ συνεχῶς, οὐδ' ἀφοσιούμενος ἀλλ' ὡς οἷόν [y] τ' ἄρι-
49 στα παρασκευαζόμενος. ἀνθ' ὧν ὑμεῖς [z] κἀκεῖνον ἐτιμᾶτε, μεμνημένοι τούτων τῶν ἔργων, καὶ τὸν υἱὸν αὐτοῦ τῶν χρημάτων ἀποστερούμενον ἐσώσατε, τοὺς ἔχοντας ἀποδοῦναι τὰ ὄντ' [a] αὐτῷ καταναγκάσαντες. καὶ μὴν καὶ αὐτὸς Ἀπολλόδωρος οὐχ ὥσπερ Προνάπης ἀπεγράψατο μὲν τίμημα μικρόν, ὡς ἱππάδα δὲ τελῶν ἄρχειν ἠξίου
50 τὰς ἀρχάς, οὐδὲ βίᾳ μὲν ἐζήτει τὰ ἀλλότρι' ἔχειν, ὑμᾶς δ' [b] ἄμετο δεῖν μηδὲν ὠφελεῖν, ἀλλὰ φανερὰ τὰ ὄντα καταστήσας ὑμῖν, ὅσα προστάττοιτε, πάνθ' ὑπηρέτει φιλοτίμως, οὐδέν τ' ἀδικῶν ἐκ τῶν ἑαυτοῦ φιλοτίμως ἐπειρᾶτο ζῆν, ἐς αὐτὸν μὲν τὰ μέτρια ἀναλίσκειν οἰόμενος δεῖν, τὰ δ' ἄλλα τῇ πόλει περιποιεῖν, ἵνα ἐξαρκοίη πρὸς
51 τὰς δαπάνας. κἀκ τούτων τίνα λειτουργίαν οὐκ ἐξελειτούργησεν; ἢ τίνα εἰσφορὰν οὐκ ἐν πρώτοις εἰσήνεγκεν; ἢ τί παραλέλοιπεν ὧν προσῆκεν; ὅς γε καὶ παιδικῷ χορῷ χορηγῶν ἐνίκησεν, ὧν μνημεῖα τῆς ἐκείνου φιλοτιμίας ὁ
52 τρίπους ἐκεῖνος ἕστηκε. καίτοι τί χρὴ τὸν μέτριον πολίτην; οὐχ [c] οὗ μὲν ἕτεροι τὰ μὴ προσήκοντ' ἐβιάζοντο λαμβάνειν, τούτων μηδὲν ποιεῖν, τὰ δ' ἑαυτοῦ πειρᾶσθαι σώζειν; [d] οὗ δ' ἡ πόλις δεῖται χρημάτων, ἐν πρώτοις εἰσφέρειν καὶ μηδὲν ἀποκρύπτεσθαι τῶν ὄντων; ἐκεῖνος τοίνυν τοιοῦτος ἦν· ἀνθ' ὧν δικαίως ἂν αὐτῷ ταύτην τὴν

[u] συμμορίας] συμμοιρίας B.
[x] διαλιπὼν] vulg. καταλιπών.
[y] τ' ἄριστα] τὰ ἄριστα Z.
[z] κἀκεῖνον] vulg. ἐκεῖνον.
[a] αὐτῷ καταναγκάσαντες] αὐτῶν ἀναναγκάσαντες pr. A. αὐτῷ καταναγκάζοντες Z.
[b] ἄμετο] ὥστε A.
[c] οὗ μὲν] vulg. εἰ μέν.
[d] οὗ δ' ἡ A.B. vulg. οὐδ' εἰ.

χάριν ἀποδοίητε, τὴν ἐκείνου γνώμην [e] περὶ τῶν αὐτοῦ
53 κυρίαν εἶναι ποιήσαντες. καὶ μὴν καὶ ἐμέ γε, ὅσα κατὰ
τὴν ἐμὴν ἡλικίαν, εὑρήσετε οὐ κακὸν οὐδὲ ἄχρηστον. ἐστρά-
τευμαι τὰς στρατείας τῇ πόλει, τὰ προσταττόμενα ποιῶ·
54 [f] τοῦτο γὰρ τῶν τηλικούτων ἔργον ἐστί. καὶ ἐκείνων οὖν
ἕνεκα καὶ ἡμῶν εἰκότως ἂν [g] ποιήσαισθε πρόνοιαν, ἄλλως
τε καὶ [h] τούτων [i] τριηραρχοῦντα οἶκον [k] πεντετάλαντον
ἀνηρηκότων καὶ πεπρακότων καὶ ἔρημον πεποιηκότων, 40
ἡμῶν δὲ καὶ λελειτουργηκότων ἤδη καὶ λειτουργησόντων,
ἂν ὑμεῖς [l] ἐπικυρώσητε τὴν Ἀπολλοδώρου γνώμην ἀπο-
δόντες ἡμῖν [m] τοῦτον τὸν κλῆρον.
55 Ἵνα δὲ μὴ δοκῶ διατρίβειν περὶ ταῦτα ποιούμενος τοὺς
λόγους, βούλομαι διὰ βραχέων ὑμᾶς ὑπομνήσας οὕτω
56 καταβαίνειν, τί ἑκάτερος ἡμῶν ἀξιοῖ, δηλώσας. ἐγὼ μὲν
ἀδελφῆς οὔσης τῆς [n] ἐμῆς μητρὸς Ἀπολλοδώρῳ, φιλίας 68
αὐτοῖς πολλῆς ὑπαρχούσης, ἔχθρας δ' οὐδεμιᾶς πώποτε
γενομένης, ἀδελφιδοῦς ὢν καὶ ποιηθεὶς υἱὸς [o] ὑπ' ἐκείνου
ζῶντος καὶ εὖ φρονοῦντος, καὶ εἰς τοὺς γεννήτας καὶ φράτο-
ρας ἐγγραφείς, ἔχειν τὰ δοθέντα, καὶ μὴ ἐπὶ τούτοις
57 [p] ἐξερημῶσαι [q] τὸν οἶκον τὸν ἐκείνου· Προνάπης δὲ τί ὑπὲρ
τῆς ἀμφισβητούσης; ἔχειν μὲν τοῦ τῆς γυναικὸς ἀδελ- 5
φοῦ τιμὴν τοῦ ἡμικληρίου πένθ' ἡμιτάλαντα, λαβεῖν δὲ
καὶ τόνδε τὸν κλῆρον ἑτέρων ταῖς ἀγχιστείαις προτέρων
αὐτοῦ τῆς γυναικὸς ὄντων, οὔτ' ἐκείνῳ παῖδα εἰσπεποιη-

[e] περὶ τῶν αὐτοῦ] vulg. περὶ τοῦ.
[f] τοῦτο γὰρ] τούτων οὖν Z.
[g] ποιήσαισθε] Libri ποιήσησθε, sed A. correctus.
[h] μὲν post τούτων om. A.B.Z.
[i] τριηραρχοῦντα B. et correctus A. vulg. μὴ τριηραρχούντων.
[k] πεντετάλαντον] πέντε ταλάντων A.B.Z.
[l] ἐπικυρώσητε] ἀποκυρώσητε Z.
[m] τοῦτον A. vulg. τούτου.
[n] ἐμῆς A.B. vulg. ἡμετέρας.
[o] ὑπ' ἐκείνου ζῶντος] ζῶντος ἐκείνου Z.
[p] ἐξερημῶσαι A.B. vulg. ἐξηρημῶσθαι.
[q] τὸν οἶκον τὸν A. τὸν τοῦ B.Z. Scaliger τὸν οἶκον.

κὼς ἀλλὰ τὸν οἶκον ἐξηρημωκώς, [r] οὔτε [s] τούτῳ ἂν εἰσποιήσας ἀλλ' ὁμοίως ἂν καὶ τοῦτον ἐξερημώσας, καὶ ἔχθρας μὲν τηλικαύτης ὑπαρχούσης αὐτοῖς, διαλλαγῆς
58 δὲ οὐδεμιᾶς πώποθ' ὕστερον γενομένης. ταῦτα χρὴ σκοπεῖν, ὦ ἄνδρες, κἀκεῖνο [t] ἐνθυμεῖσθαι, ὅτι [u] ἐγὼ μὲν ἀδελφιδοῦς [x] αὐτῷ, ἡ δὲ ἀνεψιὰ τοῦ τελευτήσαντος, [y] καὶ ὅτι ἡ μὲν δύ' [z] ἔχειν ἀξιοῖ κλήρους, ἐγὼ δὲ τοῦτον μόνον εἰς ὅνπερ εἰσεποιήθην, καὶ ὅτι αὕτη μὲν οὐκ εὔνους τῷ καταλιπόντι τὸν κλῆρον, ἐγὼ δὲ καὶ [a] ὁ ἐμὸς πάππος εὐερ-
59 γέται γεγόναμεν αὐτοῦ. ταῦτα πάντα σκεψάμενοι καὶ διαλογιζόμενοι πρὸς ὑμᾶς αὐτοὺς τίθεσθε τὴν ψῆφον [b] ἣ δίκαιόν ἐστιν.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων.

ΠΕΡΙ ΤΟΥ [a] ΚΙΡΩΝΟΣ ΚΛΗΡΟΥ.

Η.

ΥΠΟΘΕΣΙΣ.

Κίρωνος ἄπαιδος γνησίων [b] τελευτήσαντος παίδων ἀδελφιδοῦς τις αὐτοῦ κατὰ πατέρα ἀντιποιηθεὶς τοῦ κλήρου παρέλαβε τὴν οὐσίαν αὐτοῦ παρὰ τῆς γυναικός· καὶ μετὰ ταῦτα ὁ λέγων τὸν λόγον γράφεται τὸν ἀδελφιδοῦν, φάσκων θυγατριδοῦς εἶναι Κίρωνος, καὶ ὅτι ἡ γυνὴ τοῦ τετελευτηκότος ἐκοῦσα

[r] οὔτε] Libri οὐδέ.
[s] τούτῳ A.B. τοῦτο Z. vulg. τοῦτον.
[t] ἐνθυμεῖσθαι A.B. vulg. ἐνθυμεῖσθε.
[u] ἐγὼ A.B. vulg. ἐκεῖνος.
[x] αὐτῷ] αὐτῶν pr. A.
[y] καὶ ὅτι—εἰσεποιήθην] om. Z.
[z] ἔχειν ἀξιοῖ A.B. vulg. ἔχει.
[a] ὁ ἐμὸς πάππος] ὁ πάππος ὁ ἐμὸς Z.
[b] ᾗ] ἣν Z.
[a] ΚΙΡΩΝΟΣ] κλήρωνος B.
[b] τελευτήσαντος A.B. vulg. τετελευτηκότος.

[c] προέδωκε τὸν κλῆρον τῷ ἀδελφιδῇ, ἵνα μέρος δοῦσα αὐτῷ τὰ λοιπὰ κερδάνῃ. καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ στοχασμός· ζητεῖται γὰρ εἴτε θυγατριδοῦς ἐστὶν οὗτος τοῦ Κίρωνος [d] γνήσιος εἴτε οὔ. ἐπικλέκεται δ' αὐτῷ καὶ ἡ κατὰ ποιότητα ζήτησις· ὁ γὰρ ἀδελφιδοῦς ἠγωνίζετο, λέγων ὅτι εἰ καὶ δῶμεν ἐκείνην γνησίαν εἶναι θυγατέρα Κίρωνος, ἐπειδὴ ἐτελεύτησεν ἐκείνη, ὁ δ' υἱὸς αὐτῆς ἀμφισβητεῖ νῦν, πρωτιμητέος ἐστὶν ὁ κατὰ πατέρα [e] ἀδελφιδοῦς τοῦ ἀπὸ θυγατρὸς ἐκγόνου, κατὰ τὸν νόμον ἐκεῖνον τὸν [f] κελεύοντα προτιμᾶσθαι τοὺς [g] ἀπὸ τῶν ἀῤῥένων τῶν [h] ἀπὸ τῶν θηλειῶν. οὗτος γὰρ τεχνικώτατα πάνυ σιωπήσας τοῦτον τὸν νόμον, ἐκ τῆς τῶν τεκόντων διαφορᾶς ἀγωνίζεται, δεικνὺς ὅτι ὅσον θυγάτηρ ἀδελφοῦ οἰκειοτέρα τοῖς τελευτῶσι, τοσοῦτον [i] ἔκγονος ἀδελφιδοῦ διαφέρει. ἔῤῥωται δὴν ἐνταῦθα τῷ δικαίῳ καὶ ἀσθενεῖ τῷ νομίμῳ· τὴν δὲ ἐργασίαν τῶν κεφαλαίων κατὰ τὴν οἰκείαν πάλιν ἐργάζεται δύναμιν.

Ἐπὶ τοῖς τοιούτοις, ὦ ἄνδρες, ἀνάγκη ἐστὶ χαλεπῶς φέρειν, ὅταν τινὲς μὴ [k] μόνον τῶν ἀλλοτρίων ἀμφισβητεῖν τολμῶσιν, ἀλλὰ καὶ τὰ ἐκ [l] τῶν νόμων δίκαια τοῖς σφετέροις αὐτῶν λόγοις ἀφανίζειν ἐλπίζωσιν· [m] ὅπερ καὶ νῦν 35
2 οὗτοι ποιεῖν ἐγχειροῦσι. τοῦ γὰρ ἡμετέρου πάππου Κίρωνος οὐκ ἄπαιδος τελευτήσαντος, [n] ἀλλ' ἡμᾶς [o] ἐκ θυγατρὸς αὐτοῦ γνησίας παῖδας αὐτῷ καταλελοιπότος, οὗτοί [p] τε τοῦ κλήρου λαγχάνουσιν [q] ὡς ἐγγυτάτω γένους ὄντες, ἡμᾶς [r] τε ὑβρίζουσιν ὡς οὐκ ἐξ ἐκείνου θυγατρὸς
3 ὄντας, οὔτε γενομένης αὐτῷ πώποτε τὸ παράπαν. αἴτιον δὲ τοῦ ταῦτα ποιεῖν αὐτούς ἐστιν ἡ τούτων πλεονεξία, τὸ 40 πλῆθος τῶν χρημάτων ὧν Κίρων μὲν καταλέλοιπεν, οὗτοι δ' ἔχουσι βιασάμενοι καὶ κρατοῦσι· καὶ τολμῶσιν ἅμα

[c] προέδωκε] παρέδωκε pr. A.
[d] γνήσιος] om. Z.
[e] ἀδελφιδοῦς τοῦ] ἀδελφιδοῦς ἢ τοῦ Z.
[f] κελεύοντα] λέγοντα Z.
[g] ἀπὸ τῶν ἀῤῥένων A.B. vulg. ἀπὸ ἀῤῥένων.
[h] ἀπὸ τῶν θηλειῶν] ἀπὸ θηλειῶν Z.
[i] ἔκγονος ἀδελφιδοῦ] ἐκγόνοις ἀδελφιδοῦς Z.
[k] μόνον] μόνων B.
[l] τῶν νόμων A. vulg. τοῦ νόμου.
[m] ὅπερ καὶ νῦν οὗτοι ποιεῖν ἐγχειροῦσι] ὅπερ νῦν οὗτοι καὶ νῦν ἐγχειροῦσι ποιεῖν Z.
[n] ἀλλ' ἡμᾶς] om. Z.
[o] ἐκ θυγατρὸς A.B. vulg. ἐκ τῆς θυγατρός.
[p] τε τοῦ] Immo τοῦ τε.
[q] ὡς] καὶ Z.
[r] τε] om. pr. A.

[s] μὲν λέγειν ὡς οὐδὲν καταλέλοιπεν ἐκεῖνος, ἅμα δὲ ποι-
4 εῖσθαι τοῦ κλήρου τὴν ἀμφισβήτησιν. τὴν μὲν οὖν κρίσιν
οὐ δεῖ μοι νομίζειν εἶναι [t] ταύτην πρὸς τὸν εἰληχότα τοῦ
κλήρου τὴν δίκην, ἀλλὰ [u] πρὸς Διοκλέα τὸν [x] Φλυέα,
τὸν Ὀρέστην ἐπικαλούμενον· οὗτος γάρ ἐστιν ὁ ταῦτον 69
παρασκευάσας πράγμαθ' ἡμῖν παρέχειν, ἀποστερῶν τὰ
χρήματα ἃ Κίρων ὁ πάππος ἀποθνήσκων κατέλιπεν, ἡμῖν
δὲ τούτους τοὺς κινδύνους ἐπάγων, ἵνα μηδὲν [y] ἀποδιδῷ
τούτων, ἐὰν ὑμεῖς ἐξαπατηθῆτε πεισθέντες ὑπὸ τῶν τούτου
5 λόγων. δεῖ δὴ τούτων τοιαῦτα μηχανωμένων πάνθ' ὑμᾶς
τὰ πεπραγμένα μαθεῖν, ἵνα μηδὲν ἀγνοήσαντες τῶν γε- 5
γενημένων ἀλλὰ σαφῶς εἰδότες περὶ αὐτῶν, οὕτως [z] ἐνέγ-
κητε τὴν ψῆφον. εἴ τινι οὖν καὶ ἄλλῃ [a] πώποτε δίκῃ
[b] προσέσχετε ἀκριβῶς τὸν νοῦν, δέομαι ὑμῶν καὶ ταύτῃ
6 προσέχειν ὁμοίως, ὥσπερ καὶ τὸ δίκαιόν ἐστι. πολλῶν δὲ
δικῶν ἐν τῇ πόλει γενομένων, οὐδένες ἀναιδέστερον τούτων
οὐδὲ [c] καταφανέστερον [d] ἀντιποιησάμενοι φανήσονται τῶν
ἀλλοτρίων. ἔστι μὲν οὖν χαλεπόν, ὦ ἄνδρες, πρὸς παρα-
σκευὰς λόγων καὶ μάρτυρας οὐ τἀληθῆ μαρτυροῦντας εἰς 10
[e] ἀγῶνα καθίστασθαι περὶ τηλικούτων, παντάπασιν ἀπεί-
7 ρως ἔχοντα δικαστηρίων· οὐ μὴν ἀλλὰ πολλὰς ἐλπίδας
ἔχω καὶ παρ' ὑμῶν τεύξεσθαι τῶν δικαίων καὶ μέχρι γε
τοῦ τὰ δίκαια εἰπεῖν καὶ αὐτὸς ἀρκούντως ἐρεῖν, ἂν μή
τι συμβῇ τοιοῦτον ὃ νῦν [f] ὑπ' ἐμοῦ τυγχάνει προσδοκώ-

[s] μὲν] vulg. om.
[t] ταύτην] τοιαύτην Z.
[u] πρὸς Διοκλέα] πρὸς τὸν Διοκλέα Z.
[x] φλυέα A. vulg. Φιλέα.
[y] ἀποδιδῷ] vulg. ἀποδῷ.
[z] ἐνέγκητε] ἐνέγκοιτε A.Z. ἐνέγκοι B.
[a] πώποτε] Addidi ex A.B.
[b] προσέσχετε] προσέχετε A.B.Z.
[c] καταφανέστερον A. vulg. καταφρονέστερον.
[d] ἀντιποιησάμενοι] ἀντιπονησάμενοι Z.
[e] ἀγῶνα A.B. vulg. ἀγῶνας.
[f] ὑπ'] ἀπ' Z.

μενον. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, μετ' εὐνοίας τέ μου ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ, βοηθῆσαί μοι τὰ δίκαια.

8 Πρῶτον μὲν οὖν, ὡς ἦν [g] ἡ μήτηρ [h] ἡ ἐμὴ Κίρωνος θυγάτηρ γνησία, ἐπιδείξω τοῦτο ὑμῖν, τὰ μὲν [i] πάλαι γεγενημένα λόγων ἀκοῇ καὶ μαρτύρων, τὰ δ' ὥστε καὶ μνημονεύεσθαι, τοῖς εἰδόσι χρώμενος μάρτυσιν, ἔτι δὲ τεκμηρίοις ἃ κρείττω τῶν μαρτυριῶν ἐστίν· [k] ἐπειδὰν δὲ ταῦτα φανερὰ καταστήσω, τόθ' ὡς καὶ κληρονομεῖν μᾶλλον ἡμῖν ἢ τοῦτον προσήκει τῶν Κίρωνος χρημάτων. ὅθεν οὖν ἤρξαντο περὶ αὐτῶν, ἐντεῦθεν ὑμᾶς κἀγὼ πειράσομαι διδάσκειν.

9 Ὁ γὰρ πάππος ὁ ἐμός, ὦ ἄνδρες, Κίρων ἔγημε τὴν ἐμὴν [l] τήθην οὖσαν ἀνεψιάν, ἐξ ἀδελφῆς τῆς αὐτοῦ μητρὸς αὐτὴν [m] γεγενημένην. ἐκείνη μὲν οὖν συνοικήσασα οὐ πολὺν χρόνον, τεκοῦσα αὐτῷ τὴν ἐμὴν μητέρα, μετὰ ἐνιαυτοὺς τριάκοντα τὸν βίον ἐτελεύτησεν· ὁ δὲ πάππος μιᾶς [n] μόνης οὔσης αὐτῷ θυγατρὸς λαμβάνει πάλιν τὴν Διοκλέους ἀδελφήν, ἐξ ἧς αὐτῷ [o] γίγνεσθον υἱεῖς δύο. καὶ ἐκείνην τε ἔτρεφε παρὰ τῇ γυναικὶ καὶ μετὰ τῶν ἐξ ἐκείνης παίδων· ἐκείνων τε ἔτι ζώντων, ἐπεὶ συνοικεῖν εἶχεν ἡλικίαν, ἐκδίδωσιν αὐτὴν [p] Ναυσιμένει Χολαργεῖ, σὺν ἱματίοις καὶ χρυσίοις πέντε καὶ εἴκοσι μνᾶς ἐπιδούς.

11 κἀκεῖνος μὲν τρισὶν ἢ τέτταρσιν ἔτεσι μετὰ ταῦτα κάμνων ἀποθνήσκει, πρὶν αὐτῷ γενέσθαι παῖδας ἐκ τῆς ἡμετέρας μητρός· ὁ δὲ πάππος κομισάμενος αὐτήν, καὶ τὴν προῖκα

[g] ἡ μήτηρ] vulg. om. articulum.
[h] ἡ ἐμὴ] ἡ 'μὴ A.B.
[i] πάλαι Stephanus: libri παλαιά.
[k] ἐπειδὰν δὲ] vulg. ἐπεὶ δ' ἄν.
[l] τήθην] τηθὴν A.B. τηθὺν Z.
[m] γεγενημένην] γεγενημένην B.
[n] μόνης] Addidi ex A.B.
[o] ἐγιγνέσθην] γιγνέσθην A. cum vulg. Fortasse legendum γίγνεσθον.
[p] Ναυσιμένει χολαργεῖ] ναυμένει λοχαγεῖ Z.

οὐκ ἀπολαβὼν ὅσην ἔδωκε διὰ τὴν Ναυσιμένους ἀπορίαν
τῶν πραγμάτων, πάλιν ἐκδίδωσι τῷ ἐμῷ πατρὶ καὶ χι-
12 λίας δραχμὰς προῖκ' [q]ἐπιδίδωσι. Ταυτὶ [r]δὴ πάντα
πρὸς τὰς αἰτίας, ἃς νῦν οὗτοι λέγουσι, πῶς ἄν τις δεί-
ξειε [s]γεγενημένα φανερῶς, ἐγὼ ζητῶν ἐξεῦρον. ἀνάγκη
τὴν ἐμὴν μητέρα, εἴτε θυγάτηρ ἦν Κίρωνος εἴτε μή, [t]καὶ
εἰ παρ' ἐκείνῳ διῃτᾶτο ἢ οὔ, καὶ γάμους [u]εἰ διττοὺς 35
ὑπὲρ ταύτης εἰστίασεν ἢ μή, καὶ προῖκα ἥντινα ἑκάτερος
ἐπ' αὐτῇ τῶν γημάντων ἔλαβε, πάντα ταῦτα εἰδέναι τοὺς
13 οἰκέτας καὶ τὰς θεραπαίνας ἃς ἐκεῖνος ἐκέκτητο. βουλό-
μενος οὖν πρὸς τοῖς ὑπάρχουσι μάρτυσιν ἔλεγχον ἐκ βα-
σάνων ποιήσασθαι περὶ αὐτῶν, ἵνα μᾶλλον αὐτοῖς πιστεύ-
ητε μὴ μέλλουσι δώσειν [x]ἔλεγχον ἀλλ' ἤδη δεδωκόσι
περὶ ὧν μαρτυροῦσι, τούτους ἠξίουν [y]ἐκδοῦναι τὰς θερα- 40
παίνας καὶ τοὺς οἰκέτας περί τε τούτων καὶ περὶ τῶν
14 ἄλλων ἁπάντων ὅσα τυγχάνουσι συνειδότες. οὗτος δ' ὁ
νῦν ὑμᾶς ἀξιώσων τοῖς αὐτοῦ μάρτυσι πιστεύειν ἔφυγε
τὴν βάσανον. καίτοι εἰ φανήσεται ταῦτα ποιῆσαι μὴ
θελήσας, τί ὑπολείπεται τοῖς ἐκείνου μάρτυσιν ἢ δοκεῖν
νυνὶ τὰ ψευδῆ μαρτυρεῖν, τούτου τηλικοῦτον ἔλεγχον πε-
φευγότος; ἐγὼ μὲν οἶμαι οὐδέν. Ἀλλὰ μὴν ὡς ἀληθῆ
λέγω, λάβε μοι πρῶτον ταύτην τὴν μαρτυρίαν καὶ ἀνά- 70
γνωθι.

ΜΑΡΤΥΡΙΑ.

15 Ὑμεῖς μὲν τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον ἀκρι-
βέστατον ἔλεγχον νομίζετε· καὶ ὁπόταν δοῦλοι καὶ ἐλεύ-
θεροι παραγένωνται καὶ δέῃ εὑρεθῆναί τι τῶν ζητουμένων,

[q] ἐπιδίδωσι Reiskius: libri ἀπο-
δίδωσι.
[r] δὴ] νῦν Z.
[s] γεγενημένα A. vulg. γεγενη-
μένας.
[t] καὶ εἰ] καὶ ἢ B. καὶ Z.
[u] εἰ] ἢ Z. om. pr. A.
[x] ἔλεγχον A.B. vulg. ἐλέγχους.
[y] ἐκδοῦναι] ἐκδοθῆναι Z.

οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες οὕτω ζητεῖτε εὑρεῖν τὴν ἀλήθειαν τῶν γεγενημένων. εἰκότως, ὦ ἄνδρες· σύνιστε γὰρ ὅτι τῶν [z]μὲν μαρτυρησάντων ἤδη τινὲς ἔδοξαν οὐ τἀληθῆ μαρτυρῆσαι, τῶν δὲ βασανισθέντων οὐδένες πώποτε ἐξηλέγχθησαν ὡς οὐκ ἀληθῆ ἐκ τῶν βασάνων εἰπόντες. οὗτος δ' ὁ πάντων ἀναισχυντότατος ἀνθρώπων λόγοις [a]πεπλασμένοις καὶ μάρτυσιν οὐ τἀληθῆ μαρτυροῦσιν ἀξιώσει πιστεύειν ὑμᾶς, φεύγων οὕτως ἀκριβεῖς ἐλέγχους; ἀλλ' οὐχ ἡμεῖς, ἀλλὰ πρότερον ὑπὲρ τῶν [b]μαρτυρηθήσεσθαι μελλόντων ἀξιώσαντες εἰς βασάνους ἐλθεῖν, τούτους δὲ φεύγοντας, οὕτως οἰησόμεθα δεῖν ὑμᾶς τοῖς ἡμετέροις μάρτυσι πιστεύειν. Λάβε οὖν αὐτοῖς ταυτασὶ τὰς μαρτυρίας [c]καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

Τίνας εἰκὸς εἰδέναι τὰ παλαιά; δῆλον ὅτι τοὺς χρωμένους τῷ πάππῳ. μεμαρτυρήκασι τοίνυν ἀκοὴν οὗτοι. τίνας εἰδέναι τὰ περὶ τὴν ἔκδοσιν τῆς μητρὸς ἀνάγκη; τοὺς ἐγγυησαμένους καὶ τοὺς ἐκείνοις παρόντας ὅτε [d]ἐνεγυῶντο. μεμαρτυρήκασι τοίνυν [e]οἵ τε Ναυσιμένους προσήκοντες καὶ οἱ τοῦ ἐμοῦ πατρός. τίνες δὲ οἱ τρεφομένην [f]ἔνδον καὶ θυγατέρα οὖσαν εἰδότες γνησίαν Κίρωνος; οἱ νῦν ἀμφισβητοῦντες ἔργῳ φανερῶς μαρτυροῦσιν ὅτι ταὐτ' ἐστὶν ἀληθῆ, φεύγοντες τὴν βάσανον. ὥστε οὐ δήπου τοῖς ἡμετέροις ἂν ἀπιστήσαιτε εἰκότως, ἀλλὰ πολὺ μᾶλλον τοῖς τούτων μάρτυσιν.

[z] μὲν] Accessit ex A.B.

[a] πεπλασμένοις—οὐ τἀληθῆ] πεπλασμένως—οὐκ ἀληθῆ Z.

[b] μαρτυρηθήσεσθαι] μαρτυρηθέντων θήσεσθαι Z.

[c] καὶ ἀνάγνωθι] om. Z. cum vulg.

[d] ἐνεγυῶντο B. et correctus A. qui pr. ἐγγυῶντο: vulg. ἐνεγγυῶντο.

[e] οἵ τε Ναυσιμένους B.Z. vulg. οἱ Ναυσιμένους.

[f] ἔνδον Reiskius: libri εἶδον.

20 Ἡμεῖς τοίνυν καὶ ἄλλα τεκμήρια πρὸς τούτοις ἔχομεν
εἰπεῖν, [g]ἵνα [h]γνώσεσθε ὅτι ἐκ θυγατρὸς ἡμεῖς Κίρωνος ἐσ-
μέν. οἷα γὰρ εἰκὸς [i]πάππον υἱέων ἐξ [k]ἑαυτοῦ θυγατρός,
οὐδεπώποτε θυσίαν ἄνευ ἡμῶν οὐδεμίαν ἐποίησεν, ἀλλ᾽
εἴτε μικρὰ εἴτε μεγάλα θύοι, πανταχοῦ παρῆμεν ἡμεῖς
21 καὶ συνεθύομεν. καὶ οὐ μόνον εἰς τὰ τοιαῦτα παρεκαλού-
μεθα, ἀλλὰ καὶ εἰς Διονύσια εἰς [l]ἀγρὸν ἦγεν ἀεὶ ἡμᾶς,
καὶ μετ᾽ ἐκείνου τε ἐθεωροῦμεν καθήμενοι παρ᾽ αὐτόν, καὶ
τὰς ἑορτὰς ἤγομεν παρ᾽ [m]ἐκεῖνον πάσας· τῷ Διί τε θύων
τῷ κτησίῳ, περὶ ἣν μάλιστ᾽ ἐκεῖνος θυσίαν ἐσπούδαζε καὶ
οὔτε δούλους προσῆγεν οὔτε ἐλευθέρους ὀθνείους, ἀλλ᾽ αὐ-
τὸς δι᾽ ἑαυτοῦ πάντ᾽ ἐποίει, [n]ταύτης ἡμεῖς [o]ἐκοινωνοῦμεν
καὶ τὰ ἱερὰ συνεχειρουργοῦμεν καὶ συνετίθεμεν καὶ τἄλλα
συνεποιοῦμεν, καὶ ἤρχετο ἡμῖν ὑγίειαν διδόναι καὶ κτῆσιν
22 ἀγαθήν, ὥσπερ εἰκὸς ὄντα πάππον. καίτοι εἰ μὴ θυγα-
τριδοῦς ἡμᾶς ἐνόμιζεν εἶναι καὶ μόνους ἐκγόνους ἐώρα λοι-
ποὺς καταλελειμμένους αὐτῷ, οὐκ ἄν ποτε ἐποίει τούτων
οὐδέν, ἀλλὰ τόνδ᾽ ἂν αὐτῷ παρίστατο, ὃς ἀδελφιδοῦς
23 αὐτοῦ νῦν εἶναι φησί. καὶ ταῦθ᾽ ὅτι ἀληθῆ πάντ᾽ ἐστίν,
ἀκριβέστατα μὲν οἱ τοῦ πάππου θεράποντες ἴσασιν, οὓς
[p]αὐτὸς παραδοῦναι εἰς Βάσανον οὐκ ἠθέλησεν, ἴσασι δὲ
περιφανέστατα καὶ τῶν ἐκείνῳ χρωμένων τινές, οὓς παρέξο-
μαι μάρτυρας. Καί μοι λάβε τὰς μαρτυρίας καὶ ἀνά-
γνωθι.

[g] ἵνα] Malim οἷς.
[h] γνώσεσθε] vulg. γνώσησθε.
[i] πάππον Reiskius: vulg. πάπ-
που: παίδων B.Z. et correctus A.
qui pr. om.
[k] ἑαυτοῦ A.B. vulg. αὐτοῦ.
[l] ἀγρὸν] ἀγορὰν Z.
[m] ἐκεῖνον] Reiskius ἐκείνῳ.
Conf. Valcken. ad Herodot. 8.
140.
[n] ταύτης] ταύτας B.Z.
[o] ἐκοινωνοῦμεν A.B. vulg. συνε-
κοινωνοῦμεν.
[p] αὐτὸς] αὐτῷ Z.

ΜΑΡΤΥΡΙΑΙ.

24 Οὐ τοίνυν ἐκ τούτων δῆλόν ἐστι [q] μόνων ὅτι ἦν ἡμῶν ἡ μήτηρ θυγάτηρ γνησία Κίρωνος, ἀλλὰ καὶ ἐξ ὧν ὁ πατὴρ ἡμῶν ἔπραξε καὶ ἐξ ὧν [r] αἱ γυναῖκες [s] αἱ τῶν δημοτῶν
25 περὶ αὐτῆς ἐγίνωσκον. ὅτε γὰρ ὁ πατὴρ αὐτὴν ἐλάμβανε, γάμους εἱστίασε καὶ ἐκάλεσε τρεῖς [t] αὐτοῦ φίλους μετὰ τῶν αὐτοῦ προσηκόντων, [u] τοῖς τε φράτορσι γαμηλίαν εἰσ- 40
ήνεγκε κατὰ τοὺς ἐκείνων νόμους. αἵ τε γυναῖκες [x] αἱ τῶν δημοτῶν μετὰ ταῦτα προὔκριναν αὐτὴν μετὰ τῆς Διοκλέους γυναικὸς τοῦ [y] Πιτθέως ἄρχειν εἰς τὰ Θεσμοφόρια
26 καὶ ποιεῖν τὰ νομιζόμενα μετ' ἐκείνης. ὅ τε πατὴρ ἡμῶν, ἐπειδὴ ἐγενόμεθα, εἰς τοὺς φράτορας ἡμᾶς εἰσήγαγεν, ὀμόσας κατὰ τοὺς νόμους τοὺς κειμένους ἢ μὴν ἐξ ἀστῆς καὶ ἐγγυητῆς γυναικὸς εἰσάγειν· τῶν δὲ φρατόρων οὐδεὶς 71
ἀντεῖπεν οὐδ' ἠμφισβήτησε μὴ οὐχ ἀληθῆ ταῦτ' εἶναι, πολλῶν ὄντων καὶ ἀκριβῶς [z] τὰ τοιαῦτα σκοπουμένων.
27 καίτοι μὴ οἴεσθ' ἄν, εἰ τοιαύτη τις ἦν ἡ μήτηρ ἡμῶν οἵαν οὗτοι φασί, μήτ' ἂν τὸν πατέρα ἡμῶν γάμους ἑστιᾶν καὶ γαμηλίαν εἰσενεγκεῖν, ἀλλὰ ἀποκρύψασθαι ταῦτα πάντα, μήτε τὰς τῶν ἄλλων δημοτῶν γυναῖκας αἱρεῖσθαι ἂν αὐ- 5
τὴν συνιεροποιεῖν τῇ Διοκλέους γυναικὶ καὶ κυρίαν [a] ποιεῖν
28 ἱερῶν, ἀλλ' ἑτέρᾳ ἄν τινι περὶ τούτων ἐπιτρέπειν, μήτε τοὺς φράτορας εἰσδέχεσθαι ἡμᾶς, ἀλλὰ κατηγορεῖν καὶ ἐξελέγχειν, εἰ μὴ πάντοθεν ἦν ὁμολογούμενον τὴν μητέρα ἡμῶν εἶναι θυγατέρα γνησίαν Κίρωνος. νῦν δὲ τῇ περιφα-

[q] μόνων Z. vulg. μόνον.
[r] αἱ γυναῖκες] καὶ γυναῖκες Z. Reiskius καὶ αἱ γυναῖκες.
[s] αἱ τῶν] ἐκ τῶν Z. αἱ ἐκ τῶν pr. A.
[t] αὐτοῦ ante φίλους om. Z.
[u] τοῖς τε A. τρῖς B.Z. vulg. καὶ τοῖς.
[x] αἱ τῶν] vulg. ἐκ τῶν.
[y] Πιτθέως Reiskius: libri πιτέως vel πίτεως.
[z] τὰ τοιαῦτα A. vulg. ταῦτα.
[a] ποιεῖν] ποιεῖσθαι A.

νεία τοῦ πράγματος καὶ τῷ συνειδέναι ταῦτα πολλοὺς οὐδαμόθεν ἠμφισβητήθη τοιοῦτον οὐδέν. Καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, [b]κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

29 Ἔτι τοίνυν, ὦ ἄνδρες, καὶ ἐξ ὧν [c]ὁ Διοκλῆς ἔπραξεν ὅτε ἡμῶν ὁ πάππος ἐτελεύτησε, γνῶναι ῥᾴδιον ὅτι [d]ὡμολογούμεθα εἶναι θυγατριδοῦ Κίρωνος. [e]ἦκον γὰρ ἐγὼ κομιούμενος αὐτὸν ὡς θάψων ἐκ τῆς οἰκίας τῆς ἐμαυτοῦ, [f]τῶνἐμαυτοῦ [g]οἰκείων τινὰ ἔχων, ἀνεψιὸν τοῦ πατρός· καὶ Διοκλέα μὲν οὐ κατέλαβον ἔνδον, εἰσελθὼν δὲ εἶπω
30 κομίζειν οἷος ἦν, ἔχων τοὺς οἴσοντας. δεομένης δὲ τῆς τοῦ πάππου γυναικὸς ἐκ τῆς οἰκίας αὐτὸν ἐκείνης θάπτειν, καὶ λεγούσης ὅτι βούλοιτ' ἂν αὐτὴ τὸ σῶμα [h]τὸ ἐκείνου συμμεταχειρίζεσθαι μεθ' ἡμῶν καὶ κοσμῆσαι, καὶ ταῦτα ἱκετευούσης καὶ κλαιούσης, ἐπείσθην, ὦ ἄνδρες, καὶ τούτῳ προσελθὼν μαρτύρων ἐναντίον εἶπον ὅτι ἐντεῦθεν ποιήσομαι
31 τὴν ταφήν· δεδεημένη γὰρ εἴη ταῦτα ποιεῖν ἡ τούτου ἀδελφή. καὶ ταῦτα Διοκλῆς ἀκούσας οὐδὲν ἀντεῖπεν, [i]ἀλλὰ καὶ ἐωνῆσθαί τι τῶν εἰς τὴν ταφήν, [k]τῶν δὲ ἀρραβῶνα δεδωκέναι οὗτος φάσκων ταῦτα ἠξίου παρ' ἐμοῦ λαβεῖν, καὶ διωμολογήσατο τῶν μὲν ἠγορασμένων τιμὴν
32 ἀπολαβεῖν, [l]ὧν δὲ ἀρραβῶνα ἔφασκε δεδωκέναι, συστῆσαι τοὺς λαβόντας. εὐθὺς οὖν τοῦτο παρεφθέγγετο, ὡς οὐδ' ὁτιοῦν εἴη Κίρων καταλελοιπώς, οὐδένα λόγον ἐμοῦ πῶ ποιουμένου περὶ τῶν ἐκείνου χρημάτων. καίτοι εἰ μὴ

[b] κάλει τούτων A.B. vulg. κάλει μοι τούτων.
[c] ὃ Διοκλῆς] Articulum om. Z.
[d] ὡμολογούμεθα] ὁμολογούμεθα Z.
[e] ἦκον] ἦκων Z.
[f] τῶν ἐμαυτοῦ] om. B. cum vulg.
[g] οἰκείων] οἰκεῖόν Z. et pr. A.
[h] τὸ ἐκείνου A. vulg. om. articulum.
[i] ἀλλὰ καὶ ἐωνῆσθαι A.B.Z. vulg. ἀλλὰ ἐωνῆσθαι.
[k] τῶν δὲ] Libri τὸν δέ.
[l] ὧν δὲ A. ὃς δὲ B. ὥστε Z.

ἦν θυγατριδοῦς Κίρωνος, οὐκ ἂν ταῦτα διωμολογεῖτο, ἀλλ' ἐκείνους ἂν τοὺς λόγους ἔλεγε "σὺ δὲ τίς εἶ; σοὶ δὲ τί "προσήκει [m]θάπτειν; [n]οὐ γινώσκω σε· οὐ μὴ εἰσίῃς τὴν
33 "οἰκίαν." ταῦτ' εἰπεῖν προσῆκεν, ἅπερ νῦν ἑτέρους πέπεικε λέγειν. νῦν δὲ [o]τοιοῦτον μὲν οὐδὲν εἶπεν, εἰς ἔω δὲ τἀργύριον ἐκέλευεν εἰσενεγκεῖν. Καὶ ταῦτα ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

34 Οὐ τοίνυν ἐκεῖνος μόνος, ἀλλ' οὐδὲ ὁ νῦν ἀμφισβητῶν 30
τοῦ κλήρου τοιοῦτον εἶπεν οὐδέν, ἀλλ' ὑπὸ τούτου παρασκευασθεὶς ἀμφισβητεῖ. κἀκείνου τὸ μὲν παρ' ἐμοῦ κομισθὲν ἀργύριον οὐκ ἐθελήσαντος ἀπολαβεῖν, [p]παρὰ τούτου δ' ἀπειληφέναι τῇ ὑστεραίᾳ φάσκοντος, οὐκ ἐκωλυόμην συνθάπτειν ἀλλὰ πάντα συνεποίουν, [q]οὐχ ὅπως τοῦδε ἀναλίσκοντος οὐδὲ [r]Διοκλέους, ἀλλ' ἐξ ὧν ἐκεῖνος [s]κατε-
35 λιπε γινομένων τῶν εἰς αὐτὸν ἀναλωμάτων. καίτοι καὶ 35
[t]τούτῳ προσῆκεν, εἰ μὴ πάππος ἦν μοι Κίρων, ὠθεῖν, ἐκβάλλειν καὶ κωλύειν συνθάπτειν. οὐδὲν γὰρ [u]ὅμοιον ἦν μοι πρὸς τοῦτον· ἐγὼ μὲν γὰρ εἴων αὐτὸν ἀδελφιδοῦν ὄντα τοῦ πάππου ταῦτα πάντα συμποιεῖν, τούτῳ δ' ἐμὲ οὐ προσῆκεν ἐᾶν, εἴπερ ἀληθῆ ταῦτα ἦν ἅπερ νῦν λέγειν τολ-
36 μῶσιν. ἀλλ' [x]οὕτω τῇ τοῦ πράγματος ἀληθείᾳ [y]κατα-πέπληκτο, ὥστ' οὐδ' ἐπὶ τοῦ βήματος [z]ἐμοῦ ποιουμένου 40
[a]λόγους, καὶ κατηγοροῦντος Διοκλέους ὅτι τὰ χρήματα ἀποστερῶν τοῦτόν μοι πέπεικεν ἀμφισβητεῖν, οὐκ ἐτόλ-

[m] θάπτειν] πράττειν Z.
[n] οὐ γινώσκω σε] om. Z.
[o] τοιοῦτον] τοιοῦτο Z.
[p] παρὰ τούτου δ'] vulg. παρὰ δὲ τοῦδ'.
[q] οὐχ ὅπως] Malim οὐχ ὡς.
[r] Διοκλέους] τοῦ Διοκλέους Z.
[s] κατέλιπε] κατέλειπε B.
[t] τούτῳ C. τοῦτο Z. vulg. τοῦτων.
[u] ὅμοιον ἦν] ἦν ὅμοιον Z.
[x] οὕτω] οὕπω Z.
[y] καταπέπληκτο A.B. vulg. κατεπέπληκτο.
[z] ἐμοῦ] αὐτοῦ Z.
[a] λόγους] τοὺς λόγους Z.

μησε [b]γρύξαι τὸ παράπαν οὐδὲν οὐδ' εἰπεῖν ἃ νῦν τολμᾷ λέγειν. Καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

37 Πόθεν χρὴ πιστεύεσθαι τὰ εἰρημένα [c]πρὸς θεῶν;] οὐκ ἐκ τῶν μαρτυριῶν; οἶμαί γε. πόθεν δὲ τοὺς μάρτυρας; οὐκ ἐκ τῶν βασάνων; εἰκός γε. πόθεν δ' ἀπιστεῖν τοῖς 72 τούτων λόγοις; οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους;
38 ἀνάγκη μεγάλη. πῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειε γνησίαν οὖσαν θυγατέρα Κίρωνος τὴν μητέρα τὴν ἐμὴν ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνύς; τῶν μὲν παλαιῶν ἀκοὴν μαρτυρούντων παρεχόμενος, τῶν δὲ ἔτι ζώντων τοὺς εἰδότας ἕκαστα τούτων, οἳ συνήδεσαν παρ' ἐκείνῳ τρεφομένην, θυ- 5 γατέρα νομιζομένην, ὃς ἐκδοθεῖσαν, ὃς ἐγγυηθεῖσαν, ἔτι δὲ περὶ πάντων τούτους βάσανον ἐξ οἰκετῶν πεφευγότας, οἳ ταῦτα πάντα ἤδεσαν. ἐγὼ δὲ μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους οὐκ ἂν ἔχοιμι πίστεις μείζους τούτων εἰπεῖν, ἀλλ' ἱκανὰς εἶναι νομίζω τὰς εἰρημένας.
39 Φέρε δή, καὶ ὡς προσήκει [d]μοι μᾶλλον ἢ τούτῳ τῶν Κίρωνος χρημάτων, νῦν ἤδη τοῦτο ἐπιδείξω. καὶ νομίζω μὲν ἁπλῶς καὶ ὑμῖν ἤδη εἶναι φανερὸν ὅτι οὐκ ἐγγυτέρω 10 τῆς ἀγχιστείας εἰσὶν οἱ μετ' ἐκείνου φύντες ἢ οἱ ἐξ ἐκείνου γεγονότες (πῶς γάρ; οἱ μὲν γὰρ ὀνομάζονται συγγενεῖς, οἱ δ' ἔκγονοι τοῦ τελευτήσαντος·) οὐ μὴν ἀλλ' ἐπειδὴ καὶ οὕτως ἐχόντων τολμῶσιν ἀμφισβητεῖν, καὶ ἐξ αὐτῶν
40 τῶν νόμων ἀκριβέστερον διδάξομεν. εἰ γὰρ ἔζη μὲν ἡ ἐμὴ μήτηρ, θυγάτηρ δὲ Κίρωνος, μηδὲν δὲ ἐκεῖνος διαθέμενος ἐτελεύτησεν, ἦν δὲ ἀδελφὸς οὗτος αὐτῷ, μὴ ἀδελφιδοῦς, 15

[b] γρύξαι Stephanus: libri ἐρύξαι.

[c] πρὸς θεῶν] Hæc e Dionysio Halicarn. addidit Reiskius.

[d] ἐμοὶ] om. A. ceteri μοι.

συνοικῆσαι μὲν ἂν τῇ γυναικὶ κύριος ἦν, τῶν δὲ χρημάτων οὐκ ἄν, [e]ἀλλ' οἱ γενόμενοι παῖδες ἐκ τούτου καὶ ἐξ ἐκείνης, ὁπότε ἐπὶ δίετες [f]ἠβήσειαν· οὕτω γὰρ οἱ νόμοι κε-
41 λεύουσιν. εἰ τοίνυν καὶ ζώσης κύριος αὐτὸς μὴ ἐγένετο τῶν τῆς γυναικός, ἀλλ' οἱ παῖδες, δῆλον ὅτι καὶ τετελευτηκυίας, ἐπεὶ παῖδας ἡμᾶς καταλέλοιπεν, οὐ τούτοις ἀλλ' ἡμῖν προσήκει κληρονομεῖν τῶν χρημάτων.

42 Οὐ τοίνυν ἐκ τούτου μόνον, ἀλλὰ καὶ ἐκ τοῦ περὶ τῆς κακώσεως νόμου δῆλόν ἐστιν. εἰ γὰρ ἔζη μὲν ὁ πάππος, ἐνδεὴς δὲ ἦν τῶν ἐπιτηδείων, οὐκ ἂν οὗτος [g]ὑπόδικος ἦν τῆς
43 κακώσεως ἀλλ' ἡμεῖς. κελεύει γὰρ τρέφειν τοὺς γονέας, γονεῖς δ' [h]εἰσὶ μήτηρ καὶ πατὴρ καὶ πάππος καὶ τήθη καὶ τούτων μήτηρ καὶ πατήρ, ἐὰν ἔτι ζῶσιν· ἐκεῖνοι γὰρ ἀρχὴ τοῦ γένους εἰσί, καὶ τὰ ἐκείνων [i]παραδίδοται τοῖς ἐγγόνοις, διόπερ ἀνάγκη τρέφειν αὐτούς ἐστι, κἂν μηδὲν κα-
44 ταλίπωσι. πῶς οὖν δικαιόν ἐστιν, ἐὰν μὲν μηδὲν καταλίπωσιν, ἡμᾶς [k]ὑποδίκους εἶναι τῆς κακώσεως, ἣν μὴ τρέφωμεν, εἰ δέ τι καταλελοίπασι, τόνδ' εἶναι κληρονόμον ἀλλὰ μὴ ἡμᾶς; οὐδαμῶς δήπουθεν.

45 Πρὸς ἕνα δὲ τὸν πρῶτον τῶν συγγενῶν προσάξω, καὶ τοῦ γένους καθ' ἕκαστον [l]ὑμᾶς ἐρωτήσω· ῥᾷστα γὰρ οὕτω μάθοιτ' ἄν. Κίρωνος [m]πότερον θυγάτηρ ἢ ἀδελφὸς ἐγγυτέρω τοῦ γένους ἐστί; δῆλον γὰρ ὅτι θυγάτηρ· ἡ μὲν γὰρ
46 ἐξ ἐκείνου γέγονεν, ὁ δὲ μετ' ἐκείνου. θυγατρὸς δὲ παῖδες ἢ ἀδελφός; παῖδες δήπουθεν· γένος γὰρ ἀλλ' οὐχὶ συγγένεια τοῦτ' ἔστιν. εἰ δὴ προέχομεν ἀδελφοῦ τοσοῦτον,

[e] ἀλλ' οἱ correctus A. vulg. ἄλλοι: Reiskius ἄλλοι ἢ οἱ.
[f] ἤβησαν A. ἔβησαν B.Z. Scaliger ἠβήσειαν.
[g] ὑπόδικος Stephanus: libri ἐπίδικος.
[h] εἰσὶ] ἐστὶ pr. A.
[i] παραδίδοται] παραδίδονται pr. A.
[k] ὑποδίκους] ὑποδίκη Z.
[l] ὑμᾶς] ἡμᾶς B.Z.
[m] πότερον] vulg. om.

ἤπου [n] τοῦδέ γ' ὄντος ἀδελφιδοῦ πάμπολυ [o] πρότεροι ἐσμέν. Δέδοικα δὲ μὴ λίαν ὁμολογούμενα λέγων ἐνοχλεῖν
47 [p] ὑμῖν δόξω. πάντες γὰρ ὑμεῖς τῶν πατρῴων, τῶν παππώων, τῶν ἔτι περαιτέρω κληρονομεῖτε ἐκ γένους παρει- 35
ληφότες τὴν ἀγχιστείαν [q] ἀνεπίδικον, καὶ οὐκ οἶδ' εἴ τινι πρὸ τοῦ πώποτε τοιοῦτος ἀγὼν συμβέβηκεν. ἀναγνοὺς οὖν τὸν τῆς κακώσεως νόμον, ὧν ἕνεκα τἄλλα γίγνεται, καὶ
[r] ταῦτ' ἤδη πειράσομαι διδάσκειν.

ΝΟΜΟΣ.

48 Κίρων γὰρ [s] ἐκέκτητο οὐσίαν, ὦ ἄνδρες, ἀγρὸν μὲν Φλυῆσι καὶ ταλάντου ῥαδίως ἄξιον, οἰκίας δ' ἐν ἄστει δύο, τὴν μὲν μίαν μισθοφοροῦσαν, παρὰ τὸ ἐν λίμναις Διονύσιον, δισχιλίας εὑρίσκουσαν, τὴν δ' ἑτέραν, ἐν ᾗ αὐ- 40
49 τὸς ᾤκει, τριῶν καὶ δέκα μνῶν· ἔτι δὲ [t] ἀνδράποδα μισθοφοροῦντα καὶ δύο θεραπαίνας καὶ παιδίσκην, καὶ ἔπιπλα δι' ὧν ᾤκει τὴν οἰκίαν, σχεδὸν σὺν τοῖς ἀνδραπόδοις ἄξια τρισκαίδεκα μνῶν· σύμπαντα δὲ ὅσα φανερὰ ἦν, πλέον ἢ ἐνενήκοντα μνῶν· χωρὶς δὲ τούτων δανείσματα οὐκ
50 ὀλίγα, [u] ἀφ' ὧν ἐκεῖνος τόκους ἐλάμβανε. τούτοις Διοκλῆς μετὰ τῆς ἀδελφῆς πάλαι ἐπεβούλευεν, [x] ἐπειδὴ τά- 73
χιστα οἱ παῖδες οἱ Κίρωνος ἐτελεύτησαν, ἐκείνην [y] μὲν γὰρ οὐκ ἐξεδίδου δυναμένην ἔτι τεκεῖν παῖδας ἐξ ἑτέρου ἀνδρός, ἵνα μὴ χωρισθείσης περὶ τῶν αὐτοῦ βουλεύσαιτο καθάπερ προσῆκεν, ἔπειθε δὲ μένειν φάσκουσαν ἐξ αὐτοῦ κύειν οἴεσθαι, προσποιουμένην δὲ διαφθείρειν ἄκουσαν, ἵν'

[n] τοῦδέ γ' ὄντος Reiskius: libri τοῦ λέγοντος.
[o] πρότεροι] πρότερον Z.
[p] ὑμῖν] ὑμᾶς Z.
[q] ἀνεπίδικον — πρωτοῦ Reiskius: libri ἐπίδικον — πρώτῳ.
[r] ταῦτ' ἤδη Reiskius: libri ταύτῃ δή.
[s] ἐκέκτητο οὐσίαν A.B. vulg. οὐσίαν ἐκέκτητο.
[t] ἀνδράποδα μισθοφοροῦντα] Excidit numerus.
[u] ἀφ'] περὶ Z.
[x] ἐπειδὴ] vulg. ἐπεὶ δέ.
[y] μὲν γὰρ οὐκ A.B. vulg. μὲν οὐκ.

ἐλπίζων ἀεὶ γενήσεσθαι παῖδας αὐτῷ μηδέτερον ἡμῶν εἰσ-
51 ποιήσαιτο υἱόν· καὶ τὸν πατέρα διέβαλλεν ἀεί, φάσκων
αὐτὸν ἐπιβουλεύειν τοῖς ἐκείνου. τά τε οὖν χρέα πάντα
[z] ὅσα ὠφείλετο αὐτῷ, καὶ τόκους ἔπειθε τά γε φανερὰ
δι' αὐτοῦ [a] ποιεῖσθαι, παράγων ἄνδρα πρεσβύτερον θερα-
πείαις καὶ [b] κολακείαις, ἕως ἅπαντα τὰ ἐκείνου περιέ-
52 λαβεν. εἰδὼς δὲ ὅτι πάντων ἐγὼ τούτων κατὰ τὸ προσ-
ῆκον εἶναι κύριος ζητήσω, ὁπότε ὁ πάππος ἐτελεύτησεν,
εἰσιέναι μέν με καὶ θεραπεύειν ἐκεῖνον καὶ συνδιατρίβειν
[c] οὐκ ἐκώλυε, δεδιὼς μὴ τραχυθεὶς εἰς ὀργὴν κατασταίην
πρὸς αὐτόν, παρεσκεύαζε δέ μοι τὸν ἀμφισβητήσοντα
τῆς οὐσίας, μέρος πολλοστὸν τούτῳ μεταδιδοὺς εἰ κατορ-
θώσειεν, αὐτῷ δὲ ταῦτα πάντα περιποιῶν, καὶ οὐδὲ πρὸς
τοῦτον ὁμολογῶν τὸν πάππον χρήματα καταλιπεῖν, ἀλλ'
53 εἶναι φάσκων [d] οὐδέν. καὶ ἐπειδὴ τάχιστα ἐτελεύτησεν,
ἐντάφια προπαρασκευασάμενος τὸ μὲν ἀργύριον ἐμὲ ἐκέ-
λευεν ἐνεγκεῖν, ὡς τῶν μαρτύρων [e] ἠκούσατε μαρτυρησάν-
των, ἀπειληφέναι δὲ παρὰ τοῦδε προσεποιεῖτο, παρ' ἐμοῦ
δὲ οὐκέτι ἤθελεν ἀπολαβεῖν, ὑποπαρωθῶν, ὅπως ἐκεῖνος
54 δοκοίη θάπτειν ἀλλὰ μὴ ἐγὼ τὸν πάππον. ἀμφισβη-
τοῦντος δὲ τούτου καὶ τῆς οἰκίας ταύτης καὶ τῶν ἄλλων
ὧν ἐκεῖνος [f] κατέλιπε, καὶ οὐδὲν φάσκοντος καταλελοιπέ-
ναι, βιάσασθαι μὲν καὶ τὸν πάππον μεταφέρειν ἐν ταῖς
τοιαύταις ἀκαιρίαις οὐκ ἄμην δεῖν, τῶν φίλων [g] μοι ταῦτα
συγγινωσκόντων, συνεποίουν δὲ καὶ [h] συνθαπτον, ἐξ ὧν ὁ
55 πάππος κατέλιπε [i] τῶν ἀναλωμάτων γινομένων. καὶ

[z] ὅσα ὠφείλετο A.B. vulg. ἀφείλετο.
[a] ποιεῖσθαι] om. Z. cum vulg.
[b] κολακείαις A.B. μαλακείαις Z. vulg. μαλακίαις.
[c] οὐκ] om. Z. cum vulg.
[d] οὐδέν] vulg. οὐδενί.
[e] ἠκούσατε — προσεποιεῖτο] οὐκ ἠκούσατε — χρήματα προσεποιεῖτο Z.
[f] κατέλιπε] κατέλειπε B.
[g] μοι] om. Z.
[h] συνέθαπτον] συνθάπτων pr. A.
[i] τῶν — ἔπραξα] om. Z.

ταῦτα μὲν οὕτως ἀναγκασθεὶς ἔπραξα τοῦτον τὸν τρόπον· ὅπως δὲ μηδέν μου ταύτῃ πλεονεκτοῖεν, παρ' ὑμῖν φάσκοντες οὐδέν με εἰς τὴν ταφὴν ἀνηλωκέναι, τὸν ἐξηγητὴν ἐρόμενος ἐκείνου κελεύσαντος ἀνήλωσα παρ' ἐμαυτοῦ καὶ τὰ ἔνατα [k]ἐπήνεγκα, ὡς οἷόν τε κάλλιστα παρασκευάσας, ἵνα αὐτῶν ἐκκόψαιμι ταύτην τὴν ἱεροσυλίαν, καὶ ἵνα μὴ δοκοῖεν οὗτοι μὲν ἀνηλωκέναι πάντα, ἐγὼ δὲ οὐδέν, ἀλλ' ὁμοίως κἀγώ.

56 Καὶ τὰ μὲν γεγενημένα, καὶ δι' ἃ τὰ πράγματα ταῦτ' [l]ἔχομεν, σχεδόν [m]τι ταῦτ' ἐστίν, ὦ ἄνδρες· εἰ δὲ εἰδείητε τὴν Διοκλέους ἀναισχυντίαν, καὶ περὶ τὰ ἄλλα
57 οἷός ἐστιν, οὐκ ἂν ἀπιστήσαι τις τῶν εἰρημένων οὐδενί. οὗτος μὲν γὰρ [n]εἶχε τὴν οὐσίαν, ἀφ' ἧς νῦν ἐστὶ λαμπρός, ἀλλοτρίαν, ἀδελφῶν τριῶν ὁμομητρίων ἐπικλήρων καταλειφθεισῶν αὐτὸν τῷ πατρὶ αὐτῶν εἰσποιήσας, οὐδεμίαν
58 ἐκείνου περὶ [o]τούτων ποιησαμένου διαθήκην. ταῖν δ' ἀδελφαῖν ταῖν δυοῖν ἐπειδὴ [p]τὰ χρήματα εἰσεπράττετο ὑπὸ τῶν ἐκείναις συνοικούντων, τὸν [q]μὲν τὴν πρεσβυτέραν ἔχοντα κατοικοδομήσας καὶ ἐπιβουλεύσας ἠτίμωσε, καὶ γραφὴν ὕβρεως γραφεὶς [r]οὐδέπω τούτων δίκην ἔδωκε, τῆς δὲ μετ' ἐκείνην γενομένης τὸν ἄνδρα ἀποκτεῖναι κελεύσας οἰκέτην ἐκεῖνον μὲν ἐξέπεμψε, τὴν δ' αἰτίαν εἰς τὴν ἀδελ-
59 φὴν ἔτρεψε, καταπλήξας δὲ ταῖς αὐτοῦ βδελυρίαις προσαφήρηται τὸν υἱὸν αὐτοῦ τὴν οὐσίαν ἐπιτροπεύσας, καὶ κατέχει τὸν ἀγρόν, [s]φελλεὰ δὲ [χωρία] ἄττα ἐκείνῳ δέ-

[k] ἐπήνεγκα] ἀπήνεγκα Z.
[l] ἔχομεν] εἴχομεν Z.
[m] τι] τοι A.
[n] εἶχε] Immo ἔσχε.
[o] τούτων] τῶν τοιούτων Z.
[p] τὰ χρήματα A.B. vulg. om. articulum.
[q] μὲν τὴν] μέντοι B.Z.
[r] οὐδέπω A. vulg. οὐδέποτε.
[s] φέλλεα δὲ χωρία ἄττα Wesseling. ap. Ruhnken. ad Tim. p. 270. a. φελλεάδε χωρία ἄττα A. φελλεάδε χωρία ἃ τὰ B. φολεὰ δὲ ἄτα Z. vulg. φελεάδα χωρία ἄττα.

δωκε. καὶ ταῦτα ὅτι ἀληθῆ λέγω, δεδίασι μὲν αὐτόν, 40
ἴσως δ' ἄν μοι καὶ μαρτυρῆσαι ἐθελήσειαν· εἰ δὲ μή,
τοὺς εἰδότας παρέξομαι μάρτυρας. Καί μοι κάλει δεῦρο
αὐτοὺς πρῶτον.

ΜΑΡΤΥΡΕΣ.

60 Οὕτω τοίνυν ἀσελγὴς ὢν καὶ βίαιος καὶ τὴν τῶν ἀδελ-
φῶν οὐσίαν ἀπεστερηκὼς οὐκ ἀγαπᾷ τὰ ἐκείνων ἔχων,
ἀλλ' ὅτι δίκην οὐδεμίαν [t] αὐτῶν δέδωκεν, ἥκει καὶ τὰ τοῦ
πάππου χρήματα ἡμᾶς ἀποστερήσων, καὶ τούτῳ δύο
μνᾶς (ὡς ἀκούομεν) μόνας δεδωκὼς οὐ μόνον περὶ χρη- 74
μάτων ἡμᾶς ἀλλὰ καὶ περὶ τῆς πατριδος εἰς [u] κινδύνους
61 καθίστησιν. ἐὰν γὰρ ἐξαπατηθῆτε ὑμεῖς πεισθέντες ὡς ἡ
μήτηρ ἡμῶν οὐκ ἦν πολῖτις, οὐδ' ἡμεῖς ἐσμέν· μετ' [x] Εὐ-
κλείδην γὰρ ἄρχοντα γεγόναμεν. ἆρα περὶ μικρῶν τινῶν
ἡμῖν τὸν ἀγῶνα κατεσκεύακε; καὶ ζῶντος μὲν τοῦ πάπ-
που καὶ τοῦ πατρὸς οὐδεμίαν αἰτίαν [y] εἴχομεν, ἀλλ' ἀναμ- 5
62 φισβήτητοι τὸν ἅπαντα χρόνον διετελέσαμεν· [z] ἐπειδὴ δ'
ἐκεῖνοι τετελευτήκασι, κἂν νῦν νικήσωμεν, ὄνειδος ἔξομεν,
διότι ἠμφισβητήθημεν, διὰ τὸν Ὀρέστην τοῦτον τὸν κακῶς
ἀπολούμενον, ὃς μοιχὸς ληφθεὶς καὶ παθὼν ὅ τι προσήκει
τοὺς τὰ τοιαῦτα ποιοῦντας οὐδ' ὡς ἀπαλλάττεται τοῦ
63 πράγματος, ὡς οἱ συνειδότες καταμαρτυροῦσι. τοῦτον
μὲν [a] οὖν, οἷός ἐστι, καὶ νῦν ἀκούετε καὶ αὖθις ἀκριβέστε- 10
ρον πεύσεσθε, ὅταν κατ' αὐτοῦ τὴν δίκην ἡμεῖς εἰσιώμεν·
ὑμῶν δ' ἐγὼ δέομαι καὶ ἱκετεύω, μή με περιίδητε περὶ
τούτων ὑβρισθέντα τῶν χρημάτων ὧν ὁ πάππος κατέλιπε,
μηδ' ἀποστερηθέντα, ἀλλὰ βοηθήσατε καθ' ὅσον ὑμῶν
64 ἕκαστος τυγχάνει δυνάμενος. ἔχετε δὲ πίστεις ἱκανὰς

[t] αὐτοῖς] αὐτῶν A.B.
[u] κινδύνους] τὴν γῆν Z.
[x] εὐκλείδην] vulg. εὐκλείδη.
[y] εἴχομεν] ἔχομεν Z.
[z] ἐπειδὴ] vulg. ἐπεὶ.
[a] οὖν] vulg. om.

ἐκ μαρτυριῶν, ἐκ βασάνων, ἐξ αὐτῶν τῶν νόμων, ὅτι τ' ἐσμὲν θυγατρὸς γνησίας Κίρωνος, καὶ ὅτι προσήκει ἡμῖν 13
μᾶλλον ἢ τούτοις κληρονομεῖν τῶν ἐκείνου χρημάτων, ἐγγόνοις οὖσι τοῦ πάππου. μνησθέντες οὖν καὶ τῶν ὅρκων οὓς ὀμόσαντες δικάζετε, καὶ τῶν λόγων οὓς εἰρήκαμεν, καὶ τῶν νόμων, ἢ δίκαιόν ἐστι, [b]ταύτῃ τὴν ψῆφον [c]τίθεσθε.

65 Οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. Λάβε δ' αὐτοῖς [d]τὴν μαρτυρίαν τὴν λοιπήν, ὡς ἐλήφθη μοιχός, καὶ ἀνάγνωθι.

ΠΕΡΙ ΤΟΥ ΑΣΤΥΦΙΛΟΥ ΚΛΗΡΟΥ.

Θ.

ΥΠΟΘΕΣΙΣ.

Ἀστύφιλος καὶ ὁ λέγων τὸν λόγον ἀδελφοὶ ὁμομήτριοι· τελευτήσαντος δὲ τοῦ Ἀστυφίλου διαθήκας προήνεγκε Κλέων τις, ἀνεψιὸς ὢν αὐτοῦ, φάσκων αὐτὰς γενέσθαι εἰς τὸν υἱὸν ἑαυτοῦ. ὁ δὲ ἀδελφὸς τοῦ Ἀστυφίλου κατηγορεῖ τῶν διαθηκῶν ὡς πλαστῶν. Ἡ στάσις στοχασμός.

ΑΔΕΛΦΟΣ [a]μοι ἦν ὁμομήτριος, ὦ ἄνδρες, Ἀστύφιλος, οὗ [b]ἐστὶν ὁ κληρος· ἀποδημήσας οὖν μετὰ τῶν εἰς Μιτυ- 30
λήνην στρατιωτῶν ἐτελεύτησε. πειράσομαι δ' ὑμῖν ἐπιδεῖξαι ὅπερ ἀντώμοσα, ὡς οὔτε ἐποιήσατο ἐκεῖνος υἱὸν ἑαυτῷ, οὔτ' ἔδωκε τὰ ἑαυτοῦ, οὔτε διαθήκας κατέλιπεν, οὔτε προσήκει ἔχειν τὰ Ἀστυφίλου οὐδενὶ ἄλλῳ

[b] ταύτῃ A. vulg. ταύτην.
[c] τίθεσθε] τίθεσθαι A.B.
[d] τὴν μαρτυρίαν τὴν λοιπὴν] τὴν λοιπὴν μαρτυρίαν Z.
[a] μοι] om. Z.
[b] ἔστιν] ἦν Z.

2 ἢ ἐμοί. ἔστι γὰρ ὁ Κλέων οὑτοσὶ [c] ἀνεψιὸς [d] Ἀστυφίλῳ πρὸς πατρός, ὁ δὲ υἱὸς ὁ τούτου, ὃν εἰσποιεῖ ἐκείνῳ, ἀνεψιαδοῦς. εἰσποίητος δ' ἦν ὁ πατὴρ ὁ Κλέωνος εἰς ἄλλον οἶκον, καὶ οὗτοι ἔτι εἰσὶν ἐν ἐκείνῳ τῷ οἴκῳ, ὥστε γένει 3 μὲν διὰ τὸν νόμον οὐδὲν προσήκουσιν Ἀστυφίλῳ. ἐπειδὴ δὲ κατὰ ταῦτα οὐκ ἦν ἀμφισβήτησις, διαθήκας ὦ ἄνδρες ψευδεῖς (ὡς ἐγὼ οἶμαι ἐπιδείξειν) κατεσκεύασαν [e] καὶ ζητοῦσιν ἀποστερῆσαί με τῶν τἀδελφοῦ. καὶ οὕτω σφόδρα Κλέων οὑτοσὶ καὶ πρότερον καὶ νῦν οὐδένα ἄλλον τὸν 4 κλῆρον ἡγεῖται ἔξειν [f] ἢ αὑτόν, ὥστ' ἐπειδὴ τάχιστα ἠγγέλθη Ἀστύφιλος τετελευτηκώς, τοῦ μὲν πατρὸς τοῦ ἐμοῦ ἀσθενοῦντος, ἐμοῦ δὲ οὐκ ἐπιδημοῦντος ἀλλὰ στρατευομένου, εἰς [g] τὸ χωρίον ἐνεβάτευσε, καὶ εἴ τι ἄλλο ἐκεῖνος κατέλιπεν, ἅπαντα ἔφη τοῦ υἱοῦ τοῦ ἑαυτοῦ εἶναι, 5 πρίν τι ὑμᾶς ψηφίσασθαι. ἐπεὶ δ' ἐκομίσθη τὰ ὀστᾶ τοῦ ἀδελφοῦ, ὁ μὲν προσποιούμενος πάλαι υἱὸς εἰσπεποιῆσθαι οὐ προὔθετο οὐδ' ἔθαψεν, οἱ δὲ φίλοι οἱ [h] Ἀστυφίλου καὶ οἱ συστρατιῶται ὁρῶντες τὸν πατέρα τὸν ἐμὸν 6 ἀῤῥωστοῦντα, ἐμὲ δὲ οὐκ ἐπιδημοῦντα, αὐτοὶ καὶ προὔθεντο καὶ τἆλλα πάντα τὰ νομιζόμενα ἐποίησαν καὶ τὸν ἐμὸν πατέρα ἀσθενοῦντα ἐπὶ τὸ μνῆμα ἤγαγον, εὖ εἰδότες ὅτι ἀσπάζοιτο αὐτὸν Ἀστύφιλος. τούτου δ' ὑμῖν αὐτοὺς τοὺς ἐπιτηδείους [i] τοὺς ἐκείνου μάρτυρας παρέξομαι τῶν 5 παρόντων.

ΜΑΡΤΥΡΕΣ.

7 Ὅτι μὲν οὐκ ἔθαψε Κλέων Ἀστύφιλον, οὔτ' αὐτὸς

[c] ἀνεψιὸς] om. Z.
[d] Ἀστυφίλῳ A. vulg. Ἀστυφίλου.
[e] καὶ] om. pr. A.
[f] ἢ] πρότερον ἢ Z.
[g] τὸ] om. pr. A.
[h] Ἀστυφίλου] Immo οἱ Ἀστυφίλου.
[i] τοὺς ἐκείνου] Articulum om. Z.

ἔξαρνος γένοιτο μεμαρτύρηταί τε ὑμῖν· [k] ἐπειδὴ δ' ἐπεδήμησα ἐγὼ καὶ ἠσθόμην χαρπουμένους τούτους τὰ ἐκείνου, ὁ δὲ υἱὸς αὐτοῦ ποιηθείη [l] ὑπὸ Ἀστυφίλου, καὶ τούτων
8 διαθήκας καταλίποι παρὰ Ἱεροκλεῖ [m] Ἡφαιστίδῃ, ἀκούσας ἐγὼ λέγοντος αὐτοῦ ταῦτα ἐπορευόμην παρὰ τὸν Ἱεροκλέα, εὖ μὲν εἰδὼς ὅτι ὡς οἷόν τε μάλιστα ἐπιτήδειος εἴη [n] Κλέωνι, οὐχ ἡγούμενος δ' ἂν αὐτὸν [o] τολμῆσαί τι ψεύσασθαι κατὰ Ἀστυφίλου τετελευτηκότος, καὶ ταῦτα
9 θεῖον ὄντα καὶ ἐμοῦ καὶ ἐκείνου. ὅμως δέ, ὦ ἄνδρες, οὐδὲν τούτων [p] ὑπολογισάμενος ὁ Ἱεροκλῆς, ἐρωτώμενος ὑπ' ἐμοῦ ἀπεκρίνατό μοι ὅτι ἔχοι τὰς διαθήκας· λαβεῖν δὲ ἔφη αὐτὰς παρὰ Ἀστυφίλου, ὅτε εἰς Μιτυλήνην ἔμελλεν ἐκεῖνος ἐκπλεῖν. Ὡς δὲ ταῦτ' ἔλεγεν, ἀνάγνωθί [q] μοι ταύτην τὴν μαρτυρίαν.

[r] ΜΑΡΤΥΡΙΑ.

10 Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες, οὔτε παραγενόμενος οὐδεὶς [s] ἔτυχε τῶν οἰκείων ὅτε [t] ὁ ἀδελφὸς ἐτελεύτησεν, οὔτε ἐγὼ ἐπεδήμουν ὅτε τὰ ὀστᾶ [u] αὐτοῦ δεῦρο ἐκομίσθη, ἀναγκαῖόν μοί [x] ἐστιν ἐξ αὐτῶν ὧν οὗτοι λέγουσιν ἐλέγχειν ψευδεῖς
11 οὔσας τὰς διαθήκας ἃς ἐποιήσατο. εἰκὸς γὰρ ἐκεῖνον [y] οὐ μόνον ἐπιθυμεῖν υἱὸν ποιησάμενον καταλιπεῖν, ἀλλὰ καὶ σκοπεῖσθαι ὅπως κυριώτατα ἔσται ἃ ἂν διαθῆται, καὶ τὴν τε οὐσίαν, [z] ὃν ἂν ἐκεῖνος εἰσποιήσηται, οὗτος ἕξει, καὶ

[k] ἐπειδὴ δ' A. vulg. ὡς δ': om. B.Z.
[l] ὑπὸ Ἀστυφίλου A. vulg. ὑπὸ τοῦ Ἀστυφίλου.
[m] Ἡφαιστίδῃ A.B. vulg. Ἡφαιστείδῃ.
[n] Κλέωνι] Κλεώνικος Z.
[o] τολμῆσαι] πολεμῆσαι Z.
[p] ὑπολογισάμενος] ὑπολογησάμενος Z.
[q] μοι] om. Z. cum vulg.
[r] ΜΑΡΤΥΡΙΑ ὅτι Ἱεροκλῆς ἀπεκρίνατο] ὅτι Ἱεροκλῆς ἀπεκρίνατο μαρτύρια A.Z.
[s] ἔτυχε] ἔπειθε Z.
[t] ὁ] om. Z.
[u] αὐτοῦ] om. Z.
[x] ἐστιν] om. Z. cum vulg.
[y] οὐ] μὴ Z.
[z] ὃν] ἂν Z.

ἐπὶ τοὺς βωμοὺς τοὺς [a] πατρῴους οὗτος βαδιεῖται, καὶ τελευτήσαντι αὐτῷ καὶ τοῖς ἐκείνου προγόνοις τὰ νομιζό-
12 μενα ποιήσει· ἅπαντα δὲ ταῦτα [b] μάλιστα [c] εἰδέναι ὅτι [d] γένοιντο, εἰ μὴ ἄνευ τῶν οἰκείων τῶν [e] ἑαυτοῦ τὰς διαθήκας ποιοῖτο, ἀλλὰ πρῶτον μὲν συγγενεῖς παρακαλέσας, ἔπειτα δὲ φράτορας καὶ δημότας, ἔπειτα τῶν ἄλλων ἐπιτηδείων ὅσους δύναιτο πλείστους· οὕτω γὰρ εἴτε κατὰ γένος εἴτε κατὰ δόσιν ἀμφισβητοίη τις, ῥᾳδίως ἂν ἐλέγ-
13 χοιτο ψευδόμενος. ὁ τοίνυν Ἀστύφιλος οὐδὲν φαίνεται τοιοῦτον ποιήσας, οὐδὲ παραστησάμενος οὐδένα τούτων, ὅτε διέθετο ἃ οὗτοι φασίν, εἰ μή τις ἄρα ὑπὸ [f] τούτων [g] πέπεισται ὁμολογεῖν παρεῖναι. αὐτὸς δ' ὑμῖν πάντας τούτους μαρτυροῦντα, παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

14 Ἴσως τοίνυν Κλέων οὑτοσί φησιν οὐκ εἰκὸς εἶναι τεκ-
μηρίοις ὑμᾶς [h] χρήσασθαι τούτοις τοῖς μάρτυσιν, ὅτι μαρτυροῦσι μὴ εἰδέναι Ἀστύφιλον ταῦτα διατιθέμενον. ἐγὼ δ' οἶμαι, περί γε διαθηκῶν οὔσης τῆς ἀμφισβητήσεως καὶ περὶ τοῦ ποιηθῆναί τινα υἱὸν Ἀστυφίλῳ, ἡμῖν πολὺ βεβαιοτέραν [i] εἶναι μαρτυρίαν, [k] ἢν οἱ ἀναγκαῖοι [l] ἐκείνου περὶ τῶν μεγίστων [m] μή φασι παραγενέσθαι, μᾶλ-
15 λον ἢ ἣν οἱ μηδὲν προσήκοντες μαρτυροῦσι παρεῖναι. καὶ ἐχρῆν [n] δ' ἄ ἄνδρες καὶ αὐτὸν Κλέωνα, μὴ δοκοῦντα εἶναι ἠλίθιον, ὅτε τὸν υἱὸν [o] τὸν τούτου ἐποιεῖτο Ἀστύφιλος καὶ

[a] πατρῴους] πρώτους Z.
[b] μάλιστα] Legendumne μάλιστ' ἄν?
[c] εἰδέναι] οἶδα pr. A.
[d] γένοιντο] δύναιντο Z.
[e] ἑαυτοῦ] ἐμαυτοῦ pr. A.
[f] τούτων A. vulg. τούτου.
[g] πέπεισται] πέπεικεν Z.
[h] χρήσασθαι] χρήσεσθαι Z.
[i] εἶναι μαρτυρίαν] vulg. εἶναι τὴν μαρτυρίαν.
[k] ἣν] εἰς ἣν pr. A.
[l] ἐκείνου] ἐκεῖνοι Z.
[m] μή] οὔ Z.
[n] δ'] om. Z.
[o] τὸν τούτου] Articulum om. pr. A.

τὰς διαθήκας [p] κατέλειπε, παρακαλέσαι εἴ γέ τινα συγγενῆ ἐπιδημοῦντα ἐγίνωσκε, καὶ τοὺς ἄλλους, ὅτῳ [q] ἐπὶ βραχύ περ ἤδει Ἀστύφιλον χρώμενον. κωλῦσαι μὲν γὰρ οὐδεὶς [r] ἂν αὐτὸν ἐδύνατο, ὅτῳ ἐβούλετο, δοῦναι τὰ ἑαυτοῦ· [s] τούτῳ δ' ἂν μεγάλη μαρτυρία ἦν, ὅτι οὐ λάθρα
16 ταῦτα διέθετο. ἔτι δ', ὦ ἄνδρες, εἰ μὲν ὁ Ἀστύφιλος μηδένα ἐβούλετο εἰδέναι ὅτι τὸν Κλέωνος υἱὸν ἐποιεῖτο μηδ' ὅτι διαθήκας καταλίποι, εἰκὸς ἦν μηδὲ ἄλλον μηδένα ἐγγεγράφθαι ἐν τῷ γραμματείῳ μάρτυρα· εἰ δ' ἐναντίον μαρτύρων φαίνεται διαθέμενος, τούτων δὲ μὴ τῶν μάλιστα χρωμένων ἀλλὰ τῶν ἐντυχόντων, πῶς εἰκός
17 ἐστιν ἀληθεῖς εἶναι τὰς διαθήκας; οὐ γὰρ ἡγοῦμαι ἔγωγε οὐδένα, υἱὸν ἑαυτῷ ποιούμενον, τολμῆσαι ἄλλους τινὰς παρακαλέσαι ἢ τούτους, οὕσπερ καὶ ἱερῶν καὶ ὁσίων [t] κοινωνοὺς ἀνθ' αὑτοῦ εἰς τὸν ἔπειτα χρόνον ἔμελλε καταλιπεῖν. ἀλλὰ μὴν οὐδ' αἰσχυνθῆναι οὐδενὶ προσήκει ἐπὶ τοιαύταις διαθήκαις ὡς πλείστους μάρτυρας παρίστασθαι, νόμου γε ὄντος ἐξεῖναι ὅτῳ βούλοιτο δοῦναι τὰ ἑαυτοῦ.
18 Σκέψασθε δέ, ὦ ἄνδρες, καὶ ἐκ τοῦ χρόνου ὃν οὗτοι λέγουσι περὶ τῶν διαθηκῶν. ὅτε γὰρ εἰς Μιτυλήνην ἐξέπλει στρατευόμενος, τότε φασὶν αὐτὸν ταῦτα διαθέσθαι· φαίνεται δὲ ὁ Ἀστύφιλος τῷ τούτων λόγῳ τὰ μέλλοντα
19 ἔσεσθαι προειδώς. πρῶτον μὲν [u] γὰρ ἐστρατεύσατο εἰς Κόρινθον, ἔπειτα εἰς Θετταλίαν, ἔτι δὲ τὸν Θηβαϊκὸν πόλεμον ἅπαντα, καὶ ἄλλοσε [x] ὅποι [y] περ αἰσθάνοιτο στρά-

[p] κατέλειπε pr. A. vulg. κατέλιπε.
[q] ἐπὶ] om. Z.
[r] ἂν αὐτὸν] αὐτὸν ἂν Z. αὐτὸν pr. A.
[s] τούτῳ δ' ἂν—ἦν] τοῦτο δ' αὖ —ταῦτα ἦν Z.
[t] κοινωνοὺς ἀνθ' αὑτοῦ A.B. vulg. ἀνθ' αὑτοῦ κοινωνούς.
[u] γὰρ] vulg. om.
[x] ὅπου] Reiskius ὅποι.
[y] περ αἰσθάνοιτο A.B. πραισθάνοιτο Z. vulg. αἰσθάνοιτο.

τευμα συλλεγόμενον, [z] ἀπανταχοῖ ἀπεδήμει λοχαγῶν· καὶ οὐδ' ἐν μιᾷ τούτων [a] τῶν ἐξόδων διαθήκας κατέλιπεν. ἡ δὲ εἰς τὴν Μιτυλήνην στρατεία τελευταία αὐτῷ ἐγένετο, ἐν ᾗ καὶ ἀπέθανε. τῷ οὖν ἂν ὑμῶν φανείη πιστόν, [b] πρότερον ἄλλας στρατείας τοῦ Ἀστυφίλου στρατευομένου καὶ εὖ εἰδότος ὅτι ἐν [c] ἁπάσαις [d] μέλλοι κινδυνεύειν, οὕτως ἀκριβῶς τὰ παρὰ τῆς τύχης συμβῆναι, ὥστ' ἐν μὲν τῷ πρόσθεν χρόνῳ μηδὲ περὶ ἑνὸς αὐτὸν τῶν αὐτοῦ διαθέσθαι, ὅτε δὲ τὸ τελευταῖον ἔμελλε στρατεύεσθαι, [e] ἐθελοντήν τε ἐκπλεῖν, [f] τῷ καὶ μάλιστα ἐκ ταύτης τῆς στρατείας ἐλπίζοντα σωθήσεσθαι, πῶς [g] τοῦτον πιστὸν ἤδη τὰς διαθήκας τότε καταλιπεῖν καὶ ἐκπλεύσαντα τελευτῆσαι;

21 Χωρὶς δὲ τούτων, ὦ ἄνδρες δικασταί, ἔτι μείζω τεκμήρια παρέξομαι ὡς οὐδὲν ἀληθὲς λέγουσιν οὗτοι. ἐπιδείξω γὰρ ὑμῖν ἔχθιστον ἁπάντων [h] ὄντα Ἀστύφιλον Κλέωνι, καὶ οὕτω σφόδρα καὶ δικαίως μισοῦντα τοῦτον, ὥστε πολὺ δὴ θᾶττον διαθέμενον μηδένα ποτὲ τῶν ἑαυτοῦ [i] οἰκείων διαλεχθῆναι Κλέωνι, μᾶλλον ἢ τὸν τούτου υἱόν 22 [k] ποιησάμενον. [l] Εὐθυκράτει γάρ, ὦ ἄνδρες, τῷ πατρὶ τῷ Ἀστυφίλου αἴτιος γενέσθαι λέγεται τοῦ θανάτου Θούδιππος ὁ Κλέωνος τούτου πατήρ, [m] αἰκισάμενος ἐκεῖνον διαφορᾶς [n] τινὸς αὐτοῖς γενομένης ἐν τῇ [o] νεμήσει τοῦ χω-

[z] ἀπανταχοῖ Reiskius: libri ἀπανταχῇ: Stephaniana ἀπανταχοῦ.
[a] τῶν ἐξόδων A. ἐξόδων B. ἔξοδον Z. vulg. ἐξόδῳ.
[b] πρότερον] πότερον A.Z.
[c] ἁπάσαις A.B. vulg. πάσαις.
[d] μέλλοι] vulg. μέλλει.
[e] ἐθελοντήν A.B. ἀθελοντήν Z. vulg. ἐθελοντής.
[f] τὸν] τῷ A.B.Z.
[g] τοῦτον πιστὸν ἤδη] τοῦτο πιστὸν ἤδει A.B.Z.
[h] ὄντα] vulg. εἶναι.
[i] οἰκείων] φίλων Z.
[k] ποιησάμενον Reiskius, ποιησόμενον A.B. πολεμησόμενον Z.
[l] Εὐθυκράτει γὰρ] Εὐθυκράτη γοῦν Z.
[m] αἰκισάμενος ἐκεῖνον] αἰτησάμενος ἐκείνην Z.
[n] τινὸς] om. Z.
[o] νεμήσει A. vulg. νεμέσει.

ρίου, καὶ οὕτως αὐτὸν διατεθῆναι, ὥστε ἐκ τῶν πληγῶν αὐτὸν ἀσθενήσαντα οὐ πολλαῖς ἡμέραις ὕστερον ἀποθα-
23 νεῖν. ὡς δὲ ταῦτ' ἔστιν ἀληθῆ, ἴσως μὲν καὶ [p]Ἀραφηνίων καὶ πολλοὶ τῶν τότε [q]συγγεωργούντων μαρτυρήσαιεν ἄν μοι, διαῤῥήδην δὲ περὶ τηλικούτου πράγματος οὐκ ἂν ἔχοιμι ὅπως ὑμῖν παρασχοίμην. καὶ γὰρ αὐτὸν τυπτόμενον ἰδὼν Ἱεροκλῆς, ὁ τὸ γραμματεῖον φάσκων παρ' ἑαυτῷ τεθῆναι, οἶδ' ὅτι οὐκ ἂν [r]ἐθελήσαι μαρτυρῆσαι ἐναντία ταῖς διαθήκαις αἷς αὐτὸς ἀποφαίνει. Ὅμως μέντοι [s]καὶ κάλει Ἱεροκλέα, ἵνα [t]ἐναντίον τούτων μαρτυρήσῃ ἢ ἐξομόσηται.

ΜΑΡΤΥΡΙΑ.

24 Ἀκριβῶς μὲν ἤδειν· τοῦ γὰρ αὐτοῦ ἀνδρός ἐστιν, ἃ μὲν οἶδεν, ἐξόμνυσθαι, τῶν δὲ μὴ γενομένων πίστιν ἐθέλειν ἐπιθεῖναι ἢ μὴν εἰδέναι γενόμενα· ὡς δέ, ὅτε ἀπέθνησκεν ὁ Εὐθυκράτης ὁ πατὴρ Ἀστυφίλου, ἐπέσκηψε τοῖς οἰκείοις μηδένα ποτὲ ἐάσειν ἐλθεῖν τῶν Θουδίππου ἐπὶ τὸ μνῆμα τὸ ἑαυτοῦ, τούτων ὑμῖν τὸν ἔχοντα τὴν τηθίδα τοῦ Ἀστυφίλου [u]μάρτυρα παρέξομαι.

ΜΑΡΤΥΡΙΑ.

25 Ἀκούων τοίνυν ταῦτα ὁ Ἀστύφιλος καὶ [x]τούτου καὶ τῶν ἄλλων προσηκόντων [y]εὐθέως ἐκ παίδων, ἐπειδὴ τάχιστα ἤρχετο φρονεῖν, οὐδεπώποτε [z]διελέχθη Κλέωνι, ἀλλὰ πρότερον ἐτελεύτησεν, οὐχ ἡγούμενος ὅσιον εἶναι, τοιαύτην αἰτίαν [a]ἔχοντος Θουδίππου περὶ τὸν αὐτοῦ πα-

[p] Ἀραφηνίων Palmerius: libri ῥαφηνίων.
[q] συγγεωργούντων] ξυγγεωργούντων Z.
[r] ἐθελήσαι Z. ἐθελήση A.B. vulg. ἐθελήσει.
[s] καὶ κάλει] vulg. om. particulam.
[t] ἐναντία] Quidni ἐναντίον?
[u] μάρτυρα Stephanus: libri μαρτυρίαν.
[x] τούτου] vulg. τούτων.
[y] εὐθέως] om. Z. cum vulg.
[z] διελέχθη Reiskius: διειλέχθη B. διηλέχθη A. διηλέγχθη Z.
[a] ἔχοντος] om. Z.

τέρα, τῷ ἐκείνου υἱεῖ διαλέγεσθαι. ὡς οὖν τὸν ἅπαντα χρόνον διάφορος ἦν Κλέωνι, τούτων ὑμῖν τοὺς συνειδότας μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

26 Εἰς τὰς [b] θυσίας τοίνυν, ἐν αἷσπερ οἱ ἄλλοι Ἀθηναῖοι ἑστιῶνται, πρῶτον μὲν δημότην ὄντα, ἔπειτα ἀνεψιόν, ἔτι δὲ τὸν υἱὸν τὸν τούτου μέλλοντα ποιεῖσθαι, εἰκὸς δήπου ἦν, ὁπότε περ [c] ἐπιδημοίη, μηδὲ μεθ' ἑνὸς ἄλλου [d] ἰέναι τὸν Ἀστύφιλον ἢ μετὰ Κλέωνος. ὡς τοίνυν οὐδέποτ' ἦλθε μετ' αὐτοῦ, ὑμῖν τῶν δημοτῶν μαρτυρίαν ἀναγνώσεται. 77

ΜΑΡΤΥΡΙΑ.

27 Οὕτως τοίνυν διακείμενος τῷ τετελευτηκότι Κλέων ἀξιοῖ τὸν υἱὸν τὸν ἑαυτοῦ τὰ ἐκείνου ἔχειν. καὶ τί δεῖ τοῦτον λέγειν; ἀλλ' Ἱεροκλῆς, θεῖος ὢν καὶ ἐμοί, οὕτως ἐστὶ τολμηρὸς ὥστε οὐ [e] γενομένας διαθήκας ἥκει φέρων, καί φησι παρ' [f] ἑαυτῷ Ἀστύφιλον ταύτας καταλιπεῖν.
28 καίτοι, Ἱερόκλεις, πολλὰ κἀγαθὰ παθὼν ὑπὸ Θεοφράστου τοῦ πατρὸς τοῦ ἐμοῦ, ὅτε χεῖρον ἔπραττες ἢ νυνί, καὶ ὑπὸ Ἀστυφίλου, οὐδετέρῳ αὐτοῖν τὴν ἀξίαν χάριν ἀποδίδως· ἐμὲ μὲν γὰρ υἱὸν ὄντα Θεοφράστου, [g] σαυτῷ δὲ ἀδελφιδοῦν, ἀποστερεῖς ἃ μοι οἱ νόμοι ἔδοσαν, Ἀστυφίλου δὲ τεθνεῶτος καταψεύδῃ, καὶ τὸ κατὰ σαυτὸν μέρος τοὺς ἐχθίστους καθίστης τῶν ἐκείνου κληρονόμους.
29 καὶ πρὶν μὲν ληχθῆναι τοῦ κλήρου, ὦ ἄνδρες, εὖ εἰδὼς ὁ Ἱεροκλῆς ὅτι οὐδενὶ [h] ἄλλῳ γίνοιτο τὰ Ἀστυφίλου ἢ ἐμοί, ἐν μέρει ἑκάστῳ τῶν ἐκείνου ἐπιτηδείων προσήει πωλῶν τὸ πρᾶγμα καὶ τοὺς οὐδὲν προσήκοντας πείθων ἀμ-

[b] θυσίας] οὐσίας A.
[c] ἐπιδημοίη Reiskius: libri ἀποδημοίη.
[d] ἰέναι] εἶναι B.Z.
[e] γενομένας] γινομένας Z.
[f] ἑαυτῷ] ἑαυτὸν Z.
[g] σαυτῷ] αὐτῷ vel αὐτοῦ A.
[h] Post ἄλλῳ in A. lacuna est trium litterarum.

φισβητεῖν, λέγων ὅτι [i]θεῖος εἴη Ἀστυφίλῳ καὶ [k]ἀποφαίνοι διαθήκας ἐκεῖνον καταλελοιπότα, εἴ τις αὐτῷ κοινώσαιτο· ἐπειδὴ δὲ πρὸς Κλέωνα διωμολογήσατο καὶ τῶν τοῦ ἀδελφοῦ ἐμερίσατο, νυνὶ ὡς ἀληθῆ λέγων ἀξιώσει πιστεύεσθαι, δοκεῖ δέ μοι κἂν ὀμόσαι ἄσμενος, εἴ τις αὐτῷ ὅρκον διδοίη. καὶ ἐμοὶ μὲν συγγενὴς ὢν οὐδὲ τὰ γενόμενα ἐθέλει μαρτυρεῖν· [l]ᾧ δ' οὐδὲν προσήκει, τούτῳ τὰ ψευδῆ συλλαμβάνει καὶ τῶν οὐ πραχθέντων γραμματεῖον ἥκει φέρων· πολὺ γὰρ προὐργιαίτερον ἡγεῖται εἶναι τὸ χρηματίζεσθαι ἢ τὴν ἐμὴν συγγένειαν. ὡς δὲ [m]ἐπηγγέλλετο [n]περιὼν διαθήκας [o]ἀποφαίνειν, εἴ τις αὐτῷ κοινώσαιτο, αὐτοῦ ὑμῖν [p]ᾧ προσῆλθε [q]μαρτυρίαν παρέχομαι.

[r]ΜΑΡΤΥΡΙΑ.

31 Τί οὖν χρὴ ὦ ἄνδρες ὄνομα θέσθαι τούτῳ τῷ ἀνδρί, ὅστις ἐθέλει οὕτω ῥᾳδίως διὰ τὸ ἑαυτοῦ κέρδος τῶν τεθνεώτων τινὸς καταψεύδεσθαι; ὡς δὲ οὐδὲ Κλέωνι προῖκα τὰς διαθήκας ἀποφαίνει, ἀλλὰ μισθὸν εἴληφεν, αὕτη ὑμῖν ἡ μαρτυρία οὐ μικρὸν τεκμήριον ἔσται. τοιαῦτα μέντοι κοινῇ ἐπ' ἐμοὶ τεχνάζουσιν· ἡγεῖται γὰρ αὐτῶν ἑκάτερος εὕρημα ἔχειν ὅ τι ἂν τῶν Ἀστυφίλου λάβῃ.

32 Ὡς [s]μὲν οὖν οὐκ εἰσὶν [t]ἀληθεῖς αἱ διαθῆκαι, ἀλλὰ Κλέων καὶ Ἱεροκλῆς βούλονται ὑμᾶς ἐξαπατῆσαι, καθ' ὅσον ἐδυνάμην ἀπέδειξα· ὡς δ' εἰ καὶ μηδὲν [u]προσήκων ἔτυχον [x]Ἀστυφίλῳ, δικαιότερός εἰμι ἔχειν τὰ ἐκείνου ἢ

[i] θεῖος] φίλος Z.
[k] ἀποφαίνοι] Immo ἀποφανοῖ.
[l] ᾧ] ὡς Z.
[m] ἐπηγγέλλετο] ἐπηγγείλετο Z.
[n] περιὼν A. περιῶν B. vulg. περὶ ὧν.
[o] ἀποφαίνειν A.B. ἀποφαίνει Z. vulg. ἀποφαίνοι.
[p] ᾧ] ὃς A.B.
[q] μαρτυρίαν] μαρτυρίας A.Z.
[r] ΜΑΡΤΥΡΙΑ] μαρτυρίαι A.
[s] μὲν οὖν οὐκ] vulg. μὲν οὐκ.
[t] ἀληθεῖς] ἀληθῶς Z.
[u] προσήκων] προσῆκον A.B.Z.
[x] Ἀστυφίλῳ] ἀντιφίλῳ Z.

33 οὗτοι, διδάξω ὑμᾶς. ὅτε γὰρ ἐλάμβανε Θεόφραστος ὁ ἐμὸς πατὴρ τὴν ἐμὴν μητέρα καὶ Ἀστυφίλου παρὰ Ἱεροκλέους, ἦλθε καὶ αὐτὸν ἐκεῖνον ἔχουσα μικρὸν ὄντα, καὶ διητᾶτο παρ' ἡμῖν τὸν ἅπαντα χρόνον ὁ Ἀστύφιλος, καὶ ἐπαιδεύθη ὑπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ. καὶ ἐπειδὴ ἐγὼ ἐγενόμην καὶ ὥραν εἶχον παιδεύεσθαι, [y] μετ' ἐκείνου συνεπαιδευόμην. Λάβε δέ μοι ταύτην τὴν μαρτυρίαν, [z] εἶτα τὴν τῶν διδασκάλων ὅποι ἐφοιτῶμεν.

[a] ΜΑΡΤΥΡΙΑ.

34 Τὸ τοίνυν χωρίον τὸ ἐκείνου [b] πατρῷον, ὦ ἄνδρες, ὁ πατὴρ ὁ ἐμὸς ἐφύτευε καὶ ἐγεώργει καὶ ἐποίει διπλασίου ἄξιον. Ἀνάβητέ μοι καὶ τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

35 [c] Ἐπεὶ τοίνυν ἐδοκιμάσθη ὁ ἀδελφός, ἀπέλαβε [d] πάντα ὀρθῶς καὶ δικαίως, ὥστε ἐκεῖνον μηδεπώποτε μηδὲν ἐγκαλέσαι τῷ ἐμῷ πατρί. μετὰ δὲ ταῦτα τὴν ἀδελφὴν τὴν ἐκείνου ὁμοπατρίαν [e] ἐνεγύησεν ὁ ἐμὸς πατὴρ ὅτῳ ἐδόκει αὐτῷ, καὶ τἆλλα διῴκει, καὶ ταῦτα τῷ Ἀστυφίλῳ ἐξήρκει· ἱκανὴν γὰρ ἡγήσατο βάσανον εἰληφέναι ἀπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ τῆς εἰς αὐτὸν εὐνοίας, ἐκ μικροῦ παιδίου τεθραμμένος παρ' αὐτῷ. μαρτυροῦσι δὲ ἡμῖν καὶ περὶ τῆς ἐγγύης οἱ εἰδότες.

ΜΑΡΤΥΡΕΣ.

36 Εἰς τοίνυν τὰ ἱερὰ ὁ πατὴρ ὁ ἐμὸς τὸν Ἀστύφιλον παῖδα ἦγε μεθ' ἑαυτοῦ ὥσπερ καὶ ἐμὲ πανταχῆ· καὶ εἰς τοὺς θιάσους [f] τοὺς Ἡρακλέους [g] ἐκεῖνον αὐτὸν εἰσήγα-

[y] μετ' ἐκείνου συνεπαιδευόμην] συνεπαιδευόμην μετ' ἐκείνου Z.

[z] εἶτα τῶν] εἶτα τὴν τῶν Reiskius.

[a] ΜΑΡΤΥΡΙΑ] Titulum sumpsi ab A.

[b] πατρῷον] πάτριον Z.

[c] Ἐπεὶ] Ἐπειδὴ Z.

[d] πάντα] ταῦτα Z.

[e] ἐνεγύησεν B. et correctus A.

[f] τοὺς Ἡρακλέους A. vulg. τοῦ Ἡρακλέους.

[g] ἐκεῖνον] ἐκεῖνον αὐτὸν A.B.Z.

γεν, ἵνα μετέχοι τῆς κοινωνίας. [h] αὐτοὶ δ' ὑμῖν οἱ θιασῶται μαρτυρήσουσιν.

[i] ΜΑΡΤΥΡΕΣ.

37 Ἐγὼ δὲ ὦ ἄνδρες ὡς διεκείμην προς τὸν ἀδελφόν, 78 σκέψασθε. πρῶτον μὲν γὰρ συνετράφην ἐκείνῳ ἐκ παιδίου, ἔπειτα οὐδέποτε διάφορος ἐγενόμην, ἀλλ' ἠσπάζετό με, ὡς ἴσασιν οἱ οἰκεῖοι πάντες οἱ ἡμέτεροι καὶ οἱ φίλοι· οὓς βούλομαι ὑμῖν μάρτυρας ἀναβιβάσαι.

[k] ΜΑΡΤΥΡΕΣ.

38 [l] Δοκεῖ ἂν οὖν ὑμῖν Ἀστύφιλος, ὦ ἄνδρες, οὕτω μεν μισῶν Κλέωνα, τοσαῦτα δ' ἀγαθὰ ὑπὸ τοῦ πατρος τοῦ ἐμοῦ πεπονθώς, αὐτὸς τῶν ἐχθρῶν ἄν τινος υἱὸν ποιήσασθαι ἢ τὰ ἑαυτοῦ δοῦναι, τοὺς εὐεργέτας καὶ τοὺς συγ-
39 γενεῖς ἀποστερήσας; ἐγὼ μεν οὐκ ἂν οἶομαι, εἰ καὶ δεκάκις ὁ Ἱεροκλῆς διαθήκας ψευδεῖς [m] ἀποδεικνύει, ἀλλὰ καὶ διὰ τὸ ἀδελφὸν εἶναι καὶ διὰ τὴν ἄλλην οἰκειότητα
40 πολὺ μᾶλλον προσήκειν ἐμοὶ ἢ τῷ Κλέωνος υἱεῖ, [n] ἐπεὶ τούτοις γε οὐδὲ προσποιήσασθαι καλὸν ἦν [o] τῷ Ἀστυφίλῳ, οἵτινες οὕτω διέκειντο πρὸς αὐτόν, τὰ [p] δὲ ὄντα οὐκ ἔθαψαν, ἀλλὰ πρότερον ἐπὶ τὴν οὐσίαν ἦλθον, πρὶν ἐκείνῳ τὰ νομιζόμενα ποιῆσαι. ἔπειτα νῦν ἀξιώσουσι κληρονομεῖν τῶν Ἀστυφίλου, οὐ μόνον τὰς διαθήκας λέγοντες, ἀλλὰ καὶ τὸ γένος παρατιθέντες, ὅτι ἀνεψιὸς ἦν
41 Κλέων [q] πρὸς πατρός. ὑμᾶς δέ, ὦ ἄνδρες, οὐκ εἰκός ἐστι τῷ τούτου γένει προσέχειν τὸν νοῦν· οὐδεὶς γὰρ πώποτε ἐκποίητος γενόμενος ἐκληρονόμησε τοῦ οἴκου ὅθεν ἐξεποι-

[h] αὐτοὶ δ' ὑμῖν] vulg. αὐτοὶ ὑμῶν.
[i] ΜΑΡΤΥΡΕΣ] μαρτυρία A.
[k] ΜΑΡΤΥΡΕΣ] Titulum dedit A.
[l] δοκεῖ] δοκῆ A.
[m] ἀποδεικνύει] vulg. ἀποδεικνύῃ.
[n] ἐπεὶ Reiskius: libri ἐπί.
[o] τῷ Ἀστυφίλῳ] Malim τῶν Ἀστυφίλου.
[p] δὲ] μὲν Z.
[q] πρὸς πατρὸς A. vulg. πρὸς τοῦ πατρός.

ήθη, ἐὰν μὴ ἐπανέλθῃ [r] κατὰ τὸν νόμον. οὗτοι μέντοι ἀκριβῶς εἰδότες ὅτι οὐκ ἐποιήσατο Ἀστύφιλος τὸν Κλέωνος υἱόν, πολλάκις ἐληλυθότι αὐτῷ οὐδεπώποτε [s] κεχρεανομήκασι. Λάβε [t] μοι καὶ ταύτην τὴν μαρτυριαν.

ΜΑΡΤΥΡΙΑ.

42 Ἑκατέρῳ οὖν ἡμῶν, ἐξ ὧν ἀντωμόσαμεν σκεψάμενοι, ψηφίσασθε. [u] Κλέων μὲν γάρ φησι τὸν υἱὸν τὸν ἑαυτοῦ Ἀστυφίλῳ εἰσποιηθῆναι, καὶ ταῦτ' ἐκεῖνον διαθέσθαι· ἐγὼ δ' οὔ φημι, ἀλλ' ἐμὰ εἶναι πάντα τὰ Ἀστυφίλου, 43 ἀδελφὸς ὢν ἐκείνου, ὡς καὶ αὐτοὶ τοῦτο ἴσασι. μὴ τοίνυν, ὦ ἄνδρες, εἰσποιήσησθε υἱὸν Ἀστυφίλῳ, ὃν οὐδ' αὐτὸς ζῶν ἐκεῖνος ἐποιήσατο, ἀλλὰ τοὺς νόμους οὓς ὑμεῖς ἔθεσθε βεβαιώσατέ μοι· [x] κατὰ τούτους γὰρ ἀμφισβητῶ, ὁσιωτάτην δεήσιν δεόμενος, ὦ ἄνδρες, τῆς τοῦ ἀδελφοῦ οὐ- 44 σίας [y] κληρονόμον με καταστῆσαι. [z] ἀπέδειξα ὑμῖν ὡς οὐδενὶ ἐκεῖνος δεδωκε τὰ ἑαυτοῦ, καὶ μάρτυρας ἀπάντων ὧν εἶπον παρεσχόμην. βοηθήσατε οὖν μοι· καὶ εἰ λέγειν ἐμοῦ δύναται Κλέων μᾶλλον, τοῦτο αὐτῷ ἄνευ τοῦ νόμου καὶ τοῦ δικαίου μηδὲν ἰσχυσάτω, ἀλλ' ὑμᾶς αὐτοὺς βρα- 45 βευτὰς ἁπάντων καταστήσατε. διὰ τοῦτο γὰρ συλλέγεσθε, ἵνα τοῖς μὲν ἀναισχυντοῦσι μηδὲν πλέον ᾖ, οἱ δὲ ἀδυνατώτεροι τολμῶσι περὶ τῶν δικαιων ἀμφισβητεῖν, εὖ εἰδότες ὅτι [a] ὑμεῖς οὐδενὶ ἄλλῳ τὸν νοῦν προσέχετε. ἅπαντες οὖν, ὦ ἄνδρες, μετ' ἐμοῦ γένεσθε. ὡς [b] ἐάν τι ἄλλο ψηφίσησθε Κλέωνι πειθόμενοι, σκέψασθε ὁπόσων αἴτιοι 46 γενήσεσθε. πρῶτον μὲν τοὺς ἐχθιστους Ἀστυφίλου ἐπί

[r] κατὰ τὸν νόμον] κατὰ νόμον Z.
[s] κεκρεανομήκασι] κεκληρονομήκασι Z.
[t] μοι] δέ μοι Z. om. A.
[u] Κλέων] μέλλων Z.
[x] κατὰ τούτους A. κατὰ τοὺς B. vulg. κατ' αὐτούς.
[y] κληρονόμον με καταστῆσαι A.B. vulg. om. pronomen.
[z] ἀπέδειξα] ἐπέδειξα Z.
[a] ὑμεῖς] om. Z. cum vulg.
[b] ἐάν] vulg. ἄν.

[c] τε τὰ μνήματα ἰέναι καὶ ἐπὶ τὰ ἱερὰ ἐκείνου ποιήσετε· ἔπειτα τὰς [d] Εὐθυκράτους ἐπισκήψεις, τοῦ πατρὸς τοῦ Ἀστυφίλου, ἀκύρους ποιήσετε, ἃς αὐτὸς πρότερον [e] ἀπέθανεν ἢ παραβῆναι· ἔπειτα τετελευτηκότα Ἀστύφιλον παρανοίας αἱρήσετε. εἰ γὰρ τούτου ἐποιήσατο υἱὸν ὃς τῷ πατρὶ πολεμιώτατος ἦν, πῶς οὐ δόξει τοῖς ἀκούσασι παρανοεῖν ἢ ὑπὸ φαρμάκων διεφθάρθαι; ἔτι δ' ἐμέ, ὦ ἄνδρες δικασταί, ἐκτραφέντα ἐν τῷ αὐτῷ καὶ συμπαιδευθέντα Ἀστυφίλῳ καὶ ἀδελφὸν ὄντα, περιόψεσθε ὑπὸ Κλέωνος ἀποστερηθέντα τῶν ἐκείνου. ἀντιβολῶ ὑμᾶς καὶ ἱκετεύω ἐκ παντὸς τρόπου ψηφίσασθαί μοι· οὕτω γὰρ ἂν μάλιστα Ἀστυφίλῳ τε [f] χαρίσαισθε κἀμὲ οὐκ ἂν [g] ἀδικήσαιτε.

ΠΡΟΣ ΞΕΝΑΙΝΕΤΟΝ 79

ΠΕΡΙ [a] ΤΟΥ ΑΡΙΣΤΑΡΧΟΥ ΚΛΗΡΟΥ.

I.

ΥΠΟΘΕΣΙΣ.

Ἀρίσταρχός τις τεσσάρων πατὴρ γενόμενος παίδων, Κυρωνίδου καὶ Δημοχάρους καὶ τῆς μητρὸς τοῦ λέγοντος τὸν λόγον καὶ ἄλλης κόρης, τοῦτον [b] μὲν τὸν Κυρωνίδην ἔτι περιὼν εἰσεποίησεν εἰς τὸν Ξεναινέτου τοῦ κατὰ μητέρα πάππου κλῆρον, αὐτὸς δὲ κληρονόμους τοὺς λοιποὺς ἑαυτῷ κατέλειψε παῖδας. μετὰ ταῦτα τελευτᾷ μὲν Δημοχάρης ἅπαις, καὶ ἡ μία θυγάτηρ αὐτοῦ καὶ

[c] τε] γε Z.
[d] Εὐθυκράτους] Ἐπικράτους Z.
[e] ἀπέθανεν ἢ] Libri ἢ ἀπέθανε.
[f] χαρίσαισθε B.Z. et correctus A. vulg. χαρίσεσθε.
[g] ἀδικήσαιτε] ἀδικήσητε A. ἀδικήσεται B. vulg. ἀδικήσετε.
[a] ΤΟΥ ΑΡΙΣΤΑΡΧΟΥ ΚΛΗΡΟΥ A.B. vulg. τοῦ κλήρου τοῦ Ἀριστάρχου.
[b] μὲν] μὴν pr. A.

αὐτὴ ἅπαις· ὁ δὲ κλῆρος ὅλος ἔρχεται δικαίως εἰς τὴν μητέρα τοῦ λέγοντος τὸν λόγον. καὶ ταῦτα μὲν οὕτω· μετὰ δὲ τὴν τελευτὴν Ἀριστάρχου Ἀριστομένης ἀδελφὸς ὢν αὐτοῦ καὶ κατὰ νόμον ἐπίτροπος τῶν τοῦ ἀδελφοῦ γινόμενος παίδων, ἐκδέδωκε Κυρωνίδῃ τῷ ἐκποιήτῳ υἱῷ Ἀριστάρχου τὴν θυγατέρα ἑαυτοῦ, ἐπαγγειλάμενος περιποιῆσαι αὐτῷ τὸν Ἀριστάρχου κλῆρον. ὃ δὴ καὶ πεποίηκε· γενομένου γὰρ υἱοῦ τῷ Κυρωνίδῃ πρῶτον μὲν ὄνομα τῷ παιδὶ τὸ τοῦ πάππου δεδώκασιν, Ἀρίσταρχον ὀνομάσαντες, [c] εἶτα εἰσεποίησαν αὐτὸν εἰς τὸν τοῦ πάππου οἶκον ὡς δὴ τοῦτο ἐκείνου [d] προστάξαντος, καὶ παραδέδωκεν Ἀριστομένης αὐτῷ [e] τὸν ὅλον τοῦ πάππου κλῆρον. ἔτι δὲ παῖς ὢν ἐκεῖνος [f] τελευτῶν κληρονόμον κατὰ διαθήκας ἐνεστήσατο τὸν ἴδιον ἀδελφὸν Ξεναίνετον. τούτων [g] οὕτω γενομένων, καὶ κρατοῦντος Ξεναινέτου τὴν [h] Ἀριστάρχου τοῦ παλαιοῦ οὐσίαν, ἀμφισβητεῖ πρὸς αὐτὸν ὁ υἱὸς τῆς θυγατρὸς Ἀριστάρχου τοῦ παλαιοῦ, λέγων ἑαυτὸν μόνον εἶναι κληρονόμον δικαίως τῶν Ἀριστάρχου τοῦ παλαιοῦ χρημάτων. ὁ μὲν γὰρ Κυρωνίδης (φησίν) ἐκποίητος ἐγένετο· ὁ δὲ πατὴρ υἱὸν ἔχων γνήσιον τὸν Δημοχάρην, οὐκ ἐδύνατο θετὸν ἑαυτῷ ποιῆσαι παῖδα· ὁ δὲ Δημοχάρης ἀτελὴς ὢν οὐδὲ αὐτὸς ἐδύνατο [i] εἰσποιῆσαι τῷ πατρὶ θετὸν υἱόν· ἀλλ' οὐδ' ἡ ἄλλη θυγάτηρ αὐτοῦ ἡ προτελευτήσασα. ὥστε οὐ κατὰ τὸν νόμον (φησί) τῆς εἰσποιήσεως γενομένης τοῦ [k] μικροῦ Ἀριστάρχου, οὐκέτι συνίστατο ἡ διαθήκη αὐτοῦ, τοῦ νέου Ἀριστάρχου· ἃ γὰρ μὴ δικαίως ἐκτήσατο, πῶς ἄλλῳ παραπέμπειν ἐδύνατο; ἀναιρουμένης δὲ τῆς διαθήκης εἰκότως ὁ κλῆρος εἰς τὸν λέγοντα τὸν λόγον ἐφέρετο, υἱὸν ὄντα τῆς γνησίας θυγατρὸς Ἀριστάρχου τοῦ παλαιοῦ. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ πραγματικὴ ἔγγραφος· ζητεῖ γὰρ εἰ δεῖ τὰς τοιαύτας συνεστάναι διαθήκας, καὶ [l] τίς [m] δικαιότερα λέγει.

[n] ΕΒΟΥΛΟΜΗΝ [μέν,] ὦ ἄνδρες, ὥσπερ [o] Ξεναίνετος οὑτοσὶ δύναται ψευδῆ λέγειν θαῤῥαλέως, οὕτω κἀγὼ τἀληθῆ πρὸς ὑμᾶς περὶ ὧν ἀμφισβητοῦμεν εἰπεῖν δυνηθῆναι· οἶμαι γὰρ ἂν ὑμῖν εὐθέως δῆλον γενέσθαι εἴθ' ἡμεῖς ἀδίκως ἐπὶ τὸν κλῆρον ἥκομεν, εἴθ' οὗτοι μὴ προσηκόντως 5
2 πάλαι τὰ χρήματα ταῦτα εἰλήφασι. νῦν δὲ οὐκ ἐξ ἴσου

[c] εἶτα A. om. B.Z. vulg. καί.
[d] προστάξαντος A. vulg. πράξαντος.
[e] τὸν ὅλον] vulg. om.
[f] τελευτῶν] καὶ τελευτῶν A.B.Z.
[g] οὕτω] om. Z. cum vulg.
[h] Ἀριστάρχου] ἀρίστου Z.
[i] εἰσποιῆσαι] ποιῆσαι Z. cum vulg.
[k] παλαιοῦ] μικροῦ A.B.Z.
[l] τίς] τί pr. A.
[m] δικαιότερα] vulg. δικαιότερος.
[n] ΕΒΟΥΛΟΜΗΝ] Malim ἐβουλόμην μὲν ἄν.
[o] Ξεναίνετος] Ξεναίρετος Z.

διακείμεθα, ὦ ἄνδρες. οἱ μὲν γὰρ καὶ λέγειν δεινοὶ καὶ παρασκευάσασθαι ἱκανοί, ὥστε καὶ ὑπὲρ ἑτέρων πολλάκις ἐν ὑμῖν ἠγωνίσθαι· ἐγὼ δὲ μὴ ὅτι ὑπὲρ ἄλλου, ἀλλ' οὐδὲ ὑπὲρ ἐμαυτοῦ πώποτε δίκην ἰδίαν εἴρηκα, ὥστε πολλῆς δεῖ με συγγνώμης τυχεῖν παρ' ὑμῶν.

3 Ἠνάγκασμαι [p] μὲν οὖν, ὦ ἄνδρες, διὰ τὸ μὴ δύνασθαι δίκην παρ' αὐτῶν λαβεῖν, τὴν μητέρα τὴν ἐμὴν πρὸς τῇ ἀνακρίσει Ἀριστάρχου εἶναι ἀδελφὴν προσγράψασθαι· οὐ μὴν διὰ τοῦτο ὑμῖν ἥδε ἡ γνῶσις ἧττον περὶ αὐτῶν εὐκρινὴς [q] γενήσεται, ἀλλ' ἐκ τῶν νόμων [r] σκοποῦσιν εἰ τὰ ἑαυτοῦ δέδωκε τούτῳ Ἀρίσταρχος ἢ τὰ μηδὲν προσήκοντα.

4 ἔστι δὲ δίκαιον τοῦτο, ὦ ἄνδρες· ὁ γὰρ νόμος κελεύει τὰ μὲν ἑαυτοῦ διαθέσθαι ὅτῳ ἂν ἐθέλῃ, τῶν δὲ ἀλλοτρίων οὐδένα κύριον πεποίηκε. τοῦτο οὖν ὑμᾶς πειράσομαι πρῶτον

5 διδάσκειν, ἐάν μου μετ' εὐνοίας ἀκοῦσαι ἐθέλητε. εἴσεσθε γὰρ ὡς ὁ κλῆρος οὗτος οὐ τούτων ἦν ἐξ ἀρχῆς, ἀλλὰ τῆς ἐμῆς μητρὸς πατρῷος· ἔπειτα καὶ ὡς Ἀρίσταρχος οὐδὲ καθ' ἕνα νόμον αὐτὸν εἴληφεν, ἀλλὰ παρὰ πάντας τοὺς νόμους ἀδικεῖ μετὰ τῶν οἰκείων τὴν ἐμὴν μητέρα. ὅθεν οὖν σαφέστατα μαθήσεσθε ὡς ἔχει ταῦτα, ἐντεῦθεν ὑμᾶς πρῶτον πειράσομαι διδάσκειν.

6 Ἀρίσταρχος γὰρ ἦν, ὦ ἄνδρες, Συπαλλήττιος. οὗτος ἔλαβε Ξεναινέτου Ἀχαρνέως θυγατέρα, ἐξ ἧς γίνεται Κυρωνίδης καὶ [s] Δημοχάρης καὶ ἡ μήτηρ ἡ ἐμὴ καὶ ἄλλη τούτων ἀδελφή. Κυρωνίδης μὲν οὖν ὁ τοῦδε πατὴρ καὶ θατέρου τοῦ τόνδε τὸν κλῆρον ἀδίκως ἔχοντος ἐξεποιήθη εἰς ἕτερον οἶκον, ὥστε αὐτῷ τῶν χρημάτων οὐδὲν ἔτι προσῆκεν·

[p] μὲν] om. Z. cum vulg.
[q] γενήσεται] φανήσεται Z. cum vulg.
[r] σκοποῦσιν A.B. σκοπῶμεν Z. vulg. σκοποῦμεν.
[s] Δημοχάρης] Δημόχαρις A. qui sic et infra.

Ἀριστάρχου δὲ τοῦ πατρὸς τούτων τελευτήσαντος Δημο- 80
7 χάρης υἱὸς κληρονόμος τῶν [t]ἐκείνου κατέστη. τούτου δὲ παιδὸς ἀποθανόντος καὶ τῆς ἑτέρας ἀδελφῆς, ἡ μήτηρ ἡ ἐμὴ [u]ἐν παντὶ τῷ οἴκῳ ἐπίκληρος ἐγένετο. καὶ οὕτω μὲν ἐξ ἀρχῆς ἅπαντα [x]ταυτὶ τῆς ἐμῆς μητρὸς ἐγένετο· προσῆκον δ' αὐτῇ μετὰ τῶν χρημάτων τῷ ἐγγύτατα γένους
8 συνοικεῖν, πάσχει δεινότατα, ὦ ἄνδρες. Ἀριστομένης γὰρ 5 ἀδελφὸς ὢν ἐκείνου τοῦ Ἀριστάρχου, ὄντος αὐτῷ υἱέος καὶ θυγατρός, [y]ἀμελήσας ἢ αὐτὸς αὐτὴν ἔχειν ἢ τῷ υἱεῖ μετὰ τοῦ κλήρου ἐπιδικάσασθαι, τούτων μὲν οὐδὲν ἐποίησε, τὴν δὲ ἑαυτοῦ θυγατέρα ἐπὶ τοῖς [z]τῆς ἐμῆς μητρὸς χρήμασι Κυρωνίδῃ ἐξέδωκεν, ἐξ ἧς ὁ Ξεναινέτου οὗτος καὶ Ἀρί-
9 σταρχος ὁ τελευτήσας ἐγένετο. τὸ μὲν οὖν ἀδίκημα, καὶ ὃν τρόπον τῶν χρημάτων ἀπεστερήθην, τοῦτ' ἐστιν, ὦ ἄνδρες. μετὰ δὲ ταῦτα τὴν ἐμὴν μητέρα ἐκδίδωσι τῷ ἐμῷ 10 πατρί. Κυρωνίδου δὲ τελευτήσαντος τὸν τοῦ Ξεναινέτου ἀδελφὸν εἰσάγουσιν Ἀριστάρχῳ υἱόν, οὐδὲ καθ' ἕνα νόμον, ὦ ἄνδρες, ὡς ἐγὼ ἐκ πολλῶν τεκμηρίων ὑμῖν ἐπιδείξω.
10 Πρῶτον μὲν οὖν μάρτυρας ὑμῖν [a]παρέξομαι ὡς Κυρωνίδης ἐκποίητος εἰς τὸν Ξεναινέτου οἶκον ἐγένετο καὶ ἐν ἐκείνῳ ἐτελεύτησεν, ἔπειθ' ὡς Ἀρίσταρχος, οὗ ἦν οὗτος ὁ κλῆρος, πρότερος τοῦ υἱέος Δημοχάρους ἐτελεύτησε, Δημοχάρης 15 δὲ παῖς ὢν ἀπέθανε καὶ ἡ ἑτέρα ἀδελφή, ὥστε τὸν κλῆρον ἐπὶ τῇ ἐμῇ μητρὶ γενέσθαι. Καί μοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

11 Οὕτω μὲν ἐξ ἀρχῆς ἦν, ὦ ἄνδρες, ὁ κλῆρος, περὶ οὗ

[t] ἐκείνου] κείνου A.
[u] ἐπὶ] Libri ἐν.
[x] ταυτὶ A. ταυτῇ vel ταυτοῦ B. vulg. om.
[y] ἀμελήσας A.B.Z. vulg. ἐμέλησας, unde ἐθελήσας faciebat Stephanus, μελλήσας Reiskius.
[z] τῆς ἐμῆς] ἐμῆς Z. cum vulg.
[a] παρέξομαι] ἐπορέξομαι B.

νῦν ὁ λόγος ἐστί, Κυρωνίδου μὲν ἐκποιήτου γενομένου εἰς
τὸν Ξεναινέτου οἶκον, τοῦ δὲ πατρὸς Ἀριστάρχου τῷ υἱεῖ
Δημοχάρει καταλιπόντος, ἐκείνου δὲ τῇ ἀδελφῇ τῇ ἑαυτοῦ
12 ταύτῃ, [b] μητρὶ δὲ ἐμῇ. δεῖ δέ, ἐπειδὴ λίαν ἀναισχυντοῦσιν
ὦ ἄνδρες καὶ τὰ χρήματα παρὰ τὸ δίκαιον ἔχειν ἀξιοῦσι,
μαθεῖν ὑμᾶς ὡς οὐδὲ καθ' ἕνα νόμον Ἀρίσταρχος εἰς τοὺς
φράτορας τοὺς ἐκείνου εἰσῆκται· ἐὰν γὰρ τοῦτο μάθητε,
σαφῶς εἴσεσθε ὅτι τῷ μὴ δικαίως ἔχοντι οὐδὲ διατίθεσθαι
13 περὶ αὐτῶν προσῆκεν. Οἶμαι τοίνυν πάντας ὑμᾶς εἰδέ-
ναι, ὦ ἄνδρες, ὅτι κατὰ διαθήκας αἱ εἰσαγωγαὶ τῶν εἰσ-
ποιήτων γίνονται, διδόντων τε αὐτῶν καὶ υἱεῖς [c] ποιουμένων,
ἄλλως δὲ οὐκ ἔξεστιν. εἴτε οὖν Ἀρίσταρχον φήσει τις
[d] αὐτὸν διαθέσθαι, οὐκ ἀληθῆ λέξει· γνησίου γὰρ ὄντος
αὐτῷ Δημοχάρους υἱέος οὔτ' ἂν ἐβούλετο ταῦτα [e] δια-
14 πρᾶξαι, οὔτε ἐξῆν δοῦναι τὰ ἑαυτοῦ ἑτέρῳ· εἴτε Ἀριστάρ-
χου τελευτήσαντος Δημοχάρην αὐτὸν ποιήσασθαι, καὶ
ταῦτα ψεύσονται. παιδὸς γὰρ οὐκ ἔξεστι διαθήκην γε-
νέσθαι· ὁ γὰρ νόμος διαῤῥήδην κωλύει παιδὶ μὴ ἐξεῖναι
15 συμβάλλειν μηδὲ γυναικὶ πέρα [f] μεδίμνου κριθῶν. με-
μαρτύρηται δὲ Ἀρίσταρχον μὲν πρότερον Δημοχάρους τοῦ
υἱέος τελευτῆσαι, ἐκεῖνον δὲ ὕστερον τοῦ πατρός· ὥστε
κατά γε διαθήκην ἐκείνων, [g] οὐδ' εἰ διέθεντο [h] προσῆκεν
[i] αὐτῷ τούτων τῶν χρημάτων κληρονομῆσαι. Ἀνάγνωθι
[k] δὴ καὶ τοὺς νόμους, καθ' οὓς οὐδετέρῳ αὐτῶν ἐξῆν δια-
θήκας ποιήσασθαι.

[b] ἐμῇ] ἐμοὶ A.B.
[c] ποιουμένων A.B. vulg. ποιούντων.
[d] αὐτὸν A. αὐτῶν B. vulg. om.
[e] διαπρᾶξαι] Immo πρᾶξαι.
[f] μεδίμνου] vulg. μεδίμνων.
[g] οὐδ' εἰ] vulg. ἢν οὐ.
[h] προσῆκεν A.B. προσήκειν Z. vulg. οὐ προσῆκεν.
[i] αὐτῷ] αὐτὸν Z.
[k] δὴ A. vulg. δὲ.

NOMOI.

16 Οὐ τοίνυν, ὦ ἄνδρες, οὐδὲ Κυρωνίδην οἷόν τε ἦν υἱὸν Ἀρι- 35
στάρχῳ εἰσποιῆσαι, ἀλλ' αὐτῷ μὲν ἐπανελθεῖν εἰς τὸν
πατρῷον οἶκον [l]ἐξῆν, υἱὸν ἐγκαταλιπόντα ἐν τῷ Ξεναινέτου
οἴκῳ, [m]ἐξ αὐτοῦ δέ τινα ἀγαγεῖν οὐκ ἔστι νόμος· ἢ ἐὰν
17 φῶσι, [n]ψεύσονται. ὥστε οὐδ' ἂν φάσκωσιν ὑπ' ἐκείνου
ποιηθῆναι, νόμον ἔχουσι δεῖξαι, καθ' ὃν ἐξῆν αὐτῷ ταῦτα
πρᾶξαι· ἀλλ' ἐξ ὧν αὐτοὶ λέγουσιν, ἔτι φανερώτερον ὑμῖν
γενήσεται τοῦτο, ὅτι παρανόμως καὶ ἀσελγῶς ἔχουσι τὰ 40
18 τῆς μητρὸς χρήματα. Καὶ μὲν δή, ὦ ἄνδρες, οὐδὲ Ἀρι-
στομένει γε οὐδὲ Ἀπολλοδώρῳ, οἷς προσῆκε τῆς ἐμῆς
μητρὸς ἐπιδικάσασθαι, οὐδὲ τούτοις ἐξῆν. θαυμαστὸν γὰρ
[o]ἂν ἦν, εἰ τὴν ἐμὴν μητέρα ἔχοντι Ἀπολλοδώρῳ ἢ Ἀριστο-
μένει οὐκ ἂν οἷόν τε ἦν τῶν ἐκείνης [p]κυρίῳ γενέσθαι, κατὰ
τὸν νόμον ὃς οὐκ ἐᾷ τῶν τῆς ἐπικλήρου κύριον εἶναι, ἀλλ' 81
19 ἢ τοὺς παῖδας ἐπὶ δίετες ἠβήσαντας κρατεῖν τῶν χρημά-
των· ἀλλ' ἑτέρῳ αὐτὴν ἐκδόντι ἐξέσται εἰς τὰ ταύτης χρή-
ματα υἱὸν εἰσποιῆσαι. δεινὰ μέντ' ἂν [q]γίνοιτο. καὶ τῷ
μὲν πατρὶ αὐτῆς, εἰ παῖδες ἄρρενες μὴ ἐγένοντο, οὐκ ἂν
ἐξῆν ἄνευ ταύτης διαθέσθαι· κελεύει γὰρ ὁ νόμος σὺν ταύ-
ταις κύριον εἶναι δοῦναι, ἐάν τῳ βούλοιτο, τὰ ἑαυτοῦ· τῷ
δὲ μήτε λαβεῖν αὐτὴν ἀξιώσαντι μήτε πατρὶ ὄντι, ἀλλ' 5
ἀνεψιῷ, παρὰ πάντας τοὺς νόμους εἰσαγαγόντι ἔσται κυ-
ρίως ταῦτα πεπραγμένα; καὶ τίς ὑμῶν ταῦτα πεισθήσε-
20 ται; ἐγὼ μέν, ὦ ἄνδρες, σαφῶς ἐπίσταμαι ὅτι οὔτε Ξε-
ναίνετος οὔτε ἄλλος οὐδεὶς ἀνθρώπων ἔξει ἀποδεῖξαι ὡς
οὐ τῆς ἐμῆς μητρὸς [r]οὗτος κλῆρός ἐστι, τοῦ ἀδελφοῦ αὐτῆ

[l] ἐξῆν υἱὸν] Hæc vulg. ponunt post οἴκῳ.

[m] ἐξ αὐτοῦ] vulg. om. præpositionem.

[n] ψεύσονται — φάσκωσι] Hæc cum vulg. post. ἂν ponerent, ego cum A.B.Z. post φῶσι posui.

[o] ἂν] om. Z.

[p] κυρίῳ] κυρίων Z.

[q] γίνοιτο] γένοιτο Z.

[r] ὁ κλῆρος] οὗτος κλῆρος A.B. κλῆρος Z.

τοῦ Δημοχάρους καταλιπόντος· ἐὰν δ' ἄρα τολμῶσι περὶ αὐτῶν λέγειν, νόμον κελεύετε δεῖξαι καθ' ὃν γεγένηται ἡ εἰσποίησις Ἀριστάρχῳ, καὶ τίς ὁ εἰσποιήσας. τοῦτο γὰρ δίκαιόν ἐστιν. ἀλλ' οἶδ' ὅτι οὐχ' ἕξουσιν ἐπιδεῖξαι.

21 Περὶ μὲν οὖν τοῦ τὸν κλῆρον εἶναι τῆς μητρὸς ἐξ ἀρχῆς καὶ ἀδίκως αὐτὴν ὑπὸ τούτων [s]ἀπεστερῆσθαι, ἔκ τε τῶν εἰρημένων καὶ μεμαρτυρημένων καὶ ἐξ αὐτῶν τῶν νόμων
22 ἱκανῶς ἡγοῦμαι ἀποδεδεῖχθαι. οὕτω δὲ καὶ τούτοις φανερόν ἐστιν ὅτι οὐ προσηκόντως ἔχουσι ταῦτα τὰ χρήματα, ὥστε οὐκ ἐπὶ τῷ δικαίως Ἀρίσταρχον εἰσαχθῆναι εἰς τοὺς φράτορας τὸν λόγον ποιοῦνται μόνον, ἀλλὰ καὶ δίκην φασὶν ὑπὲρ τούτων τῶν χρημάτων τὸν πατέρα τὸν [t]ἑαυτῶν ἐκτετικέναι, ἵνα, ἂν μὴ κατ' [u]ἐκεῖνο δικαίως δοκῶσιν ἔχειν, κατά γε ταῦτα εἰκότως προσήκων αὐτοῖς φαίνηται.
23 ἐγὼ δ', ὦ ἄνδρες, ὅτι οὐκ ἀληθῆ λέγουσι, μεγάλοις ὑμᾶς τεκμηρίοις διδάξω. εἰ γὰρ ἦν (ὡς οὗτοι λέγουσιν) ὑπόχρεως οὗτος ὁ κλῆρος, οὔτ' ἂν χρήματα οὗτοι ὑπὲρ αὐτῶν ἐξέτινον (οὐ γὰρ προσῆκον αὐτοῖς, ἀλλ' οἷς ἐγένετο ἡ ἐμὴ μήτηρ ἐπίδικος, τούτοις ἀναγκαῖον ἦν ὑπὲρ αὐτῶν βουλεύσασθαι,) οὔτε ἂν [x]εἰσεποίουν εἰς τοῦτον τὸν κλῆρον υἱὸν Ἀριστάρχῳ, μέλλοντες ὠφεληθήσεσθαι μὲν μηδέν, ζημιω-
24 θήσεσθαι δὲ μεγάλα. ἢ ἕτεροι [y]μέν, ὅταν περὶ χρημάτων δυστυχῶσι, τοὺς σφετέρους αὐτῶν παῖδας εἰς ἑτέρους οἴκους εἰσποιοῦσιν, ἵνα μὴ μετάσχωσι τῆς τοῦ πατρὸς ἀτιμίας· οὗτοι δὲ ἄρα εἰς ὑπόχρεων οὐσίαν καὶ οἰκόθεν εἰσεποίουν σφᾶς αὐτούς, ἵνα καὶ τὰ ὑπάρχοντα προσα-
25 πολέσειαν; οὐκ ἔστι ταῦτα, ἀλλ' ὁ μὲν κλῆρος ἐλεύθερος ἦν καὶ τῆς ἐμῆς μητρὸς ἐγένετο, οὗτοι δὲ φιλοχρηματοῦν-

[s] ἀπεστερῆσθαι A.B. vulg. ἀποστερεῖσθαι.
[t] ἑαυτῶν] ἑαυτοῦ Z.
[u] ἐκεῖνον] ἐκεῖνο Reiskius.
[x] εἰσεποίουν] εἰσποιεῖν A.B.Z.
[y] μὲν ὅταν] A. vulg. ὅταν μέν.

τες καὶ ἐκείνην ἀποστεροῦντες ταῦτα πάντα ἐμηχανήσαντο.

26 Ἴσως οὖν τις, ὦ ἄνδρες, τὸν χρόνον ὑμῶν θαυμάσειε, πῶς ποτὲ πολὺν οὕτως εἰάσαμεν καὶ ἀποστερούμενοι οὐκ ἤμεν ἐπ' αὐτά, ἀλλὰ νυνὶ περὶ αὐτῶν τοὺς λόγους ποιούμεθα. ἐγὼ δὲ οἶμαι μὲν οὐ δίκαιον εἶναι διὰ τοῦτο ἔλαττον ἔχειν, εἴ τις μὴ ἐδυνήθη ἢ κατημέλησεν (οὐ γὰρ τοῦτό ἐστι σκεπτέον, ἀλλὰ τὸ πρᾶγμα εἰ δίκαιον ἢ μή·) ὅμως 27 μέντοι καὶ περὶ τούτων αἴτιον εἰπεῖν ἔχομεν, ὦ ἄνδρες. ὁ γὰρ πατὴρ οὑμὸς ἐπὶ προικὶ ἐγγυησάμενος τὴν ἐμὴν μητέρα συνῴκει, [z]τὸν δὲ κλῆρον τούτων καρπουμένων οὐκ εἶχεν ὅπως εἰσπράξαιτο· ὅτε γὰρ περὶ αὐτοῦ λόγους ἐποιήσατο τῆς μητρὸς κελευούσης, οὗτοι ταῦτα αὐτῷ ἠπείλησαν, αὐτοὶ ἐπιδικασάμενοι αὐτὴν ἔξειν, εἰ μὴ βούλοιτο 28 αὐτὸς ἐπὶ προικὶ ἔχειν. ὁ δὲ πατήρ, ὥστε τῆς μητρὸς μὴ στερηθῆναι, καὶ δὶς τοσαῦτα χρήματα εἴασεν ἂν αὐτοὺς καρποῦσθαι. καὶ τοῦ μὲν τὸν πατέρα μὴ ἐπεξελθεῖν ὑπὲρ τούτων τοῦτό ἐστι [a]τὸ αἴτιον· μετὰ δὲ ταῦτα ὁ Κορινθιακὸς πόλεμος ἐγένετο, ἐν ᾧ ἐγὼ κἀκεῖνος στρατεύεσθαι ἠναγκαζόμεθα, ὥστε οὐδετέρῳ ἂν ἡμῶν δίκην ἐξεγένετο λαβεῖν. εἰρήνης τ' αὖ γενομένης ἐμοί τι ἀτύχημα πρὸς τὸ δημόσιον συνέβη, ὥστε μὴ ῥᾴδιον εἶναι πρὸς τούτους διαφέρεσθαι. ὥστε οὐ μικρὰς ἔχομεν αἰτίας περὶ τοῦ 29 πράγματος. ἀλλὰ νυνὶ δίκαιον [b]εἰπεῖν ἐστίν, ὦ ἄνδρες, τίνος δόντος [c]ἔχει τὸν κλῆρον, κατὰ ποίους νόμους εἰς τοὺς φράτορας [d]εἰσῆκται, καὶ πῶς οὐκ ἐπίκληρος ἦν ἐπὶ τούτοις τοῖς χρήμασιν ἡ ἐμὴ μήτηρ. ταῦτα γάρ ἐστι περὶ ὧν ὑμᾶς δεῖ τὴν ψῆφον ἐνεγκεῖν, οὐκ εἰ χρόνῳ τι ὕστερον

[z] τὸν δὲ] vulg. τῶν δέ.
[a] τὸ] om. Z.
[b] εἰπεῖν ἐστὶν] ἐστιν εἰπεῖν Z.
[c] ἔχει A.B. ἐστὶ Z. vulg. αὐτῷ.
[d] εἰσῆκται] εἰσῆλθε Z.

ἡμεῖς τῶν ἡμετέρων εἰσπραττόμεθα. μὴ δυνηθέντων δὲ ἐπιδεῖξαι, δικαίως ἂν ἐμὸν αὐτὸν εἶναι [e]ψηφίσαισθε.

30 Τοῦτο [f]μὲν οἶδ' ὅτι ποιεῖν οὐχ οἷοί τ' ἔσονται· χαλεπὸν γὰρ πρὸς νόμους καὶ δίκαιον πρᾶγμα ἀντιλέγειν ἐστί· περὶ δὲ τοῦ τεθνεῶτος λέξουσιν, ἐλεοῦντες ὡς ἀνὴρ 31 [g]ὢν ἀγαθὸς ἐν τῷ πολέμῳ τέθνηκε, καὶ ὅτι οὐ δικαιόν ἐστι τὰς ἐκείνου διαθήκας ἀκύρους καθιστάναι. ἐγὼ δὲ καὶ αὐτός, ὦ ἄνδρες, οἶμαι δεῖν κυρίας εἶναι τὰς διαθήκας, ἃς ἂν ἕκαστος διαθῆται περὶ τῶν ἑαυτοῦ· περὶ μέντοι τῶν ἀλλοτρίων οὐ κυρίας εἶναι τὰς διαθήκας, ὥσπερ [h]ἃς ἕκαστος περὶ τῶν αὐτοῦ διαθῆται. ταῦτα δὲ 32 οὐ τούτων ὄντα, ἀλλ' ἡμέτερα φαίνεται. ὥστε ἂν ἐπὶ τοῦτον τὸν λόγον καταφεύγῃ καὶ μάρτυρας παρέχηται ὡς διέθετο ἐκεῖνος, ἐπιδεικνύναι κελεύετε εἰ δικαίως τὰ ἑαυτοῦ. [i]τοῦτο γὰρ δίκαιόν ἐστι. δεινότατα [k]γὰρ πάντων γένοιτο, εἰ Κυρωνίδης μὲν καὶ οὗτοι, ὄντες ἐξ ἐκείνου, μὴ μόνον τὸν Ξεναινέτου οἶκον πλέον ἢ τεττάρων ταλάντων ἕξουσιν, ἀλλὰ καὶ τόνδε προσλήψονται, ἐγὼ δὲ τῆς μητρὸς οὔσης κυρίας καὶ ἐκ τῶν αὐτῶν Κυρωνίδῃ γεγενημένος, εἰ μηδὲ τὸν τῆς μητρὸς κλῆρον λήψομαι, καὶ ταῦτα μηδὲ 33 ἐχόντων τούτων ἐπενεγκεῖν παρ' ὅτου ποτ' εἰλήφασι. καίτοι δίκαιον, ὦ ἄνδρες, ὥσπερ τῶν [l]ἀμφισβητησίμων χωρίων δεῖ τὸν ἔχοντα ἢ θέτην ἢ [m]πρατῆρα παρέχεσθαι ἢ καταδεδικασμένον φαίνεσθαι, οὕτω καὶ τούτους καθ' ἕν τι τούτων ἀποφήναντας αὐτὸν ἀξιοῦν ἐπιδικάζεσθαι, [n]καὶ

[e] ψηφίσαισθε correctus A. ψηφίσασθε B. vulg. ψηφίσεσθε.
[f] μὲν οἶδ' A.B. vulg. μὲν δ' οἶδ'.
[g] ὢν A.B. vulg. μέν.
[h] ἃς] ἂν Z.
[i] τοῦτο γὰρ A. vulg. τοῦτο καί.
[k] γὰρ πάντων] Malim γὰρ ἂν πάντων.
[l] ἀμφισβητησίμων] ἀμφισβητήσεων A.B.Z.
[m] πρατῆρα Stephanus: libri πρακτῆρα.
[n] καὶ μὴ] μὴ A.B.Z.

μὴ πρὸ δίκης τὴν Ἀριστάρχου θυγατέρα, ἐμὴν δὲ μητέρα, 20
34 ἐκ τῶν πατρῴων ἐκβάλλειν. ἀλλὰ γάρ, ὦ ἄνδρες, οὐχ ἱκανόν ἐστι Ξεναινέτῳ τὸν Ἀριστομένους οἶκον καταπεπαιδεραστηκέναι, ἀλλὰ καὶ τοῦτον οἴεται δεῖν τὸν αὐτὸν τρόπον διαθεῖναι. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, βραχείας οὐσίας ὑπαρξάσης ἀδελφὰς μὲν ἐξέδωκα, ὅσα ἐδυνάμην ἐπιδούς, [o]κόσμιον δ' ἐμαυτὸν παρέχων καὶ ποιῶν τὰ 25
[p]προσταττόμενα καὶ τὰς στρατείας στρατευόμενος ἀξιῶ
35 τῶν τῆς μητρὸς πατρῴων μὴ ἀποστερηθῆναι. ἀπέδειξα δ' ὑμῖν Κυρωνίδην μὲν τὸν [q]τούτων πατέρα ἐκποίητον γενόμενον καὶ οὐκ ἐπανελθόντα εἰς τὸν πατρῷον οἶκον, τὸν δὲ πατέρα τὸν Κυρωνίδου καὶ τῆς ἐμῆς μητρὸς Δημοχάρει τῷ υἱῷ τοῦτον τὸν κλῆρον καταλιπόντα, ἐκεῖνον δὲ ἄπαιδα ὄντα τελευτήσαντα καὶ εἰς τὴν ἐμὴν μητέρα τοῦτον τὸν κλῆρον ἐπιγιγνόμενον.

ΠΕΡΙ ΤΟΥ ΑΓΝΙΟΥ ΚΛΗΡΟΥ. 83

ΙΑ.

ΥΠΟΘΕΣΙΣ.

Ἀγνίας τις εἶχεν ἀνεψιοὺς πολλούς, Θεόπομπον καὶ τὸν ἀδελφὸν αὐτοῦ Στρατοκλέα καὶ [a]Στράτιον καὶ Εὐβουλίδην. οὗτος μέλλων τελευτᾷν ἐποιήσατο θετὴν [b]αὐτῷ θυγατέρα, κελεύσας ἐν ταῖς διαθήκαις, εἴ τι πάθοι ἡ θυγάτηρ, ἔρχεσθαι τὸν κλῆρον εἰς Γλαύκωνα, ἀδελφὸν [c]αὐτοῦ τυγχάνοντα ὁμομήτριον.

[o] κόσμιον δ' Reiskiana: libri κόσμιόν τ'.
[p] προσταττόμενα] πραττόμενα A.
[q] τούτων] τούτου Z.
[a] Στράτιον] στρατίαν A.B.Z.
[b] αὐτῷ] αὐτοῦ Z. ἑαυτοῦ A.
[c] αὐτοῦ] Addidi ex A.

ἐπὶ τούτοις αὐτοῦ τελευτήσαντος ἡ θυγάτηρ λαβοῦσα τὸν κλῆρον ἐτελεύτησεν. ἀποθανόντος δὲ καὶ Εὐβουλίδου ἡ θυγάτηρ αὐτοῦ, τοῦ Εὐβουλίδου, δικασαμένη πρὸς Γλαύκωνα ἔλαβε τὴν οὐσίαν. μετὰ ταῦτα τελευτησάντων καὶ τῶν περὶ τὸν Στρατοκλέα καὶ Στράτιον Θεόπομπος μόνος ἐδικάσατο πρὸς αὐτήν, καὶ ἔλαβε τὸν κλῆρον. πρὸς τοῦτον ὁ υἱὸς τοῦ ἀδελφοῦ αὐτοῦ, Στρατοκλέους, δικάζεται· πρὸς αὐτὸν δὲ ἐπιτρόπου τινὸς υἱός, φάσκων ἐξ ἴσου τὰ τῆς κληρονομίας ἁρμόζειν τῷ τε Θεοπόμπῳ καὶ τῷ παιδὶ τοῦ ἀδελφοῦ αὐτου. Ἡ στάσις πραγματική.

Διὰ ταῦθ' ὑμῖν ἀνέγνων τοὺς νόμους, ὅτι κατὰ τὸν πρῶτον αὐτῶν ἰσχυρίζεται τῷ παιδὶ τοῦ ἡμικληρίου προσήκειν, οὐκ ἀληθῆ λέγων. οὐ γὰρ ἦν ἡμῖν [d]Ἀγνίας ἀδελφός, ὁ δὲ νόμος περὶ ἀδελφοῦ χρημάτων πρῶτον ἀδελφοῖς τε καὶ ἀδελφιδοῖς πεποίηκε τὴν κληρονομίαν, ἂν ὦσιν ὁμοπάτορες· τοῦτο γὰρ ἐγγυτάτω τοῦ τελευτήσαν-
2 τος γένος ἐστίν. ἐὰν δ' οὗτοι μὴ ὦσι, δεύτερον ἀδελφὰς [e]ὁμοπατρίας καλεῖ καὶ παῖδας τοὺς ἐκ τούτων. ἐὰν δὲ μὴ ὦσι, τρίτῳ γένει δίδωσι τὴν ἀγχιστείαν, ἀνεψιοῖς πρὸς πατρὸς μέχρις ἀνεψιῶν παίδων. ἐὰν δὲ καὶ τοῦτ' [f]ἐκλείπῃ, εἰς τὸ γένος πάλιν ἐπανέρχεται, καὶ ποιεῖ τοὺς πρὸς μητρὸς τοῦ τελευτήσαντος κυρίους αὐτῶν, κατὰ ταὐ-
3 τὰ καθάπερ τοῖς πρὸς πατρὸς ἐξ ἀρχῆς ἐδίδου τὴν κλη-
ρονομίαν. [g]ταύτας [h]ποιεῖ τὰς ἀγχιστείας ὁ νομοθέτης μόνας, [i]συντομωτέρως τοῖς ῥήμασιν ἢ ἐγὼ φράζω· τὴν μέντοι διάνοιαν ὧν βούλεται, [k]ταύτῃ δείκνυσιν. ὁ δὲ παῖς οὗτος οὐδὲ καθ' ἓν τούτων τῶν ὀνομάτων Ἀγνία προσήκει
4 [l]τῇ ἀγχιστείᾳ, ἀλλ' ἔξω τῆς συγγενείας ἐστίν. ἵνα δ' ἀκριβῶς μάθητε περὶ ὧν ψηφιεῖσθε, τοὺς πολλοὺς λόγους ἐάσας οὗτος εἰπάτω ὅ τι ὁ παῖς προσήκει τουτωνὶ τῶν εἰ-
ρημένων τῷ τὸν κλῆρον καταλιπόντι· κἂν φανῇ κατά τι

[d] Ἀγνίας A. vulg. Ἀγνίας.
[e] ὁμοπατρίας] ὁμοπατρίους Z.
[f] ἐκλείπῃ pr. A. vulg. ἐκλίπῃ.
[g] ταύτας] vulg. ταύτας τάς.
[h] ποιεῖ τὰς A. vulg. ποιητάς.
[i] συντομωτέρως Reiskius: vulg. συντομωτέρας.
[k] ταύτῃ] ταύτην B.Z.
[l] τῇ ἀγχιστείᾳ A.B. vulg. om. articulum.

προσήκων, ἐκὼν ἐγὼ συγχωρῶ τὸ ἡμικλήριον εἶναι τοῦ παιδός. εἰ δέ [m]τοι μηδὲν τούτων ἔξει εἰπεῖν, πῶς οὐκ ἐλεγχθήσεται φανερῶς ἐμὲ μὲν συκοφαντῶν, ὑμᾶς δ' ἐξαπατῆσαι παρὰ τοὺς νόμους ζητῶν; ἀναβιβασάμενος οὖν αὐτὸν ἐναντίον ὑμῶν ἐρωτήσω τὰ ἐν τοῖς νόμοις ὑπαναγινώσκων· οὕτω γὰρ εἴσεσθε εἰ προσήκει τῷ παιδὶ τῶν [n]Ἀγνίου χρημάτων ἢ μή. Λάβε οὖν αὐτοῖς τοὺς νόμους· σὺ δ' ἀνάβηθι δεῦρο, ἐπειδὴ δεινὸς εἶ διαβάλλειν καὶ τοὺς νόμους διαστρέφειν. σὺ δ' ἀναγίνωσκε.

[o] NOMOI.

Ἐπίσχες. [p]ἐρωτήσω σε. ἀδελφὸς ἔσθ' ὁ παῖς Ἀγνίου, ἀδελφιδοῦς ἐξ ἀδελφοῦ ἢ ἐξ ἀδελφῆς γεγονώς, ἢ ἀνεψιός, ἢ ἐξ ἀνεψιοῦ πρὸς μητρὸς ἢ πρὸς πατρός; τί τούτων τῶν ὀνομάτων, οἷς ὁ νόμος τὴν ἀγχιστείαν δίδωσι; καὶ ὅπως μὴ ἐκεῖνο [q]ἐρεῖς ὅτι [r]ἐμὸς ἀδελφιδοῦς. οὐ γὰρ περὶ τοῦ ἐμοῦ κλήρου νῦν ὁ λόγος ἐστί· ζῶ γάρ. εἰ [s]δ' ἦν ἅπαις ἐγὼ τετελευτηκὼς καὶ ἡμφισβήτει τῶν ἐμῶν, τοῦτο ἂν [t]προσήκοι ἀποκρίνασθαι ἐρωτωμένῳ. νῦν δὲ φὴς τῶν Ἀγνίου χρημάτων τὸ ἡμικλήριον εἶναι τοῦ παιδός· δεῖ δή σε τῆς ἀγχιστείας, ὅτι ὁ παῖς Ἀγνίᾳ προσήκει, τὸ γένος εἰπεῖν. [u]φράσον οὖν τουτοισί.

Αἰσθάνεσθε ὅτι οὐκ ἔχει τὴν συγγένειαν εἰπεῖν, ἀλλ' ἀποκρίνεται πάντα μᾶλλον ἢ ὃ δεῖ [x]μαθεῖν [y]ὑμᾶς. καίτοι τόν γε πράττοντα τι δίκαιον οὐ προσῆκεν ἀπορεῖν ἀλλ' εὐθὺς λέγειν, καὶ μὴ μόνον τοῦτο ποιεῖν, ἀλλὰ καὶ

[m] τοι μηδὲν] τι οὐδὲν Z.
[n] χρημάτων] κλήρων Z.
[o] NOMOI] Titulum sumpsi ab A.
[p] ἐρωτήσω σε] om. Z.
[q] ἐρεῖς A.B. vulg. ἐρῇς.
[r] ἐμὸς] ὁ ἐμὸς Z.
[s] δ' ἦν ἅπαις ἐγὼ] vulg. δ' οὖν ἅπαις ἐγὼ ἦν.
[t] προσήκοι] προσήκῃ A. προσήκει B.Z.
[u] φράσον — συγγένειαν εἰπεῖν] Hæc desunt Z. et vulg.
[x] μαθεῖν] παθεῖν Z.
[y] ὑμᾶς A. vulg. ἡμᾶς.

διόμνυσθαι καὶ τοῦ γένους [z]παρέχεσθαι μαρτυρίας, ἵνα
9 μᾶλλον ἂν ἐπιστεύετο ὑφ' ὑμῶν. νῦν δ' ἐφ' οἷς ἀπόκρισιν
[a]οὐ δέδωκεν, οὐ μάρτυρας παρέσχετο, οὐχ ὅρκον ὤμοσεν,
οὐ νόμον ἀνέγνωκεν, οἴεται δεῖν ὑμᾶς, ὁμωμοκότας ψηφι- 84
εῖσθαι κατὰ τοὺς νόμους, αὐτῷ πειθομένους ἐμοῦ κατα-
γνῶναι ταύτην τὴν εἰσαγγελίαν παρὰ τοὺς νόμους· οὕτω
10 σχέτλιος καὶ ἀναιδὴς ἄνθρωπός ἐστιν. ἀλλ' οὐκ ἐγὼ
ποιήσω τούτων οὐδέν, ἀλλὰ καὶ τὸ γένος ἐρῶ τοὐμὸν καὶ
ὅθεν [b]μοι προσήκει τῆς κληρονομίας, καὶ τὸν παῖδα ἐπι-
δείξω καὶ τοὺς πρότερον ἀμφισβητήσαντας ἐμοὶ τοῦ κλή- 5
ρου πάντας ἔξω τῆς ἀγχιστείας ὄντας, ὥσθ' ὑμᾶς ὁμολο-
γεῖν. ἀνάγκη δ' ἐστὶν ἐξ ἀρχῆς τὰ συμβεβηκότα εἰπεῖν·
ἐκ τούτων [c]γὰρ γνώσεσθε τήν τε ἐμὴν ἀγχιστείαν καὶ ὅτι
[d]τούτοις οὐδὲν προσήκει τῆς κληρονομίας.
11 Ἐγὼ γὰρ καὶ Ἀγνίας, ὦ ἄνδρες, καὶ Εὐβουλίδης
καὶ Στρατοκλῆς καὶ Στράτιος ὁ τῆς Ἀγνίου μητρὸς
ἀδελφὸς ἐξ ἀνεψιῶν ἐσμὲν γεγονότες· καὶ γὰρ οἱ πα-
12 τέρες ἡμῶν ἦσαν ἀνεψιοὶ ἐκ πατραδέλφων. Ἀγνίας οὖν, 10
ὅτε ἐκπλεῖν παρεσκευάζετο [e]πρεσβεύσων ἐπὶ ταύτας τὰς
πράξεις αἳ τῇ πόλει συμφερόντως εἶχον, οὐκ ἐφ' ἡμῖν
τοῖς ἐγγύτατα γένους, εἴ τι πάθοι, τὰ ὄντα κατέλιπεν,
ἀλλ' ἐποιήσατο θυγατέρα αὐτοῦ ἀδελφιδῆν· εἰ δέ τι καὶ
αὐτὴ πάθοι, Γλαύκωνι τὰ ὄντα ἐδίδου, ἀδελφῷ ὄντι ὁμο-
13 μητρίῳ· καὶ ταῦτ' ἐν διαθήκαις ἐνέγραψε. χρόνων δὲ 15
διαγενομένων μετὰ ταῦτα τελευτᾷ μὲν Εὐβουλίδης, τε-
λευτᾷ δ' ἡ θυγάτηρ ἣν ἐποιήσατο Ἀγνίας, λαμβάνει δὲ
τὸν κλῆρον Γλαύκων κατὰ τὴν διαθήκην. ἡμεῖς δ' οὐ πώ-
ποτ' ἠξιώσαμεν ἀμφισβητῆσαι πρὸς τὰς ἐκείνου διαθή-

[z] παρέχεσθαι] παρέρχεσθαι Z.
[a] οὐ δέδωκεν] οὐκ ἔδωκεν Z.
[b] μοι A. vulg. ἐμοί: om. B.Z.
[c] γὰρ] om. B.Z. cum vulg.
[d] τούτοις] τούτων Z.
[e] πρεσβεύσων] πρεσβεύων Z.

κας, ἀλλ' ᾠόμεθα δεῖν περὶ τῶν αὐτοῦ τὴν ἐκείνου γνώ-
14 μην εἶναι κυρίαν, καὶ τούτοις ἐνεμένομεν. ἡ δ' Εὐβουλίδου
θυγάτηρ μετὰ [f]τῶν αὐτῇ συμπραττόντων λαγχάνει τοῦ
κλήρου, καὶ λαμβάνει νικήσασα τοὺς [g]κατὰ τὴν διαθήκην
ἀμφισβητήσαντας, ἔξω μὲν οὖσα τῆς ἀγχιστείας, ἐλπί-
σασα δ' (ὡς ἔοικεν) ἡμᾶς πρὸς αὐτὴν οὐκ ἀντιδικήσειν,
15 ὅτι οὐδὲ πρὸς τὰς διαθήκας ἠμφισβητήσαμεν. ἡμεῖς δέ,
[h]ἐγὼ καὶ Στράτιος καὶ Στρατοκλῆς, ἐπειδὴ τοῖς ἐγγύ-
τατα γένους ἐγεγένητο ἐπίδικος ὁ κλῆρος, παρεσκευάζοντο
ἅπαντες [i]λαγχάνειν· πρὶν δὲ γενέσθαι τὰς λήξεις τῶν
δικῶν ἡμῖν τελευτᾷ μὲν ὁ Στράτιος, τελευτᾷ δ' ὁ Στρα-
τοκλῆς, λείπομαι δ' ἐγὼ μόνος τοῦ πρὸς πατρὸς ὢν ἀνε-
ψιοῦ παῖς, ᾧ μόνῳ κατὰ τοὺς νόμους ἐγίνετο ἡ κληρονο-
μία, πάντων ἤδη τῶν ἄλλων ἐκλελοιπότων, οἳ [k]ταὐτὸν
16 ἐμοὶ τῇ συγγενείᾳ προσήκοντες ἐτύγχανον. [l]τῷ δὲ γνώ-
σεσθε τοῦθ', ὅτι [m]ἐμοὶ μὲν ἀγχιστεύειν, [n]τοῖς δ' ἐξ ἐκεί-
νων γεγονόσιν οὐκ ἦν, ἐν οἷς οὗτος ὁ παῖς ἦν; αὐτὸς ὁ
νόμος δηλώσει. τὸ μὲν γὰρ εἶναι τὴν ἀγχιστειαν ἀνε-
ψιοῖς πρὸς πατρὸς [o]μέχρι ἀνεψιῶν παίδων ὁμολογεῖται
παρὰ πάντων· εἰ δὲ μεθ' ἡμᾶς δίδωσι τοῖς ἡμετέροις
παισί, τοῦτ' ἤδη σκεπτέον ἐστί. Λάβε οὖν αὐτοῖς τὸν νό-
μον καὶ ἀνάγίνωσκε.

ΝΟΜΟΣ.

17 Ἐὰν δὲ μηδεὶς ᾖ πρὸς πατρὸς μέχρις ἀνεψιῶν παίδων, τοὺς πρὸς
μητρὸς κυρίους εἶναι κατὰ τὰ αὐτά.

18 Ἀκούετε, ὦ ἄνδρες, ὅτι ὁ νομοθέτης οὐκ εἶπεν, ἐὰν μη-

[f] τῶν αὐτῇ] τῶν ἐν αὐτῇ Z.
[g] κατὰ τὴν διαθήκην A. vulg. om. articulum.
[h] ἐγὼ καὶ Στράτιος] ἐγὼ στράτιος pr. A.
[i] λαγχάνειν] τυγχάνειν Z.
[k] ταὐτὸν ἐμοὶ] ταύτῃ μοι A.B.Z. vulg. ταύτῃ μέν.
[l] τῷ] ὡς Z.
[m] ἐμοὶ μὲν ἀγχιστεύειν] ἐμὸς μὲν ἀγχιστέει Z.
[n] τοῖς δ'—οὐκ ἦν] Hæc post illa παῖς ἦν ponit Z.
[o] μέχρι] vulg. μέχρις.

δεὶς ἢ πρὸς πατρὸς μέχρις ἀνεψιῶν παίδων, τοὺς τῶν ἀνεψιαδῶν εἶναι κυρίους, ἀλλὰ ἀπέδωκε τοῖς πρὸς μη- 35
τρὸς τοῦ τελευτήσαντος, ἂν ἡμεῖς μὴ ὦμεν, τὴν κληρονομίαν ἤδη, ἀδελφοῖς καὶ ἀδελφαῖς καὶ παισὶ τοῖς τούτων καὶ τοῖς ἄλλοις, κατὰ ταὐτὰ [p] καθάπερ καὶ ἐξ ἀρχῆς ἦν ὑπειρημένον· τοὺς δὲ ἡμετέρους παῖδας ἔξω τῆς ἀγχι-
19 στείας ἐποίησεν. οἷς δὲ μηδ' εἰ [q] καὶ τετελευτηκότες ὦσιν, ὡς ἐγώ, δίδωσιν ὁ νόμος τὴν Ἀγνίου κληρονομίαν, πῶς ἐμοῦ τε ζῶντος καὶ κατὰ τοὺς νόμους ἔχοντος οἴονται αὐτοῖς εἶναι τὴν ἀγχιστείαν; οὐδαμῶς δήπουθεν. ἀλλὰ 40
μὴν εἰ τούτοις μὴ μέτεστιν, ὧν οἱ πατέρες ταὐτὸν ἐμοὶ προσῆκον, οὐδὲ τούτῳ τῷ παιδὶ γίνεται καὶ γὰρ ὁ τούτου
20 πατὴρ ὁμοίως ἦν ἐκείνοις συγγενής. οὐκοῦν δεινὸν ἐμοὶ μὲν διαῤῥήδην οὕτω τῶν νόμων δεδωκότων τὴν κληρονομίαν, τούτους δ' ἔξω τῆς ἀγχιστείας πεποιηκότων, τολμᾶν τουτονὶ συκοφαντεῖν, καὶ διαγωνίσασθαι μέν, ἡνίκ' ἐγὼ τοῦ 45
κλήρου τὴν δίκην ἐλάγχανον, μὴ οἴεσθαι δεῖν, μηδὲ παρα-
καταβάλλειν, οὗ περὶ τῶν τοιούτων εἴ τι δίκαιον εἶχεν εἰπεῖν διαγνωσθῆναι προσῆκεν, ἐπὶ δὲ τοῦ παιδὸς ὀνόματι πράγματ' ἐμοὶ παρέχειν καὶ περὶ τῶν μεγίστων εἰς κίν-
21 δυνον [r] καθιστάναι· καὶ περὶ μὲν τῶν ὁμολογουμένων εἶναι τοῦ παιδὸς χρημάτων μηδ' αἰτιᾶσθαί με, μηδ' ὡς [s] τι εἰ-
ληφα ἔχειν εἰπεῖν ([s] ἐφ' οἷς, εἴ τι αὐτῶν κακῶς διώκουν 5
ὥσπερ [t] οὗτος, κρίνεσθαί [u] μοι προσῆκεν,) ἃ δ' ὑμεῖς ἐμὰ εἶναι ἐψηφίσασθε, τῷ βουλομένῳ δόντες ἐξουσίαν ἀμφισβητεῖν αὐτῶν, ἐπὶ τούτοις ἐμοὶ τοιούτους ἀγῶνας παρασκευάζειν καὶ εἰς τοῦτο ἀναισχυντίας ἥκειν.

[p] καθάπερ] vulg. om.
[q] καὶ post εἰ om. Z.
[r] καθιστάναι] καθεστάναι pr. A.
[s] ἐφ' οἷς εἴ τι αὐτῶν] εἰ ἐφ' οἷς αὐτῶν Z.
[t] οὗτος] vulg. οὗτοι.
[u] μοι] με Z.

22 Οἶομαι μὲν οὖν καὶ ἐκ τῶν ἤδη εἰρημένων γινώσκεσθαι
ὑμῖν ὅτι οὔτ' ἀδικῶ τὸν παῖδα οὐδὲν οὔτ' ἔνοχός εἰμι ταύ-
ταις ταῖς αἰτίαις οὐδὲ κατὰ μικρόν· ἔτι δὲ ἀκριβέστερον
ἡγοῦμαι καὶ ἐκ τῶν ἄλλων ὑμᾶς μαθήσεσθαι, καὶ τὴν
ἐμὴν ἐπιδικασίαν, ὡς γέγονεν, [x]ἀκούσαντας περὶ αὐτῶν.
23 ἐμοὶ γάρ, ὦ ἄνδρες, λαχόντι τοῦ κλήρου τὴν δίκην οὔτε
οὗτος ὁ νῦν ἐμὲ εἰσαγγέλλων ὠήθη δεῖν [y]παρακαταβάλ-
λειν ὑπὲρ τοῦ παιδός, οὔτε οἱ Στρατίου παῖδες οἱ [z]ταὐτὸ
τῷ παιδὶ προσήκοντες, οὔτε δι' ἄλλο οὐδὲν [a]αὐτοῖς ἐνόμι-
ζον προσήκειν τούτων τῶν χρημάτων· ἐπεὶ οὐδ' ἂν οὗτος
νῦν ἐμοὶ πράγματα παρεῖχεν, εἰ τὰ τοῦ παιδὸς εἴων ἀρ-
24 πάζειν [b]καὶ μὴ ἠναντιούμην αὐτῷ. οὗτοι μὲν οὖν, ὥσπερ
εἶπον, εἰδότες ὅτι ἔξω ἦσαν τῆς ἀγχιστείας, οὐκ ἠμφι-
σβήτουν ἀλλ' ἡσυχίαν εἶχον· οἱ δ' ὑπὲρ τῆς Εὐβουλίδου
θυγατρὸς πράττοντες, τῆς τὸ αὐτὸ δικαίως τῷ Στρατίου
παιδὶ προσηκούσης, καὶ οἱ κύριοι τῆς Ἀγνίου μητρὸς ἦσαν
25 οἷοί τε πρὸς ἐμὲ ἀντιδικεῖν. εἰς τοσαύτας δ' ἀπορίας
κατέστησαν ὅ τι [c]ἀντιγράψωνται περὶ τῆς ἀγχιστείας,
ὥστε ἡ μὲν τὸν κλῆρον ἔχουσα καὶ οἱ λέγοντες τὸ περὶ
αὐτῆς γένος, ἐπειδὴ κατεψεύσαντο, ῥᾳδίως ὑπ' ἐμοῦ τότε
26 ἐξηλέγχθησαν οὐκ ἀληθές τι γράψαι τολμήσαντες, οἱ δ'
ὑπὲρ τῆς Ἀγνίου μητρὸς γένει μὲν ἐμοὶ ταὐτὸ προσηκού-
σης (ἀδελφὴ γὰρ [d]ἦν [e]τοῦ Στρατίου) νόμῳ δὲ ἀποκλειο-
μένης, ὃς κελεύει κρατεῖν τοὺς ἄρρενας, τοῦτο μὲν εἴασαν,
οἰόμενοι δ' ἐμοῦ πλεονεκτήσειν μητέρα εἶναι τοῦ τελευτή-

[x] ἀκούσαντας] ἀκούσαντες B.Z.
[y] παρακαταβάλλειν] καταβάλλειν Z.
[z] ταὐτὸ] Libri τούτῳ.
[a] αὐτοῖς ἐνόμιζον] ἐνόμιζον αὐτοῖς Z.
[b] καὶ μὴ ἠναντιούμην A.B. καὶ μὴν ἠναντιούμην Z. vulg. καὶ ἠναντιούμην.
[c] ἀντιγράψωνται A.B. vulg. ἀντιγράψονται.
[d] ἦν] vulg. om.
[e] τοῦ Στρατίου A.B. vulg. om. articulum.

σαντος ἔγραψαν· ὃ συγγενέστατον μὲν ἦν τῇ φύσει πάν- 25
των, ἐν δὲ ταῖς ἀγχιστείαις ὁμολογουμένως οὐκ ἔστιν.
εἶτα γράψας ἀνεψιοῦ παῖδας εἶναι, κἀκείνας [f]ἐξήλεγξα
27 οὐκ οὔσας ἐν ταῖς ἀγχιστείαις. οὕτως ἐπεδικασάμην
παρ' ὑμῖν, καὶ αὐτῶν οὐκ ἴσχυσέ [g]τι οὔτε τῇ τὸν κλῆρον
ἐχούσῃ τὸ προνενικηκέναι τοὺς κατὰ διαθήκην ἀμφισβη-
τήσαντας, οὔτε τῇ ἑτέρᾳ τὸ μητέρα εἶναι τοῦ τὸν κλῆρον
καταλιπόντος, ἀλλ' οὕτως οἱ τότε δικάζοντες καὶ τὸ δί-
καιον καὶ τοὺς ὅρκους περὶ πολλοῦ ἐποιήσαντο, [h]ὥστ' 30
ἐμοὶ τῷ κατὰ τοὺς νόμους ἀμφισβητοῦντι τὴν ψῆφον
28 ἤνεγκαν. καίτοι εἰ τὰς μὲν νενίκηκα τοῦτον τὸν τρόπον,
ἐπιδείξας μηδὲν Ἀγνίᾳ κατ' ἀγχιστείαν προσηκούσας,
οὗτος δὲ μὴ ἐτόλμησεν ἀντιδικῆσαι τῷ παιδὶ τοῦ ἡμικλη-
ρίου πρὸς ὑμᾶς, οἱ δὲ Στρατίου παῖδες οἱ [i]ταὐτὸν τούτῳ
προσήκοντες μηδὲ νῦν ἀξιοῦσιν ἀντιδικῆσαι πρὸς ἐμὲ περὶ
αὐτῶν, ἔχω δ' ἐγὼ τὸν κλῆρον ἐπιδικασάμενος παρ' 35
[k]ὑμῖν, ἐξελέγχω δὲ τοῦτον μηδέπω καὶ τήμερον ἔχοντ' εἰ-
πεῖν ὅ τι ὁ παῖς Ἀγνίᾳ προσήκει κατ' ἀγχιστείαν, τί
ἔτι δεῖ μαθεῖν ὑμᾶς [l]ἢ τί πεθεῖτε ἀκοῦσαι περὶ τούτων;
29 ἐγὼ μὲν γὰρ ὡς εὖ φρονοῦσιν ὑμῖν ἱκανὰ τὰ εἰρημένα νο-
μίζω.

[m]Οὗτος τοίνυν ῥᾳδίως ὅ τι ἂν [n]τύχῃ ψευδόμενος, καὶ
τὴν αὐτοῦ πονηρίαν οὐδεμίαν ζημίαν εἶναι νομίζων, τολμᾷ
με διαβάλλειν ἄλλα τε πολλά, περὶ ὧν ποιήσομαι τοὺς 40
λόγους τάχα, καὶ νυνὶ λέγει ὡς ἐκοινωσάμεθα, ἐγώ τε
καὶ Στρατοκλῆς, τὸν ἀγῶνα εἰσιέναι περὶ τοῦ κλήρου
30 μέλλοντες. ὃ μόνοις ἡμῖν τῶν ἀμφισβητεῖν παρεσκευασ-

[f] ἐξήλεγξα A. ἐξελέγξας Reiskius: vulg. ἐξήλεγξαν.
[g] τι Reiskius: libri τις.
[h] ὥστ' ἐμοὶ Z. vulg. ὥστε μοι.
[i] ταὐτὸν] vulg. ταυτό.
[k] ὑμῖν] ὑμῶν pr. A.
[l] ἢ τί Reiskius: vulg. om. τι.
[m] Οὗτος] οὕτως Z.
[n] τύχῃ] vulg. τύχοι.

μένων οὐκ ἐνῆν διομολογήσασθαι πρὸς ἀλλήλους. τῇ μὲν γὰρ Εὐβουλίδου θυγατρὶ καὶ τῇ Ἀγνίου μητρὶ πρὸς ἡμᾶς ἀγωνιζομέναις, μὴ [o]κατὰ ταὐτὸ [p]ἀμφισβητούσαις, ἐνῆν ποιήσασθαι συνθήκας, ἂν ἡ ἑτέρα νικᾷ, μετεῖναί τι καὶ τῇ ἡττηθείσῃ· καδίσκος γὰρ ἔμελλεν ἑκατέρᾳ τεθήσεσθαι. 86

31 τὸ δ' ἡμέτερον οὐ τοιοῦτον [q]ἦν, ἀλλ' ἓν [r]τὸ γένος, δύο δὲ λήξεις, ἡμικληρίου ἑκατέρῳ· τοῖς δὲ κατὰ [s]ταῦτα ἀμφισβητοῦσιν εἷς τίθεται καδίσκος, οὗ οὐκ ἂν ἦν τὸν μὲν [t]νικᾶσθαι, τὸν δὲ ἡττᾶν, ἀλλ' ὁμοίως ἀμφοτέροις ἦν ὁ αὐτὸς κίνδυνος. ὥστ' οὐκ ἐνῆν κοινωνίαν οὐδὲ [u]διομολογίαν

32 ποιήσασθαι περὶ αὐτῶν. ἀλλ' οὗτος, ἐπειδὴ Στρατοκλῆς ἐτελεύτησε πρὶν γενέσθαι τοῦ ἡμικληρίου τὰς λήξεις ἡμῶν ἑκατέρῳ, καὶ οὐκέτ' ἦν μετουσία τῷ Στρατοκλεῖ τούτων οὐδὲ τῷ παιδὶ [x]τῷδε διὰ τὸν νόμον, ἀλλ' ἐγίνετο εἰς ἐμὲ ἡ κληρονομία κατ' ἀγχιστείαν πάντων, εἰ νικήσαιμι τοὺς ἔχοντας, τότ' ἤδη πλάττει ταῦτα καὶ μηχανᾶται, προσδοκῶν τούτοις τοῖς λόγοις ῥᾳδίως ὑμᾶς ἐξαπατῆσαι.

33 ὅτι δ' οὐχ οἷόντ' ἦν τούτων γίγνεσθαι [y]οὐδέν, ἀλλὰ διῄρηται καθ' ἕκαστον περὶ αὐτῶν, ἐκ τοῦ νόμου γνῶναι ῥᾴδιον. Λάβε δ' αὐτοῖς καὶ ἀνάγνωσκε.

ΝΟΜΟΣ.

34 [z]Ἆρ' ὑμῖν ὁ νόμος δοκεῖ ποιεῖν ἐξουσίαν κοινωνίας, ἀλλ' οὐκ ἄντικρυς [z]οὑτωσὶ πᾶν τοὐναντίον, εἰ καὶ τὸ πρότερον ὑπῆρχε κοινωνία, προστάττει, διαῤῥηδὴν κελεύων τοῦ με-

[o] κατὰ ταυτὸ] καταυτὸ pr. A.

[p] ἀμφισβητούσαις] ἀμφισβητούσαι B. ἀμφιαβητοῦσαι Z.

[q] ἦν] ἐστίν Z.

[r] τὸ γένος A.B. vulg. om. articulum.

[s] ταῦτα] vulg. ταυτά.

[t] ἡττᾶσθαι — νικᾷν Z. cum Valcken. Diatrib. p. 261. vulg. νικᾶσθαι—ἡττᾶν, quam lectionem tuetur Schæferus ad Plutum Hemsterhus, p. 524.

[u] διομολογίαν A.B. vulg. διομολογίας.

[x] τᾷδε A. vulg. τῷ.

[y] οὐδὲν A. vulg. οὐδεέν.

[z] οὑτωσὶ] οὕτω καὶ Z.

ρους ἕκαστον λαγχάνειν καὶ τοῖς κατὰ ταὐτὸ ἀμφισβητοῦσι τιθεὶς ἕνα καδίσκον καὶ τὰς ἐπιδικασίας τοῦτον τὸν τρόπον ποιῶν; ὁ δὲ, ταῦτα τῶν νόμων λεγόντων καὶ οὐκ ἐνούσης γενέσθαι διομολογίας, οὕτως ἀλόγως πρᾶγμα τηλικοῦτον ψεύσασθαι τετόλμηκεν. Οὐ μόνον δὲ τοῦτο πεποίηκεν, ἀλλὰ καὶ τὸ πάντων ἐναντιώτατον πρᾶγμα εἴρηκεν, ᾧ προσέχετε τὸν νοῦν, ὦ ἄνδρες. φησὶ γὰρ ὁμολογῆσαί με τοῦ κλήρου [a]τῷ παιδὶ τὸ ἡμικλήριον μεταδώσειν, εἰ νικήσαιμι τοὺς ἔχοντας αὐτόν. καίτοι εἰ μέν τι καὶ αὐτῷ μετῆν κατὰ τὸ γένος, ὡς οὗτος λέγει, τί ἔδει γενέσθαι ταύτην αὐτοῖς παρ' ἐμοῦ τὴν ὁμολογίαν; ἦν γὰρ ὁμοίως καὶ τούτοις ἐπίδικον τὸ ἡμικλήριον, εἴπερ ἀληθῆ λέγουσιν. εἰ δὲ μὴ προσῆκεν αὐτοῖς τῆς ἀγχιστείας μηδέν, διὰ τί ἂν μεταδώσειν ὡμολόγουν, τῶν νόμων ἐμοὶ πάντων αὐτῶν δεδωκότων τὴν κληρονομίαν; πότερα δ' οὐκ ἦν μοι λαχεῖν, εἰ μὴ πείσαιμι τούτους; ἀλλ' ὁ νόμος τῷ βουλομένῳ δίδωσι τὴν ἐξουσίαν, ὥστε τοῦτο οὐκ ἦν αὐτοῖς εἰπεῖν. ἀλλ' εἶχόν τινά μοι μαρτυρίαν τοῦ πράγματος, ἣν εἰ μὴ ἐμαρτύρουν, οὐκ ἔμελλον ἐπιδικάσασθαι τούτων; ἀλλὰ κατὰ γένος ἠμφισβήτουν, οὐ κατὰ δόσιν, ὥστ' οὐδὲν ἔδει μαρτύρων. Ἀλλὰ μὴν εἰ μήτε κοινώσασθαι τὸ πρᾶγμα ἐνῆν, ὅτ' ἔζη Στρατοκλῆς, μήτε ὁ πατὴρ αὐτῷ κατέλιπεν ἐπιδικασάμενος τούτων οὐδέν, μήτε εἰκὸς ἦν μεταδώσειν ἐμὲ τὸ ἡμικλήριον ὁμολογῆσαι αὐτῷ, ἀπόδοτε ὑμεῖς ἐπιδικάσαντές μοι τοῦτον τὸν κλῆρον. εἰ δὲ μήτε ἔλαχον τῶν αὐτῶν μήτ' ἀμφισβητῆσαι πώποτ' ἠξίωσαν, πῶς χρὴ πιστοὺς εἶναι νομίζειν τοὺς τούτων λόγους; ἐγὼ μὲν οἶομαι οὐδαμῶς. προσποιεῖται τοίνυν οὗτος (ἐπειδὴ τοῦτ' εἰκότως ἂν θαυμάζοιτε, ὅτι τοῦ ἡμικλήριου τότε τὴν δίκην οὐκ ἐλάγχανον) τοῦ μὲν μὴ λαχεῖν πρὸς ἐκείνους

[a] τῷ] om. Z.

ἐμὲ εἶναι αἴτιον ὡς ὁμολογήσαντα μεταδώσειν, ὥστε διὰ
[b]τοῦτ' οὐ παρακαταβάλλειν αὐτοῖς, τῆς δὲ πρὸς ἐμὲ λή-
ξεως ἐμποδὼν εἶναι τοὺς νόμους (οὐ γὰρ εἶναι τοῖς ὀρφα- 35
41 νοῖς κατὰ τῶν ἐπιτρόπων,) οὐδέτερ' ἀληθῆ [c]λέγων. οὔτε
γὰρ [d]ἂν νόμον δείξειεν ὃς κωλύει τοῦτον ὑπὲρ τοῦ παιδὸς
δίκην παρ' ἐμοῦ λαμβάνειν· οὐ γάρ ἐστιν ἐναντιούμενος
οὐδείς, ἀλλ' ὥσπερ καὶ γραφὰς κατ' ἐμοῦ δέδωκεν, οὕτω
καὶ δίκας ἐμοὶ εἶναι καὶ τῷ παιδὶ πεποίηκεν· οὔτ' αὖ
διὰ ταῦτα ἐκείνοις τοῖς προσήκουσι [e]τὸν κλῆρον οὐκ
ἐλάγχανον, ὡς ἐμοῦ μεταδώσειν ὁμολογήσαντος, ἀλλ'
ὅτι οὐδ' ὁτιοῦν αὐτοῖς τούτων τῶν χρημάτων προσῆκεν. 40
42 εὖ δ' οἶδ' [f]ὅτι εἰ συνεχώρουν τῷ παιδὶ λαβεῖν ἐπιδικασα-
μένῳ παρ' ἐμοῦ τὸ ἡμικλήριον, οὐκ ἄν ποτε ταῦτ' ἐποίη-
σαν οὐδ' ἐπεχείρησαν, εἰδότες [g]ὅτι, ὅτ' ἐν τῇ ἀγχιστείᾳ
μὴ ὄντες εἶχόν τι τῶν μὴ προσηκόντων, τοῦτ' ἂν ὑπὸ τῶν
43 ἐγγύτατα γένους ῥᾳδίως ἀφῃρέθησαν. ὅπερ γὰρ καὶ πρό-
τερον εἶπον, οὐ δίδωσι μεθ' ἡμᾶς τοῖς ἡμετέροις παισὶ τὸ
παράπαν τὴν ἀγχιστείαν [h]ὁ νόμος, ἀλλὰ τοῖς πρὸς μη- 87
τρὸς τοῦ τελευτήσαντος. ἦκεν ἂν οὖν ἐπ' αὐτὰ τοῦτο μὲν
ὁ Γλαύκων ὁ τοῦ Ἀγνίου ἀδελφός, (πρὸς ὃν μὴ ὅτι γένος
εἶχον ἄμεινον εἰπεῖν, ἀλλὰ καὶ ἔξω τῆς ἀγχιστείας ἐφαί-
44 νοντ' ἂν ὄντες,) τοῦτο δ', εἰ μὴ ἐβούλετο οὗτος, ἡ Ἀγνίου
κἀκείνου μήτηρ, προσῆκον καὶ αὐτῇ τῆς ἀγχιστείας τοῦ
αὐτῆς υἱέος, ὥσθ' ὁπότ' ἠγωνίζετο πρὸς τοὺς μηδὲν γένει 5
προσήκοντας, φανερῶς ἂν ἔλαβε τὸ ἡμικλήριον παρ' ὑμῶν,
45 τοῦτο τοῦ δικαίου καὶ τῶν νόμων αὐτῇ δεδωκότων. οὐκοῦν
διὰ ταῦτ' οὐκ ἐλάγχανεν, οὐχ ὡς δι' ἐμὲ ἢ τοὺς νόμους

[b] τοῦτ' οὐ Reiskius: libri τούτου.
[c] λέγων A. vulg. λέγειν.
[d] ἂν νόμον] ἄνομον B.Z.
[e] τοῦ κλήρου Scaliger: libri τὸν κλῆρον.
[f] ὅτι εἰ] vulg. ὅτι οὐ δεῖ vel ὅτι οὐδ' εἰ.
[g] ὅτι ὅτ'] libri ὁπότ'.
[h] ὁ νόμος] om. B.Z. cum vulg.

κωλυόμενος, ἀλλὰ ταύτας τὰς προφάσεις ποιούμενος ἐπὶ ταύτας τὰς συκοφαντίας ἐλήλυθεν, ἐξ ὧν γραφὴν γραψάμενος [i] καὶ ἐμὲ διαβάλλων ἐλπίζει χρήματα λήψεσθαι καὶ ἐμὲ τῆς ἐπιτροπῆς ἀπαλλάξειν. καὶ οἴεται δεινοῦ τινὸς ἀνδρὸς ἔργον διαπράττεσθαι ταύταις ταῖς παρασκευαῖς, ὅτι μὴ κατορθώσας μὲν οὐδὲν ἀπολεῖ τῶν αὐτῶν, διαπραξάμενος δ' ἃ βούλεται καὶ τὰ τοῦ παιδὸς
46 ἀδεῶς [k] ἤδη διαφορήσει. Οὐκοῦν οὐ δεῖ προσέχειν ὑμᾶς τοῖς τούτου λόγοις τὸν νοῦν, οὐδ' ἐπιτρέπειν, οὐδ' ἐθίζειν εἶναι γραφὰς περὶ ὧν ἰδίας δίκας οἱ νόμοι πεποιήκασιν. ἁπλᾶ γὰρ τὰ δίκαια παντάπασίν ἐστι καὶ γνώριμα μαθεῖν. ἃ ἐγὼ διὰ βραχέων εἰπὼν καὶ παρακαταθέμενος ὑμῖν μνημονεύειν, ἐπὶ τὴν ἄλλην ἀπολογίαν ἤδη τρέψομαι
47 τῶν κατηγορηθέντων. τί οὖν ἔστι ταῦτα; καὶ τί διορίζομαι; εἰ μὲν κατ' ἀγχιστείαν [l] τῶν Ἀγνίου μετεῖναί [m] φησι τῷ παιδὶ τοῦ ἡμικληρίου, λαχέτω πρὸς τὸν ἄρχοντα, κἂν ὑμεῖς ψηφίσησθε, λαβέτω· ταῦτα γὰρ οἱ
48 νόμοι κελεύουσιν. εἰ δὲ μὴ κατὰ τοῦτο ἀμφισβητεῖ, φησὶ δὲ ὁμολογῆσαί με τῷ παιδὶ μεταδώσειν, φάσκοντος ἐμοῦ τούτων εἶναι μηδὲν δικασάσθω, κἂν ἐξελέγξῃ με ὡς ὡμολόγησα, τότ' ἤδη πραξάσθω· δίκαιον γὰρ οὕτως ἐστίν. εἰ δὲ μήτε πρὸς ἐμὲ μήτε κατ' ἐμοῦ δίκην εἶναί φησι τῷ παιδὶ, τὸν [n] κωλύοντα νόμον εἰπάτω, κἂν ἔχῃ δεῖξαι,
49 λαβέτω καὶ οὕτω τὸ μέρος τῶν χρημάτων. εἰ δ' αὖ μήτ' ἐπιδικάσασθαί φησι δεῖν τοῦ ἡμικληρίου μήτε μὴν δικάσασθαι, ἀλλ' ἤδη εἶναι ταῦτα τοῦ παιδός, ἀπογραψάσθω πρὸς τὸν ἄρχοντα εἰς τὴν μίσθωσιν τῶν ἐκείνου χρημάτων, ἣν ὁ μισθωσάμενος εἰσπράξει με ταῦτα ὡς

[i] κἀμὲ Z. vulg. καί με.
[k] ἤδη] om. Z.
[l] τῶν Ἀγνίου A.B. vulg. τοῦ Ἀγνίου.
[m] φησὶ] φήσει pr. A.
[n] κωλύοντα] κωλύσοντα Z.

50 ὄντα τοῦ παιδός. ταῦτα μεγάλα δίκαιά ἐστι. ταῦτα
καὶ οἱ νόμοι κελεύουσιν, οὐ μὰ Δία οὐ γραφὰς ἐμὲ φεύ-
γειν περὶ ὧν δίκας ἰδίας εἶναι πεποιήκασιν, οὐδὲ κινδυ-
νεύειν περὶ τοῦ σώματος, ὅτι οὐ μεταδίδωμι τῷ παιδὶ
τούτων, ἃ ψήφῳ κρατήσας ἐγὼ τοὺς ἔχοντας οὕτω παρ'
ὑμῶν ἔλαβον· ἀλλ' εἴ τι τῶν ὁμολογουμένων εἶναι τοῦ
παιδὸς εἶχον καὶ κακῶς διεθηκα, ὥστ' ἐκεῖνον κακᾶ- 30
σθαι, τότε ἄν μοι κατὰ ταύτην προσῆκε κρινεσθαι τὴν
γραφήν, οὐ μὰ Δί' οὐκ ἐπὶ τοῖς ἐμοῖς.

51 Ὅτι μὲν οὖν οὔτε περὶ τούτων οὐδὲν δίκαιον πεποίηκεν,
οὔτε περὶ τῶν ἄλλων ἀληθὲς οὐδὲν εἴρηκεν, ἅπαντα δὲ
[o] δεινῶς πλεονεξίᾳ μεμηχάνηται διαβάλλων καὶ τοὺς νό-
μους παράγων καὶ ὑμῶν καὶ ἐμοῦ παρὰ τὸ δίκαιον πε-
ριγενέσθαι ζητῶν, οἶμαι μὰ τοὺς θεοὺς οὐδ' ὑμᾶς ἀγνοεῖν, 35
ἀλλ' ὁμοίως εἰδέναι πάντας, ὥστ' οὐκ οἶδ' ὅ τι δεῖ πλείω
52 περὶ τούτων λέγειν. ὁρῶ δὲ, ὦ ἄνδρες, τὴν πλείστην διατριβὴν [p] τῶν λόγων ποιούμενον περὶ τὴν τοῦ παιδὸς οὐσίαν
καὶ περὶ τὴν ἐμήν, καὶ τὰ μὲν ἐκείνου παντάπασιν ὡς
ἄπορα [q] διεξιόντα, περὶ δ' ἐμὲ πλοῦτόν τινα τῷ λόγῳ κα-
τασκευάσαντα, καί τινα κακίαν [r] κατηγοροῦντα, ὡς ἐγὼ
τεττάρων οὐσῶν Στρατοκλέους θυγατέρων οὐδεμιᾷ τολμῶ 40
συνευπορῆσαι προικός, καὶ ταῦτ' ἔχων (ὡς οὗτος φησί)
53 τὰ τοῦ παιδίου. βούλομαι δὴ καὶ περὶ τούτων εἰπεῖν.
ἐλπίζει γὰρ διὰ τῶν λόγων ἐμοὶ μέν τινα φθόνον γενήσε-
σθαι παρ' ὑμῶν περὶ τῶν προσγεγενημένων χρημάτων,
τοῖς δὲ παισὶν ἔλεον, ἂν ἄποροι παρ' ὑμῖν εἶναι δόξωσιν.
οὔκουν ἀγνοῆσαι δεῖ περὶ αὐτῶν ὑμᾶς οὐδέν, ἀλλ' ἀκρι-

[o] δεινῶς] vulg. om.
[p] τῶν λόγων] om. Z.
[q] διεξιόντα — κατασκευάσαντα] διεξιόντος — κατασκευάσαντος A.B. Z. διεξιόντα—κατασκευάζοντα Reiskius.
[r] κατηγοροῦντα Stephanus: κατηγοροῦντος A.B. vulg. κατηγορούντων.

βῶς καὶ ταῦτα μαθεῖν, ἵν' εἰδῆθ' ὅτι ψεύδεται, ὥσπερ
54 καὶ περὶ τῶν ἄλλων ἁπάντων. ἐγὼ γὰρ ὦ ἄνδρες πάν- 88
των ὁμολογήσαιμι εἶναι κάκιστος, εἰ Στρατοκλέους ἄπορα
τὰ πράγματα καταλιπόντος αὐτὸς εὔπορος ὢν καὶ μη-
δεμίαν ἐπιμέλειαν ποιούμενος φαινοίμην τῶν ἐκείνου παί-
55 δων. εἰ δὲ πλείονα κατέλιπεν αὐτοῖς τὰ ὄντα τῶν ἐμῶν
καὶ βεβαιότερα, καὶ ταῦτα τοσαῦτ' ἐστὶν ὥστε καὶ τὰς
θυγατέρας ἐξ αὐτῶν [s]διαθεῖναι καλῶς καὶ τὸν παῖδα ἐκ 5
τῶν λοιπῶν μηδὲν ἧττον εἶναι πλούσιον, ἐπιμελοῦμαί τε
τοῦτον τὸν τρόπον αὐτῶν ὥστε καὶ πολλῷ πλείω γενέσθαι
τὴν οὐσίαν, εἰκότως μὲν οὐκ ἂν ἔχοιμι μέμψιν, εἰ μὴ τὰ-
μαυτοῦ προστίθημι τούτοις, σώζων δὲ τὰ τούτων καὶ
56 πλείω ποιῶν δικαίως ἂν ἐπαινοίμην. ὅτι δὲ ταῦτα οὕτως
[t]ἔχει, ῥᾳδίως ἐπιδείξω. πρῶτον μὲν οὖν τὰ τῆς οὐσίας
διέξειμι, μετὰ δὲ ταῦτα ὡς καὶ διοικεῖν ἀξιῶ [u]τὰ τοῦ 10
παιδός. Στρατοκλεῖ γὰρ κἀμοὶ τὰ μὲν ὑπάρξαντα πα-
τρῷα τοσαῦτα ἦν, ὥστε εἶναι μὲν οὐχ ἱκανά, λειτουργεῖν
δὲ μὴ ἄξια. τεκμήριον δέ· εἴκοσι μνᾶς ἑκάτερος ἡμῶν
ἐπὶ τῇ γυναικὶ προῖκα ἔλαβε, τοσαύτη δὲ προὶξ οὐκ ἂν
57 εἰς πολλὴν τινα [x]οὐσίαν δοθείη. συνέβη δὲ Στρατοκλεῖ
πρὸς τοῖς ὑπάρχουσι πλέον ἢ πένθ' ἡμιταλάντων οὐσίαν
λαβεῖν. [y]Θεοφῶν γὰρ ὁ τῆς γυναικὸς αὐτοῦ [z]ἀδελφὸς 15
ἀποθνήσκων ἐποιήσατο τῶν [a]θυγατέρων αὐτοῦ μίαν, καὶ
[b]τὸν θ' αὐτοῦ ἔδωκεν ἀγρὸν Ἐλευσῖνι δυοῖν ταλάντοιν,
πρόβατα ἑξήκοντα, αἶγας ἑκατόν, ἔπιπλα, ἵππον λαμ-
πρὸν ἐφ' οὗ ἐφυλάρχησε, καὶ τὴν ἄλλην κατασκευὴν

[s] διατεθῆναι Stephanus: libri διαθεῖναι.
[t] ἔχει] vulg. om.
[u] τὰ τοῦ] μετὰ τοῦ Z.
[x] οὐσίαν] τὴν οὐσίαν Z.
[y] Θεοφῶν] θεόφρων A.B.Z. qui sic et infra.
[z] ἀδελφὸς] om. Z. cum vulg.
[a] θυγατέρων] θυγατρῶν B.
[b] τὸν αὐτοῦ] τόν θ' αὐτοῦ A.B. τὸν αὐτὸν Z.

58 ἅπασαν, ἧς κύριος ἐκεῖνος γενόμενος ἐννέα ἔτη ὅλα κατέλιπε πέντε ταλάντων οὐσίαν καὶ τρισχιλίων δραχμῶν σὺν τοῖς ἑαυτοῦ πατρῴοις, χωρὶς ἐκείνης ἧς Θεοφῶν τῇ θυγατρὶ αὐτοῦ ἔδωκεν, ἀγρὸν μὲν Θριᾶσι πενθ' ἡμιτάλαντα εὑρίσκοντα, οἰκίαν δὲ Μελίτῃ τρισχιλίων [c] ἐωνημένην, ἄλλην δὲ Ἐλευσῖνι πεντακοσίων. ἐδάφη μὲν ταῦτα, ἀφ' ὧν ἡ μίσθωσις τοῦ μὲν ἀγροῦ δώδεκα μναῖ, τῶν δὲ οἰκιῶν τρεῖς, αἱ πεντεκαίδεκα μναῖ συναμφότερα γίνονται· χρέα δ' ἐπὶ τόκοις ὀφειλόμενα περὶ τετρακισχιλίας, ὧν τὸ ἔργον ἐπ' ἐννέα ὀβολοῖς ἑπτακόσιαι καὶ εἴ-

60 κοσι δραχμαὶ γίνονται [d] τοῦ ἐνιαυτοῦ ἑκάστου. πρόσοδος μὲν αὕτη δύο καὶ εἴκοσι μναῖ καὶ πρός· χωρὶς δὲ τούτων [e] κατέλιπεν ἔπιπλα, πρόβατα, κριθάς, οἶνον, ὀπώρας, ἐξ ὧν ἐνεπώλησαν [f] τετρακισχιλίας ἐννακοσίας. ἔτι δὲ ἔνδον ἐννακοσίας δραχμάς. πρὸς δὲ τούτοις ἐξ ἐράνων ὀφλήματα εἰσπεπραγμένα, μικροῦ δεούσας χιλίας δραχμάς, μαρτύρων ἐναντίον ἡ μήτηρ αὐτοῦ τοῦ παιδὸς ἀπεγρά-

61 ψατο. καὶ οὔπω λέγω περὶ τῶν ἄλλων, ἃ κατελείφθη μέν, οὗτοι δ' οὐκ ἀποφαίνουσιν, ἀλλὰ τὰ φανερὰ καὶ τὰ ὑπὸ τούτων ὁμολογούμενα. Κάλει δέ μοι τῶν εἰρημένων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

62 Ἡ μὲν τοίνυν Στρατοκλέους οὐσία, καὶ πλείω ταύτης ἐστίν· ἀλλ' ὕστερον περὶ τῶν παρακλεπτομένων ὑπὸ τούτων ποιήσομαι τοὺς λόγους· ἡ δ' ἐμὴ πόση τίς; χωρίον ἐν Οἰνόῃ πεντακισχιλίων [g] καὶ Προσπαλτοῖ τρισχιλίων, καὶ οἰκία ἐν ἄστει δισχιλίων, πρὸς δὲ τούτοις κλῆρος ὃν

[c] ἐωνημένην A. ὠνημενην B. ὠνημένη Z.

[d] τοῦ ἐνιαυτοῦ] vulg. om. articulum.

[e] κατέλιπεν A.B. vulg. κατέλιπον.

[f] τετρακισχιλίας ἐννακοσίας] vulg. om. ἐννακοσίας.

[g] καὶ Προσπαλτοῖ τρισχιλίων] Hæc ab A.B. sumpsi, illa καὶ οἰκία ἐν ἄστει δισχιλίων a solo A.

Ἀγνίας κατέλιπε, περὶ δύο τάλαντα· [h] οὐ γὰρ ἂν οἶδ' 35
ὅτι πλέον εὕροι τούτου. ταῦτ' ἐστὶ τρία τάλαντα καὶ
[i] τετρακισχίλιαι μόνον, δέκα καὶ ἑκατὸν μναῖς ἐλάττω
63 τῶν τοῦ παιδός. κἀγὼ μὲν ἐγκαταλογίζομαι καὶ τὰ
τοῦ υἱέος τοῦ ἐκποιηθέντος εἰς ταῦτα, τοῖς τοῦ παιδὸς δὲ
οὐ προσέθηκα τὴν Θεοφῶντος οὐσίαν, πέντ' ἡμιταλάντων
οὖσαν, ἐφ' ἣν ἐποιήσατο τὴν ἀδελφὴν αὐτοῦ· [οὕτω] [k] ῥα-
δίως γὰρ ἂν εὑρεθείη καὶ ὀκτὼ ταλάντων ὁ τούτων οἶκος·
64 ἀλλ' ἐκεῖνα ἀφῄρηται χωρίς· κἀμοὶ μὲν ὁ κλῆρος, ὃν 40
Ἀγνίας κατέλιπεν, οὗτος οὕπω βέβαιός ἐστι· δίκαι γὰρ
ἐνεστήκασι ψευδομαρτυριῶν, [l] κελεύει δ' ὁ νόμος, ἐὰν
ἁλῷ τις τῶν ψευδομαρτυριῶν, πάλιν ἐξ ἀρχῆς εἶναι περὶ
αὐτῶν τὰς λήξεις· τὰ δὲ τοῦ παιδὸς ὡμολογημένα καὶ
65 ἀναμφισβήτητα καταλέλοιπε Στρατοκλῆς. Ὅτι δὲ τοσ-
αῦτά ἐστι [m] τἀμὰ σὺν τοῖς τοῦ ἐκποιήτου υἱέος, καὶ ψευ-
δομαρτυριῶν ἐνεστᾶσι δίκαι περὶ τῶν Ἀγνίου, λάβε τὰς
μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

66 Ἆρα μικρὰ τὰ διάφορα ἑκατέροις τῆς οὐσίας ἡμῶν 89
ἐστίν, ἀλλ' οὐ [n] τηλικαῦτα ὥστε μηδεμίαν γενέσθαι περὶ
τοὺς Στρατοκλέους παῖδας; οὐκ ἄξιον τούτοις τοῖς λό-
γοις πιστεύειν, ὃς τοσαύτης οὐσίας καταλελειμμένης
ἐτόλμησεν ἐπὶ διαβολῇ ψεύσασθαι κατ' ἐμοῦ τηλικαῦτα
67 τὸ μέγεθος. καταλογίζεται τοίνυν ὡς ἐγὼ τρεῖς κλήρους 5
εἰληφὼς καὶ πολλῶν χρημάτων εὐπορῶν ἀφανίζω τὴν
οὐσίαν, ἵν' ὡς ἐλάχιστ' ὑμεῖς αὐτῶν [o] ἀπολαύητε. τοῖς

[h] οὐ γὰρ ἂν — τρία τάλαντα] vulg. om.

[i] τετρακισχίλιαι μόνον] vulg. τετρακισχίλιαι δραχμαὶ μόνον.

[k] ῥαδίως γὰρ Z. vulg. γὰρ ῥαδίως.

[l] κελεύει—ψευδομαρτυριῶν] Hæc addidi ex A.B.

[m] τἀμὰ A.B. vulg. τὰ ἐμά.

[n] τηλικαῦτα] τηλικαύτη A.B.Z.

[o] ἀπολαύητε] ἀπολαύοιτε A. ἀπολάβοιτε B.Z.

γὰρ [p] μηδὲν δίκαιον ἔχουσι περὶ τῶν πραγμάτων λέγειν
ἀνάγκη πορίζεσθαι τοιούτους λόγους, ἐξ ὧν ἂν διαβάλ-
68 λοντες πλέον ἔχειν δυνήσονται τῶν ἀντιδίκων. ἐμοὶ δὲ
μάρτυρές ἐστε πάντες ὅτι οἱ τῆς ἐμῆς γυναικὸς ἀδελφοί,
Χαιρέλεως καὶ Μακάρτατος, οὐ τῶν λειτουργούντων ἦσαν,
ἀλλὰ τῶν βραχεῖαν κεκτημένων οὐσίαν. Μακάρτατον
γὰρ ἴστε [q] ὅτι τὸ χωρίον ἀποδόμενος καὶ τριήρη πριάμενος
καὶ ταύτην πληρωσάμενος εἰς Κρήτην ἐξέπλευσεν· οὐ γὰρ
τὸ ἔργον ἀφανὲς ἐγένετο, ἀλλὰ καὶ λόγον ἐν τῷ δήμῳ
παρέσχε, μὴ πόλεμον ἡμῖν ἀντ' εἰρήνης ἐκεῖνος πρὸς Λα-
69 κεδαιμονίους ποιήσειε. Χαιρέλεως δὲ τὸ Προσπαλτοῖ
χωρίον κατέλιπεν, ὃ πλέον οὐκ ἂν [r] εὕροι τριάκοντα μνῶν.
συνέβη δὲ τὸν μὲν ταῦτα καταλιπόντα τελευτῆσαι πρό-
τερον ἢ Μακάρτατον, ἐκεῖνον δὲ μετὰ ταύτης τῆς οὐσίας,
ἣν ἔχων ἐξέπλευσεν· ἅπαντα γὰρ καὶ τὴν τριήρη καὶ
70 αὐτὸν κατὰ τὸν πόλεμον ἀπώλεσε. καταλειφθέντος δὲ
τοῦ Προσπαλτοῖ χωρίου καὶ [s] γινομένου τῆς ἐκείνων ἀδελ-
φῆς, ἐμῆς δὲ γυναικός, ἐπείσθην ὑπ' ἐκείνης εἰσποιῆσαι
Μακαρτάτῳ τὸν ἕτερον τῶν παίδων, οὐχ [t] ἵνα λειτουρ-
γοίην, εἰ προσγένοιτό μοι τοῦτο τὸ χωρίον. ὁμοίως γὰρ
71 καὶ μὴ εἰσποιήσαντος τοῦτό γ' ὑπῆρχεν· οὐδὲ γὰρ ἐλει-
τούργουν διὰ τοῦτό γ' ἧττον οὐδέν, ἀλλὰ καὶ τῶν εἰσφε-
ρόντων ἦν καὶ τῶν τὰ προσταττόμενα ὑμῖν ἅπαντα ποι-
ούντων. ὁ δὲ [u] ὡς περὶ ἀχρήστου μὲν πλουσίου δὲ ἐπὶ
72 διαβολῇ ποιεῖται τούτους τοὺς λόγους. ἐγὼ δ' ἓν κεφά-
λαιον ἐρῶ πάντων μέγιστον, ὃ καὶ ὑμῖν οἶδ' ὅτι δόξει
δίκαιον. κοινώσασθαι γὰρ ἐθέλω τὴν οὐσίαν τὴν ἐμὴν τῇ

[p] μηδὲν] vulg. μή.
[q] ὅτι] ἔτι pr. A.
[r] εὕροι Reiskius: εὕρητε A.B. vulg. εὕροιτε.
[s] γινομένου] vulg. γενομένου.
[t] ἵνα] Nonne legendum ἵνα μή?
[u] ὥσπερ] ὡς περὶ Reiskius.

τοῦ παιδός, καὶ εἴτε πολλὰ εἴτ' ὀλίγα ἐστίν, ἐν κοινῷ γενομένης λάβωμεν τὰ ἡμίσεα ἑκάτερος, ἵνα μηδὲν πλέον ἔχῃ ἄτερος τοῦ ἑτέρου τοῦ προσήκοντος. ἀλλ' οὐκ ἐθελήσει [x].

[x] Quod vulg. in fine ponunt λείπει, omisi cum A.B.

ΙΣΑΙΟΥ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

α.

ΕΚ ΤΟΥ ΥΠΕΡ ΕΥΦΙΛΗΤΟΥ.

Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἀδελφὸς ἡμῖν ἐστὶν οὑτοσὶ ὁ Εὐφίλητος, οὐ μονον ἡμῶν ἀλλὰ καὶ τῶν συγγενῶν ἁπάντων ἀκηκόατε μαρτυρούντων. σκέψασθε δὲ πρῶτον τὸν πατέρα ἡμῶν, τίνος εἵνεκεν ἂν ψεύδοιτο
2 καὶ τοῦτον μὴ ὄντα αὐτοῦ υἱὸν εἰσποιοῖτο. πάντας γὰρ εὑρήσετε τοὺς τὰ τοιαῦτα πράττοντας ἢ οὐκ ὄντων αὐτοῖς γνησίων παίδων ἢ διὰ πενίαν ἀναγκαζομένους ξένους ἀνθρώπους εἰσποιεῖσθαι, ὅπως ὠφελῶνταί τι ἀπ' αὐτῶν δι' αὐτοὺς Ἀθηναίων γεγονότων. τῷ τοινυν πατρὶ τούτων οὐδέτερον ὑπάρχει· γνήσιοι μὲν γὰρ αὐτῷ ἡμεῖς δύο υἱεῖς ἐσμέν, ὥστε οὐκ ἄν γε δι' ἐρημίαν τοῦτον εἰσποιοῖτο·
3 ἀλλὰ μὴν οὐδὲ τροφῆς τε καὶ εὐπορίας τῆς παρὰ τούτου δεόμενος· ἔστι γὰρ αὐτῷ βίος ἱκανός, καὶ χωρὶς τούτου μεμαρτύρηται ὑμῖν τοῦτον ἐκ παίδων τρέφων καὶ ἀσκῶν καὶ εἰς φράτορας εἰσάγων, καὶ ταῦτα οὐ μικρὰ δαπανήματά ἐστιν. ὥστε τόν γε πατέρα ἡμῶν οὐκ εἰκός ἐστιν, ὦ ἄνδρες δικασταί, μηδὲν ὠφελούμενον οὕτως ἀδίκῳ
4 πράγματι ἐπιχειρῆσαι. ἀλλὰ μὴν οὐδ' ἐμέ γε οὐθεὶς ἀνθρώπων οὕτω τελέως ἂν ἄφρονα ὑπολάβοι, ὥστε τούτῳ μαρτυρεῖν τὰ ψευδῆ, ὅπως τὰ πατρῷα διὰ πλειόνων

διανείμωμαι. καὶ γὰρ οὐδ' ἀμφισβητῆσαί μοι ἐξουσία
γένοιτ' ἂν ὕστερον ὡς οὐκ ἔστιν ἀδελφὸς οὗτος ἐμοῦ·
οὐθεὶς γὰρ ἂν ὑμῶν τὴν φωνὴν ἀνάσχοιτ' ἂν ἀκούων, εἰ
νῦν μὲν ὑπόδικον ἐμαυτὸν καθιστὰς μαρτυρῶ ὡς ἔστιν
ἀδελφὸς ἡμέτερος, ὕστερον δὲ φαινοίμην τούτοις ἀντιλέ-
5γων. οὐ μόνον τοίνυν ἡμᾶς, ὦ ἄνδρες δικασταί, εἰκός ἐστι
τἀληθῆ μεμαρτυρηκέναι, ἀλλὰ καὶ τοὺς ἄλλους συγγε-
νεῖς. ἐνθυμήθητε γὰρ πρῶτον μὲν ὅτι οἱ τὰς ἀδελφὰς
ἡμῶν ἔχοντες οὐκ ἄν ποτε ἐμαρτύρουν περὶ τούτου τὰ
ψευδῆ. μητρυιὰ γὰρ ἡ τούτου μήτηρ ἐγεγένητο ταῖς ἡμε-
τέραις ἀδελφαῖς, εἰώθασι δέ πως ὡς ἐπὶ τὸ πολὺ διαφέρεσθαι ἀλλήλαις αἵ τε μητρυιαὶ καὶ αἱ πρόγονοι· ὥστε
εἰ οὗτος ἐξ ἄλλου τινὸς ἀνδρὸς ἦν τῇ μητρυιᾷ καὶ οὐκ ἐκ
τοῦ ἡμετέρου πατρός, οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταί,
τοὺς ἑαυτῶν ἄνδρας αἱ ἀδελφαὶ μαρτυρεῖν εἴασαν καὶ
6ἐπέτρεψαν. καὶ μὴν οὐκ ἂν ὁ θεῖος πρὸς μητρὸς ἡμῖν ὤν,
τούτῳ δὲ οὐδὲν προσήκων δήπου, τῇ τούτου μητρὶ ἠθέλησεν
ἄν, ὦ ἄνδρες δικασταί, μαρτυρῆσαι ψευδῆ μαρτυρίαν,
δι' ἣν ἡμῖν γίνεται βλάβη περιφανής, εἴπερ ξένον ὄντα
7τοῦτον εἰσεποιοῦμεν ἀδελφὸν ἡμῖν αὐτοῖς. ἔτι τοίνυν, ὦ
ἄνδρες δικασταί, πρὸς τούτοις πῶς ἄν τις ὑμῶν καταγνοίη ψευδομαρτυρίαν Δημαράτου τουτουὶ καὶ Ἡγήμονος
καὶ Νικοστράτου, οἳ πρῶτον μὲν οὐδὲν αἰσχρὸν οὐδέποτε
φανήσονται ἐπιτηδεύσαντες, εἶτα δ' οἰκεῖοι ὄντες ἡμῖν καὶ
εἰδότες ἡμᾶς ἅπαντας μεμαρτυρήκασιν Εὐφιλήτῳ τούτῳ
8τὴν αὐτοῦ συγγένειαν ἕκαστος. ὥστε ἡδέως κἂν τῶν ἀντιδικούντων ἡμῖν τοῦ σεμνοτάτου πυθοίμην, εἰ ἄλλοθέν
ποθεν ἔχοι ἂν ἐπιδεῖξαι αὐτὸν Ἀθηναῖον ἢ ἐκ τούτων ὢν
καὶ ἡμεῖς Εὐφίλητον ἐπιδείκνυμεν. ἐγὼ μὲν γὰρ οὐκ
οἶμαι ἄλλο τι ἂν αὐτὸν ἢ ὅτι ἡ μήτηρ ἀστὴ τέ ἐστι καὶ ὁ

πατήρ, καὶ ὡς ταῦτ' ἀληθῆ λέγει, παρέχοιτ' ἂν αὐτῷ
9 τοὺς συγγενεῖς μάρτυρας. εἶτα, ὦ ἄνδρες δικασταί, εἰ
μὲν οὗτοι ἐκινδύνευον, ἠξίουν τοῖς αὐτῶν οἰκείοις ὑμᾶς πι-
στεύειν μαρτυροῦσι μᾶλλον ἢ τοῖς κατηγόροις· νυνὶ δὲ
ἡμῶν πάντα ταῦτα παρεχομένων ἀξιώσουσιν ὑμᾶς τοῖς
αὐτῶν πείθεσθαι λόγοις μᾶλλον ἢ τῷ πατρὶ τῷ Εὐφιλή-
του καὶ ἐμοὶ καὶ τῷ ἀδελφῷ καὶ τοῖς φράτορσι καὶ
10 πάσῃ τῇ ἡμετέρᾳ συγγενείᾳ. καὶ μὴν οὗτοι μὲν οὐδὲν
οὐδενὶ κινδυνεύοντες ἰδίας ἔχθρας ἕνεκα ποιοῦσιν, ἡμεῖς
δὲ πάντας ὑποδίκους ἡμᾶς αὐτοὺς καθιστάντες μαρτυ-
11 ροῦμεν. καὶ πρὸς ταῖς μαρτυρίαις, ὦ ἄνδρες δικασταί,
πρῶτον μὲν ἡ τοῦ Εὐφιλήτου μήτηρ, ἣν οὗτοι ὁμολογοῦσιν
ἀστὴν εἶναι, ὅρκον ὀμόσαι ἐπὶ τοῦ διαιτητοῦ ἐβούλετο ἐπὶ
Δελφινίῳ ἢ μὴν τουτονὶ Εὐφιλήτου εἶναι ἐξ αὐτῆς καὶ τοῦ
ἡμετέρου πατρός. καί τοι τίνα προσῆκε μᾶλλον αὐτῆς
ἐκείνης τοῦτο εἰδέναι; ἔπειτα, ὦ ἄνδρες δικασταί, ὁ πα-
τὴρ ὁ ἡμέτερος, ὃν εἰκός ἐστι μετὰ τὴν τούτου μητέρα
ἄριστα τὸν αὑτοῦ υἱὸν γινώσκειν, οὗτος καὶ τότε καὶ νυνὶ
βούλεται ὀμόσαι ἢ μὴν Εὐφίλητον ταῦτον υἱὸν εἶναι αὑτοῦ
12 ἐξ ἀστῆς καὶ γαμετῆς γυναικός. πρὸς τούτοις τοίνυν, ὦ
ἄνδρες δικασταί, ἐγὼ ἐτύγχανον μὲν τρισκαιδεκαέτης ὤν,
ὥσπερ καὶ πρῶτον εἶπον, ὅτε οὗτος ἐγένετο, ἕτοιμος δ'
εἰμὶ ὀμόσαι ἢ μὴν Εὐφίλητον τουτονὶ ἀδελφὸν εἶναι ἐμαυ-
τοῦ ὁμοπάτριον. ὥστε, ὦ ἄνδρες δικασταί, δικαίως ἂν
καὶ τοὺς ἡμετέρους ὅρκους πιστοτέρους νομίζοιτε ἢ τοὺς
τούτων λόγους· ἡμεῖς μὲν γὰρ ἀκριβῶς εἰδότες ὀμόσαι
περὶ αὐτοῦ θέλομεν, οὗτοι δὲ ταῦτα ἀκηκοότες παρὰ τῶν
13 τούτου διαφόρων ἢ αὐτοὶ πλάττοντες λέγουσι. πρὸς δὲ
τούτοις, ὦ ἄνδρες δικασταί, ἡμεῖς μὲν τοὺς συγγενεῖς
μάρτυρας καὶ ἐπὶ τῶν διαιτητῶν καὶ ἐφ' ὑμῶν παρεχό-

μεθα, οἷς οὐκ ἄξιον ἀπιστεῖν· οὗτοι δέ, ἐπειδὴ ἔλαχεν ὁ Εὐφίλητος τὴν δίκην τὴν προτέραν τῷ κοινῷ τῶν δημοτῶν καὶ τῷ τότε δημαρχοῦντι, ὃς νῦν τετελεύτηκε, δύο ἔτη τοῦ διαιτητοῦ τὴν διαιταν ἔχοντος οὐκ ἠδυνήθησαν οὐδεμίαν μαρτυρίαν εὑρεῖν ὡς οὑτοσὶ ἄλλου τινὸς πατρός ἐστιν ἢ
14 τοῦ ἡμετέρου. τοῖς δὲ διαιτῶσι μέγιστα σημεῖα ἦν τοῦ ψεύδεσθαι τούτους, καὶ κατεδιήτησαν αὐτῶν ἀμφότεροι. Καί μοι λάβε τῆς προτέρας διαίτης τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

15 Ὡς μὲν τοίνυν καὶ τότε ὤφλον τὴν δίαιταν, ἀκηκόατε, ἀξιῶ δέ, ὦ ἄνδρες δικασταί, ὥσπερ οὗτοι μετὰ ταῦτα ἔφησαν εἶναι σημεῖον ὡς οὐκ ἔστιν Ἡγησίππου, εἰ οἱ διαιτηταὶ αὐτῶν ἀπεδιήτησαν, οὕτω τὸ νῦν ἡμῖν τοιοῦτον εἶναι μαρτύριον ὅτι ἀληθῆ λέγομεν, ἐπεὶ ἔδοξαν αὐτοὶ ἀδικεῖν τοῦτον Ἀθηναῖον ὄντα καὶ κυρίως πρῶτον ἐγγρα-
16 φέντα ὕστερον ἐξαλείψαντες. Ὅτι μὲν οὖν ἀδελφὸς ἡμῶν ἐστὶν οὑτοσὶ Εὐφίλητος καὶ πολίτης ὑμέτερος, καὶ ἀδίκως ὑβρίσθη ὑπὸ τῶν ἐν τῷ δήμῳ συστάντων, ἱκανῶς οἶομαι ὑμᾶς, ὦ ἄνδρες δικασταί, ἀκηκοέναι.

Dionys. Hal. t. v. p. 618. Reisk.

β.

ΕΚ ΤΟΥ ΥΠΕΡ ΕΥΜΑΘΟΥΣ.

Ἄνδρες δικασταί, ἐγὼ καὶ πρότερον Εὐμάθει τούτῳ ἐγενόμην χρήσιμος, καὶ δικαίως, καὶ νῦν, εἴ τί ἐστιν ἐν ἐμοί, πειράσομαι συσσώζειν αὐτὸν μεθ' ὑμῶν· μικρὰ δέ μου ἀκούσατε, ἵνα μηθεὶς ὑπολάβῃ ὑμῶν ὡς ἐγὼ προπετείᾳ ἢ ἄλλῃ τινὶ ἀδικίᾳ πρὸς τὰ Εὐμάθους πράγματα
2 προσῆλθον. τριηραρχοῦντος γάρ μου ἐπὶ Κηφισοδώρου ἄρχοντος, καὶ λόγου ἀπαγγελθέντος πρὸς τοὺς οἰκείους ὡς

ἄρα τετελευτηκὼς εἴην ἐν τῇ ναυμαχίᾳ, οὔσης μοι παρακαταθήκης παρ' Εὐμάθει τούτῳ, μεταπεμψάμενος τοὺς οἰκείους τε καὶ φίλους τοὺς ἐμοὺς Εὐμάθης ἐνεφάνισε τὰ χρήματα ἃ ἦν μοι παρ' αὐτῷ καὶ ἀπέδωκε πάντα ὀρθῶς
3 καὶ δικαίως. ἀνθ' ὧν ἐγὼ σωθεὶς ἐχρώμην αὐτῷ ἔτι μᾶλλον, καὶ κατασκευαζομένῳ τὴν τράπεζαν προσεισεπόρησα ἀργυρίου, καὶ μετὰ ταῦτα ἄγοντος αὐτὸν Διονυσίου ἐξειλόμην εἰς ἐλευθερίαν, εἰδὼς ἀφειμένον ἐν τῷ δικαστηρίῳ ὑπὸ Ἐπιγένους· ἀλλὰ περὶ μὲν τούτων ἐπισχήσω.

Id. p. 593.

γ.

ΕΚ ΤΗΣ ΕΠΙΤΡΟΠΟΥ ΑΠΟΛΟΓΙΑΣ.

Ἠβουλόμην μέν, ὦ ἄνδρες δικασταί, μὴ λίαν οὕτως ἀγνοηθέντα πρὸς χρήματ' ἔχειν αἰσχρῶς ὥστε τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν καὶ δίκας τοιαύτας λαγχάνειν, ἀλλ' οὐ τό γε οὖν ἀδελφιδοῦν ἐμὸν καὶ κύριον τῆς πατρῴας οὐσίας, οὐ μικρᾶς ἀλλ' ἱκανῆς ὥστε καὶ λειτουργεῖν ὑφ' ἡμῶν αὐτῷ παραδοθείσης, ταύτης ἐπιμελεῖσθαι, τῶν δ' ἐμῶν μὴ ἐπιθυμεῖν, ἵνα βελτίων τ' ἐδόκει πᾶσιν εἶναι σώζων αὐτὴν καὶ πλείω ποιῶν χρησιμώτερον ὑμῖν πολί-
2 την παρεῖχεν ἑαυτόν. ἐπεὶ δὲ τὴν μὲν ἀνῄρηκε καὶ πέπρακε καὶ αἰσχρῶς καὶ κακῶς διολώλεκεν, ὡς οὐκ ἂν ἠβουλόμην, πιστεύων δ' ἑταιρίαις καὶ λόγων παρασκευαῖς ἐπὶ τὴν ἐμὴν ἐλήλυθεν, ἀνάγκη, ὡς ἔοικε, συμφορὰν μὲν εἶναι νομίζειν ὅτι τοιοῦτός ἐστιν οἰκεῖος ὤν, ἀπολογεῖσθαι δὲ περὶ ὧν ἐγκέκληκε καὶ ἔξω [μὲν] τοῦ πράγματος διαβέβληκεν, ὡς ἂν [οὖν] δυνώμεθα προθυμότατα πρὸς ὑμᾶς.

Id. p. 598.

δ.

Φαίνομαι τοίνυν ἐγὼ μὲν δικαίων ταῦτα καὶ τὰ πράγματα εἰς βασάνους ἄγων, οὗτος δὲ ἐπὶ διαβολὰς καὶ λόγους καθιστάς, ὅπερ ἄν τις πλεονεκτεῖν βουλόμενος ἐποίησεν. ἐχρῆν δὲ αὐτόν, εἴπερ τι δίκαιον ἐφρόνει καὶ μὴ παρακρούσασθαι τὰς ὑμετέρας γνώμας ἐζήτει, μὴ μὰ Δία ταῦτα ποιεῖν, ἀλλ' ἐπὶ τὸν λογισμὸν μετὰ μαρτύρων ἐλθεῖν καὶ ἐξετάζειν ἕκαστα τῶν ἐν τῷ λόγῳ, τοῦ-
2 τον τὸν τρόπον παρ' ἐμοῦ πυνθανόμενον. εἰσφορὰς λογίζῃ πόσας; τόσας καὶ τόσας. κατὰ πόσον ἀργύριον εἰσενηνεγμένας; κατὰ τόσον καὶ τόσον. κατὰ ποῖα ψηφίσματα; κατὰ ταυτί. ταύτας εἰλήφασι τίνες; οἱ καὶ ταῦτα μαρτυρήσοντες. σκέψασθαι τὰ ψηφίσματα, τὸ πλῆθος τῶν εἰσφορῶν, τὰ εἰσενηνεγμένα, τοὺς λαβόντας, καὶ εἰ μὲν εὖ . . . τε, τῷ λόγῳ πιστεύειν, εἰ δὲ μή, νῦν παρασχέσθαι μάρτυρας, εἴ τι ψεῦδος ἦν ὧν ἐλογισάμην αὐτοῖς.

Id. p. 607.

ε.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΟΥ ΧΩΡΙΟΥ ΠΡΟΣ ΤΟΥΣ ΔΗΜΟΤΑΣ.

Μάλιστα μὲν ἐβουλόμην, ὦ ἄνδρες δικασταί, μηδ' ὑφ' ἑνὸς ἀδικεῖσθαι τῶν πολιτῶν, εἰ δὲ μή, τοιούτων ἀντιδίκων τυχεῖν πρὸς οὓς ἂν οὐδὲν ἐφρόντιζον διαφερόμενος. νῦν δέ μοι πάντων πραγμάτων λυπηρότατον συμβέβηκεν· ἀδικοῦμαι γὰρ ὑπὸ τῶν δημοτῶν, οὓς περιορᾶν μὲν ἀποστεροῦντας οὐ ῥᾴδιον, ἀπέχθεσθαι δὲ ἡδέως, μεθ' ὧν
2 ἀνάγκη καὶ συνουσίας κοινὰς ποιεῖσθαι. πρὸς μὲν οὖν πολλοὺς χαλεπὸν ἀντιδικεῖν· μέγα γὰρ μέρος συμβάλλεται τὸ πλῆθος αὐτοῖς πρὸς τὸ δοκεῖν ἀληθῆ λέγειν·

ὅμως δὲ διὰ τὸ πιστεύειν τοῖς πράγμασι πολλῶν μοι καὶ δυσκόλων συμπιπτόντων οὐχ ἡγούμην δεῖν κατοκνῆ-
3 σαι δ' ὑμῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαίων. δέομαι οὖν ὑμᾶς συγγνώμην ἔχειν, εἰ καὶ νεώτερος ὢν λέγειν ἐπὶ δικαστηρίου τετόλμηκα· διὰ γὰρ τοὺς ἀδικοῦντας ἀναγκάζομαι παρὰ τὸν ἐμαυτοῦ τρόπον τοιοῦτόν τι ποιεῖν. πειράσομαι δ' ὑμῖν ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι διὰ βραχυτάτων εἰπεῖν περὶ τοῦ πράγματος.

Id. p. 603.

ε.

Καὶ οὗτος γὰρ ὁ πάντων ἀνθρώπων σχετλιώτατος, οὐ παρεχόμενος αὐτῶν μάρτυρας δοῦναι ὧν ἐναντίον ἡμῖν ἀποδοῦναί φησιν, [ὡς] ἐκείνοις πιστεύειν προσποιεῖται
2 μᾶλλον ὡς ἀποδεδώκασιν ἡμῖν, ἢ ἡμῖν ὡς οὐκ ἀπειλήφαμεν. καίτοι πᾶσι φανερόν, ὡς ἔοικε, τὸν τούτου πατέρα ἀποστεροῦν ὄντα ἐπίτιμον ὅτι ἡμῖν ἐκόντες οὐκ ἂν ἀπεδοσαν εἰσπράξασθαι οὕτως ἔχοντος οὐκ ἂν ἐδυνήθημεν.

Id. p. 609.

ζ.

Ὧι γάρ, ἃ μὲν ὑπῆρχεν ἔξω τῶν ἀποτιμηθέντων, καταλελειτουργηκότι, δανειζομένῳ δ' οὐδεὶς ἂν ἔδωκεν ἐπ' αὐτοῖς ἔτι πλέον οὐδέν, ἀποδεδωκότι τὰς μισθώσεις, ἔχειν ἐμοὶ προσῆκον ἀναμφισβητήτως, οὗτοι τηλικαύτην δίκην λαχόντες καὶ σφέτερα αὐτῶν εἶναι φάσκοντες ἐκώλυσάν με ἐξ αὐτῶν ποιήσασθαι τὴν ἐπισκευήν.

Id. p. 610.

ΔΕΙΝΑΡΧΟΣ.

ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

Α.

Ο ΜΕΝ δημαγωγὸς ὑμῖν, ὦ Ἀθηναῖοι, καὶ θανάτου τετιμημένος ἑαυτῷ [a] ἦν ἐξελεγχθῇ ὁτιοῦν εἰληφὼς παρ' Ἁρπάλου, οὗτος [b] φανερῶς ἐξελήλεγκται δῶρα εἰληφὼς παρὰ τούτων οἷς ἐναντία πράττειν ἔφη τὸν ἄλλον χρόνον· πολλῶν δ' ὑπὸ Στρατοκλέους εἰρημένων καὶ τῶν πλείστων προκατειλημμένων κατηγορημάτων, καὶ περὶ μὲν αὐτῆς τῆς [c] ἀποφάσεως τῆς ἐξ Ἀρείου πάγου βουλῆς δικαίας καὶ ἀληθεῖς ἀποδείξεις εἰρηκυίας, περὶ δὲ τῶν ἀκολούθων τούτοις Στρατοκλέους εἰρηκότος καὶ τὰ ψηφίσματα ἀνεγνωκότος ἤδη τὰ περὶ τούτων, ὑπόλοιπον ἡμῖν, ὦ Ἀθηναῖοι, καὶ ταῦτ' ἀγωνιζομένοις ἀγῶνα τηλικοῦτον ἡλίκος οὐδεπώποτε γέγονε τῇ πόλει, κοινῇ πᾶσιν [d] ὑμῖν παρακελεύεσθαι πρῶτον μὲν ἡμῖν τοῖς λοιποῖς συγγνώμην ἔχειν, ἂν τῶν αὐτῶν ἐνίοις περιπίπτωμεν (οὐ γὰρ ἵνα ἐνοχλῶμεν ὑμᾶς, ἀλλ' ἵνα ὀργίζησθε μᾶλλον παροξυνόμενοι, δίκ περὶ τῶν αὐτῶν ἐροῦμεν), ἔπειτα μὴ προΐεσθαι τὰ κοινὰ τῆς πόλεως ἁπάσης δίκαια, μηδὲ τὴν κοινὴν σωτηρίαν ἀντικαταλλάξασθαι τῶν τοῦ κρινομένου λόγων. ὁρᾶτε γάρ, ὦ Ἀθηναῖοι, ὅτι παρὰ μὲν ὑμῖν Δημοσθένης οὑτοσὶ κρίνεται, παρὰ δὲ τοῖς ἄλλοις ὑμεῖς·

[a] ἦν Stephanus: libri ἵνα.
[b] φανερῶς ἐξελήλεγκται] φανερὸς ἐξελήλεκται L.
[c] ἀποφάσεως] ἀποφάνσεως H. Wolfius.
[d] ὑμῖν] ἡμῖν L.

οἱ σκοποῦσι τίνα ποτὲ γνώμην ἔξετε περὶ τῶν τῇ πατρίδι συμφερόντων, καὶ πότερον τὰς ἰδίας τούτων δωροδοκίας καὶ πονηρίας [e] ἀναδέχεσθε εἰς ὑμᾶς αὐτούς, ἢ φανερὸν πᾶσιν ἀνθρώποις ποιήσετε διότι μισεῖτε τοὺς κατὰ τῆς πολιτείας δῶρα λαμβάνοντας, καὶ οὐχ ἵν' ἀφῆτε ζητεῖν προσετάξατε τῇ ἐξ Ἀρείου πάγου βουλῇ, ἀλλ' ἵνα ἀποφηνάντων [f] τούτων ὑμεῖς τιμωρήσησθε τῶν ἀδικημάτων ἀξίως. νυνὶ [g] τοίνυν τοῦτο ἐφ' ὑμῖν ἐστί. ψηφισαμένου γὰρ τοῦ δήμου δίκαιον ψήφισμα, καὶ πάντων τῶν πολιτῶν βουλομένων εὑρεῖν τίνες εἰσὶ τῶν ῥητόρων οἱ τολμήσαντες ἐπὶ διαβολῇ καὶ κινδύνῳ τῆς πόλεως χρήματα παρὰ Ἁρπάλου λαβεῖν, καὶ πρὸς τούτοις ψήφισμά τι γράψαντος ὦ Δημόσθενες σοῦ καὶ ἑτέρων πολλῶν, ζητεῖν τὴν βουλὴν περὶ αὐτῶν, ὡς αὐτῇ πάτριόν ἐστιν, εἴ τινες εἰλήφασι παρὰ Ἁρπάλου χρυσίον, ζητεῖ ἡ βουλή, οὐκ ἐκ τῶν προκλήσεων μαθοῦσα τὸ δίκαιον, οὐδὲ τὴν ἀλήθειαν καὶ τὴν πίστιν τὴν περὶ αὐτῆς ἐπὶ σοῦ καταλῦσαι βουλομένη, ἀλλ' ὅπερ καὶ αὐτοὶ οἱ Ἀρεοπαγῖται εἶπον, προορῶσα ἡ βουλὴ ὦ ἄνδρες τὴν τούτων [h] ἰσχὺν καὶ τὴν ἐν τῷ λέγειν καὶ πράττειν δύναμιν, οὐκ οἰομένη δὲ δεῖν οὐδεμίαν ὑπολογίζεσθαι τῶν περὶ αὐτῆς ἐσομένων βλασφημιῶν, εἴ τις [i] μέλλει τῇ πατρίδι [j] αὐτοῖς αἰτία μοχθηρὰ καὶ κίνδυνος ἔσεσθαι. τούτων, ὡς ἐδόκει τῷ δήμῳ, καλῶς καὶ συμφερόντως πεπραγμένων αἰτίαι νῦν καὶ προκλήσεις καὶ συκοφαντίαι [k] παρὰ Δημοσθένους ἥκουσιν, ἐπειδὴ οὗτος ἀποπέφανται εἴκοσι τάλαντα ἔχων χρυσίου· καὶ ἡ

[e] ἀναδέχεσθε] ἀναδέξεσθε Stephanus.
[f] τούτων] om. Z.
[g] τοίνυν] vulg. om.
[h] ἰσχὺν καὶ] Particulam sumpsi ab A.B.L.Z. quod sequitur δύναμιν, ab A.B.
[i] μέλλει A.B. μέλλῃ L.Z. vulg. μέλλει.
[j] αὐτοῖς B.L. vulg. αὐτῆς.
[k] παρὰ Δημοσθένους] παρὰ τῶν Δημοσθένους L.

τῶν ἐκ προνοίας φόνων ἀξιόπιστος οὖσα βουλὴ τὸ δίκαιον
καὶ ἀληθὲς εὑρεῖν, καὶ κυρία δικάσαι τε περὶ τοῦ σώ-
ματος καὶ τῆς ψυχῆς ἑκάστου τῶν πολιτῶν, καὶ τοῖς 91
μὲν βιαίῳ θανάτῳ τετελευτηκόσι βοηθῆσαι, τοὺς δε παρά-
νομόν τι τῶν ἐν τῇ πόλει διαπεπραγμένους ἐκβαλεῖν ἢ
θανάτῳ ζημιῶσαι, νῦν ἐπὶ τοῖς κατὰ Δημοσθένους ἀπο-
πεφασμένοις χρήμασιν ἄκυρος ἔσται τοῦ δικαίου.

8 Ναί· κατέψευσται γὰρ ἡ βουλὴ Δημοσθένους. τουτὶ
γάρ ἐστιν ὑπερβολὴ τοῦ πράγματος. σοῦ κατέψευσται 8
καὶ Δημάδου; καθ' ὧν οὐδὲ τἀληθὲς εἰπεῖν, ὡς ἔοικεν,
ἀσφαλές ἐστιν; οἱ πολλὰ πρότερον τῶν κοινῶν ἐκείνῃ ζη-
τεῖν προσετάξατε καὶ διὰ τὰς [l] γενομένας ζητήσεις ἐπη-
νέσατε; οὓς δ' ἡ πόλις ἅπασα οὐ δύναται ἀναγκάσαι
τὰ δίκαια ποιεῖν, κατὰ τούτων ἡ βουλὴ ψευδεῖς ἀποφά-
9σεις πεποίηται; ὦ Ἡράκλεις. διὰ τί οὖν ἐν τῷ δήμῳ
συνεχώρεις, ὦ Δημόσθενες, ἐὰν ἀποφήνῃ σου ἡ βουλή, 10
θάνατον ἑαυτῷ τὴν ζημίαν; καὶ διὰ τί πολλοὺς ἀνήρηκας
σὺ ταῖς τῆς βουλῆς ἰσχυριζόμενος ἀποφάσεσιν; ἢ [m] ποῖ
νῦν ἐλθὼν ὁ δῆμος ἢ τίσι προστάξας ζητεῖν περὶ τῶν
ἀφανῶν καὶ μεγάλων ἀδικημάτων [n] εὕρῃ τὴν ἀλήθειαν;
10 τὸ μὲν γὰρ συνέδριον τὸ πρότερον δοκοῦν εἶναι πιστὸν σὺ
καταλύεις ὁ δημοτικὸς εἶναι φάσκων, ᾧ τὴν τῶν σωμά-
των φυλακὴν ὁ δῆμος παρακαταθηκην ἔδωκεν, ᾧ τὴν 15
πολιτείαν καὶ δημοκρατίαν πολλάκις [o] ἐγκεχείρικεν, [p] ὃ
διαπεφύλαχε τὸ σὸν σῶμα τοῦ βλασφημεῖν περὶ αὐτοῦ
μέλλοντος πολλάκις (ὡς σὺ φῄς) ἐπιβουλευθέν, [q] ὃ φυ-
λάττει τὰς ἀπορρήτους διαθήκας, ἐν αἷς τὰ τῆς πόλεως
σωτήρια κεῖται.

[l] γενομένας] vulg. γινομένας. L.Z.
[m] ποῖ Reiskius: libri ποῦ.
[n] εὕρῃ A.B.L. vulg. εὕροι.
[o] ἐγκεχείρικεν] ἐγκεχείρηκεν B.
[p] ὃ διαπεφύλαχε Reiskius cum H. Wolfio: libri ᾧ διαπεφύλακε.
[q] ὃ H. Wolfius: libri ᾧ.

11 Δίκαια μὲν οὖν, δίκαια τρόπον γέ τινα πάσχει τὸ συνέδριον· εἰρήσεται γὰρ ἃ γινώσκω. δυοῖν γὰρ θάτερον ἐχρῆν αὐτούς, ἢ καὶ τὴν προτέραν ζήτησιν τὴν [r]ὑπὲρ τῶν τριακοσίων ταλάντων τῶν παρὰ τοῦ Περσῶν βασιλέως ἀφικομένων ζητεῖν, καθάπερ συνέταξεν ὁ δῆμος, ἵνα τότε δόντος δίκην τοῦ θηρίου τούτου, καὶ τῶν μερισαμένων ἐκεῖνα τὰ χρήματα φανερῶν γενομένων, καὶ τῆς περὶ Θηβαίους προδοσίας ἐξελεγχθείσης ἣν οὗτος [s]προδέδωκεν, ἀπηλ-
12 λάγμεθα τούτου τοῦ δημαγωγοῦ δίκην ἀξίαν δόντος· ἢ εἰ ταῦθ' ὑμεῖς ἐβούλεσθε Δημοσθένει συγχωρεῖν καὶ πολλοὺς ἐν τῇ πόλει τοὺς καθ' ὑμῶν [t]δωροδοκήσοντας εἶναι, τὴν περὶ τῶν νῦν ἀποπεφασμένων ζήτησιν χρημάτων μὴ προσδέχεσθαι, πεῖραν ὑμῶν ἐν τοῖς πρότερον εἰληφότας, ὅπου [u]γε οὕτω καλῶς καὶ δικαίως τῆς ἀποφάσεως τῆς κατὰ τούτου καὶ τῶν ἄλλων νυνὶ γεγενημένης, καὶ τῆς ἐξ Ἀρείου πάγου βουλῆς οὔτε τὴν Δημοσθένους οὔτε τὴν Δημάδου δύναμιν ὑποστειλαμένης, ἀλλὰ τὸ δίκαιον αὐτὸ καὶ τὰ-
13 ληθὲς προὐργιαίτερον πεποιημένης, [x]οὐδὲν ἧττον περιέρχεται Δημοσθένης περί τε τῆς βουλῆς βλασφημῶν καὶ περὶ ἑαυτοῦ λέγων [y]οἷσπερ ἴσως καὶ πρὸς ὑμᾶς [z]αὐτίκα χρήσεται λόγοις ἐξαπατῶν ὑμᾶς, ὡς "ἐγὼ Θηβαίους ὑμῖν ἐποίησα συμμάχους." οὔκ, ἀλλὰ τὸ κοινῇ συμφέρον ἀμφοτέραις ἐλυμήνω ταῖς πόλεσιν, ὦ Δημόσθενες. "ἐγὼ "παρέταξα πάντας εἰς Χαιρώνειαν." οὔκ, ἀλλὰ ἔλιπες μόνος αὐτὸς τὴν ἐκεῖ τάξιν. "ἐγὼ πολλὰς ὑπὲρ ὑμῶν
14 "ἐπρέσβευσα πρεσβείας." ἐφ' [a]οἷς οὐκ οἶδ' ὅ τι ποτ' ἂν [b]ἐποίησεν ἢ τίνας ἂν εἶπε λόγους, εἰ συνέβη κατορθῶ-

[r] ὑπὲρ] περὶ Z.
[s] προδέδωκεν] προσδέδωκεν Z.
[t] δωροδοκήσοντας] δωροδοκήσαντας Z. et pr. A.
[u] γε] libri γάρ.
[x] οὐδὲν] οὐδὲ L.Z.
[y] οἷσπερ ἴσως Reiskius: libri εἷς περισσῶς.
[z] αὐτίκα] αὐτοὺς Z.
[a] οἷς] Reiskius αἷς.
[b] ἐποίησεν A. vulg. ἐποίει.

σαι αὐτῷ ἃ συνεβούλευσεν, [c]ὃς ἐπὶ τοῖς τοιούτοις ἀτυχήμασι καὶ κακοῖς ἅπασαν ἐπεληλυθὼς τὴν οἰκουμένην ὅμως ἀξιοῖ δωρεὰς αὐτῷ δεδόσθαι τὰς μεγίστας, λαμβάνειν δῶρα κατὰ τῆς πατρίδος καὶ λέγειν καὶ πράττειν
15 κατὰ τοῦ δήμου ἃ ἂν βούληται. καὶ Τιμοθέῳ μέν, ὦ 40
Ἀθηναῖοι, Πελοποννησον περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ [d]ναυμαχίαν νικήσαντι Λακεδαιμονίους καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντος καὶ Μεθώνην καὶ Πύδναν καὶ Ποτίδαιαν καὶ πρὸς ταύταις ἑτέρας εἴκοσι πόλεις, οὐκ ἐποιήσασθε [e]ὑπόλογον, οὐδὲ τῆς τότε ἐνεστώσης κρίσεως [f]οὐδὲ τῶν ὅρκων, οὓς ὀμωμοκότες ἐφέρετε τὴν ψῆφον, [g]ἀντικατηλλάξασθε τὰς τοι- 92
αύτας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων ἐτιμήσατε, ὅτι χρήματ' [h]αὐτὸς ἔφη παρὰ Χίων εἰληφέναι καὶ Ῥοδίων·
16 τὸν δὲ κατάπτυστον τοῦτον καὶ Σκύθην (ἐξάγομαι γάρ) ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα [i]ἀποπέφαγκε χρήματα ἔχειν καθ' ὑμῶν, καὶ ὃς ἀποπέφανται μισθαρνῶν καὶ δωροδοκῶν κατὰ τῆς πό- 5
λεως καὶ ταῦτα ἐξελήλεγκται, τοῦτον οὐ τιμωρησάμενοι παράδειγμα ποιήσετε τοῖς ἄλλοις; ὃς οὐκ ἐκ τῶν βασιλικῶν [j]μόνον εἰληφὼς [k]χρυσίον [l]φανερός ἐστιν, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς πόλεως κεχρηματισμένος· ὁ νῦν οὐδὲ τῶν
ὑπὸ Ἁρπάλου κομισθέντων [m]χρημάτων εἰς τὴν πόλιν ἀπο-
17 σχόμενος. καίτοι τί μέρος ἐστὶ τῶν ὑπὸ Τιμοθέου [n]πε-

[c] ὃς Reiskius: libri ὁ.
[d] ναυμαχίαν] ναυμαχίᾳ Z.
[e] ὑπόλογον] ὑπὸ λόγον A.L.
[f] οὐδὲ] καὶ est infra p. 110, 25. Nec minus placet, quod ibi est φέρετε.
[g] ἀντικατηλλάξασθε] ἀντικαταλλάξασθαι A.B.L.Z.
[h] αὐτὸς] Infra αὐτὸν Ἀριστοφῶν.
[i] ἀποπέφαγκε A.B. vulg. ἀποπέφανται.
[j] μόνον] μόνος A.Z.
[k] χρυσίον] χρυσίους Z.
[l] φανερός] φανερῶς B.L.
[m] χρημάτων εἰς τὴν πόλιν] εἰς τὴν πόλιν χρημάτων Z.
[n] πεπραγμένων] πεπραμένων B.L.

πραγμένων ἀγαθῶν ἃς Δημοσθένης ἐπρέσβευσεν εἰς Θήβας πρεσβείας; ἢ τίς οὐκ ἂν καταγελάσειεν ὑμῶν τῶν τοῦτο τολμῶντων ἀκούειν, ἀντιθεὶς ἐφ' αἷς οὗτος σεμνύεται [o]πράξεσιν ἐκείνας ἃς Τιμόθεος ὑμᾶς καὶ Κόνων [p]εὐεργέτησαν; ἀλλὰ γὰρ οὐ πρὸς τοῦτο τὸ κάθαρμα παραβάλλειν δεῖ τοὺς ἄξια καὶ τῆς πόλεως καὶ τῶν προγόνων ὑπὲρ ὑμῶν πράξαντας. παρασχόμενος οὖν τὸ ψήφισμα τὸ Τιμοθέῳ [q]γενόμενον πάλιν ἐπὶ τοὺς περὶ τούτου λόγους βαδιοῦμαι. Λέγε.

ΨΗΦΙΣΜΑ.

18 Ὁ τοιοῦτος [r]ὦ Δημόσθενες πολίτης, ὃς δικαίως [s]ἂν καὶ συγγνώμης καὶ χάριτος ἐτύγχανε παρὰ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμπολιτευομένων, οὐ λόγοις ἀλλ' ἔργοις μεγάλα [t]τὴν πόλιν ἀγαθὰ ποιήσας, καὶ διαμείνας ἐπὶ τῆς πολιτείας καὶ οὐκ ἄνω καὶ κάτω [u]μεταβαλλόμενος ὥσπερ σύ, ἐτελεύτησεν οὐ τηλικαύτας τὸν δῆμον αἰτήσας δωρεὰς ὥστε τῶν νόμων εἶναι κρείττων, οὐδ' οἰόμενος δεῖν τοὺς ὀμωμοκότας κατὰ τοὺς νόμους οἴσειν τὴν ψῆφον [v]ἄλλο τι προυργιαίτερον ποιεῖσθαι τῆς εὐσεβείας, ἀλλ' ὑπομένων [w]καὶ κρίνεσθαι, εἰ δόξειε τοῖς δικασταῖς, καὶ οὐ καιροὺς λέγων, οὐδ' ἕτερα φρονῶν καὶ δημηγορῶν.

19 Οὐκ ἀποκτενεῖτε, [x]ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μιαρὸν τοῦτον ἄνθρωπον, ὃς πρὸς ἑτέροις πολλοῖς καὶ μεγάλοις ἁμαρτήμασι καὶ τὴν Θηβαίων πόλιν περιεῖδεν ἀνάστατον γενομένην, τριακόσια τάλαντα λαβὼν εἰς τὴν ἐκείνων

[o] πράξεσιν] πράξεις pr. A.
[p] εὐεργέτησαν A.B.L. vulg. εὐηργέτησαν.
[q] γενόμενον—τούτου] γινόμενον—τούτους Z.
[r] ὦ] ὁ A.
[s] ἂν] om. Z.
[t] τὴν πόλιν] vulg. τῇ πόλει.
[u] μεταβαλλόμενος] μεταβαλόμενος pr. A.
[v] ἄλλο—εὐσεβείας] Hæc vulg. omissa supra versum ponit rec. A.
[w] καὶ post ὑπομένων om. Z.
[x] ὦ] om. A.B.

σωτηρίαν παρὰ τοῦ Περσῶν βασιλέως, καὶ Ἀρκάδων ἡκόν-
των εἰς Ἰσθμὸν καὶ τὴν μὲν παρὰ Ἀντιπάτρου πρεσβείαν
ἄπρακτον ἀποστειλάντων, τὴν δὲ παρὰ Θηβαίων τῶν
ταλαιπώρων προσδεξαμένων, οἱ κατὰ θάλατταν μόλις
ἀφίκοντο πρὸς ἐκείνους, ἱκετηρίαν ἔχοντες καὶ κηρύκια
συμπεπλεγμένα (ὡς ἔφασαν) ἐκ τῶν θαλλῶν, ἐροῦντες
τοῖς Ἀρκάσιν ὅτι οὐ [y]τὴν πρὸς [z]τοὺς Ἕλληνας φιλίαν
Θηβαῖοι διαλῦσαι βουλόμενοι τοῖς πράγμασιν ἐπανέστη-
σαν, οὐδ' ἐναντίον τῶν Ἑλλήνων οὐδὲν πράξοντες, ἀλλὰ
τὰ παρ' αὐτοῖς ὑπὸ τῶν Μακεδόνων ἐν τῇ πόλει [a]γινό-
μενα φέρειν οὐκέτι δυνάμενοι, οὐδὲ τὴν δουλείαν ὑπομένειν,
οὐδὲ τὰς ὕβρεις [b]ὁρᾶν τὰς εἰς τὰ ἐλεύθερα σώματα γινο-
μένας. οἷς ἑτοίμων γενομένων τῶν Ἀρκάδων βοηθεῖν, καὶ
ἐλεησάντων ἐν οἷς [c]ἦσαν κακοῖς, καὶ φανερὸν ποιησάντων
ὅτι τοῖς μὲν σώμασι μετὰ Ἀλεξάνδρου διὰ τοὺς καιροὺς
ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δ' εὐνοίαις μετὰ Θηβαίων
καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἦσαν, καὶ τοῦ στρατη-
γοῦ αὐτῶν Ἀστύλου ὠνίου ὄντος (ὥσπερ καὶ Στρατοκλῆς
εἶπε) καὶ δέκα τάλαντα αἰτοῦντος ὥστε ἀγαγεῖν τὴν
βοήθειαν τοῖς Θηβαίοις, καὶ τῶν πρεσβευτῶν ὡς τοῦτον
ἐλθόντων, ὃν ἤδεσαν ἔχοντα τὸ βασιλικὸν χρυσίον, καὶ
δεομένων καὶ ἱκετευόντων δοῦναι τὰ χρήματα εἰς τὴν
τῆς πόλεως σωτηρίαν, οὐκ ἐτόλμησεν ὁ μιαρὸς οὗτος
καὶ ἀσεβὴς καὶ αἰσχροκερδὴς ἀπὸ τῶν πολλῶν χρημά-
των ὧν εἶχε δέκα μόνον τάλαντα δοῦναι, τοσαύτας ὁρῶν
ἐλπίδας [d]ὑποφαινούσας εἰς τὴν Θηβαίων σωτηρίαν, ἀλλὰ
περιεῖδεν [e]ἑτέρους δόντας τοῦτο τὸ ἀργύριον (ὥσπερ καὶ
Στρατοκλῆς εἶπεν) ὑπὲρ τοῦ πάλιν ἀπελθεῖν οἴκαδε τοὺς

[y] τὴν] om. Z.
[z] τοὺς] om. L.Z. cum vulg.
[a] γινόμενα Z. vulg. γενόμενα.
[b] ὁρᾶν τὰς] Libri ὁρῶντες.
[c] ἦσαν A. vulg. ἥκουσαν.
[d] ὑποφαινούσας A.B. vulg. ὑποβαινούσας.
[e] ἑτέρους] ἑταίρους Z.

ἐξεληλυθότας Ἀρκάδων καὶ μὴ βοηθῆσαι τοῖς Θηβαίοις.
23 Ἀρ' ὑμῖν δοκεῖ μικρῶν κακῶν ἢ τῶν τυχόντων ὅλῃ τῇ 93
Ἑλλάδι αἴτιος γεγενῆσθαι Δημοσθένης καὶ ἡ τούτου φι-
λαργυρία; ἢ προσήκειν αὐτὸν ὑφ' ὑμῶν ἐλέου τινὸς τυγ-
χάνειν τοιαῦτα [f]διαπεπραγμένον, ἀλλ' οὐ τῆς ἐσχάτης
τιμωρίας καὶ ὑπὲρ τῶν νῦν καὶ ὑπὲρ τῶν πρότερον γεγεν-
ημένων ἀδικημάτων; ἀκούσονται τὴν κρίσιν, ὦ Ἀθηναῖοι, 5
τὴν ὑφ' ὑμῶν ἐν τῇ τήμερον ἡμέρᾳ γεγενημένην πάντες ἄν-
θρωποι· θεωρήσουσιν ὑμᾶς τοὺς κρίνοντας, ὅπως χρῆσθε
24 τῷ [g]τὰ τοιαῦτα διαπεπραγμένῳ. ὑμεῖς ἔσθ' οἱ διὰ [h]πολ-
λῷ τῶν ὑπὸ τούτου πεπραγμένων ἀδικημάτων ἐλάττω
μεγάλας καὶ ἀπαραιτήτους ἐνίοις [i]ἐπιτεθεικότες τιμω-
ρίας. ὑμεῖς Μένωνα μὲν τὸν μυλωθρὸν ἀπεκτείνατε, διότι
παῖδα ἐλεύθερον [k]ἐκ Πελλήνης ἔσχεν ἐν τῷ μύλωνι· Θε- 10
μίστιον δὲ τὸν Ἀφιδναῖον, διότι τὴν Ῥοδίαν κιθαρίστριαν
ὕβρισεν Ἐλευσινίοις, θανάτῳ ἐζημιώσατε· Εὐθύμαχον δέ,
διότι τὴν Ὀλυνθίαν παιδίσκην ἔστησεν ἐπ' οἰκήματος.
25 διὰ δὲ τοῦτον τὸν προδότην παῖδες καὶ γυναῖκες αἱ Θη-
βαίων ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διενεμήθησαν, πόλις
[l]ἀστυγείτων καὶ [m]σύμμαχος ἐκ μέσης τῆς Ἑλλάδος
ἀνήρπασται, ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ
τῶν [n]κοινωνησάντων ἡμῖν τοῦ πρὸς Φίλιππον πολέμου. 15
ἀροῦται, φημί, καὶ σπείρεται· καὶ οὐκ ἠλέησε, φημί, ὁ
μιαρὸς οὗτος πόλιν οἰκτρῶς ἀπολλυμένην οὕτως, εἰς ἣν
ἐπρέσβευσεν ὑφ' ὑμῶν ἀποσταλείς, οἷς ὁμόσπονδος καὶ
ὁμοτράπεζος πολλάκις γέγονεν, ἣν αὐτός φησι σύμμα-

[f] διαπεπραγμένον] vulg. πεπραγμένον.
[g] τὰ] om. Z.
[h] πολλῷ] πολλῶν Z. et pr. A.
[i] ἐπιτεθεικότες] ὑποτεθεικότες L. A. Z.
[k] ἐκ] ἐν L.
[l] ἀστυγείτων] ἀστυγειτόνων L.
[m] σύμμαχος] vulg. συμμάχων.
[n] κοινωνησάντων] κοινωσάντων pr.

χον ἡμῖν ποιῆσαι. ἀλλὰ πρὸς οὓς εὐτυχοῦντας πολλάκις
26 ἦλθε, τούτους ἀτυχοῦντας προδέδωκε. [o]κἀκεῖνοι (ὡς οἱ πρεσβύτεροι λέγουσι) καταλελυμένης τῆς δημοκρατίας τῆς παρ' ἡμῖν καὶ συνάγοντος ἐν Θήβαις Θρασυβούλου τοὺς φυγάδας [p]ἐπὶ τὴν Φυλῆς [q]κατάληψιν, καὶ Λακεδαιμονίων [r]ἰσχυόντων καὶ ἀπαγορευόντων μηδένα Ἀθηναίων ὑποδέχεσθαι μηδ' ἐκπέμπειν, ὅμως συνέπραττον τῷ δήμῳ τὴν κάθοδον καὶ τὸ πολλάκις ἀνεγνωσμένον παρ' ὑμῖν ἐψηφίσαντο ψήφισμα, μὴ περιορᾶν ἐάν τις ὅπλα
27 διὰ τῆς χώρας τῆς Ἀθηναίων ἔχων πορεύηται· οὗτος δὲ ὁ κοινὸν αὐτὸν τοῖς συμμάχοις, ὡς αὐτίκα [s]φήσει, παρέχων οὐδὲν τοιοῦτον ἔπραξεν, οὐδὲ τῶν χρημάτων ὧν ἔλαβεν εἰς [t]τὴν τούτων σωτηρίαν οὐδὲν ἠθέλησε προέσθαι. ὧν ὑμεῖς ὦ ἄνδρες μνησθέντες, καὶ τὰ ἀτυχήματα τὰ γινόμενα διὰ τοὺς [u]προδότας θεωρήσαντες ἐν ταῖς Ὀλυνθίων καὶ Θηβαίων συμφοραῖς, ὑπὲρ ὑμῶν αὐτῶν ὀρθῶς [v]νυνὶ βουλεύεσθε, καὶ τοὺς δωροδοκεῖν ἐθέλοντας κατὰ τῆς πατρίδος ἀνελόντες ἐν ὑμῖν αὐτοῖς καὶ τοῖς θεοῖς τὰς ἐλπίδας
28 τῆς σωτηρίας ἔχετε. μόνως γὰρ οὕτως, ὦ ἄνδρες Ἀθηναῖοι, μόνως καὶ τοὺς ἄλλους [x]ποιήσετε βελτίους, ἐὰν τοὺς ἐνδόξους τῶν πονηρῶν ἐξελέγξαντες κολάσητε τῆς πονηρίας ἀξίως. τοὺς μὲν γὰρ τυχόντας τῶν κρινομένων, [y]ὅταν ἁλῶσιν, οὐδεὶς οἶδεν οὐδὲ ζητεῖ πυθέσθαι [z]τί πεπόνθασι· τοὺς δ' ἐνδόξους πάντες πυνθάνονται, καὶ τοὺς δικάζοντας ἐπαινοῦσιν, ὅταν τὸ δίκαιον μὴ πρόωνται ταῖς τῶν κρινομένων δόξαις. Ἀνάγνωθι τὸ ψήφισμα [a]τὸ Θη-

[o] κἀκεῖνοι] Immo κἀκεῖνοι μέν.
[p] ἐπὶ] vulg. ἐς, libri ἔτι.
[q] κατάληψιν] κατάλυσιν L.Z.
[r] ἰσχυόντων H. Wolfius: libri ἰσχόντων.
[s] φήσει H. Wolfius: libri φησί.
[t] τὴν] Addidi ex A.
[u] προδότας] προδόντας pr. A.
[v] νυνὶ] νῦν Z.
[x] ποιήσετε] εἰσποιήσετε Z.
[y] ὅταν ἁλῶσιν οὐδεὶς οἶδεν] οὐδεὶς οἶδεν ὅταν ἁλῶσιν Z.
[z] τί πεπόνθασι] om. Z.
[a] τὸ] τῶν Z.

βαίων. λέγε τὰς μαρτυρίας. ἀναγίνωσκε τὰς ἐπιστολάς.

ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ. ΕΠΙΣΤΟΛΑΙ.

29 [b] Μισθωτὸς οὗτος, ὦ Ἀθηναῖοι, μισθωτὸς οὗτός ἐστι παλαίος. οὗτος ἦν ὁ τὴν πρεσβείαν τὴν παρὰ Φιλίππου πορευομένην ὡς ἡμᾶς ἐκ Θηβῶν καλέσας, καὶ τοῦ λυθῆναι τὸν πρῶτον πόλεμον αἴτιος γενόμενος· οὗτος Φιλοκράτει [c] συνεκοινολογεῖτο τῷ γράψαντι πρὸς Φίλιππον εἰρήνην, δι' ἣν ὑμεῖς ἐκεῖνον ἐξεβάλετε, καὶ ζεύγη τοῖς πρέσβεσιν ἐμισθώσατο τοῖς μετ' Ἀντιπάτρου δεῦρ' ἐλθοῦσιν, ἀναλαμβάνων αὐτοὺς καὶ τὸ κολακεύειν τοὺς Μα-
30 κεδόνας πρῶτος εἰς τὴν πόλιν εἰσάγων. μὴ ἀφῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ἀφῆτε τὸν ἐπὶ [d] τοῖς [e] τῆς πόλεως καὶ τῶν ἄλλων Ἑλλήνων ἀτυχήμασιν ἐπιγεγραμμένον ἀτιμώ- 94
ρητον, εἰλημμένον ἐπ' αὐτοφώρῳ δῶρα ἔχοντα κατὰ τῆς πόλεως, μηδὲ τῆς ἀγαθῆς τύχης ἡμᾶς ἐπὶ τὸ βέλτιον ἀγούσης, καὶ [f] τὸν μὲν ἕτερον τῶν τὴν πατρίδα λελυμασμένων ἐκ τῆς πόλεως ἐκβεβληκυίας, τοῦτον δ' ὑμῶν ἀποκτεῖναι παραδούσης, αὐτοὶ τοῖς πᾶσι συμφέρουσιν ἐναντιωθῆτε, ἀλλὰ μετοιωνίσασθε τὰς τῆς πόλεως πρά- 5
31 ξεις, εἰς τούτους τοὺς ἡγεμόνας τὰς ἀποτυχίας τρέψαντες. εἰς ποῖον γὰρ [g] καιρὸν ἀποθήσεσθε τοῦτον ὑπολαβόντες χρήσιμον ὑμῖν αὐτοῖς ἔσεσθαι; ἔχοι τις ἂν εἰπεῖν ἢ ὑμῶν ἢ τῶν περιεστηκότων, εἰς ποῖα οὗτος πράγματα εἰσελθὼν ἢ ἴδια ἢ κοινὰ οὐκ ἀνατέτραφεν; οὐκ εἰς μὲν τὴν Ἀριστάρχου οἰκίαν εἰσελθών, βουλεύσας [h] μετ' ἐκείνου τὸν [i] Νικοδήμῳ θάνατον κατασκευασθέντα, ὃν ἴστε πάντες, 10

[b] μισθωτὸς] ὁ μισθωτὸς Z. et rec. B.
[c] συνεκοινολογεῖτο] vulg. συνανεκοινολογεῖτο, libri συνανελογεῖτο.
[d] τοῖς] om. B.L.
[e] τῆς πόλεως] πόλεσι Z.
[f] τὸν μὲν] τόν γε μὲν Z.
[g] καιρὸν] om. L.Z.
[h] μετ' ἐκείνου] om. L.Z. cum vulg.
[i] Νικοδήμῳ A.B. vulg. Νικοδήμου.

ἐξέβαλε τὸν Ἀρίσταρχον ἐπὶ ταῖς αἰσχίσταις αἰτίαις; καὶ τοιούτῳ φίλῳ Δημοσθένει ἐχρήσατο, ὥστε δαίμονα αὐτῷ τοῦτον καὶ τῶν γεγενημένων συμφορῶν ἡγεμόνα νο-
32 μίσαι προσελθεῖν; οὐκ ἐπειδὴ τῷ δήμῳ συμβουλεύειν ἤρξατο, ὡς μήποτε ὤφελεν (ἀφήσω γὰρ αὐτοῦ τὰ ἴδια· ὁ γὰρ χρόνος οὐκ ἐπιδέχεται μακρολογεῖν,) ἀγαθὸν μὲν ἁπλῶς εἰπεῖν οὐδὲν γέγονε τῇ πόλει, [k]ἐν κινδύνοις δὲ [l]καὶ κακοῖς καὶ ἀδοξία πᾶσα ἡ Ἑλλάς, οὐ μόνον ἡ πόλις, καθέστηκε; καὶ πλείστοις καιροῖς ἐν ταῖς δημηγορίαις χρώμενος ἅπαντας ἀφῆκε τοὺς ὑπὲρ ὑμῶν καιρούς; καὶ ἐν οἷς τις ἂν φιλόπολις ἀνὴρ καὶ κηδεμὼν προείλετό τι πρᾶξαι, τοσοῦτον ἐδέησεν ὁ δημαγωγὸς καὶ χρήσιμος αὐτίκα φήσων [m]ὑμῖν γεγενῆσθαι πρᾶξιν τινα προφέρειν, ὥστε καὶ τοὺς πράττοντας ὑπὲρ ὑμῶν τι τῆς [n]αὐτοῦ
33 τύχης ἀνέπλησεν. ἀπῆρε Χαριδήμος πρὸς τὸν Περσῶν βασιλέα, χρήσιμος ὑμῖν οὐ λόγοις ἀλλ' ἔργοις βουλόμενος γενέσθαι, καὶ [τοῖς ἰδίοις] τοῖς αὐτοῦ κινδύνοις [o]ὑμῖν καὶ τοῖς ἄλλοις [q]Ἕλλησι βουλόμενος τὴν σωτηρίαν παρασκευάσαι· [p]περιὼν οὗτος κατὰ τὴν ἀγορὰν ἐλογοποίει καὶ τῶν πραττομένων εἰσεποιεῖ κοινωνὸν αὑτόν· οὕτω κατέστρεψεν ἡ τύχη ταῦτα ὡς τἀναντία γίνεσθαι τοῖς προσδο-
34 κωμένοις. [q]ἐξέπλευσεν Ἐφιάλτης μισῶν μὲν τοῦτον, ἀναγκαζόμενος δὲ τῶν πραγμάτων κοινωνεῖν· ἀφείλετο καὶ τοῦτον ἡ τύχη τῆς πόλεως. Εὐθύδικος προηρεῖτο τὰς ὑπὲρ τοῦ δήμου πράξεις· ἔφη τούτῳ Δημοσθένης φίλος εἶναι· οὗτος ἀπώλετο. καὶ ταῦθ' ὑμεῖς ὁρῶντες καὶ ἐπιστάμενοι πολὺ βέλτιον ἢ ἐγὼ οὐ λογίζεσθε, οὐ σκοπεῖσθε πρὸς

[k] ἐν] om. pr. A.
[l] καὶ ante κακοῖς om. Z.
[m] ὑμῶν] ἡμῶν A.B.
[n] αὐτοῦ] vulg. ἑαυτοῦ.
[o] ὑμῖν] ἡμῖν libri.
[p] περιὼν] περιὼν B. περὶ ὧν L.Z.
[q] ἐξέπλευσεν] ἐξεπέλευσεν B. ἐξέπεμψεν Z.

ὑμᾶς αὐτούς, τεκμαιρόμενοι τὰ μέλλοντα ἐκ τῶν [r]γεγε-
35 νημένων, ὅτι οὐδὲν οὗτος χρήσιμος ἀλλ' ἢ τοῖς ἐχθροῖς
κατὰ τῆς πόλεως συστῆσαι κατασκευὴν ἑτέραν [s]οἵα ἐπ' 30
[t]Αἰγὸς ἐγένετο, ὅτε Λακεδαιμόνιοι μὲν ἅπαντες ἐξεστρά-
τευσαν, Ἀχαιοὶ δὲ καὶ Ἠλεῖοι τῶν πραγμάτων ἐκοινώνουν, ὑπῆρχον δὲ ξένοι μύριοι, Ἀλέξανδρος δέ, ὡς οἱ λέγοντες, ἐν Ἰνδοῖς ἦν, ἡ δὲ Ἑλλὰς ἅπασα διὰ τοὺς ἐν ἑκάστῃ
τῶν πόλεων προδότας ἀχθομένη τοῖς παροῦσι πράγμασιν
ἠσμένει μεταβολήν τινα τῶν κακῶν τῶν [u]περιεστηκότων.
36 [x]τί οὖν; ἐν τούτοις τοῖς καιροῖς Δημοσθένης τίς ἦν, ὁ τοῦ 35
συμβουλεῦσαι καὶ γράψαι κύριος καὶ φήσων αὐτίκα [y]δὴ
μισεῖν τὰ [z]καθεστῶτα πράγματα; ἐῶ γὰρ τοὺς ἄλλους
κινδύνους. ἔγραψάς τι περί του τῶν κινδύνων; συνεβούλευσας; ἐπόρισας χρήματα; μικρόν τι χρήσιμος ἐγένου
τοῖς ὑπὲρ τῆς κοινῆς σωτηρίας πράττουσιν; οὐδ' ὁτιοῦν,
ἀλλὰ περιήεις κατασκευάζων λογοποιούς. καὶ παρ' αὐ-
37 τῷ γράφων ἐπιστολήν. καὶ καταισχύνων τὴν τῆς πόλεως 40
[a]δόξαν, ἐκ τῶν δακτύλων ἀναψάμενος περιεπορεύετο,
τρυφῶν ἐν τοῖς τῆς πόλεως κακοῖς, καὶ ἐπὶ φορείου κατακομιζόμενος τὴν εἰς Πειραῖα ὁδόν, καὶ τὰς τῶν πενήτων
ἀπορίας ὀνειδίζων. εἶθ' οὗτος εἰς τοὺς μέλλοντας ὑμῖν
καιροὺς ἔσται χρήσιμος, παραβεβηκὼς ἅπαντας τοὺς
παρεληλυθότας; τοιούτων, ὦ δέσποιν' Ἀθηνᾶ καὶ Ζεῦ σῶτερ, συμβούλων καὶ ἡγεμόνων ὤφελον τυχεῖν οἱ πολεμήσαντες τὴν πόλιν, καὶ μηδέποτε βελτιόνων. 95
38 Οὐκ ἀναμνήσεσθε ὦ ἄνδρες τὰς τῶν πρεσβυτέρων πρά-

[r] γεγενημένων] προγεγενημένων Z.
[s] οἵα] οἷα B.Z.
[t] Αἰγὸς] Ἄγιδος Wesseling. ad Diodor. Sic. 17, 62.
[u] περιεστηκότων] παρεστηκότων A.B.
[x] τί A.B. vulg. νῦν.
[y] δὴ A.B. vulg. δεῖν.
[z] καθεστῶτα] καθεστηκότα A.B.
[a] δόξαν ἐκ] vulg. auctore nullo δόξαν, χρυσὸν ἐκ. Conf. Aeschin. adv. Ctesiph. p. 77, 11.

ξεις; οἱ μεγάλων καὶ πολλῶν κινδύνων καταλαμβανόντων τὴν πόλιν ἀξίως τῆς πατρίδος καὶ τῆς αὐτῶν ἐλευθερίας καὶ τῆς δόξης τῆς [b] δικαίας ὑπὲρ τῶν τοῦ δημοσίου συμφερόντων ἐκινδύνευσαν; ὧν τοὺς μὲν ἀρχαίους ἐκείνους μακρὸν ἂν εἴη λέγειν, Ἀριστείδην [c] καὶ Θεμιστοκλέα, τοὺς ὀρθώσαντας τὰ τείχη τῆς πόλεως καὶ τοὺς φόρους εἰς ἀκρόπολιν ἀνενεγκόντας παρ' ἐκόντων καὶ βου-
39 λομένων τῶν Ἑλλήνων, ἀλλὰ ταυτὶ τὰ μικρὸν πρὸ τῆς ἡμετέρας ἡλικίας γεγενημένα ὑπὸ Κεφάλου τοῦ ῥήτορος καὶ Θράσωνος τοῦ Ἐρχιέως καὶ [d] Ἡλίου Φορμισίου καὶ ἑτέρων ἀνδρῶν ἀγαθῶν, ὧν ἐνίων ἔτι καὶ νῦν ζῇ τὰ σώματα. τούτων γὰρ οἱ μὲν φρουρουμένης ὑπὸ Λακεδαιμονίων τῆς Καδμείας βοηθήσαντες τοῖς εἰς Θήβας κατιοῦσι τῶν φυγάδων τοῖς ἰδίοις κινδύνοις ἠλευθέρωσαν πόλιν
40 ἀστυγείτονα καὶ πολὺν χρόνον δουλεύουσαν, οἱ δὲ πείσαντες ἐξελθεῖν ὑμῶν τοὺς προγόνους, Κεφάλου [e] τούτου ψήφισμα γράψαντος, ὃς οὐ καταπλαγεὶς τὴν Λακεδαιμονίων δύναμιν, οὐδὲ λογισάμενος ὅτι τὸ κινδυνεύειν καὶ τὸ γράφειν ὑπὲρ τῆς πόλεως ἐπισφαλές ἐστιν, ἔγραψεν ἐξιέναι βοηθήσοντας Ἀθηναίους τοῖς κατειληφόσι [f] τῶν φυγάδων Θήβας· καὶ ἐξελθόντων [g] ἐκεῖσε τῶν [h] ὑμετέρων [i] πατέρων ὀλίγαις ἡμέραις ἐξεβλήθη ὁ τῶν Λακεδαιμονίων φρούραρχος, ἠλευθεροῦντο Θηβαῖοι, διεπέπρακτο ἡ πόλις
41 ἡ [k] ὑμετέρα ἄξια τῶν προγόνων. ἐκεῖνοι ἦσαν, ἐκεῖνοι ὦ Ἀθηναῖοι ἄξιοι σύμβουλοι καὶ ἡγεμόνες ὑμῶν καὶ τοῦ δήμου, μὰ Δί' οὐ [l] τὰ τοιαῦτα κινάδη, οἳ πεποιήκασι

[b] δικαίας] οἰκείας Markland. ad Lys. p. 757. Reisk. Possis et παλαιᾶς.
[c] καὶ] δὲ καὶ Z.
[d] Ἡλίου] Ἡλιοδώρου H. Wolfius, Ἡλείου Reiskius.
[e] τούτου] An τοῦτο τό?
[f] τῶν] om. pr. A.
[g] ἐκεῖσε A. vulg. ἐκεῖ.
[h] ὑμετέρων A.L.Z. vulg. ἡμετέρων.
[i] πατέρων] προγόνων Z.
[k] ὑμετέρα] vulg. ἡμετέρα.
[l] τὰ] om. pr. A.

μὲν οὐδὲν οὐδὲ πράξουσιν ἀγαθὸν ὑπὲρ τῆς πόλεως, τὴν δὲ αὐτῶν ἀσφάλειαν τηροῦντες καὶ πάντοθεν ἀργυριζόμενοι καὶ πεποιηκότες τὴν πόλιν ἀδοξοτέραν ἑαυτῶν, καὶ νῦν εἰλημμένοι δῶρα καθ' ὑμῶν εἰληφότες, παρακρούονται ὑμᾶς, καὶ ἀξιοῦσι τοιοῦτοι γεγενημένοι περὶ τῆς ἑαυτῶν πλεονεξίας παραγγέλλειν· οὓς χρὴ τεθνάναι κατὰ τὸ ἑαυτῶν ψήφισμα πάλαι, τοιαῦτα διαπεπραγμένους.

42 Οὐκ αἰσχύνεσθε, [m] ὦ ἄνδρες Ἀθηναῖοι, τὴν κατὰ Δημοσθένους τιμωρίαν ἐκ τῶν ἡμετέρων λόγων [n] μόνων ἡγούμενοι δεῖν κρίνειν; οὐκ ἴστε [o] τοῦτον αὐτοὶ δωροδόκον ὄντα καὶ κλέπτην, καὶ προδότην φίλων καὶ τῆς πόλεως ἀνάξιον καὶ αὐτὸν καὶ τὴν περὶ [p] τοῦτον [q] τύχην γεγενημένην; ἀπὸ ποίων ψηφισμάτων οὗτος ἢ ποίων νόμων οὐκ εἴληφεν ἀργύριον; εἰσί τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς
43 τριακοσίοις γεγενημένων, ὃθ' οὗτος ἐτίθει τὸν περὶ [r] τῶν τριηράρχων νόμον; οὐ φράσετε τοῖς [s] πλησίον ὅτι τρία τάλαντα λαβὼν μετέγραφε καὶ μετεσκεύαζε τὸν νόμον καθ' ἑκάστην ἐκκλησίαν, καὶ τὰ μὲν ἐπώλει ὧν εἰλήφει
44 τὴν τιμήν, τὰ δ' ἀποδόμενος οὐκ ἐβεβαίου; εἶπατέ μοι πρὸς Διός, ὦ ἄνδρες, προῖκα τοῦτον οἴεσθε γράψαι [t] Διφίλῳ τὴν ἐν Πρυτανείῳ σίτησιν, καὶ τὴν εἰς [u] τὴν ἀγορὰν [x] ἀναθησομένην εἰκόνα; ἢ τὸ ποιῆσαι πολίτας ὑμᾶς Χαιρέφιλον καὶ Φείδωνα καὶ Πάμφιλον καὶ Φίλιππον, καὶ πάλιν [y] Ἐπιγένην καὶ Κόνωνα τοὺς τραπεζίτας; ἢ τὸ χαλκοῦς ἐν ἀγορᾷ [z] στῆσαι [a] Βιρισάδην καὶ Σάτυρον καὶ

[m] ὦ] om. A.B.L.
[n] μόνων] vulg. μόνον.
[o] τοῦτον] τοιοῦτον Z.
[p] τοῦτον] τούτου L.Z.
[q] τύχην] om. Z.
[r] τῶν] vulg. om.
[s] πλησίον] πλείοσιν Z.
[t] Διφίλῳ] διφίλῳ A.B.L.Z.
[u] τὴν] om. Z.
[x] ἀναθησομένην] Malim ἀνατεθησομένην. Reiskius.
[y] Ἐπιγένην] vulg. Ἐπιγένη.
[z] στῆσαι A.B. vulg. καταστῆσαι.
[a] Βιρισάδην] vulg. Βηρισάδην.

Γόργιππον τοὺς [b] ἐχθίστους τυράννους, παρ' ὧν αὐτῷ χίλιοι μόδιοι τοῦ ἐνιαυτοῦ πυρῶν ἀποστέλλονται τῷ οὐδ' 45 ὅπῃ καταφύγῃ αὐτίκα φήσοντι [c] εἶναι; ἢ τὸ γράψαι Ταυροσθένην Ἀθηναῖον εἶναι τοὺς μὲν [d] αὐτοῦ πολίτας καταδουλωσάμενον, τῆς δ' Εὐβοίας ὅλης μετὰ τοῦ ἀδελ- 40 φοῦ [e] Καλλίου προδότην Φιλίππῳ γεγενημένον; ὃν οὐκ ἐῶσιν οἱ νόμοι τῆς Ἀθηναίων χώρας ἐπιβαίνειν, εἰ δὲ μή, τοῖς αὐτοῖς ἔνοχον εἶναι κελεύουσιν οἵσπερ ἄν τις τῶν φευγόντων ἐξ Ἀρείου πάγου [f] κατίῃ. καὶ τοῦτον οὗτος ὁ δημοτικὸς ὑμέτερον ἔγραψε πολίτην εἶναι. περὶ τούτων οὖν μάρτυρας ὑμῖν δεῖ καλεῖν, ἢ περὶ τῶν ἄλλων ὅσους οὗτος 46 γέγραφε προξένους εἶναι καὶ Ἀθηναίους; πρὸς τῆς Ἀθη- 96 νᾶς, οἴεσθε αὐτὸν ἀργύριον μὲν χαίρειν λαμβάνοντα, χρυσίου δ' εἴκοσι τάλαντα οὐκ ἄν λαβεῖν; ἢ κατὰ μικρὸν μὲν δωροδοκεῖν, ἀθρόον δ' οὐκ ἂν προσδέξασθαι τοσοῦτον λῆμμα; ἢ τὴν ἐξ Ἀρείου πάγου βουλὴν Δημοσθένην καὶ Δημάδην καὶ Κηφισοφῶντα ζητήσασαν ἓξ μῆνας ἀδίκως εἰς ὑμᾶς πεποιῆσθαι τὰς ἀποφάσεις; 5

47 Πολλοί, ὦ ἄνδρες, πολλοὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων, ὅπερ καὶ πρότερον εἶπον, θεωροῦσιν ὑμᾶς πῶς τοῦτον δικάσετε τὸν ἀγῶνα, καὶ πότερον εἰσαγωγίμους καὶ τὰς τῶν ἄλλων δωροδοκίας ποιήσετε, ἢ ἀνέδην ἐξέσται δῶρα λαμβάνειν καθ' ὑμῶν, καὶ τὰ πρότερον δοκοῦντα πιστὰ καὶ βέβαια εἶναι νῦν ἄπιστα διὰ τὴν Δημοσθένους κρίσιν γενήσεται, ὃν ἐκ τῶν ἄλλων προσῆκεν 48 [g] ἀπολωλέναι τῶν πεπολιτευμένων αὐτῷ, ὃς ἁπάσαις 10 ταῖς ἀραῖς ταῖς ἐν τῇ πόλει [h] γενομέναις ἔνοχος καθέστη-

[b] ἐχθίστους] ἐκ τούτων A.B.L.Z.
[c] εἶναι] Malim εἰδέναι.
[d] αὐτοῦ A. vulg. αὐτῷ.
[e] Καλλίου] Καλλίππου Z.
[f] κατίῃ] κατίοι A.B.L.Z.
[g] ἀπολωλέναι] αὐτῷ ἀπολωλέναι Z.
[h] γενομέναις] Immo γινομέναις.

κεν, ἐπιωρκηκὼς μὲν τὰς σεμνὰς θεὰς ἐν Ἀρείῳ πάγῳ καὶ τοὺς ἄλλους θεοὺς οὓς ἐκεῖ διόμνυσθαι νόμιμόν ἐστι, κατάρατος δὲ καθ' ἑκάστην ἐκκλησίαν [i]γινόμενος ἐξελελεγμένος δῶρα κατὰ τῆς πόλεως εἰληφώς, ἐξηπατηκὼς δὲ καὶ τὸν δῆμον καὶ τὴν βουλὴν παρὰ τὴν ἀράν, καὶ ἕτερα μὲν λέγων ἕτερα δὲ φρονῶν, ἰδίᾳ δὲ συμβεβουλευκὼς Ἀριστάρχῳ δεινὰς καὶ παρανόμους συμβουλάς, [k]ἀνθ' ὧν (εἴπερ ἔστι που δικαία τιμωρία κατὰ τῶν ἐπιόρκων καὶ πονηρῶν, ὥσπερ ἔστι) δώσει δίκην οὗτος [l]ἐν τῇ τήμερον ἡμέρᾳ. ἀκούσατε, ἄνδρες δικασταί, [m]τῆς ἀρᾶς.

ΑΡΑ.

49 Ἀλλ' ὅμως, ἄνδρες δικασταί, οὕτω Δημοσθένης τῷ ψεύδεσθαι καὶ [n]μηδὲν ὑγιὲς λέγειν ἑτοίμως χρῆται, καὶ οὔτε αἰσχύνης οὔτε ἐλέγχου οὔτε ἀρᾶς οὐδὲν αὐτῷ μέλει, ὥστε καὶ περὶ ἐμοῦ [o]τολμήσει λέγειν, ὡς ἀκούω, ὡς ἄρα κἀμοῦ κατέγνω [p]πρότερον ἡ βουλή· καὶ ποιῶ πάντων ἀτοπώτατον, ὡς οὗτός φησι, πρότερον μὲν ἐναντίον τῇ τῆς βουλῆς ἀποφάσει ἀγῶνα ἀπολογούμενος ὑπὲρ ἐμαυτοῦ, νυνὶ δὲ συνηγορῶν αὐτῇ, κατηγορῶν τούτου περὶ τῆς γεγενημένης ἀποφάσεως· πρᾶγμα κατασκευάζων οὐ γεγε-
50 νημένον, ἀλλὰ ψεύδεσθαι πρός τινας τολμῶν. ἵν' οὖν ἐὰν ἐπὶ τοῦτον ἴῃ τὸν λόγον, μὴ [q]ἐπιτρέπητε αὐτῷ, ἀλλ' εἰδῆτε ἀκριβῶς ὅτι οὔτ' ἐμὲ ἀπέφηνεν ἡ βουλὴ οὔτ' ἐμέλλησεν, ἠδικήθην δὲ ὑφ' ἑνὸς ἀνθρώπου πονηροῦ καὶ δίκην δεδωκότος παρ' ὑμῖν, ἀκούσατέ μου βραχέα· ἔπειτ' ἐπὶ τοῦτον πάλιν βαδιοῦμαι.

Ἀνάγκη τὴν βουλήν, ὦ ἄνδρες, τὴν ἐξ Ἀρείου πάγου

[i] γινόμενος A. vulg. γενόμενος.
[k] ἀνθ' ὧν A.B. vulg. αὖθις.
[l] ἐν τῇ] vulg. ἐν δὲ τῇ.
[m] τῆς ἀρᾶς A. vulg. τὰς ἀράς.
[n] μηδὲν] μηδεὲν L. Z.
[o] τολμήσει A.B. vulg. τολμῆσαι.
[p] πρότερον] πότερον Z.
[q] ἐπιτρέπητε] ἐπιτρέποιτε A.

κατὰ δύο τρόπους ποιεῖσθαι τὰς ἀποφάσεις πάσας. τίνας τούτους; ἤτοι αὐτὴν προελομένην καὶ ζητήσασαν, ἢ τοῦ δήμου προστάξαντος αὐτῇ. χωρὶς τούτων οὐκ ἔστιν 51 ὁντινα τρόπον [r] ποιήσειεν. εἰ μὲν τοίνυν φῄς, ὦ [s] μιαρὸν σὺ θηρίον, τοῦ δήμου προστάξαντος ζητήσασαν τὴν βουλὴν περὶ ἐμοῦ ποιήσασθαι τὴν ἀπόφασιν, δεῖξον τὸ ψήφισμα, καὶ τίνες ἐγένοντό μου κατήγοροι γενομένης τῆς ἀποφάσεως, ὥσπερ νῦν ἀμφότερα γέγονε, καὶ ψήφισμα καθ' ὃ ἐζήτησεν ἡ βουλή, καὶ κατήγοροι χειροτονήσαντος τοῦ δήμου, [t] παρ' ὧν νῦν οἱ δικασταὶ τἀδικήματα πυνθάνονται. κἂν ᾖ ταῦτα ἀληθῆ, ἀποθνήσκειν ἕτοιμός εἰμι. εἰ δ' αὐτὴν προελομένην ἀποφῆναί [u] με φῄς, παράσχου μάρτυρας τοὺς Ἀρεοπαγίτας, ὥσπερ ἐγὼ παρέξομαι ὅτι 52 οὐκ [x] ἀπεφάνθην. [y] καταψευσάμενον [z] μέντοι κἀμοῦ καὶ τῆς βουλῆς ὥσπερ σύ, καὶ πονηρὸν προδότην εἰσαγγείλας, καὶ ἐξελέγξας ἐν πεντακοσίοις [a] καὶ δισχιλίοις τῶν πολιτῶν ὅτι μισθώσας αὐτὸν Τιμοκλεῖ κατ' ἐμοῦ ταῦτ' ἔπραξεν, ἐτιμωρησάμην μετὰ τῶν τότε δικασάντων. Λάβε μοι σὺ τὴν μαρτυρίαν, ἣν καὶ πρότερον παρεσχόμην μαρτυρουμένην τοῖς δικασταῖς καὶ οὐδεὶς ἐπεσκήψατο ὡς ψευδεῖ οὔσῃ, ἣν καὶ νῦν παρέξομαι. λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

53 Εἶτ' οὐ δεινόν, ὦ Ἀθηναῖοι, [b] εἰ ὅτι μὲν εἷς ἀνὴρ ἔφησε Πιστίας Ἀρεοπαγίτης ὢν [c] ἀδικεῖν με, καταψευδόμενος [d] κἀμοῦ καὶ τῆς βουλῆς, ἴσχυσεν ἂν τὸ ψεῦδος τῆς ἀλη- 97

[r] ποιήσειεν] Exspectabam ποιήσαιτο.
[s] μιαρὸν] μικρὸν L.Z.
[t] παρ'] περὶ L.Z.
[u] με] μοι B.L.Z.
[x] ἀπεφάνθην A. vulg. ἐφάνθην.
[y] καταψευσάμενον] καταψηφισάμενον L. καταψηφισάμενοι Z.
[z] μέντοι] ἂν Z.
[a] καὶ δισχιλίοις] Hæc addidit A.
[b] εἰ] om. L.Z.
[c] ἀδικεῖν με] ἀδικεῖ μὲν L.Z. ἀδικῆ μὲν B.
[d] κἀμοῦ] καὶ ἐμοῦ pr. A. ἐμοῦ Z.

θείας μᾶλλον, καὶ διὰ τὴν ἀσθένειαν τὴν τότε καὶ τὴν ἐρημίαν τὴν ἐμὴν ἐπιστεύθησαν αἱ κατ' ἐμοῦ ψευδεῖς γενόμεναι κατασκευαί· ἐπειδὴ δὲ τἀληθὲς παρὰ πάσης τῆς ἐξ Ἀρείου πάγου βουλῆς ὁμολογεῖται, Δημοσθένην εἰληφέναι εἴκοσι τάλαντα χρυσίου καθ' ὑμῶν καὶ ταῦτα πεποιηκότα ἀδικεῖν, καὶ ὁ δημαγωγὸς ὑμῖν, ἐν ᾧ τὰς ἐλπίδας ἔχουσί τινες, ἐπ' αὐτοφώρῳ χρήματα λαμβάνων εἴ-
54 ληπται, νῦν τὰ νόμιμα τἀκεῖθεν καὶ τὰ δίκαια καὶ τἀληθῆ ἀσθενέστερα γενήσεται τῶν Δημοσθένους λόγων, καὶ ἰσχύσει μᾶλλον τῆς ἀληθείας ἡ παρὰ τούτου ῥηθησομένη κατὰ τοῦ συνεδρίου διαβολή, ὡς ἄρα πολλοὺς ἡ βουλὴ ἀποπέφαγκεν ἀδικεῖν τὸν δῆμον, οἳ ἀποπεφεύγασιν εἰσελθόντες εἰς τὸ δικαστήριον, καὶ ἡ βουλὴ ἐπ' ἐνίων τὸ πέμπτον μέρος οὐ μετείληφε τῶν ψήφων; τοῦτο δὲ ὃν τρόπον γίνε-
55 ται, ῥᾳδίως ἅπαντες μαθήσεσθε. ἡ βουλή, ὦ ἄνδρες, ζητεῖ τὰ προσταχθέντα ὑφ' ὑμῶν καὶ τὰ γεγενημένα παρ' αὐτοῖς ἀδικήματα οὐχ ὡς ὑμεῖς (καί [c] μοι μὴ ὀργισθῆτε) δικάζειν ἐνίοτε εἴθισθε, τῇ [f] συγγνώμῃ πλέον ἢ τῷ δικαίῳ ἀπονέμοντες, ἀλλ' ἁπλῶς τὸν ἔνοχον ὄντα τοῖς ζητουμένοις καὶ τὸν ὁποιονοῦν ἠδικηκότα τὰ πάτρια, νομίζουσα τὸν ἐν τοῖς μικροῖς συνεθιζόμενον ἀδικεῖν [g] τοῦτον τὰ με-
56 γάλα τῶν ἀδικημάτων εὐχερέστερον [h] προσδέξεσθαι. διόπερ τὸν παρ' αὐτῶν ἀποστερήσαντα τὸ ναῦλον τὸν πορθμέα ζημιώσασα πρὸς ὑμᾶς ἀπέφηνε· πάλιν τὸν τὴν πεντεδραχμίαν ἐπὶ τῷ τοῦ μὴ παρόντος ὀνόματι λαβεῖν ἀξιώσαντα, καὶ τοῦτον ὑμῖν ἀπέφηνε, καὶ τὸν τὴν μερίδα τὴν ἐξ Ἀρείου πάγου τολμήσαντα ἀποδόσθαι [i] παρὰ τὰ

[c] μοι μὴ] Usitatius μή μοι.
[f] συγγνώμῃ B. et rec. A. vulg. γνώμῃ.
[g] τοῦτον] τούτων B.L.
[h] προσδέξεσθαι A.B. vulg. προσδέξασθαι.
[i] παρὰ] om. L.Z.

57 νόμιμα τὸν αὐτὸν τρόπον ζημιώσασα ἐξέβαλε. τούτους ὑμεῖς κρίναντες ἀφήκατε οὐ τῆς ἐξ Ἀρείου πάγου βουλῆς καταγινώσκοντες ψεύδεσθαι, ἀλλὰ τῇ συγγνώμῃ μᾶλλον ἢ τῷ δικαίῳ προσθέμενοι, καὶ τὴν τιμωρίαν μείζω νομίζοντες εἶναι τῆς ὑπὸ τῶν κρινομένων γεγενημένης ἁμαρτίας. ἦ που ἄρα ἡ βουλή, Δημόσθενες, τὰ ψευδῆ ἀπέφηνεν; οὐ δήπου. τούτους μέντοι, ὦ ἄνδρες, καὶ τοιούτους ἑτέρους ἀδικεῖν παρ' ἑαυτῆς ἀποφηνάσης τῆς βου- 25
58 λῆς ὑμεῖς ἀφήκατε. Πολύευκτον δὲ τὸν Κυδαντίδην τῷ δήμου προστάξαντος ζητῆσαι τὴν βουλήν, [k] εἰ συνέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συνιέναι. κατηγόρους εἵλεσθε κατὰ τοὺς νόμους, εἰσῆλθεν εἰς τὸ δικαστήριον, ἀπελύσαθ' ὑμεῖς, ὁμολογοῦντος Πολυεύκτου βαδίζειν εἰς Μέγαρα ὡς τὸν Νικοφάνην· ἔχειν γὰρ τὴν αὐτοῦ μητέρα 30
59 τοῦτον. οὐδὲν οὖν ἄτοπον οὐδὲ δεινὸν ἐφαίνετο ποιεῖν ὑμῖν τῷ τῆς μητρὸς ἀνδρὶ διαλεγόμενος ἠτυχηκότι καὶ συνευπορῶν, καθ' ὅσον δυνατὸς ἦν, ἀπεστερημένῳ τῆς πατρίδος. αὕτη, Δημόσθενες, τῆς βουλῆς ἡ ἀπόφασις οὐκ ἐξηλέγχθη ψευδὴς οὖσα, ἀληθινῆς δὲ αὐτῆς οὔσης ἔδοξε τοῖς δικασταῖς ἀφιέναι τὸν Πολύευκτον· τὸ μὲν γὰρ ἀληθὲς τῇ βουλῇ προσετάχθη ζητεῖν, τὸ δὲ συγγνώμης ἄξιον [l] ἢ 35
60 μὴ τὸ δικαστήριον ἔκρινε. διὰ τοῦτο οὐ πιστευτέον τῇ βουλῇ περὶ τῶν [m] γενομένων ἀποφάσεων, ἐπειδὴ σὲ καὶ τοὺς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀποπέφαγκε; δεινὸν μέντ' ἂν εἴη. δεῖξον γὰρ τοῖς δικασταῖς σὺ Δημόσθενες [n] νυνὶ ὡς τούτων τι τῶν ἡμαρτηκότων ὁμοίων ἐστὶ τοῖς σοῖς ἀδικήμασι, καὶ ὡς τὸ δῶρα λαμβάνειν κατὰ τῆς πατρί-

[k] εἰ συνέρχεται A.B. εἰσέρχεται L.Z. vulg. εἰ συνεισέρχεται.
[l] ἢ μὴ Reiskius: vulg. φημί.
[m] γενομένων] γινομένων L.
[n] νυνὶ] τὰ νῦν Z. ταυτὶ L.

δος συγγνώμης ἐστὶν ἄξιον, ὥστε ἀποφύγοις ἂν παρὰ 40
61 τούτοις εἰκότως. ἀλλ' οἱ νόμοι περὶ μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀνηκόντων διπλῆν τὴν βλάβην ὀφείλειν κελεύουσι, περὶ δὲ τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν, ἢ θάνατον, ἵνα ταύτης τυχὼν τῆς ζημίας [o] ὁ λαβὼν παράδειγμα [p] γίνηται τοῖς ἄλλοις, ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς λήμματος τὸ τίμημα τῶν δώρων, ἵνα μὴ λύσιτελὲς ᾖ τοῖς τοῦτο τολμῶσι ποιεῖν.
62 Ἦ τοῦτο μὲν οὐκ ἐπιχειρήσεις λέγειν, ὅτι δὲ τῶν 98
[q] πρότερον ἀποφανθέντων ὑπὸ τῆς βουλῆς, τοῖς μὲν ἄλλοις ὡμολογηκέναι συμβέβηκεν ἀξίαν εἶναι τὴν τῆς βουλῆς ζήτησιν, σοὶ δὲ μόνῳ τὰ περὶ αὐτῆς [r] ἠναντιῶσθαι. ἀλλὰ μόνος σὺ τῶν πώποτε ἀποπεφασμένων ἠξίωσας ἑκὼν σεαυτῷ τούτους κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ σαυτοῦ τὸ ψήφισμα, καὶ τὸν δῆμον ἐποίησω 5
μάρτυρα τῶν [s] ὡμολογημένων, ὁρισάμενος σεαυτῷ ζημίαν εἶναι θάνατον, ἐὰν ἀποφήνῃ ἡ βουλὴ τῶν χρημάτων εἰλη-φότα τι τῶν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου κομισθέντων.
63 ἀλλὰ μὴν πρότερον ἔγραψας σὺ ὦ Δημόσθενες κατὰ πάντων τούτων καὶ τῶν ἄλλων Ἀθηναίων κυρίαν εἶναι τὴν ἐξ Ἀρείου πάγου βουλὴν κολάσαι τὸν παρὰ τοὺς νόμους πλημμελοῦντα, χρωμένην τοῖς πατρῴοις νόμοις· 10
καὶ παρέδωκας σὺ καὶ ἐνεχείρισας τὴν πόλιν ἅπασαν
64 [t] ταύτῃ, ἣν αὐτίκα φήσεις ὀλιγαρχικὴν εἶναι· καὶ τεθνᾶσι κατὰ τὸ σὸν ψήφισμα δύο τῶν πολιτῶν, πατὴρ καὶ υἱός, παραδοθέντες τῷ [u] ἐπὶ τῷ ὀρύγματι· ἐδέθη τῶν ἀφ' Ἁρμοδίου [x] γεγονότων εἷς κατὰ τὸ σὸν πρόσταγμα· ἐστρέ-

[o] ὁ] om. L.Z.
[p] γίνηται A. vulg. γένηται.
[q] πρότερον Scaliger: libri προτέρων.
[r] ἠναντιῶσθαι] ἠναντιοῦσθαι Z.
[s] ὡμολογημένων] vulg. ὁμολογουμένων.
[t] ταύτῃ] ταύτην Z.
[u] ἐπὶ τῷ ὀρύγματι] ἐπὶ ὀρύγματι Z.
[x] γεγονότων] om. Z.

βλωσαν Ἀντιφῶντα καὶ ἀπέκτειναν οὗτοι τῇ τῆς βουλῆς ἀποφάσει πεισθέντες· ἐξέβαλες σὺ Ἀρχῖνον ἐκ τῆς πόλεως ἐπὶ προδοσίᾳ κατὰ τὰς τῆς βουλῆς ἀποφάσεις καὶ τιμωρίας. κατὰ δὲ σαυτοῦ καὶ ταῦτα γράψας αὐτὸς τὸ ψήφισμα ἀκυροῖς; καὶ ποῦ ταῦτα δίκαια ἢ νόμιμά ἐστι;

65 Μαρτύρομαι τὰς σεμνὰς θεάς, ἄνδρες Ἀθηναῖοι, καὶ τὸν τόπον ὃν ἐκεῖναι κατέχουσι, καὶ τοὺς ἥρωας τοὺς ἐγχωρίους, καὶ τὴν Ἀθηνᾶν τὴν πολιτιδα, καὶ τοὺς ἄλλους θεοὺς οἳ τὴν χώραν καὶ τὴν πόλιν ἡμῶν εἰλήχασιν, ὅτι τοῦ δήμου παραδεδωκότος ὑμῖν [y] τιμωρήσασθαι τὸν εἰληφότα [z] τι κατὰ τῆς πατριδος, τὸν λελυμασμένον καὶ ἐφθαρκότα τὴν τῆς πόλεως εὐδαιμονίαν, τὸν περιχεχαρακωμένην παραδεδωκότα τὴν πατριδα ταῖς αὐτοῦ συμβου-
66 λίαις, ὃν οἱ μὲν ἐχθροὶ καὶ κακόνοι τῆς πόλεως [a] ζῇν ἂν βούλοιντο, συμφορὰν ἡγούμενοι τῆς πόλεως εἶναι, ὅσοι δὲ εὖνοι τοῖς [b] ὑμετέροις πράγμασι, καὶ μεταπεσούσης τῆς τύχης ἐλπίζουσιν ἐπὶ τὸ βέλτιον ἂν τὰ τῆς πόλεως πράγματα ἐλθεῖν, τὴν ἀξίαν δικην δόντα τῶν πεπραγμένων ἀπολωλέναι βούλονται, καὶ ταῦτ' εὔχονται τοῖς θεοῖς. οὓς κἀγὼ συμπαρακαλῶ σῶσαι τὴν πατρίδα, κινδυνεύουσαν ὁρῶν ὑπὲρ σωτηρίας, ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ
67 δόξης, ὑπὲρ τῶν ἄλλων ἀγαθῶν ἁπάντων. τί γὰρ ἐροῦμεν, ὦ Ἀθηναῖοι, πρὸς τοὺς περιεστηκότας ἐξελθόντες ἐκ τοῦ δικαστηρίου, ἐάν (ὃ μὴ γένοιτο) παρακρουσθῆτε ὑπὸ τῆς τούτου γοητείας; τίσιν ὀφθαλμοῖς ἕκαστος ὑμῶν τὴν πατρῴαν ἑστίαν οἴκαδε ἀπελθὼν ἰδεῖν [c] τολμήσειεν, ἀπο-

[y] τιμωρήσασθαι] vulg. οὐκ ἐτιμωρήσασθε.
[z] τι κατὰ] τι τῶν κατὰ A.
[a] ζῇν] ζητεῖν pr. A.
[b] ὑμετέροις] vulg. ἡμετέροις.
[c] τολμήσειεν] Immo τολμήσει.

λελυκότες μὲν τὸν προδότην [d]τὸν πρῶτον εἰς τὸν ἴδιον [e]οἶκον εἰσενεγκάμενον τὸ δεδωροδοκημένον χρυσίον, κατεγνωκότες δὲ μηδὲν ἀληθὲς μήτε ζητεῖν μήθ' εὑρίσκειν τὸ παρὰ πᾶσιν ἀνθρώποις εἶναι σεμνότατον νομιζόμενον συνέδριον; 35
68 τίνας δέ, ὦ Ἀθηναῖοι, (σκοπεῖτε γὰρ πρὸς ὑμᾶς αὐτούς) τίνας [f]τὰς ἐλπίδας ἕξομεν, ἐὰν κινδυνός τις καταλάβῃ τὴν πόλιν, τὸ μὲν δῶρα λαμβάνειν κατὰ τῆς πατριδος ἀσφαλὲς εἶναι πεποιηκότες, τὸ δὲ τὴν φυλακὴν ἔχον συνέδριον τῆς πόλεως ἐν τοῖς τοιούτοις κινδύνοις ἀδόκιμον
69 καταστήσαντες; τί δὲ [g]ἂν (τιθῶμεν γὰρ ταῦτα,) ἐὰν κατὰ τὸ ψήφισμα τὸ Δημοσθένους ἀπαιτῇ πέμψας 40 ἡμᾶς Ἀλέξανδρος τὸ χρυσίον τὸ κομισθὲν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου, καὶ πρὸς [h]τῷ γεγενῆσθαι τὴν τῆς βουλῆς ἀπόφασιν τοὺς παῖδας [i]καταπέμψῃ πρὸς ἡμᾶς τοὺς νῦν ὡς ἑαυτὸν ἀνακεκομισμένους, καὶ τούτων ἀξιοῖ πυνθάνεσθαι τὴν ἀλήθειαν ὑμᾶς, πρὸς θεῶν, ὦ ἄνδρες, τί ἐροῦμεν;
70 [k]γράψεις σὺ Δημόσθενες πολεμεῖν ἡμᾶς, ἐπειδὴ καὶ τοὺς πρότερον πολέμους καλῶς διῴκησας; καὶ πότερόν ἐστι 99 δικαιότερον, ἂν ταῦτα δόξῃ καὶ τοῖς ἄλλοις Ἀθηναίοις, εἰς τὸν πόλεμον ὑπάρχειν μετὰ τῶν ἄλλων καὶ τὸ παρὰ σοῦ χρυσίον, ἢ τοὺς μὲν ἄλλους ἀπὸ τῶν ἰδίων κτημάτων [l]ἕκαστον εἰσφέρειν, καὶ καταχωνεύειν τὸν ἴδιον κόσμον τῶν γυναικῶν καὶ τὰ ἐκπώματα καὶ πάντα τὰ ἐν τῇ χώρᾳ ἀναθήματα τῶν θεῶν, ὥσπερ ἔφησθα σὺ [m]γράψειν, 5 αὐτὸς εἰσενεγκὼν πεντήκοντα δραχμὰς ἀπὸ τῆς οἰκίας

[d] τὸν πρῶτον] τὸ πρῶτον Z.
[e] οἶκον] Addidi ex A.
[f] τὰς] om. B.L.Z.
[g] ἂν τιθῶμεν] ἀντιθῶμεν A.L.
[h] τῷ] τὸ A.B.L.Z.
[i] καταπέμψῃ] καταπέμψει A.L.
[k] γράψεις H. Wolfius: libri γράφεις.
[l] ἕκαστον] ἕκαστος L.
[m] γράψειν H. Wolfius: libri γράφειν.

τῆς ἐν Πειραιεῖ καὶ τῆς ἐν ἄστει; τοσοῦτον γὰρ κατὰ τὴν
71 προτέραν εἰσφορὰν εἰσενηνοχὼς εἴκοσι τάλαντα ἔχεις. ἢ
πολεμεῖν μὲν οὐ γράψεις, ἀποδιδόναι δὲ κατὰ τὸ γε-
γραμμένον ὑπὸ σοῦ ψήφισμα [n]κελεύσεις Ἀλεξάνδρῳ τὸ
κεκομισμένον χρυσίον; οὐκοῦν ὑπὲρ σοῦ τὸν δῆμον ἀποδι-
δόναι δεήσει. καὶ ποῦ τοῦτ' ἐστὶ δίκαιον ἢ κοινὸν ἢ δη- 10
μοτικόν, τοὺς μὲν ἐργαζομένους εἰσφέρειν, σὲ δὲ ἀρπά-
ζειν; καὶ τοὺς μὲν φανερὰν κεκτῆσθαι τὴν οὐσίαν καὶ
ἀπὸ ταύτης εἰσφέρειν, σὲ δὲ πλείω ἢ πεντήκοντα καὶ ἑκα-
τὸν τάλαντα τὰ μὲν ἐκ τῶν βασιλικῶν τὰ δὲ ἐκ τῶν
Ἀλεξάνδρου πραγμάτων [o]εἰληφέναι, μηδὲν [p]δὲ φανερὸν
ἐν τῇ πόλει κεκτῆσθαι, ἀλλὰ διεσκευάσθαι πρὸς τὸν δῆμον
72 [q]ὡς οὐ πιστεύοντα τοῖς ἑαυτῷ πολιτευομένοις; καὶ τοὺς
μὲν νόμους προλέγειν τῷ ῥήτορι [r]καὶ τῷ στρατηγῷ, τὴν 15
παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν, παιδοποιεῖσθαι
κατὰ τοὺς νόμους, γῆν [s]ἐντὸς [t]ὅρων κεκτῆσθαι, πάσας
τὰς δικαίας [u]πίστεις παρακαταθέμενον οὕτως ἀξιοῦν
προεστάναι τοῦ δήμου· σὲ δὲ τὴν πατρῴαν γῆν πεπρακέ-
ναι, τοὺς δὲ οὐ γεγενημένους υἱεῖς σαυτῷ προσποιεῖσθαι
παρὰ τοὺς νόμους τῶν ἐν ταῖς κρίσεσιν ἕνεκα γινομένων
ὅρκων, ἐπιτάττειν δὲ [x]τοῖς ἄλλοις στρατεύεσθαι λιπόντα 20
αὐτὸν τὴν κοινὴν τάξιν.

73 [y]Ὦ Ἀθηναῖοι, παρὰ τί οἴεσθε τὰς πόλεις τοτὲ μὲν εὖ
[y]τοτὲ δὲ φαύλως πράττειν; οὐδὲν [z]εὑρήσετε ἄλλο [a]πλὴν
παρὰ τοὺς συμβούλους καὶ τοὺς ἡγεμόνας. ἐπιβλέψατε

[n] κελεύσεις Stephanus: libri κελεύεις.
[o] εἰληφέναι] vulg. εἰληφότα.
[p] δὲ] om. L.Z.
[q] ὡς] om. Z.
[r] καὶ τῷ στρατηγῷ] καὶ στρατηγῷ Z.
[s] ἐντὸς] ἐν τοῖς B.L.Z.
[t] ὁρῶν] ὅροις Z.
[u] πίστεις] ψήφους Z.
[x] τοῖς] vulg. om.
[y] τοτὲ—τοτὲ] ποτὲ—ποτὲ Z.
[z] εὑρήσετε] εὑρήσητε B.L.Z.
[a] πλὴν] ἢ Z.

γὰρ ἐπὶ τὴν Θηβαίων πόλιν. ἐγένετο πόλις, ἐγένετο μεγίστη, καὶ τίνων τυχοῦσα ἡγεμόνων καὶ στρατηγῶν; ἅπαντες [b]ἂν ὁμολογήσαιεν [c]πρεσβύτεροι, παρ' ὧνπερ
74 κἀγὼ τοὺς λόγους ἀκούων ἐρῶ, ὅτε Πελοπίδας, ὡς φα- 25
σίν, ἡγεῖτο τοῦ ἱεροῦ λόχου καὶ [d]Ἐπαμεινώνδας ἐστρατήγει [e]καὶ οἱ μετὰ τούτων, τότε τὴν ἐν Λεύκτροις μάχην ἐνίκησεν ἡ τῶν Θηβαίων πόλις, τότε εἰς τὴν ἀπόρθητον νομιζομένην εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλον, κατ' ἐκείνους τοὺς χρόνους πολλὰ καὶ καλὰ διεπράξαντο ἔργα, [f]Μεσσήνην τετρακοσιοστῷ ἔτει κατῴκισαν, Ἀρκάδας αὐ-
75 τονόμους ἐποίησαν, ἔνδοξοι παρὰ πᾶσιν ἦσαν. πότε δ' 30
αὖ τοὐναντίον ταπεινὰ καὶ τοῦ φρονήματος ἀνάξια διεπράξαντο; ὅτ' ἐδωροδόκει μὲν λαμβάνων χρήματα [g]παρὰ Φιλίππου Τιμόλαος ὁ [h]τούτου φίλος, ἐπὶ δὲ τοῖς ξένοις τοῖς εἰς [i]Ἀμφισσαν [j]συλλεγεῖσι Πρόξενος ὁ προδότης ἐγένετο, ἡγεμὼν [k]δὲ τῆς φάλαγγος [l]κατέστη [m]Θεαγένης, ἄνθρωπος ἀτυχὴς καὶ δωροδόκος ὥσπερ οὗτος. τότε [n]διὰ τρεῖς γε ἀνθρώπους οὓς εἶπον ἅπασα ἡ πόλις μετὰ τῶν 35
Ἑλλήνων ἁπάντων ἀπώλετο καὶ [o]διεφθάρη. οὐ γὰρ ψεῦδός ἐστιν ἀλλὰ καὶ λίαν ἀληθὲς τὸ τοὺς ἡγεμόνας αἰτίους ἁπάντων γίνεσθαι καὶ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων τοῖς
76 πολίταις. θεωρήσατε δὴ πάλιν καὶ ἐπὶ τῆς ἡμετέρας πόλεως, τὸν αὐτὸν τρόπον ἐξετάσαντες. ἡ πόλις ἡμῶν ἦν μεγάλη καὶ ἔνδοξος παρὰ τοῖς Ἕλλησι καὶ τῶν προγό-

[b] ἄν A.B. vulg. γάρ.
[c] πρεσβύτεροι] οἱ πρεσβύτεροι opinor.
[d] Ἐπαμεινώνδας] ἐπαμεῖνώνδας A. ἐπαμινώνδας Z.
[e] καὶ οἱ μετὰ τούτων] om. Z.
[f] Μεσσήνην] Μεσήνην A.B.L.Z.
[g] παρὰ Φιλίππου A. vulg. παρὰ τοῦ Φιλίππου.
[h] τούτου A. vulg. τούτων.
[i] Ἀμφισσαν] ἄμφισαν A.B.L.Z.
[j] συλλεγεῖσι] ξυλλεγεῖσι Z.
[k] δὲ] vulg. om.
[l] κατέστη A.B. vulg. κατεστάθη.
[m] Θεαγένης] ἀγένης L.Z.
[n] διὰ] om. Z.
[o] διεφθάρη pr. A. vulg. συνδιεφθάρη.

νων ἀξία, μετά [p]γε τὰς ἀρχαίας ἐκείνας πράξεις, ὅτε Κόνων, ὡς οἱ πρεσβύτεροι λέγουσιν, ἐνίκησε τὴν ἐν Κνιδῳ ναυμαχίαν, ὅτε Ἰφικράτης ἀνεῖλε τὴν Λακεδαιμονίων [q]μόραν, ὅτε Χαβρίας ἐν Νάξῳ κατεναυμάχησε τὰς [r]Λακεδαιμονίων τριήρεις, ὅτε Τιμόθεος [s]τὴν ἐν Κερκύρᾳ ναυ-
77 μαχίαν ἐνίκησε. τότε, ὦ Ἀθηναῖοι, τότε οἱ μὲν πρότερον ὄντες λαμπροὶ διὰ τοὺς ἡγεμόνας Λακεδαιμόνιοι καὶ ὑπὸ τοῖς ἐκείνων ἤθεσι τραφέντες ταπεινοὶ πρὸς τὴν πόλιν ἡμῶν ἦκον, δεόμενοι τῆς παρὰ τῶν προγόνων ἡμῶν σωτηρίας, ὁ δὲ καταλυθεὶς ὑπ' ἐκείνων δῆμος διὰ τοὺς τότε γενομένους παρ' ὑμῖν συμβούλους πάλιν ἡγεμὼν ἦν τῶν Ἑλλήνων, δικαίως (οἶμαι) στρατηγῶν μὲν τοιούτων τετυχηκὼς οἵων εἶπον ἀρτίως, συμβούλους δ' ἔχων Ἀρχῖνον καὶ Κέφαλον τὸν [t]Κολυττέα. μία γὰρ αὕτη σωτηρία καὶ πόλεως καὶ ἔθνους ἐστί, τὸ προστατῶν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων
78 σπουδαίων τυχεῖν. διόπερ, ὦ Ἀθηναῖοι, δεῖ ταῦθ' ὑμᾶς ὁρῶντας καὶ λογιζομένους μὴ μὰ Δία τὸν πλείω χρόνον τῆς Δημοσθένους δωροδοκίας καὶ ἀτυχίας κοινωνεῖν, μηδ' ἐν τούτῳ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, μηδὲ οἴεσθαι ἀπορήσειν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων, ἀλλὰ τὴν τῶν προγόνων λαβόντας ὀργὴν τὸν ἐπ' αὐτοφώρῳ κλέπτην εἰλημμένον καὶ προδότην, τὸν οὐκ ἀπεχόμενον τῶν εἰς τὴν πόλιν ἀφικνουμένων χρημάτων, τὸν εἰς τὰς δεινοτάτας ἀτυχίας [u]ἐμβεβληκότα τὴν πόλιν, τὸν τῆς Ἑλλάδος [x]ἀλιτήριον ἀποκτείναντας ἐξόριστον ἐκ τῆς πόλεως ποιῆσαι, καὶ μεταβαλέσθαι τὴν τῆς πόλεως τύχην ἐᾶσαι, καὶ προσδοκῆσαι τούτων γενομένων βέλτιον πράξειν.

[p] γε] τε Z.
[q] μόραν] libri μοῖραν.
[r] Λακεδαιμονίων] ἀθηναίων Z.
[s] τὴν] om. Z.
[t] Κολυττέα] κοττυλέα A.B.L.
κοττιλλέα Z.
[u] ἐμβεβληκότα τὴν] ἐμβεβλημένον L.Z.
[x] ἀλιτήριον A.B. vulg. ὄλεθρον. Ejus loco lacuna est in L.Z.

79 Ἀκούσατε, ὦ Ἀθηναῖοι, κἀκείνου τοῦ ψηφίσματος τοῦ γραφέντος ὑπὸ Δημοσθένους, [y]ὃ τεταραγμένης τῆς πόλεως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἔγραψεν ὁ δημοτικὸς οὗτος, καὶ τῆς μαντείας τῆς ἐλθούσης ἐκ Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου· σαφῶς γὰρ ὑμῖν πάλαι προείρηκε φυλάττεσθαι τοὺς ἡγεμόνας καὶ τοὺς συμβούλους. Λέγε τὴν [z]μαντείαν πρῶτον.

[a]ΜΑΝΤΕΙΑ.

Λέγε δὴ τὸ καλὸν ψήφισμα τούτου.

[b]ΨΗΦΙΣΜΑΤΟΣ ΜΕΡΟΣ.

80 Δημοτικός γε ὁ διατάττων ἑαυτὸν μέν, ἐπειδὴ ἀνδρεῖος καὶ εὔψυχός ἐστιν, ἐν τοῖς ὅπλοις μένειν, οὓς δ' ἂν αὐτὸς ἀποδοκιμάσῃ τῶν πολιτῶν, ἐπὶ τὰ ἔργα ἀπιέναι, καὶ ἐάν τι ἄλλο τούτῳ δόξῃ ἐπιτήδειον εἶναι, τοῦτο ποιεῖν. Λέγε τὰ λοιπά.

[c]ΤΟ ΛΟΙΠΟΝ ΤΟΥ ΨΗΦΙΣΜΑΤΟΣ.

81 Ἀκούετε, ὦ ἄνδρες δικασταί. ἀπιέναι φησὶ [d]τὸ ψήφισμα τὰς [e]ἠρημένας πρεσβείας, ἐπειδὴ ἥκουσε μετὰ τὴν μάχην τὴν ἐν Χαιρωνείᾳ Φίλιππον εἰς τὴν χώραν ἡμῶν μέλλειν εἰσβάλλειν, αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν' ἐκ τῆς πόλεως ἀποδραίη, συσκευασάμενος τῆς διοικήσεως ὀκτὼ τάλαντα, [f]οὐδὲν φροντίσας τῆς τότε παρούσης ἀπορίας, ἡνίχ' οἱ ἄλλοι πάντες ἐκ τῶν ἰδίων
82 ἐπεδίδοσαν εἰς τὴν [g]ὑμετέραν σωτηρίαν. τοιοῦτος ὑμῖν ὁ σύμβουλος, καὶ δύο ταύτας μόνας ἐν τῷ βίῳ Δημοσθένης πεποίηται ἀποδημίας, μετὰ τὴν μάχην ὅτε ἀπεδίδρασκεν

[y] ὃ] ὅτε L.Z. et pr. A.
[z] μαντείαν] vulg. μαρτυρίαν.
[a] ΜΑΝΤΕΙΑ A.Z. vulg. Μαρτυρία: om. B.L.
[b] ΨΗΦΙΣΜΑΤΟΣ ΜΕΡΟΣ] ψήφισμα A.Z. om. B.L.
[c] ΤΟ ΛΟΙΠΟΝ ΤΟΥ ΨΗΦΙΣΜΑΤΟΣ] μαρτυρία A. om. B.L.Z.
[d] τὸ ψήφισμα] Malim abesse.
[e] ἠρημένας H. Wolfius: libri εἰρημένας.
[f] οὐδὲν H. Wolfius: libri οὐδέ.
[g] ὑμετέραν] vulg. ἡμετέραν.

ἐκ τῆς πόλεως, καὶ νῦν εἰς Ὀλυμπίαν, [h]ἐπεὶ Νικάνορι διὰ τῆς ἀρχιθεωρίας ἐντυχεῖν ἐβούλετο. ἄξιόν γε τούτῳ παρακαταθέσθαι τὴν πόλιν καὶ ἐπιτρέψαι κινδυνεύειν μέλλοντας, ὃς ὅτε μὲν ἔδει μάχεσθαι μετὰ τῶν ἄλλων τοῖς πολεμίοις, λιπὼν τὴν τάξιν ᾤχετο ἀπιὼν οἴκαδε, ἐπειδὴ δὲ προσῆκεν οἴκοι κινδυνεύειν μετὰ τῶν ἄλλων, πρεσβευτὴν αὐτὸς αὑτὸν [i]προβαλόμενος ᾤχετο ἐκ τῆς πόλεως
83 ἀποδράς, ἐπειδὴ δὲ πρεσβεύειν ἔδει περὶ [k]τῆς εἰρήνης, οὐκ ἂν ἔφασκεν ἐκ τῆς πόλεως ἐξελθεῖν οὐδὲ τὸν ἕτερον πόδα, ἐπειδὴ δὲ τοὺς φυγάδας Ἀλέξανδρον ἔφασαν καταγειν καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἦκεν, [l]ἀρχιθεωρὸν αὐτὸν ἀπέδωκε τῇ βουλῇ. τοιοῦτος οὗτος, ἐν μὲν ταῖς παρατάξεσιν οἰκουρός, ἐν δὲ τοῖς οἴκοι μένουσι πρεσβευτής, ἐν δὲ τοῖς πρεσβευταῖς δραπέτης ἐστί.

Λέγε δὴ καὶ τὸ περὶ ζητήσεως τῶν χρημάτων ψήφισμα, ὃ ἔγραψε [m]Δημοσθένης τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ αὐτοῦ τε καὶ ἡμῶν, ἵνα παρ' ἄλληλα θεωρήσαντες εἰδῆτε τὴν Δημοσθένους ἀπόνοιαν.

ΨΗΦΙΣΜΑ.

84 Ἔγραψας σὺ τοῦτο Δημόσθενες; ἔγραψας· οὐκ ἔστιν ἀντειπεῖν. ἐγένετο ἡ βουλὴ κυρία [n]σοῦ προστάξαντος; ἐγένετο. τεθνᾶσι τῶν πολιτῶν ἄνδρες; τεθνᾶσι. κύριον ἦν τὸ σὸν ψήφισμα κατ' ἐκείνων; ἀδύνατον ἀντειπεῖν.

Λέγε δὴ πάλιν ὁ Δημοσθένης κατὰ Δημοσθένους ἔγραψε. προσέχετε ὦ ἄνδρες.

[o]ΨΗΦΙΣΜΑ.

85 Ἡ βουλὴ εὗρηκε Δημοσθένην. τί δεῖ πολλῶν λόγων;

[h] ἐπεὶ] ἐπὶ L.Z.
[i] προβαλόμενος B. et correctus A. vulg. προβαλλόμενος.
[k] τῆς εἰρήνης] Articulum om. L.
[l] ἀρχιθεωρὸν] vulg. ἀρχιθέωρον.
[m] Δημοσθένης τῇ ἐξ] ὁ Δημοσθένης τῇ ἐκ τοῦ Z.
[n] σοῦ] om. L.Z.
[o] ΨΗΦΙΣΜΑ. Ἡ βουλὴ] Hæc addidi sumpta ab A.

ἀποπέφαγκεν, ὦ Ἀθηναῖοι. τὸ μὲν τοίνυν δίκαιον ἦν ὑφ' 101
ἑαυτοῦ κεκριμένον εὐθὺς ἀποθνήσκειν· ἐπειδὴ δ' εἰς τὰς
ὑμετέρας ἦκει χεῖρας τοὺς ὑπὲρ τοῦ δήμου συνειλεγμένους
καὶ τοὺς ὁμωμοκότας πείθεσθαι τοῖς νόμοις καὶ τοῖς τοῦ
δήμου ψηφίσμασι, τί ποιήσετε; προήσεσθε τὴν πρὸς τοὺς
θεοὺς εὐσέβειαν καὶ τὰ παρὰ πᾶσιν ἀνθρώποις δίκαια
86 νομιζόμενα; μή, ὦ Ἀθηναῖοι, μή· αἰσχρὸν γὰρ καὶ δει- 5
νὸν ἑτέρους μὲν ὑπὸ τῶν Δημοσθένους ψηφισμάτων, οὐδὲν
ὄντας τούτου χείρους οὐδὲ τοσαῦτ' ἠδικηκότας ὅσαπερ οὗ-
τος, ἀπολωλέναι, τουτονὶ δὲ καταφρονοῦντα ὑμῶν καὶ τῶν
νόμων ἀτιμώρητον περιιέναι ἐν τῇ πόλει, αὐτὸν ὑφ' ἑαυτοῦ
87 καὶ τῶν ψηφισμάτων ὧν ἔγραψεν ἁλωκότα. τουτὶ τὸ
συνέδριον, ὦ Ἀθηναῖοι, καὶ ὁ αὐτὸς τόπος, καὶ [p] ταῦτα τὰ
δίκαια. ὁ αὐτὸς ῥήτωρ ἐκείνοις τε αἴτιος ἐγένετο τῶν 10
συμβάντων κακῶν καὶ [q] αὐτῷ τῶν νῦν συμβησομένων.
ἐπέτρεψεν ὁ αὐτὸς οὗτος ἐν τῷ δήμῳ τῷ συνεδρίῳ τούτῳ
88 κρῖναι περὶ αὐτοῦ, μάρτυρας ὑμᾶς πεποιημένος. ἔθετο
συνθήκας μετὰ τοῦ δήμου, γράψας τὸ ψήφισμα καθ'
ἑαυτοῦ παρὰ τὴν μητέρα τῶν θεῶν, ἣ πάντων τῶν ἐν τοῖς
γράμμασι δικαίων [r] φύλαξ τῇ πόλει καθέστηκε. διὸ καὶ
οὐχ ὅσιον ὑμῖν ἐστὶ ταύτας ἀκύρους ποιεῖν, οὐδὲ τοὺς θε-
οὺς ὁμωμοκόσι περὶ ταύτης τῆς κρίσεως ταῖς αὐτῶν τῶν 15
89 θεῶν πράξεσιν ἐναντίαν τὴν ψῆφον ἐνεγκεῖν. κρίσει Πο-
σειδῶν ἀποτυχὼν [s] τοῖς ὑπὲρ [t] Ἁλιρρόθιον πρὸς [u] Ἄρη γενο-
μένοις ἐνέμειναν· αὐταὶ αἱ [t] σεμναὶ θεαὶ τῇ πρὸς Ὀρέστην
ἐν τούτῳ τῷ συνεδρίῳ κρίσει γενομένῃ καὶ τῇ τούτου ἀλη-
θείᾳ συνοίκους ἑαυτὰς εἰς τὸν λοιπὸν χρόνον κατέστησαν.

[p] ταῦτα] ταῦτ' αὐτὰ B. ταὐτὰ H. Wolfius.
[q] αὐτῷ τῶν] αὐτῶν L.Z.
[r] φύλαξ τῇ πόλει] τῇ πόλει φύλαξ Z. Articulum om. pr. A.
[s] τοῖς—γενομένοις correctus A. Et malim τῇ—γενομένῃ.
[t] σεμναὶ] om. Z.

ὑμεῖς δὲ τί ποιήσετε οἱ πάντων εἶναι φάσκοντες εὐσεβέ-
στεροι; τὴν τοῦ συνεδρίου γνώμην ἄκυρον [u] καταστήσετε
90 [x] τῇ Δημοσθένους ἐπακολουθήσαντες πονηρίᾳ; οὐκ ἐὰν
σωφρονῆτε, ὦ [y] ἄνδρες Ἀθηναῖοι· οὐ γὰρ περὶ μικρῶν οὐδὲ
τῶν τυχόντων ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε, ἀλλὰ περὶ
σωτηρίας τῆς πόλεως ἁπάσης καὶ πρὸς τούτοις περὶ δω-
ροδοκίας, ἔθους πονηροῦ καὶ πράγματος ἀλυσιτελοῦς [z] ὑμῖν
91 καὶ πάντας ἀνθρώπους ἀπολωλεκότος. εἰ μὲν καθ' ὅσον
ἐστὲ δυνατοὶ ἐκβαλεῖτε ἐκ τῆς πόλεως καὶ παύσετε τοὺς
ῥᾳδίως καθ' ὑμῶν χρήματα λαμβανόντας, σωθησόμεθα
θεῶν βουλομένων· εἰ δ' ἐπιτρέψετε τοῖς ῥήτορσι πωλεῖν
ὑμᾶς αὐτούς, περιόψεσθε τὴν πόλιν ἀνατραπεῖσαν ὑπὸ
τούτων.

92 Ἔγραψεν αὐτὸς ἐν τῷ δήμῳ Δημοσθένης, ὡς δηλονότι
δικαίου τοῦ πράγματος ὄντος, φυλάττειν Ἀλεξάνδρῳ τὰ
εἰς τὴν Ἀττικὴν ἀφικόμενα μετὰ Ἁρπάλου χρήματα.
οὕτως οὖν, [a] ὦ ἄριστε, εἰπέ μοι, φυλάξομεν, ἐὰν σὺ μὲν
εἴκοσι τάλαντα λαβὼν ἔχῃς ἴδια, ἕτερος δὲ πεντεκαίδεκα,
[b] Δημάδης δὲ ἑξακισχιλίους χρυσοῦ στατῆρας, ἕτεροι δὲ
93 ὅσα δή ποτε ἀποπεφασμένοι εἰσί; [c] τέτταρα γὰρ τάλαντά
ἐστι καὶ ἑξήκοντα ἤδη εὑρημένα, ὧν οἴεσθε τὴν αἰτίαν
[d] τουτοισὶν ἀναθεῖναι. καὶ πότερα καλλιόν ἐστι, πρὸς δὲ
δικαιότερον, ἅπαντ' ἐν τῷ κοινῷ φυλάττεσθαι, ἕως ἄν τι
δίκαιον ὁ δῆμος βουλεύσηται, ἢ τοὺς ῥήτορας καὶ τῶν
στρατηγῶν ἑνίους διηρπακότας ἔχειν; ἐγὼ μὲν γὰρ οἶμαι
τὸ μὲν [e] ἐν τῷ κοινῷ φυλάττειν παρὰ πάντων ὁμολογού-

[u] καταστήσετε] κατεστήσατε pr. A.
[x] τῇ Δημοσθένους] τῇ τοῦ Δημοσθένους Z.
[y] ἄνδρες] om. A.B.
[z] ὑμῖν] vulg. om.
[a] ὦ] vulg. om.
[b] Δημάδης — χρυσοῦ] δημώδης — χρυσοῦς Z.
[c] τέτταρα] τετρακόσια pr. A.
[d] τουτοισὶν] τούτοισιν L.
[e] ἐν τῷ] αὐτῷ Z.

μενον εἶναι δίκαιον, τὸ δὲ τούτους ἔχειν μηδὲν' ἂν εἰπεῖν ὡς ἔστι καλῶς ἔχον.

94 Πολλοὺς [f]οὗτος ἐρεῖ καὶ παντοδαποὺς λόγους, ὦ ἄνδρες, καὶ οὐδεπώποτε τοὺς αὐτούς. ὁρᾷ γὰρ ὑμᾶς τὸν ἅπαντα χρόνον ἐλπίσι κεναῖς καὶ ψευδέσι λόγοις ἐξηπατημένους ὑφ' ἑαυτοῦ, καὶ μέχρι τούτου μνημονεύοντας τὰς ὑποσχέσεις μέχρις ἂν ῥηθῶσιν. εἰ μὲν οὖν ἔτι δεῖ τὴν 40 πόλιν τῆς Δημοσθένους πονηρίας καὶ ἀτυχίας ἀπολαύειν, ἵνα πλέον κακοδαιμονῶμεν (οὐδὲ γὰρ ἔχω τί ἄλλο εἴπω,)

95 στερκτέον [g]εἴη τοῖς συμβαίνουσιν· εἰ δ' ἔτι κηδόμεθα τῆς πατρίδος καὶ τοὺς πονηροὺς καὶ δωροδόκους μισοῦμεν καὶ μετοιωνίσασθαι τὴν τύχην καὶ μεταλλάξασθαι βουλόμεθα, οὐ [h]προετέον ἐστὶν ὑμᾶς αὐτούς, ὦ Ἀθηναῖοι, ταῖς τοῦ μιαροῦ καὶ γόητος τούτου δεήσεσιν, οὐδὲ [i]προσδεκτέον 102 τοὺς οἴκτους καὶ τοὺς φενακισμοὺς τούτου· ἱκανὴν γὰρ εἰλήφατε πεῖραν αὐτοῦ καὶ τῶν ἔργων καὶ τῶν λόγων

96 καὶ τῆς τύχης. τίς οὕτως εὔελπις [k]ὑμῶν ἐστίν, ὦ Ἀθηναῖοι, τίς οὕτως ἀλόγιστος, τίς τῶν προγεγενημένων καὶ νῦν ἐνεστηκότων πραγμάτων ἄπειρος, [l]ὅστις ἐλπίζει τὸν ἐκ τοσαύτης εὐδαιμονίας εἰς τοσαύτην ἀδοξίαν καταστή- 5 σαντα τὴν πόλιν δι' ἠντιναδήποτε αἰτίαν [m]ἢ τύχην (ἐῶ γὰρ τοῦτο νῦν,) ἐπειδὴ πρὸς ταῖς ἄλλαις ἀπορίαις καὶ τοῖς περιεστηκόσιν ἡμᾶς κινδύνοις καὶ ἡ τῶν ἐξ αὐτῆς τῆς πόλεως [n]δωροδοκία προσγέγονε, καὶ περὶ αἰσχρᾶς αἰτίας κοινῇ πάντες ἀγωνιζόμεθα καὶ περὶ τοῦ μὴ δοκεῖν τὰ [o]ἰδίᾳ

[f] οὗτος] οὕτως L.Z.

[g] εἴη] Malim ἂν εἴη.

[h] προετέον H. Wolfius: libri προσεκτέον.

[i] προσδεκτέον A.B. προσέκτεον L. Z. vulg. προσιτέον. προσετέον de conjectura H. Wolfii.

[k] ὑμῶν ἐστίν A.B. vulg. ἐστιν ὑμῖν.

[l] ὅστις] τίς A.B.L.Z.

[m] ἢ τύχην] ἠτύχει Z.

[n] δωροδοκία προσγέγονε] δωροδοκίας γέγονεν Z.

[o] ἰδίᾳ] libri ἴδια.

παρά τισιν ὄντα χρήματα κοινῇ τὸν δῆμον ἔχειν, τηνικαῦτα συμβουλεύοντα καὶ [p]διοικοῦντα τοῦτον σώσειν
97 ἡμᾶς; ἐῶ γὰρ τἆλλα ὅσα μεταβαλλόμενος ἐν τοῖς πράγμασι καὶ δημηγορῶν οὐδὲν ὑγιὲς τετέλεκε, καὶ τοτὲ μὲν γράφων καὶ ἀπαγορεύων μηδένα ἄλλον νομίζειν θεὸν ἢ τοὺς παραδεδομένους, τοτὲ δὲ λέγων ὡς οὐ δεῖ τὸν δῆμον ἀμφισβητεῖν τῶν ἐν οὐρανῷ [q]τιμῶν Ἀλεξάνδρῳ, ὅταν δὲ μέλλῃ κριθήσεσθαι παρ' ὑμῖν, Καλλιμέδοντα εἰσαγγέλλων συνιέναι ἐν Μεγάροις τοῖς φυγάσιν ἐπὶ καταλύσει
τοῦ δήμου, καὶ ταύτην τὴν εἰσαγγελίαν εὐθὺς παραχρῆμα
98 ἀναιρούμενος, ἐν δὲ τῇ ἐκκλησίᾳ ταύτῃ τῇ πρώην γεγενημένῃ προσάγων καὶ κατασκευάζων ψευδῆ μηνυτὴν ὡς ἐπιβουλευομένων τῶν νεωρίων, καὶ περὶ τούτων γράφων μὲν οὐδέν, αἰτίας δ' ἕνεκα τοῦ παρόντος ἀγῶνος παρασκευάζων· τούτων γὰρ ἁπάντων ὑμεῖς τούτῳ μάρτυρές ἐστε. γόης οὗτος, ἄνδρες Ἀθηναῖοι, καὶ μιαρὸς ἄνθρωπός
99 ἐστι, καὶ οὔτε τῷ γένει τῆς πόλεως πολίτης οὔτε τοῖς πολιτευμένοις αὐτῷ καὶ [r]πεπραγμένοις. ποῖαι γὰρ τριήρεις εἰσὶ κατεσκευασμέναι διὰ [s]τοῦτον, ὥσπερ [t]ἐπὶ Εὐβούλου, τῇ πόλει; ἢ ποῖοι νεώσοικοι τούτου πολιτευομένου γεγόνασι; πότε οὗτος ἢ διὰ ψηφίσματος ἢ νόμου ἐπηνώρθωσε τὸ ἱππικόν; τίνα κατεσκεύασε δύναμιν τοιούτων καιρῶν παραγενομένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἢ πεζὴν ἢ ναυτικήν; τίς [u]ἀνενήνεκται τῇ θεῷ κόσμος [w]εἰς ἀκρόπολιν ὑπὸ τούτου; τί κατεσκεύακε Δημοσθένης οἰκοδόμημα ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ ἢ ἐν τῷ ἄστει ἢ ἄλ-
100 λοθί που τῆς χώρας; οὐδεὶς [x]ἂν οὐδαμοῦ δείξειεν. ἔπειτα

[p] διοικοῦντα A.B. vulg. πολεμοῦντα.
[q] τιμῶν] Hoc facile caream.
[r] πεπραγμένοις] vulg. πεπραγματευμένοις.
[s] τοῦτον A.B. vulg. τούτου.
[t] ἐπὶ Εὐβούλου] ἐπιβούλου Z.
[u] ἀνενήνεκται] libri ἀνήνεκται.
[w] εἰς] ἐς Z.
[x] ἂν Stephanus: libri ἄν.

τὸν μὲν ἐν ταῖς πολεμικαῖς πράξεσιν [y] ἄπιστον γεγενημένον, ἐν δὲ ταῖς κατὰ τὴν πόλιν οἰκονομίαις ἄχρηστον, περιεωρακότα δὲ τοὺς ἀντιπολιτευομένους ἅπαντα [z] διαπεπραγμένους ὅσα ἐβουλήθησαν, μεταβεβλημένον δὲ αὐτὸν καὶ τὰς ὑπὲρ τοῦ δήμου πράξεις ἐγκαταλελοιπότα, τοῦτον περιποιῆσαι βούλεσθε; οὐκ ἐὰν σωφρονῆτε καὶ καλῶς καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως βουλεύησθε· ἀλλὰ δέξασθε τὴν ἀγαθὴν τύχην, ἣ τιμωρήσασθαι παρέδωκε τῶν ῥητόρων τοὺς τὴν πόλιν διὰ τὴν αὐτῶν δωροδοκίαν ταπεινὴν πεποιηκότας, καὶ φυλάξασθε (καθάπερ οἱ θεοὶ προειρήκασιν ὑμῖν ἐν ταῖς μαντείαις πολλάκις) τοὺς τοιούτους ἡγεμόνας καὶ συμβούλους. ἀκούσατε δὲ αὐτῆς τῆς μαντείας. [a] Λέγε τὴν [b] μαντείαν.

ΜΑΝΤΕΙΑ.

Πῶς οὖν μίαν γνώμην ἔξομεν, ὦ Ἀθηναῖοι; πῶς ὁμονοήσομεν ἅπαντες ὑπὲρ τῶν κοινῇ συμφερόντων, ὅταν οἱ ἡγεμόνες καὶ οἱ δημαγωγοὶ χρήματα λαμβάνοντες προΐωνται τὰ τῆς πατρίδος συμφέροντα, καὶ ὑμεῖς [c] μὲν καὶ ὁ δῆμος ἅπας κινδυνεύῃ περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως καὶ τῶν ἱερῶν τῶν πατρῴων καὶ παίδων καὶ γυναικῶν, οἱ δὲ διηλλαγμένοι πρὸς αὐτοὺς ἐν μὲν ταῖς ἐκκλησίαις λοιδοροῦνται καὶ προσκρούσωσιν ἀλλήλοις ἐξεπίτηδες, ἰδίᾳ δὲ [d] ταὐτὰ [e] πράττωσιν ἐξαπατῶντες ὑμᾶς τοὺς ῥᾷστα πειθομένους τοῖς τούτων λόγοις; τί γάρ ἐστι ῥήτορος δημοτικοῦ καὶ μισοῦντος τοὺς κατὰ τῆς πόλεως λέγοντας καὶ

[y] ἄπιστον—ἄχρηστον] Transponenda fortasse, ἄχρηστον—ἄπιστον.

[z] διαπεπραγμένους H. Wolfius: δὲ πεπραγμένους A.B.Z. δὲ πεπραμένους L.

[a] Λέγε τὴν] vulg. λέγε σὺ τήν.

[b] μαντείαν] σημασίαν L.Z.

[c] μὲν καὶ ὁ B. et supra versum A. vulg. μὲν ὁ.

[d] ταὐτὰ H. Wolfius: libri ταῦτα.

[e] πράττωσιν] πράττοντες Z.

γράφοντας; ἢ τί φασι τοὺς πρὸ ἡμῶν γεγενημένους, ὦ Δημόσθενες καὶ Πολύευκτε, διατελεῖν ποιοῦντας; καὶ ταῦτα οὐδενὸς δεινοῦ τότε τὴν πόλιν περιεστηκότος. οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσαγγέλλειν; οὐ γράφεσθαι πα-
104 ρανόμων; [f]ἔστιν οὖν ὅ τι πεποιήκατε τούτων ὑμεῖς οἱ φάσκοντες τοῦ δήμου κήδεσθαι καὶ τὴν σωτηρίαν ὑμῖν ἐν τῇ τούτων εἶναι ψήφῳ; [g]γέγραπταί [h]σοι ψήφισμα, Δημόσθενες, πολλῶν ὄντων καὶ [i]δεινῶν παρανόμων ὧν Δημάδης γέγραφε; κεκώλυκάς τινα πρᾶξιν ὧν ἐκεῖνος προελόμενος κατὰ τοῦ δήμου πεπολίτευται; οὐδ' ἠντινοῦν. εἰσήγγελκας τὸν παρὰ τὸ τοῦ δήμου ψήφισμα καὶ τοὺς νόμους πολλὰ [k]διαπεπραγμένον; οὐδεπώποτε, ἀλλὰ περιεῖδες αὐτὸν ἐν τῇ ἀγορᾷ χαλκοῦν σταθέντα καὶ τῆς ἐν Πρυτανείῳ σιτήσεως κεκοινωνηκότα τοῖς Ἁρμοδίου καὶ
105 Ἀριστογείτονος ἀπογόνοις. ἔπειτα ποῦ τῆς εὐνοίας τῆς σῆς ὁ δῆμος ἔλαβε πεῖραν, [l]ἢ ποῦ τὴν τοῦ ῥήτορος βοήθειαν καὶ δύναμιν ἐξεταζομένην εἴδομεν; ἢ ἐνταῦθα φήσετ' εἶναι δεινοί, εἰ [m]παρακρούσετε τούτους ἀεὶ λέγοντες ὡς οὐκ ἔστιν ἔξω τῆς πατρίδος ὑμῖν ἐξελθεῖν, οὐκ ἔστιν ἄλλη καταφυγὴ χωρὶς τῆς [n]ἡμετέρας εὐνοίας; φανεροὺς ἐχρῆν γεγενημένους ἀντιπράττοντας καὶ λόγῳ καὶ ἔργῳ τοῖς κατὰ τοῦ δήμου γραφομένοις ψηφισμασιν, οὕτω πείθειν τούτους λέγοντας ὡς οὐκ ἔστιν ὑμῖν οὐδεμία σω-
106 τηρία χωρὶς τῆς παρὰ τοῦ δήμου βοηθείας. ὑμεῖς δ' ἐν τοῖς ἔξω τὰς ἐλπίδας ἔχετε, ἀμιλλώμενοι ταῖς κολακείαις πρὸς τοὺς ὁμολογοῦντας ὑπὲρ Ἀλεξάνδρου πράττειν καὶ δῶρα εἰληφέναι παρὰ τῶν αὐτῶν ὥνπερ νῦν ἀπο-

[f] ἔστιν—παρανόμων] om. pr. A.
[g] γέγραπται] γέγραψαι A.
[h] σοι] om. A.B.L.Z.
[i] δεινῶν] Fortasse leg. δεινῶς.
[k] διαπεπραγμένον] διαπεπραγμένους Z.
[l] ἢ ποῦ A. ἤπου B. vulg. ὅπου.
[m] παρακρούσετε] Nonne παρακρούσεσθε?
[n] ἡμετέρας A.B. vulg. ὑμετέρας.

πέφαγκεν ὑμᾶς ἡ βουλή, καὶ [o]συμπάντων τῶν Ἑλλήνων ἐναντίον διειλεγμένος Νικάνορι, καὶ κεχρηματικὼς ἐν Ὀλυμπίᾳ περὶ ὧν ἐβουλήθης, ἐλεεινὸν νῦν σεαυτὸν κατασκευάζεις προδότης ὢν καὶ δωροδόκος, ὡς ἐπιμελησομένους τούτους τῆς σῆς πονηρίας, καὶ οὐ δώσων δίκην
107 ὑπὲρ ὧν εἴληφαι πεποιηκώς, τοσούτῳ τολμηρότερον Δημάδου, ὥσθ' ὁ μὲν προειρηκὼς ἐν τῷ δήμῳ τὸν αὐτοῦ τρόπον καὶ τὴν ἀπόνοιαν, καὶ ὁμολογῶν λαμβάνειν καὶ λήψεσθαι, ὅμως οὐ τετόλμηκεν αὐτοῖς δεῖξαι τὸ πρόσωπον, οὐδ' ἐναντία τῇ τῆς βουλῆς ἀποφάσει λέγειν ἠξίωσε· καίτοι οὐκ ἔγραψεν ἐκεῖνος περὶ αὐτοῦ κυρίαν εἶναι τὴν βουλήν, οὐδὲ θάνατον ὡρίσατο, ἐὰν ἀποφανθῇ χρήματα εἰληφώς· [p]σὺ δὲ οὕτω σφόδρα πεπίστευκας τοῖς σεαυτοῦ λόγοις καὶ καταπεφρόνηκας τῆς τούτων εὐηθείας, ὥστε πείσειν οἴει τοὺς δικαστὰς ὡς μόνου σοῦ κατέψευσται τὸ συνέδριον καὶ μόνον οὐκ εἰληφότα σὲ τὸ χρυσίον ἀποπέφαγκεν. καὶ τίς ἂν ταῦτα πεισθείη;
108 Ὁρᾶτε, [q]ὦ Ἀθηναῖοι, τί μέλλετε ποιεῖν. παρειλήφατε παρὰ τοῦ δήμου τὸ πρᾶγμα τὸ γεγενημένον [r]ἤδη, τιμωρίας δ' ἕνεκα τῆς κατὰ τῶν ἐνόχων ὄντων ταῖς ἀποφάσεσι Δημοσθένης εἰσάγεται πρῶτος. κατηγορήκαμεν ἡμεῖς, [s]οὐδενὶ καταχαρισάμενοι τῶν κοινῶν δικαίων. πότερ' ἀμελήσαντες τῶν [t]γεγενημένων ἁπάντων ἀφήσετε τὸν πρῶτον εἰσεληλυθότα πρὸς ὑμᾶς, καὶ τὰ δίκαια τὰ παρὰ τῷ δήμῳ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου δόξαντ' εἶναι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, ταῦθ' ὑμεῖς [u]οἱ κύριοι πάντων λύσετε, καὶ τὴν πονηρίαν αὐτοὶ τὴν τούτων

[o] συμπάντων] σὺ πάντων A.
[p] σὺ] οὐ L.
[q] ὦ] om. Z. cum vulg.
[r] ἤδη] εἴδος A.B.L.Z.
[s] οὐδενὶ] οὐδὲν οὐδενὶ Reiskius.
[t] γεγενημένων ἁπάντων] γενομένων πάντων Z.
[u] οἱ] Supra versum ponit A. vulg. om.

[x] ἀναδέξεσθε; ἢ πᾶσιν ἀνθρώποις παράδειγμα ἐξοίσετε κοινὸν ὑπὲρ τῆς πόλεως, ὅτι μισεῖτε τοὺς προδότας καὶ τοὺς χρημάτων ἕνεκα [y] προϊεμένους τὰ τοῦ δήμου συμφέ-
109 ροντα; ταῦτα γὰρ ἅπαντά ἐστιν ἐφ' ὑμῖν νῦν, καὶ πεν- 40
τακόσιοι καὶ χίλιοι ὄντες τὴν ἁπάσης τῆς πόλεως σωτηρίαν ἐν ταῖς χερσὶν ἔχετε, καὶ ἡ τήμερον ἡμέρα καὶ ἡ ὑμετέρα ψῆφος πολλὴν ἀσφάλειαν τῇ πόλει καταστήσει τὰ δίκαια ὑμῶν ἐθελόντων κρίνειν, ἢ μοχθηρὰς ἐλπίδας ποιήσετε πάντας ἔχειν τοιαῦθ' ὑμῶν ἔθη καθιστάντων.

110 Οὐ καταπληκτέον ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲ προ-
ετέον, ἐὰν σωφρονῆτε, τοῖς Δημοσθένους ἐλέοις τὴν κοινὴν 104
καὶ δικαίαν ὑπὲρ τῆς πόλεως ἀπολογίαν. οὐδεὶς γὰρ ὑμῶν ἠνάγκαζε τοῦτον τὰ μὴ προσήκοντα χρήματα [z] λαμβάνειν τὰ καθ' ὑμῶν, πολλῷ πλείω τῶν ἱκανῶν δι' ὑμᾶς ἕτερα κεκτημένον, οὐδ' [a] ἀπολογεῖσθαι νῦν ὑπὲρ τῶν ὡμολογημένων ἀδικημάτων, γράψαντα καθ' ἑαυτοῦ θάνατον τὴν ζημίαν· ἀλλ' ἡ ἐκ τοῦ ἄλλου βίου ἔμφυτος 5
111 αἰσχροκέρδεια καὶ πονηρία ταῦτα εἰς τὴν κεφαλὴν αὐτῷ τέτραφε. μὴ οὖν ἄχθεσθε αὐτοῦ κλαίοντος καὶ ὀδυρομένου· πολὺ γὰρ ἂν δικαιότερον [b] ἐλεήσαιτε τὴν χώραν, ἣν οὗτος καθίστησιν εἰς τοὺς κινδύνους τοιαῦτα πράττων, ἢ τοὺς ἐξ αὐτῆς γεγενημένους ὑμᾶς ἱκετεύει, παραστησαμένη τὰ ὑμέτερα τέκνα καὶ γυναῖκας, τιμωρήσασθαι τὸν προδότην καὶ σῶζειν ἑαυτήν, ὑπὲρ ἧς οἱ πρόγονοι [c] καλοὺς καὶ 10
πολλοὺς κινδύνους ὑπομείναντες ἐλευθέραν [d] αὐτὴν ὑμῖν

[x] ἀναδέξεσθε] ἀναδέξασθε L.Z. ἀναδέξασθαι B.

[y] προϊεμένους A.B. vulg. προεμένους.

[z] λαμβάνειν τὰ] λαμβάνοντα A. B.L.Z.

[a] ἀπολογεῖσθαι] ἀπολεῖσθαι B. L.Z.

[b] ἐλεήσαιτε] Libri ἐλεήσετε.

[c] καλοὺς καὶ πολλοὺς] πολλοὺς καὶ καλοὺς Reiskius. Equidem malim πολλοὺς καὶ μεγάλους.

[d] αὐτὴν ὑμῖν A.B. vulg. ὑμῖν αὐτήν.

παραδεδώκασιν, ἐν ᾗ πολλὰ καὶ καλὰ παραδείγματα
112 λέλειπται τῆς τῶν τελευτησάντων ἀρετῆς. εἰς ταύτην
ἀποβλέψαντας, ὦ Ἀθηναῖοι, καὶ τὰς ἐν αὐτῇ γινομένας
πατρίους θυσίας καὶ τὰς τῶν προγόνων θήκας φέρειν δεῖ
τοὺς εὖ φρονοῦντας τὴν ψῆφον. καὶ ὅταν Δημοσθένης ἐξ-
απατῆσαι βουλόμενος καὶ [e] παρακρουόμενος ὑμᾶς οἰκτί- 15
ζηται καὶ δακρύῃ, ὑμεῖς εἰς τὸ τῆς πόλεως σῶμα ἀπο-
βλέψαντες καὶ τὴν πρότερον δόξαν αὐτῇ ὑπάρχουσαν ἀν-
τιθετε, πότερον ἡ πόλις ἐλεεινοτέρα διὰ τοῦτον γέγονεν ἢ
113 διὰ τὴν πόλιν Δημοσθένης. εὑρήσετε γὰρ τοῦτον μὲν λαμ-
πρὸν ἐξ οὗ [f] προσελήλυθεν [g] εἰς τὸ πολιτεύεσθαι γεγενη-
μένον, καὶ ἀντὶ μὲν λογογράφου καὶ μισθοῦ τὰς δίκας
λέγοντος ὑπὲρ Κτησίππου καὶ Φορμίωνος καὶ ἑτέρων πολ- 20
λῶν [h] πλουσίωτερον ὄντα τῶν ἐν τῇ πόλει, ἀντὶ δ' ἀγνῶ-
τος καὶ οὐδεμίαν πατρικὴν δόξαν παρὰ τῶν προγόνων
παρειληφότος ἔνδοξον γεγενημένον, τὴν δὲ πόλιν οὐκ ἀξίως
ἑαυτῆς οὐδὲ τῆς τῶν προγόνων δόξης διακειμένην. ἀφέν-
τες οὖν τοὺς ἐλέους καὶ τοὺς φενακισμοὺς τοὺς τούτου τὴν
ὁσίαν καὶ δικαίαν φέρετε ψῆφον, καὶ σκοπεῖτε τὸ τῇ
πατρίδι συμφέρον, [i] μὴ τὸ Δημοσθένει· τοῦτο γάρ ἐστι
καλῶν κἀγαθῶν δικαστῶν ἔργον. 25
114 Καὶ ὅταν ἀναβαίνῃ τις [k] συνηγορήσων Δημοσθένει, λο-
γίζεσθε ὅτι οὗτος ὁ ἄνθρωπος, εἰ μὲν μὴ ἔνοχος ὢν ταῖς
μελλούσαις ἀποφάσεσιν ἀναβαίνει, κακόνους ἐστὶ τῇ
πολιτείᾳ, καὶ τοὺς ἐπὶ τῷ δήμῳ δῶρα λαμβάνοντας οὐ
βουλόμενος δίκην δοῦναι καὶ τὴν κοινὴν τῶν ὑμετέρων σω-
μάτων φυλακήν, ἐφ' ᾗ τέτακται τὸ ἐν Ἀρείῳ πάγῳ

[e] παρακρουόμενος] περικρουόμενος Z.
[f] προσελήλυθεν] προελήλυθεν Z.
[g] εἰς] Malim πρός.
[h] πλουσιώτερον] Quidni πλουσιώτατον?
[i] μὴ τὸ] μὴ τῷ Z.
[k] συνηγορήσων] δημηγορήσων L.

συνέδριον, καταλυθῆναι βούλεται καὶ συγχεχύσθαι πάντα τὰ ἐν τῇ πόλει δίκαια· εἰ δὲ ῥήτωρ ἢ στρατηγός, οἳ τὴν καθ' [l] αὐτῶν προσδοκωμένην ἀπόφασιν ἄπιστον βουλόμενοι γενέσθαι συνηγοροῦσιν, οὐ προσεκτέον ὑμῖν ἐστὶ τοῖς τούτων λόγοις, εἰδότας ὅτι ἐκ πάντων τούτων γίνεται συνεργία
115 [m] περὶ τὸν Ἁρπάλου κατάπλουν καὶ τὴν ἄφεσιν. νομίσαντες οὖν ὦ Ἀθηναῖοι καθ' ὑμῶν πάντας τούτους ἀναβαίνειν καὶ κοινοὺς ἐχθροὺς εἶναι τῶν νόμων καὶ τῆς πόλεως ἁπάσης, μὴ ἀποδέχεσθε αὐτῶν, ἀλλὰ κελεύετε [n] ἀπολογεῖσθαι περὶ τῶν [o] κατηγορημένων· μηδὲ τὴν αὐτοῦ τούτου μανίαν, ὃς μέγα φρονεῖ ἐπὶ τῷ δύνασθαι λέγειν· καὶ [p] ἐπειδὰν φανερὸς ὑμῖν γένηται δωροδοκῶν, [q] ὅτι μᾶλλον ἐξελήλεγκται φενακίζων ὑμᾶς, τιμωρήσασθε ὑμῶν αὐτῶν καὶ τῆς πόλεως ἀξίως· εἰ δὲ μή, μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι πάντας τοὺς ἀποπεφασμένους καὶ τοὺς μέλλοντας ἀφέντες εἰς ὑμᾶς αὐτοὺς καὶ τὸν δῆμον τὴν τούτων δωροδοκίαν τρέψετε, [r] καὶ ὕστερον ἐγκαλεῖτε τοῖς ἀφεῖσιν, ὅτε οὐδὲν ἔσται πλέον ὑμῖν.

116 Ἐγὼ μὲν οὖν, ὅσον εἰς τὸ μέρος τοὐμὸν τῆς κατηγορίας ἦκει, βεβοήθηκα, τἆλλα πάντα παριδὼν πλὴν τοῦ δικαίου καὶ τοῦ συμφέροντος ὑμῖν. οὐκ [s] ἐγκαταλέλοιπα τὴν πόλιν, οὐ χάριν προὐργιαιτέραν τῆς τοῦ δήμου χειροτονίας ἐποιησάμην. ἀξιῶν δὲ καὶ ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν παραδίδωμι τὸ ὕδωρ τοῖς ἄλλοις κατηγόροις.

[l] αὐτῶν] αὐτὸν L.
[m] περὶ] πρὸς Z.
[n] ἀπολογεῖσθαι] ἀπολεῖσθαι Z.
[o] κατηγορημένων] κατηγορουμένων Z.
[p] ἐπειδὰν] ἐπειδὴ Z.
[q] ὅτι] ἔτι A.B.
[r] καὶ ὕστερον] κἂν ὕστερον A.B.
[s] ἐγκαταλέλοιπα A.B. ἐγκατέλιπα L.Z. vulg. ἐγκατέλιπον.

ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ. 105

B.

ΠΑΝΘ', ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, προσδοκητέα ἐστὶ καὶ ἀκοῦσαι καὶ ἰδεῖν ἐν ταῖς γεγενημέναις ἀποφάσεσι· θαυμασιώτατον δὲ πάντων, ὡς ἐμοὶ δοκεῖ, τὸ νῦν γινόμενον. ὁ γὰρ πονηρότατος τῶν ἐν τῇ πόλει, μᾶλλον δὲ καὶ τῶν ἄλλων ἀνθρώπων, Ἀριστογείτων διαδικασόμενος ἥκει [a] τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ ἀληθείας καὶ δικαιοσύνης, καὶ νυνὶ μείζονα κίνδυνον ἡ τὴν ἀπόφασιν πεποιημένη βουλὴ κινδυνεύει ἢ ὁ δῶρα λαμβάνων καθ' ὑμῶν καὶ τὴν ὑπὲρ τῶν δικαίων παῤῥησίαν ἀποδόμενος εἴκοσι μνῶν. 2 [b] τούτῳ μέν γε καινὸν οὐδὲν οὐδὲ δεινόν, ἐὰν ἁλῷ, συμβήσεται· καὶ γὰρ θανάτου ἄξια πολλὰ πρότερον ἕτερα διαπέπρακται, καὶ ἐν τῷ δεσμωτηρίῳ πλείω χρόνον [c] ἢ ἔξω διατέτριφε, καὶ ὀφείλων τῷ δημοσίῳ κατὰ τῶν ἐπιτίμων γέγραφεν οὐκ ἐξὸν αὐτῷ, καὶ ἕτερα πολλὰ καὶ δεινὰ πεποίηκε, περὶ ὧν ἀκριβέστερον ὑμεῖς ἐμοῦ γιγνώσκετε· τῇ δὲ βουλῇ τὸ δόξαι ψευδῆ κατὰ Ἀριστογείτονος ἀποφαίνειν καὶ τοῦτον ἐκείνης παρ' ὑμῖν [d] ὑποληφθῆναι δικαιότερα λέγειν τῶν αἰσχίστων καὶ δεινοτάτων ἐστίν. 3 διόπερ, ὦ Ἀθηναῖοι, οὗτός μοι δοκεῖ, τὸν ἀγῶνα [e] αὐτῷ ἀσφαλῆ εἶναι νομίζων, διαπειρασόμενος ἥκειν τῆς [f] ὑμε-

[a] τῇ—βουλῇ A. τὴν—βουλὴ B. vulg. τὴν—βουλήν.
[b] τούτῳ] τοῦτο Z.
[c] ἢ] καὶ Z.
[d] ὑποληφθῆναι] ὑπολειφθῆναι Z.
[e] αὐτῷ] αὐτῶν B.Z.
[f] ὑμετέρας] ἡμετέρας B.Z.

τέρας γνώμης. ἅπαντα γὰρ αὐτῷ πολλάκις τὰ δεινὰ συμβέβηκε, πλὴν τοῦ ἀποθανεῖν· τοῦτο δ', ἂν θεὸς θέλῃ καὶ ὑμεῖς σωφρονῆτε, ἐν τῇ τήμερον ἡμέρᾳ συμβήσεται. οὐ γὰρ δή μὰ τὸν Ἡρακλέα βελτίω γενήσεσθαι αὐτὸν προσδοκᾶτε συγγνώμης νυνὶ τυγχάνοντα παρ' ὑμῶν, οὐδὲ τὸ λοιπὸν ἀφέξεσθαι τοῦ λαμβάνειν χρήματα καθ' ὑμῶν, ἐὰν [g] νῦν ἀφῆτε αὐτόν. πονηρίαν γὰρ ἀρχομένην μὲν κωλῦσαι [h] τάχα τις κολάζων δυνηθείη, ἐγκαταγεγηρακυῖαν δὲ καὶ [i] γεγευμένην τῶν εἰθισμένων τιμωριῶν ἀδύνατον εἶναι λέγουσιν. εἰ μὲν οὖν ἐγγενήσεσθαι βούλεσθε [k] δεισποιὸν ἐν τῇ πόλει πονηρίαν, διαφυλάττειν ὑμᾶς Ἀριστογείτονα δεῖ, καὶ ἐάν ὅ τι ἄν [l] τις βούληται ἐν τῇ πόλει διαπράττεσθαι· εἰ δὲ τοὺς πονηροὺς καὶ καταράτους ἀνθρώπους μισεῖτε καὶ ἔστιν ὑμῖν ὀργὴ καὶ μνήμη τῶν πρότερον ὑπὸ τούτου πεπραγμένων, ἀποκτείνατε τοῦτον, ὃς παρ' Ἁρπάλου λαβεῖν χρήματα ἐτόλμησεν, ὃν [m] ἤσθεθ' ἥκειν καταληψόμενον τὴν πόλιν [n] ὑμῶν, καὶ τὰς προφάσεις καὶ τοὺς φενακισμοὺς ἐκκόψατε αὐτοῦ· τούτοις γὰρ ἥκει πιστεύων πρὸς ὑμᾶς.

5 Ἆρ' ἴσθ' ὅτι τῆς Ἁρπάλου ἀφίξεως δυσχεροῦς οὔσης ἐκεῖνο συμβέβηκεν εὐτύχημα τῇ πόλει, διότι πεῖραν εἰλήφατ' ἀκριβῆ τῶν ἕνεκ' ἀργυρίου καὶ χρυσίου προϊεμένων πάντα τοῖς [o] τῆς πόλεως ἐχθροῖς; μὴ [p] καταῤῥαθυμήσητε ὦ Ἀθηναῖοι, μηδ' ἀπείπητε τιμωρούμενοι τοὺς πονηρούς, ἀλλ' ἐκκαθάρατε, καθ' ὅσον δυνατόν ἐστιν, τὴν δωροδοκίαν ἐκ τῆς πόλεως. καὶ μὴ τῶν παρ' ἐμοῦ λόγων ἀκού-

[g] νῦν] οὖν Z.
[h] τάχα] Malim τάχ' ἄν.
[i] γεγευμένην B. vulg. γεγενημένην.
[k] δεισποιὸν A.B. vulg. ψευδοποιόν.
[l] τις] Delendum censeo.
[m] ἤσθεθ' A. vulg. ἤσθεσθ'.
[n] ὑμῶν A. vulg. ἡμῶν.
[o] τῆς πόλεως] vulg. om. articulum.
[p] καταῤῥαθυμήσητε] vulg. καταῤῥαθυμήσατε.

εἰν ζητήσητε, φανερῶν ὑμῖν [q]γεγενημένων τῶν ἀδικημά-
6 τῶν [r]ἐκ τῶν ὑπὸ τῆς βουλῆς ἀποπεφασμένων. [[s]ἢ διὰ
τοὺς [t]τοῦ κρινομένου προγόνους [u]καὶ τὴν αὐτοῦ μετριότητα, 35
καὶ ὅτι ὑμᾶς πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀγαθὰ εἴρ-
γασται, ἄξιον αὐτοῦ φείσασθαι;] τί γὰρ ἀγνοεῖτε δ' ὃ
δεῖσθε λόγων ἀκούειν κατὰ τοῦ νῦν κρινομένου; πότερ' ἡ
τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν ἡμεῖς οἱ κατήγοροι δέκα
ὄντες τὸ ὕδωρ ἀναλώσωμεν ἅπαν καὶ ἀναβοήσωμεν ὡς
δεινόν ἐστιν ἀφεῖσθαι τοὺς εἰλημμένους ἔχοντας ἐπ' αὐτο-
φώρῳ δῶρα κατὰ τῆς πατρίδος, ἀληθὴς καὶ δικαία ἡ
7 κατ' Ἀριστογείτονος ἔσται ἀπόφασις, ἐὰν δ' ἕκαστος 40
ἡμῶν, ὡς εἰδότων ὑμῶν πάντα οὐδὲν ἧττον ἡμῶν τὰ δί-
καια περὶ τουτωνὶ τῶν ἀγώνων, βραχέα εἰπὼν [x]καταβῇ,
ψευδής, καὶ οὐδεὶς [y]ταύτῃ πιστεύσει ὡς παρὰ τῶν Ἀρεο- 106
παγιτῶν γεγενημένῃ; [z]ἢ τὸ δῶρα λαμβάνειν ἐπὶ προδο-
σίᾳ τῶν τῆς πόλεως συμφερόντων οὐκ ἴσθ' ὅτι τῶν δεινο-
τάτων ἐστὶ καὶ τῶν πλεῖστα κακὰ τὰς πόλεις ἐργαζο-
μένων;
8 Ἀλλ' αὐτὸς ὁ κρινόμενος νὴ Δία μέτριος τὸν τρόπον,
καὶ προγόνων χρηστῶν, καὶ πολλὰ ὑμᾶς καὶ ἰδίᾳ καὶ
δημοσίᾳ καλὰ εἰργασμένος, ὥστε διὰ ταῦτ' ἄξιόν ἐστιν 5
αὐτοῦ [a]φείσασθαι; καὶ τίς ὑμῶν οὐ πολλάκις ἀκήκοεν
[b]ὅτι Κυδιμάχου μὲν τοῦ πατρὸς τοῦ Ἀριστογείτονος θανά-
του καταγνωσθέντος καὶ φυγόντος ἐκ ταύτης τῆς πόλεως

[q] γεγενημένων] γενομένων Z.
[r] ἐκ] a correctore habet A: videtur fuisse κατά.
[s] ἢ διὰ — φείσασθαι] Hæc mihi διττογραφία esse videtur eorum quæ rectius p. 106, 3. leguntur, ἀλλ' αὐτὸς—φείσασθαι.
[t] τοῦ κρινομένου A. vulg. κρινομένους.
[u] καὶ τὴν αὐτοῦ] κατὰ τὴν αὐτῶν Z.
[x] καταβῇ] καταβήσομαι Z.
[y] ταύτῃ πιστεύσει] om. pr. A.
[z] ἢ] καὶ ἢ B. καὶ εἰ Z.
[a] φείσασθαι] φείσεσθαι Z.
[b] ὅτι Κυδιμάχου Reiskius: vulg. ὅτι τοῦ Κυδιμάχου.

ὁ χρηστὸς οὗτος υἱὸς περιεῖδε τὸν αὐτοῦ πατέρα καὶ ζῶντα τῶν ἀναγκαίων σπανίζοντα καὶ τελευτήσαντα οὐ τυχόντα τῶν νομίμων, ἅπερ αὐτοῦ πολλάκις κατεμαρτυ-
9 ρεῖτο· αὐτὸν δὲ τοῦτον, ὅτ' εἰς τὸ δεσμωτήριον τὸ πρῶτον 10
ἀπήχθη (πολλάκις γὰρ ἴστε τοῦτο δήπου γεγενημένον) τοιαῦτα τολμήσαντα ποιεῖν αὐτούς, ὥστ' ἐκείνους ἀποψηφίσασθαι μήτε πῦρ ἐναύειν τούτῳ μήτε συσσιτεῖν μηδένα μήτε θυσιῶν τῶν [c]γινομένων κοινωνεῖν. καίτοι ὦ Ἀθηναῖοι τίνα χρὴ τοῦτον νομίζειν ἔχειν διάνοιαν, ὃς διὰ μὲν πονη-
10 ρίαν εἰς τὸ δεσμωτήριον ἐνέπεσεν, ἐκεῖ δ' ὢν παρὰ τοῖς ἐκ 15
τῶν ἄλλων ἀνθρώπων κακούργοις ἀνηγμένοις οὕτως εἶναι πονηρὸς ἔδοξεν, ὥστε μηδ' ἐκείνοις τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις, ἀλλὰ κλέπτην (ὡς φασι) ληφθέντα τουτονὶ παρ' ἐκείνοις, εἰ ἦν ἕτερός τις τόπος ἀνοσιώτερος ἵνα ἐξῆν ἀπάγειν τοὺς ἐκ δεσμωτηρίου κλέπτοντας, εἰς ἐκεῖνον ἂν τοῦτο τὸ θηρίον ἀπαχθῆναι. καὶ ταῦθ' ἅπερ ἀρτίως εἶπον,
τίς οὐκ οἶδε καταμαρτυρηθέντα Ἀριστογείτονος, ὅτ' ἐμ- 20
πορίου ἐπιμελητὴς λαχὼν ἀπεδοκιμάσθη ὑπὸ τῶν τότε
11 δικαζόντων ἄρχειν [d]τὴν αὐτὴν ἀρχήν; ἔπειτ' εἰρωνεύεσθε πρὸς ὑμᾶς αὐτούς, καὶ περὶ Ἀριστογείτονος μέλλοντες φέρειν τὴν ψῆφον ἐλεεῖτε, ὃς τὸν αὐτοῦ πατέρα κακῶς διατιθέμενον ὑπὸ λιμοῦ οὐκ [e]ἠλέησεν; ἔπειτα [f]παρ' ἡμῶν ἔτι λόγους ἀκούειν βούλεσθε περὶ τῆς Ἀριστογείτονος τιμήσεως, ὃν ἴστε ἀκριβῶς ὅτι δικαίως ἂν καὶ ἐκ τοῦ ἄλλου βίου καὶ ἐκ τῶν νῦν αὐτῷ πεπραγμένων τῆς ἐσχά-
12 της τύχοι τιμωρίας; οὐκ Ἀριστογείτων ἐστίν, ὦ Ἀθην- 25
αῖοι, ὁ κατὰ τῆς ἱερείας τῆς Ἀρτέμιδος τῆς [g]Βραυρωνίας καὶ τῶν οἰκείων αὐτῆς τοιαῦτα γράψας καὶ ψευσάμενος,

[c] γινομένων] γενομένων Z.
[d] τὴν αὐτὴν] An τοιαύτην?
[e] ἠλέησεν] ἠθέλησεν Z.
[f] παρ' ἡμῶν] om. Z. cum vulg.
[g] Βραυρωνίας] Reiskius: βαυβρωνίας A.Z. βαβρωνίας B.

ὥσθ' ὑμᾶς, ἐπειδὴ τὴν ἀλήθειαν ἐπύθεσθε παρὰ τῶν κατηγόρων, πέντε [h]ταλάντων τιμῆσαι [i]τοῦτον, ὅσονπερ ἦν ἐπὶ τῇ τῶν παρανόμων γραφῇ τίμημα ἐπιγεγραμμένον; ὃ οὗτος πρὶν ἐκτῖσαι, [τοῦτο] συκοφαντῶν τὸν ἐντυγχάνοντα ὑμῶν καὶ λέγων καὶ γράφων ἐν τῷ δήμῳ διατετέλεκε, καὶ καταφρονῶν ἁπασῶν τῶν τιμωριῶν αἱ κατὰ
13 τῶν ἀδικούντων ἐν τοῖς νόμοις εἰσὶ γεγραμμέναι. οὐ τὸ τελευταῖον οὗτος ἐνδειχθεὶς ὑπὸ Λυκούργου, καὶ ἐξελεγχθεὶς ὀφείλων τῷ δημοσίῳ [k]λέγειν οὐκ ἔξον αὐτῷ, καὶ παραδοθεὶς τοῖς ἕνδεκα κατὰ τοὺς νόμους, περιπατῶν ἔμπροσθεν τῶν δικαστηρίων καὶ εἰς τὴν προεδρίαν τῶν πρυτάνεων ἐκάθιζεν;

[l]Εἶτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὃν οἱ νόμοι μὲν πολλάκις ὑμῖν παραδεδώκασι τιμωρήσασθαι κατεψηφισμένον ὑπὸ τῶν πολιτῶν [m]ἐνδειχθέντα, φυλάξαι δ' οὔθ' οἱ ἕνδεκα δεδύνηνται οὔτε τὸ δεσμωτήριον, τούτῳ βουλήσεσθε συμ-
14 βούλῳ χρῆσθαι; καὶ ὁ μὲν νόμος εὐξάμενον κελεύει τὸν κήρυκα μετ' εὐφημίας πολλῆς, οὕτως ὑμῖν τὸ βουλεύεσθαι περὶ τῶν πραγμάτων παραδιδόναι· ὑμεῖς δὲ τὸν ἀνόσιον καὶ περὶ πάντας πονηρὸν καὶ μάλιστα περὶ τὸν ἑαυτοῦ πατέρα γεγενημένον, τοῦτον μεθ' ὑμῶν καὶ μετὰ τῶν ὑμετέρων οἰκείων καὶ συγγενῶν ἐάσετε πολιτεύεσθαι;
15 καὶ Δημάδῃ μὲν καὶ Δημοσθένει οὐδεμίαν ᾤεσθε [n]δεῖν συγγνώμην ἔχειν, ὅτι δῶρα καθ' ὑμῶν ἐξηλέγχθησαν λαμβάνοντες, ἀλλ' ἐτιμωρήσασθε, καὶ δικαίως, οἷς εἰ μὴ πάντα ἀλλὰ πολλά γε σύνιστε χρήσιμα πολιτευομένοις· τὸν δὲ κατάρατον τοῦτον, ὃς ἀγαθὸν μὲν ὑμᾶς

[h] ταλάντων τιμῆσαι] ταλάντων . . . . τίμημα τιμῆσαι A.
[i] τοῦτον] τούτῳ Stephanus.
[k] λέγειν] λέξειν Z.
[l] Εἶτ'] εἶθ' Z.
[m] ἐνδειχθέντα] διδαχθέντες A.B. Z.
[n] δεῖν] om. Z.

πεποίηκεν [o] οὐδεπώποτε ἐξ οὗ πρὸς τὴν [p] πολιτείαν [q] προσ- 107
ελήλυθε, κακὸν δ' ὅ τι δυνατός ἐστιν, ἀφήσετε; καὶ τίς
οὐκ ἂν ἐγκαλέσειεν ὑμῖν τοῖς τοῦτον δεχομένοις σύμβου-
16 λον; ὅταν γὰρ ἄνθρωπος γνώριμος καὶ φανερὸς καὶ
περιβόητον τὴν πονηρίαν παρὰ πᾶσι τοῖς πολίταις ἔχων
δημηγορῇ, τότε τοὺς ἀκούοντας ὑμᾶς οἱ περιεστηκότες
[r] θαυμάζουσι, πότερον βελτίους οὐκ ἔχετε συμβούλους [s] ἢ 5
17 καὶ χαίρετε τῶν τοιούτων ἀκούοντες. χρὴ δέ, ὦ Ἀθηναῖοι,
ὥσπερ οἱ πρῶτοι νομοθέται περὶ τῶν ἐν τῷ δήμῳ λεγόντων
τοῖς προγόνοις ἡμῶν ἐνομοθέτησαν, οὕτω καὶ ὑμᾶς ζητεῖν
ἀκούειν, ἵνα βελτίους τοὺς προσιόντας ὑμῖν ποιησητε.
πῶς οὖν ἐκεῖνοι περὶ τούτων ἐγίνωσκον; πρῶτον μὲν καθ'
ἑκάστην δημοσίᾳ ἀρὰς ποιούμενοι κατὰ τῶν πονηρῶν, εἴ
τις δῶρα λαμβάνων μετὰ ταῦτα [t] λέγει καὶ γινώσκει περὶ 10
τῶν πραγμάτων, ἐξώλη τοῦτον εἶναι· ὧν οὗτος νῦν ἐστὶν
18 Ἀριστογείτων· ἔπειτ' [u] ἐν τοῖς νόμοις δώρων γραφὰς ποιή-
σαντες, καὶ κατὰ μόνου τούτου τῶν ἀδικημάτων δεκα-
πλασίαν ἐπιτιθέντες τῷ [x] λήμματος τὴν ἔκτισιν, ἡγούμενοι
τὸν τιμὴν λαμβάνοντα τῶν ἐν τῷ δήμῳ ῥηθήσεσθαι μελ-
λόντων λόγων, τοῦτον οὐχ ὑπὲρ τῶν τοῦ δήμου βελτίστων
ἀλλ' ὑπὲρ τῶν τοῖς δοῦσι συμφερόντων δημηγορεῖν· Ἀρι-
στογείτονα τοίνυν ἡ βουλὴ ἀποπέφαγκε· πρὸς δὲ τούτοις 15
ἀναχρίναντες τοὺς τῶν κοινῶν τι μελλόντας διοικεῖν, τίς
[y] ἔσται τὸν ἴδιον τρόπον, εἰ γονέας εὖ ποιεῖ, εἰ τὰς [z] στρα-
τείας ὑπὲρ τῆς πόλεως ἐστράτευται, εἰ [a] ἱερὰ πατρῷα

[o] οὐδεπώποτε] Malim οὐδὲν οὐδεπώποτε.
[p] πολιτείαν] πόλιν A.B.Z.
[q] προσελήλυθε] εἰσελήλυθε Z.
[r] θαυμάζουσι Z. vulg. θαυμάσουσι.
[s] ἢ] vulg. om.
[t] λέγει καὶ γινώσκει] vulg. λέγῃ καὶ γινώσκῃ.
[u] ἐν τοῖς νόμοις] vulg. ἐν θωμοῖς.
[x] λήμματος] Libri τιμήματος: conf. p. 97, 43.
[y] ἔσται] ἐστι Reiskius.
[z] στρατείας] στρατιὰς Z.
[a] Ante ἱερὰ expunctæ in A. litteræ duæ.

19 ἔστιν, εἰ τὰ τέλη τελεῖ· ὧν οὐδὲν ἂν ἔχοι συμβεβηκὸς [b] Ἀριστογείτων αὐτῷ δεῖξαι. ἀντὶ μὲν γὰρ [c] τοῦ γονέας εὖ ποιεῖν κακῶς οὗτος τὸν ἑαυτοῦ πατέρα πεποίηκεν· ὅτε δ' ὑμεῖς ἐστρατεύεσθε πάντες, οὗτος ἦν ἐν τῷ δεσμωτηρίῳ· τοσοῦτον δ' ἀπολέλοιπε τοῦ πατρὸς μνῆμά τι [d] ἔχειν ὦ Ἀθηναῖοι δεῖξαι, ὥστ' οὐδ' ἐν Ἐρετρίᾳ τοῦ πατρὸς [e] αὐτοῦ τελευτήσαντος ἐκεῖ τὰ νομιζόμενα ἐποίησεν αὐτῷ· τῶν δ' ἄλλων Ἀθηναίων εἰσφερόντων ἐκ τῶν ἰδίων οὗτος οὐδ' ἐκ τῶν δημοσίων καὶ ὧν ὤφλε τὸ ἀργύριον ἅπαν ἐκ-
20 τέτικεν. ἁπλῶς δ' εἰπεῖν, ἐναντία τοῖς νόμοις ἅπασι πράττων διατετέλεκε, καὶ τοῦτον μόνον ἡ ἐξ Ἀρείου πάγου βουλὴ τοῖς ἐζητηκόσι καὶ εἰδόσιν ἀποπέφαγκεν· οὐ γὰρ παρ' ἐκείνης ὑμεῖς πυθόμενοι τοῦτον ἴστε πονηρὸν καὶ ἄδικον ὄντα, ἀλλ' ἕκαστος ὑμῶν ἀκριβῶς οἶδε τὴν τούτου [f] πονηρίαν. ὥστε τὸ πολλάκις λεγόμενον ἀληθὲς εἰπεῖν ἐστίν, [g] ὅτι περὶ μὲν τούτου τὴν ψῆφον ὑμεῖς μέλλετε φέρειν, περὶ δ' ὑμῶν οἱ περιεστηκότες καὶ οἱ ἄλλοι πάντες.

21 Διὸ καὶ σωφρόνων [h] ἐστὶ δικαστῶν, ὦ Ἀθηναῖοι, μηδ' ὑμῖν αὐτοῖς ἐναντίαν ἐνεγκεῖν τὴν ψῆφον μήτε πᾶσι τοῖς ἄλλοις Ἀθηναίοις, ἀλλ' ὁμοθυμαδὸν καταψηφισαμένους πάντας παραδοῦναι τοῖς ἐπὶ [i] τούτῳ τεταγμένοις θανάτῳ ζημιῶσαι, καὶ μὴ προέσθαι καὶ μὴ προδοῦναι τὴν [k] θείαν καὶ τὴν εὔορκον ψῆφον, ἀναμνησθέντας ὅτι τούτου κατέγνωκεν ἡ βουλὴ [l] δῶρα λαμβάνειν καθ' ὑμῶν, τούτου κατέγνωκεν ὁ πατὴρ καὶ ζῶν καὶ τελευτήσας ἀδικεῖν ἑαυτόν, καὶ ἵνα τὸ πραότερον εἴπω τῶν ὀνομάτων, τούτου

[b] Ἀριστογείτων] ὁ Ἀριστογείτων Z. cum vulg.
[c] τοῦ] Libri τούς.
[d] ἔχειν] om. Z.
[e] αὐτοῦ] αὐτῷ Z.
[f] πονηρίαν] vulg. μοχθηρίαν.
[g] ὅτι A.B. vulg. ἔτι.
[h] ἐστὶ δικαστῶν] ἀνδρῶν ἐστὶν Z.
[i] τούτῳ Z. τοῦτο B. et correctus fortasse, A. vulg. τοῦτον.
[k] θείαν] εὐθεῖαν Reiskius vol. viii. p. 455.
[l] δῶρα] δῶρα γὰρ Z.

καταχειροτονήσας ὁ δῆμος παρέδωκεν ὑμῖν τιμωρήσα-
22 σθαι. οὗτος πολλὰ κακὰ διαπεπραγμένος ἐπὶ τοιούτοις
εἴληπται πράγμασι [m]νῦν ἀδικῶν, ἐφ' οἷς αἰσχρόν ἐστιν
ὑμῖν τοῖς δικάζουσιν ἀτιμώρητον ἐᾶσαι τοῦτον. τίνα γὰρ
τρόπον, ὦ Ἀθηναῖοι, περὶ τῶν ἄλλων ἀποφάσεων οἴσετε
τὴν ψῆφον; ἢ διὰ τίνας προφάσεις τῶν ἤδη κεκριμένων
ἔσεσθε κατεψηφισμένοι; ἢ διὰ τί τὸ μὲν ἀποφαίνειν τὴν 40
βουλὴν τοὺς εἰληφότας τὰ χρήματα φαίνεσθε σπουδά-
ζοντες, τὸ δὲ τιμωρεῖσθαι τοὺς ἀποπεφασμένους ἐῶντες;
23 μὴ γὰρ ἰδίους ἀγῶνας τούτους [n]ὑπολάβητε εἶναι [o]καὶ
κατὰ τῶν νῦν [p]μόνων ἀποπεφασμένων, ἀλλὰ κοινοὺς κα-
τὰ τῶν ἄλλων ἀνθρώπων. δωροδοκία γὰρ καὶ προδοσία
κρινομένη παρ' ὑμῖν δυοῖν θάτερον [q]ἐπὶ τοῦ λοιποῦ χρόνου
ποιήσει τοὺς ἄλλους, ἢ χρήματα λαμβάνειν καθ' ὑμῶν 108
θαῤῥοῦντας ὡς οὐ δώσοντας δίκην, ἢ φοβεῖσθαι τὸ λαμ-
βάνειν ὡς τῆς τιμωρίας τοῖς ληφθεῖσιν ἀξίας γενησομένης
24 τῶν ἀδικημάτων. οὐκ ἴσθ' ὅτι καὶ νῦν ὁ φόβος ὁ παρ'
ὑμῶν τοὺς ὁρμῶντας ἐπὶ τὰ καθ' ἡμῶν ἥκοντα χρήματα
[νῦν] ἀνείργει καὶ ποιεῖ πολλάκις ἀπὸ τοῦ λήμματος
ἀποστρέφειν, καὶ τὸ ψήφισμα τοῦ δήμου, τὸ ζητεῖν τὴν 5
βουλὴν περὶ τούτων τῶν χρημάτων [r]προστάττον, οὐδὲ τοὺς
κεκομικότας τὸ χρυσίον εἰς τὴν χώραν ὁμολογεῖν πεποί-
25 ηκε; καλῶς γάρ, ὦ Ἀθηναῖοι, καλῶς οἱ πρόγονοι περὶ
τούτων ψηφισάμενοι στήλην εἰς ἀκρόπολιν ἀνήνεγκαν, ὅτε
φασὶν [s]Ἀρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην κομίσαι τὸ
χρυσίον ἐκ Μήδων ἐπὶ [t]διαφθορᾷ τῶν Ἑλλήνων. πρὶν γὰρ
λαβεῖν τινὰς καὶ δοῦναι [u]τοῦ τρόπου πεῖραν, φυγὴν τοῦ 10

[m] νῦν] om. pr. A.
[n] ὑπολάβητε] ὑπολάβοιτε A.B.Z.
[o] καὶ] vulg. om.
[p] μόνων] vulg. μόνον.
[q] ἐπὶ] A correctore habet A.
[r] προστάττον Reiskius: libri πρός τ' αὐτόν.
[s] Ἀρθμιον] ἀρίθμιον A.B.
[t] διαφθορᾷ] διαφορᾷ Z.
[u] τοῦ] vulg. om.

κομίσαντος τὸ χρυσίον καταγνόντες ἐξήλασαν αὐτὸν ἐξ ἁπάσης [x]τῆς χώρας. καὶ ταῦθ', ὥσπερ εἶπον, εἰς τὴν ἀκρόπολιν εἰς στήλην χαλκῆν γράψαντες ἀνέθεσαν, παράδειγμα [y]ὑμῖν τοῖς ἐπιγινομένοις καθιστάντες, καὶ νομίζοντες τὸν ὀπωσοῦν χρήματα λαμβάνοντα οὐχ ὑπὲρ τῆς
26 πόλεως ἀλλ' ὑπὲρ τῶν διδόντων βουλεύεσθαι. καὶ μόνῳ τούτῳ προσέγραψαν τὴν αἰτίαν δι' ἣν ὁ δῆμος ἐξέβαλεν αὐτὸν ἐκ τῆς πόλεως, γράψαντες διαῤῥήδην [w]Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην πολέμιον [z]εἶναι τοῦ δήμου καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος, καὶ φεύγειν Ἀθήνας, ὅτι τὸν ἐκ Μήδων χρυσὸν ἤγαγεν εἰς Πελοπόννησον. καίτοι εἰ τὸν ἐν Πελοποννήσῳ χρυσὸν ὁ δῆμος πολλῶν κακῶν αἴτιον ἡγεῖτο τοῖς Ἕλλησιν εἶναι, πῶς χρὴ [a]ῥᾳθύμως ἔχειν ὁρῶντας ἐν ταύτῃ τῇ πόλει δωροδοκίαν γινομένην; καί μοι σκοπεῖτε ταύτην τὴν στήλην.

ΣΤΗΛΗ.

27 Καίτοι, ὦ Ἀθηναῖοι, τί ἂν οἴεσθε [b]ποιῆσαι ἐκείνους τοὺς ἄνδρας λαβόντας ἢ στρατηγὸν ἢ ῥήτορα πολίτην ἑαυτῶν δῶρα δεχόμενον ἐπὶ [c]τοῖς τῆς πατρίδος συμφέρουσιν, εἰ τὸν ἀλλότριον καὶ τῷ γένει καὶ τῇ φύσει τῆς Ἑλλάδος ἄνθρωπον οὕτω δικαίως καὶ σωφρόνως ἐξήλασαν [d]ἐκ Πελοποννήσου πάσης; τοιγάρτοι τῆς πόλεως καὶ τῶν προγόνων ἀξίως ἐκινδύνευσαν πρὸς [e]τὸν βάρβαρον.

[x] τῆς] om. Z.
[y] ὑμῖν] vulg. ἡμῖν.
[z] εἶναι] εἶναι καὶ Z.
[a] ἔχειν] φέρειν Z.
[b] ποιῆσαι] ποιήσειν Z.
[c] τοῖς τῆς A. τῆς B.Z. vulg. τοῖς.
[d] ἐκ Πελοποννήσου πάσης] Peloponnesus ab hoc loco aliena. Conf. Æschin. p. 90, 25.
[e] τὸν βάρβαρον A.Z. vulg. τὴν βάρβαρον.

ΚΑΤΑ ΦΙΛΟΚΛΕΟΥΣ.

Γ.

Τι χρὴ λέγειν πρὸς τῶν θεῶν περὶ τοιούτου ἀνθρώπου,
[f] ἢ πῶς χρήσεσθε τῇ τούτου πονηρίᾳ, ὃς οὐχ ἅπαξ ἀλλὰ
τρὶς ἐξεληλεγμένος ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς, ὡς
ὑμεῖς ἅπαντες ἴστε καὶ ὧν ἐν τῷ δήμῳ ἠκούετε, καὶ
ἐψευσμένος ἁπάντων Ἀθηναίων [g] ἐναντίον καὶ τῶν περι-
εστηκότων, φάσκων κωλύσειν Ἅρπαλον εἰς τὸν Πειραιᾶ
2 [h] καταπλεῦσαι, στρατηγὸς ὑφ' ὑμῶν ἐπὶ τὴν Μουνυχίαν
καὶ τὰ νεώρια κεχειροτονημένος, καὶ δῶρα τολμήσας
λαβεῖν κατὰ πάντων ὑμῶν καὶ τῆς χώρας καὶ παίδων
καὶ γυναικῶν, καὶ ἐπιωρκηκὼς ὃν ὤμοσεν ὅρκον μεταξὺ
τοῦ ἕδους καὶ τῆς τραπέζης, καὶ γράψας καθ' ἑαυτοῦ
ψήφισμα, καὶ θανάτου τιμωρησάμενος ἐὰν [i] εἴληφέ τι
τῶν χρημάτων ὧν Ἅρπαλος εἰς τὴν χώραν [k] ἐκόμισεν,
ὅμως ἐτόλμησεν εἰς τοὺς εἰδότας ὑμᾶς ἐξεληλεγμένον
ἑαυτὸν ἅπασι τούτοις ἔνοχον γεγενημένον ἐλθεῖν καὶ δεῖξαι
3 ἑαυτόν, οὐ τῷ δικαίῳ πιστεύων (τί γὰρ τούτῳ δικαιοσύνης
μέτεστιν;) ἀλλὰ τῇ τόλμῃ καὶ τῇ ἀναιδείᾳ, ᾗ χρώμενος
πρότερον μὲν ἠξίωσε καταφρονήσας ὑμῶν καὶ τῶν ἐν τῇ
πόλει δικαίων τὰ χρήματα λαβεῖν, νυνὶ δὲ ἀπολογησό-
μενος ἥκει ὡς οὐδὲν τούτων διαπέπρακται· τοσοῦτον τῆς
4 ὑμετέρας ῥᾳθυμίας καταπεφρόνηκε. καὶ ὁ μὲν κοινὸς τῆς
πόλεως νόμος, ἐάν τις ἐναντίον τῶν πολιτῶν ὁμολογήσας

[f] ἢ πῶς] Libri ὅπως.
[g] ἐναντίον] ἐναντίος Z.
[h] καταπλεῦσαι] Libri καταπλεύσειν.
[i] εἴληφε] An εἰλήφῃ?
[k] ἐκόμισεν] εἰσεκόμισεν Z.

τι παραβῇ, τοῦτον ἔνοχον εἶναι κελεύει τῷ ἀδικεῖν· ὁ δὲ 109
πάντας Ἀθηναίους [l]ἐξηπατηκὼς καὶ προδοὺς τὴν πίστιν
ἣν παρ' ὑμῶν οὐκ ἄξιος ὢν [m]ἔλαβε, καὶ τὸ καθ' αὑτὸν
μέρος ἅπαντ' [n]ἀνατετραφὼς τὰ ἐν τῇ πόλει, οὗτος ἐπὶ
τὴν ἀπολογίαν ἥκειν φήσει τὴν ὑπὲρ τῆς αἰτίας τῆς εἰς
5 αὐτὸν γεγενημένης; ἐγὼ δέ, ὦ ἄνδρες, εἰ δεῖ τἀληθῆ 5
λέγειν (δεῖ δέ) οὐδὲ τὰς ἀποφάσεις οἶμαι νῦν κρίνεσθαι,
πότερον ἀληθεῖς εἰσὶν ἢ ψευδεῖς [o]αἱ κατὰ Φιλοκλέους γε-
γενημέναι· ἀλλὰ περὶ [p]μὲν τῆς τιμωρίας ὑμᾶς δεῖ τῆς
ἐν τῷ ψηφίσματι γεγραμμένης δικάσαι νῦν, πότερα δεῖ
χρημάτων τιμῆσαι τῷ τηλικαῦτα ἠδικηκότι [q]τὴν πόλιν,
ἢ θανάτῳ ζημιώσαντας, ὥσπερ οὗτος ἔγραψεν ἐν τῷ ψη-
φίσματι καθ' αὑτοῦ, [ἢ] δημεῦσαι τὴν οὐσίαν τὴν ἐκ τοι-
ούτων λημμάτων συνειλεγμένην. 10

6 Οἴεσθε τοῦτον νῦν πρῶτον ἐπὶ τούτων τῶν χρημάτων
πονηρὸν γεγενῆσθαι, [r]ἢ νῦν πρῶτον καθ' ὑμῶν δῶρα εἰλη-
φέναι; οὐκ ἔστι ταῦτα, ἀλλὰ πάλαι τοιοῦτος ὢν ἐλάν-
θανεν ὑμᾶς, καὶ [s]ηὐτυχεῖτε, καθότι οὐκ ἐν μείζοσι καιρ-
οῖς ἐπύθεσθε τὴν αἰσχροκέρδειαν αὐτοῦ· οὐ γάρ ἐστι
χαλεπώτερον ἀνθρώπου τὴν [t]αὐτὴν πονηρίαν [u]ἀγνοουμένην
7 ἔχοντος. οὐκ ἀποκτενεῖτε, ὦ Ἀθηναῖοι, πάντες ὁμοθυ-
μαδὸν τὸν εἰς τοσαύτην αἰσχύνην καὶ ἀδικίαν πολλοὺς 15
ἐμβεβληκότα, τὸν ἀρχηγὸν [x]γενόμενον τοῦ διαδεδομένου
χρυσίου [y]καὶ εἰς αἰτίαν [z]καθίσαντα πᾶσαν τὴν πόλιν;

[l] ἐξηπατηκὼς A.B. om. Z. vulg. ἠδικηκώς.
[m] ἔλαβε] ἐλάμβανε Z.
[n] ἀνατετραφὼς] ἀνατετροφὼς Z.
[o] αἱ] vulg. καὶ αἱ.
[p] μὲν] μόνης Reiskius.
[q] τὴν πόλιν] om. pr. A.
[r] ἢ νῦν πρῶτον A.B. vulg. ἢ πρῶτον.
[s] ηὐτυχεῖτε Reiskius. libri ηὐτύχει.
[t] αὐτὴν] αὐτοῦ Stephanus.
[u] ἀγνοουμένην ἔχοντος] ἀγνουμένου Z.
[x] γενόμενον] διδόμενον Z.
[y] καὶ] ἀλλ' Z.
[z] καθίσαντα] Stephanus καθιστάντα.

ἀλλ' ὑπομενεῖτε ἀκούειν [a]τοῦ τοσαῦτα διαπεπραγμένου καθ' ὑμῶν, ὡς ὅτι τὸ συνέδριον τὸ ἐν Ἀρείῳ πάγῳ ψευδεῖς πεποίηται τὰς ἀποφάσεις, καὶ ὡς αὐτὸς μὲν δίκαιος καὶ χρηστὸς καὶ ἀδωροδόκητός ἐστιν, ἡ δ' ἐξ Ἀρείου πάγου βουλὴ ταῦτα πάντα προεῖται χάριτος ἢ λήμμα-
8 τος [b]ἕνεκα; ἆρ' [c]ἴσθ' ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἀδικημάτων σκεψαμένους ἀκριβῶς δεῖ μεθ' ἡσυχίας καὶ τἀληθὲς ἐξετάσαντας, οὕτως ἐπιτιθέναι τοῖς ἠδικηκόσι τὴν τιμωρίαν, ἐπὶ δὲ ταῖς φανεραῖς καὶ παρὰ πάντων ὡμολογημέναις προδοσίαις πρῶτον τετάχθαι τὴν ὀργὴν καὶ τὴν [d]μετ' αὐ-
9 τὴν γιγνομένην τιμωρίαν; τί γὰρ τοῦτον οὐκ ἂν οἴεσθε ἀποδόσθαι τῶν ἐν τῇ πόλει σπουδαιοτάτων, ὅταν ὑμεῖς ὡς πιστὸν αὐτὸν καὶ δίκαιον φύλακα καταστήσητε; ποίας οὐκ ἂν προδοῦναι τριήρεις τῶν ἐν τοῖς νεωρίοις; ἢ τίνος ἂν φροντίσαι φυλακῆς, λήσειν ἐλπίσαντα καὶ λήψεσθαι διπλάσιον οὗ νῦν εἴληφε χρυσίου; οὐδὲν ὅ τι οὐκ ἂν ὁ τοι-
10 οῦτος, ὦ ἄνδρες, ποιήσειεν. ὅστις γὰρ ἀργύριον καὶ χρυσίον περὶ πλείονος τῆς πρὸς ὑμᾶς πίστεως αἱρεῖται, καὶ μήθ' ὅρκου μήτ' αἰσχύνης μήτε δικαίου πλείω λόγον ἢ τοῦ λαμβάνειν ποιεῖται, οὗτος ἀποδώσεται τὸ καθ' αὐτὸν τὴν Μουνυχίαν, ἂν ἔχῃ τὸν ὠνησόμενον, οὗτος ἐξαγγελεῖ τοῖς πολεμίοις σύνθημα καθ' ὑμῶν φήνας, οὗτος προδώσει τὴν [e]πεζικὴν καὶ ναυτικὴν δύναμιν.

11 Μὴ οὖν, ὦ Ἀθηναῖοι, τὴν τίμησιν [f]ὑπὲρ τῶν γεγενημένων μόνον ὑπὸ Φιλοκλέους ἀδικημάτων ἡγεῖσθε μέλλειν ποιεῖσθαι, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων ὧν [g]ἂν ἔπραξεν οὗτος κύριος γενόμενος. καὶ τοῖς μὲν θεοῖς [h]ἔχετε χάριν

[a] τοῦ] om. Z.
[b] ἕνεκα] ἕνεκεν Z.
[c] ἴσθ'] οἶσθ' Z.
[d] μετ' αὐτὴν] Malim μετ' αὐτῆς.
[e] πεζικὴν] Immo πεζήν.
[f] ὑπὲρ] ὑπὸ Z.
[g] ἂν ἔπραξεν B. et rec. A. qui pr. cum Z. om.
[h] ἔχετε—τι] εὔχεσθε—τό.

ὑπὲρ τοῦ μὴ παθεῖν τι μεῖζον ὑπὸ τούτου δεινόν, ἐγνωκότες τοῦτον οἷός ἐστιν· ἀξίως δ' ὑμῶν αὐτῶν καὶ τῆς τοῦ κρι-
12 νομένου πονηρίας [i]κολάσατε αὐτόν· ὃς ὦ Ἀθηναῖοι τρὶς ἢ τετράκις ἱππαρχηκὼς ἀνδρῶν καλῶν κἀγαθῶν, πλεονάκις δ' ἢ δεκάκις στρατηγὸς ὑφ' ὑμῶν κεχειροτονημένος οὐκ ἄξιος ὤν, τιμώμενος καὶ ζηλούμενος διὰ τὴν πρὸς ὑμᾶς πίστιν ἀπέδοτο καὶ προεδώκε τὸ τῆς ἡγεμονίας ἡμῶν ἀξίωμα, καὶ εἰς τὸ αὐτὸ κατέστησεν ἑαυτὸν Ἀρι-
στογείτονι, καὶ μισθωτὸν καὶ προδότην ἀντὶ στρατηγοῦ
13 ἐποίησεν. ἔπειτα ὑποστείλασθαί τι δεῖ πρὸς τὸν τοιοῦτον [k]ὑμῖν, καὶ αἰσχυνθῆναι τοὺς ἠδικημένους, ὃς οὐκ ἠσχύνθη τοιαῦτα πράττων καθ' ὑμῶν καὶ τῶν ἄλλων; [l]οὐχ οἱ τοιοῦτοι τῶν ἀνθρώπων ἐλεοῖντ' ἂν εἰκότως παρ' ὑμῖν, ὦ Ἀθηναῖοι· πολλοῦ γε καὶ δεῖ· ἀλλ' οἱ προδοθέντες ἂν ὑπὸ Φιλοκλέους, εἴ τιν' οὗτος παρέλαβε καιρὸν χρημάτων πολλῶν. ἐν οἷς καὶ ἡ ἀκτὴ καὶ οἱ λιμένες εἰσὶ καὶ τὰ νεώρια, ἃ οἱ πρόγονοι ὑμῖν κατασκευάσαντες κατέλιπον.
14 ὧν ἀναμιμνησκομένους ὑμᾶς, ὦ Ἀθηναῖοι, δεῖ μὴ παρέργως ἔχειν πρὸς τὰς ὑπὸ τῆς βουλῆς γεγενημένας ἀποφάσεις, ἀλλ' ἀκολούθως ταῖς πρότερον κεχριμέναις· αἰσχρὸν γὰρ ἀπειπεῖν τιμωρουμένους ἐστὶ τοὺς προδότας τῆς πόλεως γεγενημένους, καὶ ὑπολείπεσθαί τινας τῶν ἀδίκων καὶ πονηρῶν ἀνθρώπων, ὅτε οἱ θεοὶ φανεροὺς ὑμῖν ποιήσαντες παρέδοσαν τιμωρήσασθαι, [m]ἑωρακότες τὸν δῆμον ἅπαντα κατήγορον τούτου γεγενημένον καὶ [n]προκεχειρικότα πρῶτον τῶν ἄλλων ἐπὶ τῷ τὴν τιμωρίαν ἐν ὑμῖν δοῦναι.

[i] κολάσατε] κολάσετε B.Z. et pr. A.

[k] ὑμῖν] "Aut in vitio est ὑμῖν, "aut inter hæc duo vocabula "deest aliquid, e. c. πεφασμένον "aut φωραθέντα." Reiskius.

[l] οὐχ οἱ] οὐχὶ B.

[m] ἑωρακότες] ἑωρακότας Stephanus.

[n] προκεχειρικότα A.B. vulg. προκεχωρηκότα.

15 Ἀλλ' ἔγωγε, νὴ τὸν Δία τὸν σωτῆρα, αἰσχύνομαι εἰ προτραπέντας ὑμᾶς δεῖ καὶ παροξυνθέντας [o]ὑφ' ἡμῶν ἐπὶ τὴν τοῦ νῦν ἐκλελοιπότος [p]τὴν κρισιν τιμωρίαν ἐλθεῖν, καὶ οὐκ αὐτόπται ἐστὲ τῶν ὑπὸ τούτου γεγενημένων ἀδικημάτων· καὶ ὁ μὲν δῆμος ἅπας οὔτ' ἀσφαλὲς οὔτε δικαιον νομίζων εἶναι παρακαταθέσθαι τοὺς ἑαυτοῦ παῖδας ἀπε-
16 χειροτόνησεν αὐτὸν ἀπὸ τῆς τῶν ἐφήβων ἐπιμελειας, ὑμεῖς [q]δὲ οἱ τῆς δημοκρατίας καὶ τῶν νόμων φύλακες, οὓς ἡ τύχη καὶ ὁ κλῆρος ὑπὲρ [r]τοῦ δημου [s]δικάσοντας ἐπέ- τρεψε, [t]φείσεσθε [u]τοῦ τοιαῦτα διαπεπραγμένου, καὶ τὸ πέρας ἔχοντες τῶν ἐν τῇ πόλει ἁπάντων δικαίων ἀτιμώρητον ἀφήσετε τὸν δωροδόκον [x]καὶ πάντων τῶν γεγενημένων κακῶν αἴτιον, ὃς (ὅπερ καὶ μικρῷ πρότερον εἶπον) μόνος τῶν πονηρῶν πάντων τρις, οὐχ ἅπαξ, ἀποπέφανται, καὶ τρὶς ἤδη [y]δικαίως ἐζημιωμένος θανάτῳ κατὰ τὸ αὐτοῦ
17 ψήφισμα. τί οὖν ἀναμενεῖτε, ὦ Ἀθηναῖοι; καὶ ποῖα ἀδικήματα ζητεῖτε ἕτερα μείζω τῶν εἰρημένων ἀκοῦσαι; οὐχ ὑμεῖς ἐστὲ καὶ οἱ ὑμέτεροι πρόγονοι οἱ Τιμοθέῳ Πελοπόννησον [z]περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν Λακεδαιμονίους νικήσαντι καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς [a]Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντος καὶ Μεθώνην καὶ Πύδναν καὶ Ποτίδαιαν καὶ πρὸς ταύταις ἑτέρας εἴκοσι πόλεις, οὐδὲν τούτων [a]ὑπόλογον ποιησάμενοι, οὐδὲ τῆς τότε ἐνεστώσης κρίσεως καὶ τῶν ὅρκων οὓς ὀμω-
μοκότες [b]φέρετε τὴν ψῆφον ἀντικαταλλαξάμενοι τὰς τη-

[o] ὑφ' ἡμῶν] om. Z.
[p] τὴν κρίσιν A. vulg. om. articulum.
[q] δὲ οἱ] δὲ καὶ οἱ Z.
[r] τοῦ] om. pr. A.
[s] δικάσοντας] δικάζοντας Z.
[t] φείσεσθε] φείδεσθαι Z.
[u] τοῦ τοιαῦτα A. vulg. τοῦ τὰ τοιαῦτα.
[x] καὶ] om. Z.
[y] δικαίως ἐζημιωμένος] Interpone ἄν. REISKIUS.
[z] περιπλεύσαντι] πλεύσαντι B.Z.
[a] ὑπόλογον] ὑπὸ λόγον A.B.Z.
[b] φέρετε A.B. vulg. ἐφέρετε.

λιχαύτας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων τιμήσαντες, ὅτι χρήματ' αὐτὸν Ἀριστοφῶν ἔφη παρὰ Χίων εἰληφέναι
18 καὶ Ῥοδίων; τὸν δὲ μιαρὸν ἄνθρωπον καὶ προδότην, ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα ἀποπέφαγκε χρήματ' ἔχειν καθ' ὑμῶν, ὃς οὐσίαν ἔχων πολλὴν καὶ παίδων ἀρρένων οὐκ ὄντων αὐτῷ, καὶ οὐδενὸς ἄλλου δεόμενος [c] ὢν ἄνθρωπος μέτριος δεηθείη, οὐκ ἀπέσχετο χρημάτων διδομένων κατὰ τῆς πατρίδος, [d] οὐδ' ἀπεκρύψατο τὴν ἔμφυτον πονηρίαν, ἀλλ' ἀνεῖλε πᾶσαν τὴν γεγενημένην αὐτῷ πρὸς ὑμᾶς πίστιν, καὶ οἷς πρότερον ἔφη διαφέρεσθαι, πρὸς τούτους ἔταξεν αὐτόν, καὶ ἐξήλεγξεν αὐτοῦ τὴν προσποίητον καλοκαγαθίαν ὅτι ψευδὴς ἦν.

19 [d] Α χρὴ λογισαμένους ὑμᾶς, ὦ Ἀθηναῖοι, καὶ τῶν παρόντων καιρῶν ἀναμνησθέντας, οἳ πίστεως οὐ δωροδοκίας δέονται, μισεῖν τοὺς πονηρούς, ἀνελεῖν ἐκ τῆς πολιτείας τὰ τοιαῦτα θηρία, καὶ δεῖξαι πᾶσιν ἀνθρώποις ὅτι οὐ συνδιέφθαρται τὸ τοῦ δήμου πλῆθος τῶν ῥητόρων καὶ τῶν στρατηγῶν τισίν, οὐδὲ δουλεύει ταῖς δόξαις, [e] εἰδότες ὅτι μετὰ μὲν δικαιοσύνης καὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας ῥᾳδίως [f] ἀμυνούμεθα, θεῶν ἵλεων ὄντων, ἐάν τινες ἡμῖν ἀδίκως ἐπιτίθωνται, μετὰ δὲ δωροδοκίας καὶ προδοσίας καὶ τῶν ὁμοίων τούτοις κακῶν, ἃ τοῖς τοιούτοις ἀνθρώποις
20 πρόσεστιν, [g] οὐδεμία πόλις σωθείη. μηδεμίαν οὖν δέησιν, ὦ Ἀθηναῖοι, μηδ' ἔλεον εἰς ὑμᾶς λαμβάνοντες αὐτούς, μηδὲ τὴν ἐξ αὐτῶν τῶν ἔργων καὶ τῆς ἀληθείας [h] ἀποδεδειγμένην ὑμῖν κατὰ τῶν κρινομένων ἀδικίαν ἄκυρον ποιή-

[c] ὢν ἄνθρωπος] Interpone ἄν.
[d] οὐδ' A.B. vulg. οὐκ.
[e] εἰδότες A.B.Z. vulg. εἰδότας.
[f] ἀμυνούμεθα] ἀμυνόμεθα A.Z.
[g] οὐδεμία] Nonne οὐδεμί' ἄν?
[h] ἀποδεδειγμένην] ἀποδεδειγμένης Z.

σαντες, βοηθήσατε κοινῇ τῇ πατρίδι καὶ τοῖς νόμοις· ταῦτα
γὰρ ἀμφότερα διαδικάζεται νῦν πρὸς τὴν [i]τούτου πονη- 111
21 ρίαν. ὑπὲρ πάσης, ὦ Ἀθηναῖοι, τῆς χώρας νῦν μέλλετε
φέρειν τὴν ψῆφον, καὶ τῶν ἐν ταύτῃ κατεσκευασμένων ἱε-
ρῶν καὶ τῶν ἀρχαίων νομίμων καὶ τῆς παραδεδομένης ὑπὸ
τῶν προγόνων ὑμῶν πολιτείας, οὐχ ὑπὲρ Φιλοκλέους μό-
νου· οὗτος γὰρ αὐτοῦ πάλαι θάνατον κατέγνωκε. ταῦθ' 5
ὑμᾶς ἱκετεύων ἐγὼ δικαιοτέραν πολὺ δέησιν δέομαι τού-
των τῶν ταῦτα πεπραχότων, μὴ ἐγκαταλιπεῖν ὑπὲρ ὧν
οἱ πρόγονοι πολλοὺς ὑπέμειναν κινδύνους, μηδ' εἰς ἀδοξίαν
αἰσχρὰν ἀγαγεῖν τὸ τῆς πόλεως ἀξίωμα, μηδὲ καταλ-
λάξασθαι τὴν πρὸς τούτους χάριν τῶν νόμων καὶ τῶν τοῦ
22 δήμου καὶ τῶν τῆς βουλῆς ἀποφάσεων. ἀκριβῶς γὰρ
ἴστε, ὦ Ἀθηναῖοι, ἀκριβῶς, ὅτι ὑμεῖς μὲν παρὰ πᾶσιν
[f] ἀνθρώποις ἐπαινεῖσθε ταῖς γεγενημέναις ζητησεσιν ὑπὲρ 10
τούτων τῶν χρημάτων, οἱ δ' [k]ἐξελελεγμένοι κατὰ τῆς
ἑαυτῶν πατρίδος δῶρα εἰληφότες πονηροὶ καὶ ἄδικοι καὶ
μισόδημοι νομίζονται εἶναι, φιλεῖν ὑμᾶς φάσκοντες καὶ
πράττειν ὑπὲρ τῶν τῆς πόλεως ἀγαθῶν, καὶ δι' ὑμᾶς ἔν-
δοξοι γεγενημένοι.

[i] τούτου] τούτων pr. A. [k] ἐξελελεγμένοι] ἐλελαγμένοι Z.

ΛΥΚΟΥΡΓΟΣ.

ΚΑΤΑ ΛΕΩΚΡΑΤΟΥΣ.

ΥΠΟΘΕΣΙΣ.

147

Μετὰ τὰ ἐν Χαιρωνείᾳ δεινὰ [a]ψήφισμα ποιεῖ ὁ τῶν Ἀθηναίων δῆμος, ὥστε μήτε τινὰ ἔξω γενέσθαι τῆς πόλεως μήτε μὴν ἐκθέσθαι παῖδας καὶ γυναῖκας. Λεωκράτης οὖν τις ἐξελθὼν τῆς πόλεως, καὶ ἀφικόμενος ἐν Ῥόδῳ καὶ πάλιν ἐν Μεγάροις, ἦλθεν ἐν Ἀθήναις· καὶ παῤῥησιαζομένου αὐτοῦ κατηγορίαν ποιεῖται ὁ Λυκοῦργος αὐτοῦ ὡς προδότου. Ἡ δὲ στάσις ὅρος ἀντωνομάζων· ὁμολογεῖ γὰρ καὶ Λεωκράτης ἀπολιπεῖν [b]τὴν πόλιν, οὐ μέντοι προδιδόναι. ἄλλοι στοχασμὸν ἀπὸ γνώμης, ὡς τοῦ μὲν ἐξελθεῖν ὁμολογουμένου, ἀμφιβαλλομένης δὲ τῆς προαιρέσεως, ποίᾳ γνώμῃ ἐξῆλθεν, εἶτ' ἐπὶ προδοσίᾳ εἶτ' ἐπὶ ἐμπορίᾳ. [c]ἄλλοι δὲ ἀντίστασιν· λέγει γὰρ οὐκ ἐπὶ προδοσίᾳ τῆς πόλεως ἐξελθεῖν, ἀλλ' ἐπὶ ἐμπορίᾳ. ἔοικε δὲ ἡ τοῦ λόγου ὑπόθεσις [d]τῇ τοῦ κατὰ Αὐτολύκου.

[e]ΔΙΚΑΙΑΝ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ εὐσεβῆ καὶ ὑπὲρ ἡμῶν καὶ ὑπὲρ τῶν θεῶν τὴν ἀρχὴν τῆς κατηγορίας [f]Λεωκράτους τοῦ κρινομένου ποιήσομαι. εὔχομαι γὰρ τῇ Ἀθηνᾷ καὶ τοῖς ἄλλοις θεοῖς καὶ τοῖς ἥρωσι τοῖς κατὰ τὴν πόλιν καὶ τὴν χώραν ἱδρυμένοις, εἰ μὲν εἰσήγγελκα Λεωκράτη δικαίως καὶ κρίνω [g]τὸν προδόντα [h]αὐτῶν καὶ τοὺς νεὼς καὶ τὰ ἕδη καὶ τὰ τεμένη καὶ τὰς ἐν τοῖς νόμοις θυσίας τὰς ὑπὸ τῶν ὑμετέρων προγόνων παραδεδομένας, 148
2 ἐμὲ μὲν ἄξιον ἐν τῇ τήμερον ἡμέρᾳ τῶν Λεωκράτους ἀδικημάτων κατήγορον ποιῆσαι, [i]ὃ καὶ τῷ δήμῳ καὶ τῇ πόλει

[a] ψήφισμα] ψηφίσματα pr. A.
[b] τὴν πόλιν] om. L.P.Z. cum vulg.
[c] ἄλλοι—ἐμπορίᾳ] om. iidem.
[d] τῇ τοῦ κατὰ A.B. vulg. τῇ κατά.
[e] ΔΙΚΑΙΑΝ] vulg. δίκαιον.
[f] Λεωκράτους] κλεοκράτους Z. Idem mox λεοκράτη.
[g] τὸν προδόντα] vulg. om. articulum.
[h] αὐτῶν] Libri et scripti et editi αὐτόν.
[i] ὃ] vulg. ὡς.

συμφέρει, ὑμᾶς δὲ ὡς ὑπὲρ πατέρων καὶ παίδων καὶ γυναικῶν καὶ πατρίδος καὶ ἱερῶν βουλευομένους, καὶ ἔχοντας ὑπὸ τῇ ψήφῳ τὸν προδότην ἁπάντων τούτων, ἀπαραιτήτους δικαστὰς [μὴ παρέχοντας συγγνώμην] καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον γενέσθαι τοῖς τὰ τοιαῦτα καὶ τηλικαῦτα παρανομοῦσιν· εἰ δὲ μήτε τὸν προδόντα τὴν πατρίδα μήτε τὸν ἐγκαταλιπόντα τὴν πόλιν καὶ τὰ ἱερὰ εἰς τουτονὶ τὸν ἀγῶνα καθίστημι, σωθῆναι αὐτὸν ἐκ τοῦ κινδύνου καὶ ὑπὸ τῶν θεῶν καὶ ὑφ' ὑμῶν τῶν δικαστῶν.

3 Ἐβουλόμην δ' ἄν, ὦ ἄνδρες, ὥσπερ ὠφέλιμόν ἐστι τῇ πόλει εἶναι τοὺς κρίνοντας ἐν ταύτῃ τοὺς παρανομοῦντας, οὕτω καὶ φιλάνθρωπον [k] αὐτὸ παρὰ τοῖς πολλοῖς ὑπειλῆφθαι· νῦν δὲ περιέστηκεν εἰς τοῦτο, ὥστε τὸν ἰδίᾳ κινδυνεύοντα καὶ ὑπὲρ τῶν κοινῶν ἀπεχθανόμενον οὐ φιλόπολιν ἀλλὰ φιλοπράγμονα δοκεῖν εἶναι, οὐ δικαίως οὐδὲ 4 συμφερόντως τῇ πόλει. τρία γάρ ἐστι τὰ μέγιστα, ἃ διαφυλάττει καὶ διασώζει [l] τὴν δημοκρατίαν καὶ τὴν τῆς πόλεως εὐδαιμονίαν, πρῶτον μὲν ἡ τῶν νόμων τάξις, δεύτερον δ' ἡ τῶν δικαστῶν ψῆφος, τρίτον δ' ἡ τούτοις τὰ δικήματα [m] παραδοῦσα κρίσις. ὁ μὲν γὰρ νόμος πέφυκε προλέγειν ἃ μὴ δεῖ πράττειν, ὁ δὲ κατήγορος μηνύειν τοὺς ἐνόχους τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις καθεστῶτας, ὁ δὲ δικαστὴς κολάζειν τοὺς [n] ὑπ' ἀμφοτέρων τούτων ἀποδειχθέντας αὐτῷ, ὥστ' οὔθ' ὁ νόμος οὔθ' ἡ τῶν δικαστῶν ψῆφος ἄνευ τοῦ παραδώσοντος αὐτοῖς τοὺς ἀδικοῦντας ἰσχύει.

5 Ἐγὼ δέ, ὦ Ἀθηναῖοι, εἰδὼς Λεωκράτην φυγόντα μὲν τοὺς ὑπὲρ τῆς πατρίδος κινδύνους, ἐγκαταλιπόντα δὲ τοὺς αὐτοῦ πολίτας, προδεδωκότα δὲ πᾶσαν τὴν ὑμετέραν δύ-

[k] αὐτὸ] Supra versum ponit A.
[l] τὴν δημοκρατίαν] vulg. δημοκρατίαν.
[m] παραδοῦσα] Malim παραδιδοῦσα.
[n] ὑπ' Reiskius: libri ἐπ'.

ναμιν, ἅπασι δὲ τοῖς γεγραμμένοις ἔνοχον ὄντα, ταύτην τὴν εἰσαγγελίαν ἐποιησάμην, οὔτε δι' ἔχθραν οὐδεμίαν οὔτε διὰ φιλονεικίαν οὐδ' ἡντινοῦν τοῦτον τὸν ἀγῶνα προελόμενος, ἀλλ' αἰσχρὸν εἶναι νομίσας τοῦτον περιορᾶν εἰς τὴν ἀγορὰν ἐμβάλλοντα καὶ τῶν κοινῶν ἱερῶν μετέχοντα, τῆς τε πατρίδος ὄνειδος καὶ πάντων ὑμῶν γεγενημένον. 25

6 πολίτου γάρ ἐστι δικαίου μὴ διὰ τὰς ἰδίας ἔχθρας [o]εἰς τὰς κοινὰς κρίσεις [p]καθιστάναι τοὺς τὴν πόλιν μηδὲν ἀδικοῦντας, ἀλλὰ τοὺς εἰς τὴν πατρίδα τι παρανομοῦντας ἰδίους ἐχθροὺς εἶναι νομίζειν, καὶ τὰ κοινὰ τῶν ἀδικημάτων κοινὰς καὶ τὰς προφάσεις ἔχειν τῆς πρὸς αὐτοὺς διαφορᾶς.

7 [q]Ἅπαντας μὲν οὖν χρὴ νομίζειν μεγάλους εἶναι τοὺς [q]δημοσίους ἀγῶνας, μάλιστα δὲ τοῦτον ὑπὲρ οὗ νῦν μέλλετε τὴν ψῆφον φέρειν. ὅταν μὲν γὰρ τὰς τῶν παρανόμων γραφὰς δικάζητε, τοῦτο μόνον ἐπανορθοῦτε καὶ ταύτην τὴν πρᾶξιν κωλύετε, καθ' ὅσον ἂν τὸ ψηφισμα [r]μέλλῃ βλάπτειν τὴν πόλιν· ὁ δὲ νῦν ἐνεστηκὼς ἀγὼν [s]οὐ μικρόν τι μέρος συνέχει τῶν τῆς πόλεως οὐδὲ ἐπ' ὀλίγον χρόνον, ἀλλ' ὑπὲρ ὅλης τῆς πατρίδος καὶ κατὰ παντὸς τοῦ αἰῶνος ἀείμνηστον καταλείψει τοῖς ἐπιγινομένοις τὴν 8 κρίσιν. οὕτω γάρ ἐστι δεινὸν τὸ γεγενημένον ἀδίκημα καὶ τηλικοῦτον ἔχει τὸ μέγεθος, ὥστε [μήτε κατηγορίαν μήτε τιμωρίαν ἐνδέχεσθαι εὑρεῖν ἀξίαν] μηδὲ ἐν τοῖς νόμοις ὡρίσθαι τιμωρίαν ἀξίαν τῶν ἁμαρτημάτων. τί γὰρ χρὴ παθεῖν τὸν ἐκλιπόντα μὲν τὴν πατρίδα, μὴ βοηθήσαντα δὲ τοῖς πατρῴοις ἱεροῖς, ἐγκαταλιπόντα δὲ τὰς τῶν προγόνων θήκας, ἅπασαν δὲ τὴν πόλιν ὑποχείριον τοῖς πολεμίοις

[o] εἰς τὰς κοινὰς] εἰς κοινὰς pr. A.
[p] καθιστάναι Stephanus: libri καθεστάναι.
[q] δημοσίους] δημίους A.L.P.Z.
[r] μέλλῃ] vulg. μέλλει.
[s] οὐ μικρὸν] vulg. οὐ κατὰ μικρόν.

[t] παραδόντα; τὸ μὲν γὰρ μέγιστον καὶ ἔσχατον τῶν τιμημάτων, θάνατος, ἀναγκαῖον μὲν ἐκ τῶν νόμων ἐπιτίμιον, ἔλαττον δὲ τῶν Λεωκράτους ἀδικημάτων καθέστηκε. παρεῖσθαι δὲ τὴν ὑπὲρ [u] τῶν τοιούτων τιμωρίαν συμβεβηκεν, ὦ ἄνδρες, οὐ διὰ ῥᾳθυμίαν τῶν τότε νομοθετούντων, ἀλλὰ [x] διὰ τὸ [y] μήτ' ἐν τοῖς πρότερον χρόνοις γεγενῆσθαι τοιοῦτον μηδὲν μήτε ἐν τοῖς μέλλουσιν ἐπίδοξον εἶναι [z] γενέσθαι [ὡς μήτε κατηγορίαν μήτε τιμωρίαν ἐνδέχεσθαι εὑρεῖν ἀξίαν.] διὸ καὶ μάλιστα, ὦ ἄνδρες, δεῖ ὑμᾶς γενέσθαι μὴ μόνον τοῦ νῦν ἀδικήματος δικαστὰς ἀλλὰ καὶ νομοθέτας. ὅσα μὲν γὰρ τῶν ἀδικημάτων νόμος τις διώρικε, ῥᾴδιον [a] τούτῳ κανόνι χρωμένους κολάζειν τοὺς παρανομοῦντας· ὅσα δὲ μὴ σφόδρα [b] περιείληφεν ἑνὶ ὀνόματι προσαγορεύσας, μεῖζω δὲ τούτων τις ἠδίκηκεν, ἅπασι δὲ ὁμοίως ἔνοχός ἐστιν, ἀναγκαῖον τὴν ὑμετέραν κρίσιν καταλείπεσθαι παράδειγμα τοῖς ἐπιγιγνομένοις. εὖ δ' ἴστε, ὦ ἄνδρες, ὅτι οὐ μόνον τοῦτον νῦν κολάσετε κατεψηφισμένοι, ἀλλὰ καὶ τοὺς νεωτέρους ἅπαντας ἐπ' ἀρετὴν [c] προτρέψετε. δύο γάρ ἐστι τὰ παιδεύοντα τοὺς νέους, ἥ τε τῶν ἀδικούντων τιμωρία καὶ ἡ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς [d] διδομένη δωρέα· πρὸς ἑκάτερον δὲ τούτων ἀποβλέποντες τὴν μὲν διὰ τὸν φόβον φεύγουσι, τῆς δὲ διὰ τὴν δόξαν ἐπιθυμοῦσι. διὸ δεῖ, ὦ ἄνδρες, προσέχειν τούτῳ τῷ ἀγῶνι καὶ μηδὲν περὶ πλείονος ποιήσασθαι τοῦ δικαίου.

[t] παραδόντα A.B. vulg. παραδιδόντα.

[u] τῶν τοιούτων A.B. vulg. τούτων.

[x] διὰ ante τὸ om. P.

[y] μήτ'] Libri μή.

[z] γενέσθαι Lobeckius (ad Phrynich. p. 133.) γενήσεσθαι Valcken. ad Herodot. 4, 11. vulg. γεγενῆσθαι.

[a] τούτῳ] τοῦτο L.P.

[b] περιείληφεν] Fuit cum διείληφεν mallem.

[c] προτρέψετε] προτρέψητε A.B. L.P.Z.

[d] διδομένη] vulg. δεδομένη.

11 Ποιήσομαι δὲ κἀγὼ τὴν κατηγορίαν [e] δικαίαν, οὔτε ψευδόμενος οὐδὲν οὔτ' ἔξω τοῦ πράγματος λέγων. οἱ μὲν γὰρ πλεῖστοι τῶν εἰς ὑμᾶς εἰσιόντων πάντων ἀποπώτατον ποιοῦσιν· ἢ γὰρ συμβουλεύουσιν ἐνταῦθα περὶ τῶν κοινῶν πραγμάτων, ἢ κατηγοροῦσι καὶ διαβάλλουσι πάντα
12 μᾶλλον ἢ περὶ οὗ μέλλετε τὴν ψῆφον φέρειν. ἔστι δ' οὐδέτερον τούτων χαλεπόν, οὔθ' ὑπὲρ ὧν μὴ [f] βουλεύεσθε [g] γνώμην ἀποφήνασθαι, οὔθ' ὑπὲρ ὧν μηδεὶς ἀπολογήσεται κατηγορίαν εὑρεῖν. ἀλλ' οὐ δίκαιον ὑμᾶς μὲν ἀξιοῦν δικαίαν τὴν ψῆφον φέρειν, αὐτοὺς δὲ μὴ δικαίαν τὴν κατηγορίαν ποιεῖσθαι. τούτων δὲ αἴτιοι ὑμεῖς ἐστέ, ὦ ἄνδρες· τὴν γὰρ ἐξουσίαν ταύτην δεδώκατε τοῖς ἐνθάδε εἰσιοῦσι, καὶ ταῦτα κάλλιστον ἔχοντες τῶν Ἑλλήνων παράδειγμα τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, ὃ τοσοῦτον διαφέρει τῶν ἄλ-
13 λων δικαστηρίων, ὥστε καὶ παρ' αὐτοῖς ὁμολογεῖσθαι τοῖς ἁλισκομένοις δικαίαν ποιεῖσθαι τὴν κρίσιν. πρὸς ὃ δεῖ καὶ ὑμᾶς ἀποβλέποντας μὴ ἐπιτρέπειν τοῖς ἔξω τοῦ πράγματος λέγουσιν. οὕτω γὰρ ἔσται τοῖς τε κρινομένοις ἄνευ διαβολῆς ὁ ἀγὼν καὶ τοῖς διώκουσιν ἥκιστα συκοφαντεῖν καὶ ὑμῖν εὐορκοτάτην ψῆφον ἐνεγκεῖν. [ἀδύνατον γάρ ἐστιν ἄνευ τοῦ λόγου, μὴ δικαίως δεδιδαγμένους, δικαίαν θέσθαι τὴν ψῆφον.]

14 Δεῖ δ' ὦ ἄνδρες μηδὲ ταῦτα λαθεῖν ὑμᾶς, ὅτι οὐχ ὁμοιός ἐστιν ὁ ἀγὼν περὶ τούτου καὶ τῶν ἄλλων ἰδιωτῶν. περὶ μὲν γὰρ ἀγνῶτος ἀνθρώπου τοῖς Ἕλλησιν ἐν ὑμῖν αὐτοῖς ἐδοκεῖτ' ἂν ἢ καλῶς ἢ [h] καὶ φαύλως ἐψηφισθαι· περὶ δὲ τούτου ὅ τι ἂν [i] βουλεύσησθε, παρὰ πᾶσι τοῖς

[e] δικαίαν] δικαίως Z.
[f] βουλεύεσθε Taylorus: libri βούλεσθε.
[g] γνώμην] τὴν γνώμην Z.
[h] καὶ post ἢ om. pr. A.
[i] βουλεύσησθε] βουλεύσεσθε A. B.L.P.

Ἕλλησιν ἔσται [k] λόγος. [l] ἐπιφανὴς γάρ ἐστι διὰ τὸν ἔκπλουν τὸν [m] εἰς Ῥόδον καὶ τὴν [n] ἐπαγγελίαν ἣν ἐποιήσατο καθ' ὑμῶν πρός τε τὴν πόλιν τὴν τῶν Ῥοδίων καὶ τῶν ἐμπόρων τοῖς ἐπιδημοῦσιν ἐκεῖ, οἱ πᾶσαν τὴν οἰκουμένην περιπλέοντες δι' ἐργασίαν [o] ἀπήγγελλον ἅμα περὶ τῆς πόλεως ἀ Λεωκράτους [p] ἀκηκόεσαν· οἳ ἴσασι τὰ τῶν προγόνων τῶν [q] ὑμετέρων ἔργα ἐναντιώτατα τοῖς τούτῳ [r] διαπεπραγμένοις ὄντα. ὥστε περὶ πολλοῦ ποιητέον ἐστὶν ὀρθῶς βουλεύσασθαι περὶ αὐτοῦ. εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι ᾧ πλεῖστον διαφέρετε τῶν ἄλλων ἀνθρώπων, τῷ πρός τε τοὺς θεοὺς εὐσεβῶς καὶ πρὸς τοὺς γονεῖς ὁσίως καὶ πρὸς τὴν πατρίδα φιλοτίμως ἔχειν, [s] τούτου πλεῖστον ἀμελεῖν δόξοιτ' ἄν, εἰ τὴν παρ' ὑμῶν οὗτος διαφύγοι τιμωρίαν.

Δέομαι δ' ὑμῶν ὦ Ἀθηναῖοι ἀκοῦσαί μου τῆς κατηγορίας διὰ τέλους, καὶ μὴ ἄχθεσθαι ἐὰν ἄρξωμαι ἀπὸ τῶν τῇ πόλει τότε συμβάντων, ἀλλὰ τοῖς αἰτίοις [t] ὀργίζεσθαι καὶ δι' οὓς ἀναγκάζομαι νῦν [u] μεμνῆσθαι περὶ αὐτῶν. Γεγενημένης γὰρ τῆς ἐν Χαιρωνείᾳ μάχης καὶ συνδραμόντων ἁπάντων ὑμῶν εἰς τὴν ἐκκλησίαν ἐψηφίσατο ὁ δῆμος παῖδας μὲν καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν [x] εἰς τὰ τείχη κατακομίζειν, τοὺς δὲ στρατηγοὺς τάττειν εἰς τὰς φυλακὰς τῶν Ἀθηναίων καὶ τῶν ἄλλων τῶν οἰκούντων Ἀθήνησι, καθ' ὅ τι ἂν αὐτοῖς [y] δοκῇ. Λεωκράτης δὲ τού-

[k] λόγος] λόγοις L.P.Z.

[l] ἐπιφανὴς] ἐπιφανής τε A.B.L. P.Z.

[m] εἰς Ῥόδον] εἰς τὴν Ῥόδον Z.

[n] ἐπαγγελίαν] ἀπαγγελίαν Taylorus.

[o] ἀπήγγελλον A. vulg. ἀπήγγελον.

[p] ἀκηκόεσαν] ἀκηκόασιν A.

[q] ὑμετέρων A.B.P. vulg. ἡμετέρων.

[r] διαπεπραγμένοις] Malim πεπραγμένοις.

[s] τούτου Reiskius: libri τούτῳ.

[t] ὀργίζεσθαι A. ὀργίζεσθε B. ὀργίζεσθε L. vulg. ὀργίζησθε.

[u] μεμνῆσθαι] vulg. ἀναμεμνῆσθαι.

[x] εἰς] καὶ Z.

[y] δοκῇ] δοκεῖ B.L.P.Z.

των οὐδενὸς φροντίσας, συσκευασάμενος ἃ εἶχε [z] χρήματα μετὰ τῶν οἰκετῶν ἐπὶ τὸν λέμβον κατεκόμισε, τῆς νεὼς ἤδη περὶ τὴν ἀκτὴν ἐξ [a] ἐξορμούσης, καὶ περὶ δείλην ὀψίαν αὐτὸς μετὰ τῆς ἑταίρας Εἰρηνίδος κατὰ μέσην τὴν ἀκτὴν διὰ τῆς πυλίδος ἐξελθὼν πρὸς τὴν ναῦν προσέπλευσε καὶ ᾤχετο φεύγων, οὔτε τοὺς λιμένας τῆς πόλεως ἐλεῶν, ἐξ ὧν ἀνήγετο, οὔτε τὰ τείχη τῆς πατρίδος αἰσχυνόμενος, ὧν τὴν φυλακὴν ἔρημον τὸ καθ' αὑτὸν μέρος [b] κατέλιπεν· [c] οὔτε τὴν ἀκρόπολιν καὶ τὸ ἱερὸν τοῦ Διὸς τοῦ σωτῆρος καὶ τῆς Ἀθηνᾶς τῆς σωτείρας ἀφορῶν καὶ προδιδοὺς ἐφοβήθη, οὓς αὐτίκα [d] σώσοντας ἑαυτὸν ἐκ τῶν κινδύνων ἐπικαλέσεται. καταχθεὶς δὲ [e] καὶ ἀφικόμενος εἰς Ῥόδον, ὥσπερ τῇ πατρίδι μεγάλας εὐτυχίας εὐαγγελιζόμενος, [f] ἀπήγγελλεν ὡς τὸ μὲν ἄστυ τῆς πόλεως ἑαλωκὸς καταλίποι, τὸν δὲ Πειραιέα πολιορκούμενον, αὐτὸς δὲ μόνος διασωθεὶς ἥκοι· καὶ οὐκ ἠσχύνθη τὴν τῆς πατρίδος ἀτυχίαν αὐτοῦ σωτηρίαν προσαγορεύσας. οὕτω δὲ σφόδρα ταῦτ' ἐπίστευσαν οἱ Ῥόδιοι, ὥστε τριήρεις πληρώσαντες τὰ πλοῖα κατῆγον, καὶ τῶν ἐμπόρων καὶ τῶν ναυκλήρων οἱ [g] παρεσκευασμένοι δεῦρο πλεῖν αὐτοῦ τὸν σῖτον ἐξείλοντο καὶ τἆλλα χρήματα διὰ [h] τοῦτον. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας ἁπάντων, πρῶτον μὲν τὰς τῶν γειτόνων καὶ τῶν ἐν τῷ τόπῳ τούτῳ κατοικούντων, οἳ τοῦτον ἴσασιν ἐν τῷ πολέμῳ [i] φυγόντα καὶ ἐκπλεύ-

[z] χρήματα] Recepi ex A.B.

[a] ἐξορμούσης Taylorus: libri ἐξορμώσης.

[b] κατέλιπεν] Nonne verius κατέλειπεν?

[c] οὔτε] οὐδὲ Heinrichius: quod non sufficit loco perpurgando.

[d] σώσοντας Taylorus: libri σώσαντας.

[e] καὶ ἀφικόμενος] Abundare hæc videntur.

[f] ἀπήγγελλεν A.L.P. ἀπήγγελεν B. vulg. ἀπήγγελεν.

[g] παρεσκευασμένοι] παρασκευασμένοι B.L.P.

[h] τοῦτον] τούτων P. τούτων Z. τοῦτων L.

[i] φυγόντα F.A. Wolfius Leptin. p. 277. libri φειγόντα.

σαντα Ἀθήνηθεν, ἔπειτα τῶν παραγενομένων εἰς Ῥόδον, ὅτε [k] Λεωκράτης ταῦτ' [l] ἀπήγγελλε, μετὰ δὲ ταῦτα [m] τὴν Φυρκίνου μαρτυρίαν, ὃν καὶ ὑμῶν [n] ἴσασιν] οἱ πολλοὶ κατηγοροῦντα τούτου ἐν τῷ δήμῳ ὡς καὶ μεγάλα καὶ βλάβους εἴη [o] τὴν πεντηκοστὴν μετέχων αὐτοῖς.

20 Πρὸ δὲ τοῦ ἀναβαίνειν τοὺς μάρτυρας [p] βραχέα βούλομαι διαλεχθῆναι ὑμῖν. οὐ γὰρ ἀγνοεῖτε, ὦ ἄνδρες, οὔτε τὰς παρασκευὰς τῶν κρινομένων οὔτε τὰς δεήσεις τῶν ἐξαιτουμένων, ἀλλ' ἀκριβῶς ἐπίστασθε ὅτι χρημάτων ἕνεκα καὶ χάριτος πολλοὶ ἐπείσθησαν τῶν μαρτύρων [q] ἢ ἀμνημονεῖν ἢ μὴ ἐλθεῖν ἢ ἑτέραν πρόφασιν εὑρεῖν. ἀξιοῦτε οὖν τοὺς μάρτυρας ἀναβαίνειν μηδὲ ὀκνεῖν μηδὲ περὶ πλείονος ποιεῖσθαι τὰς χάριτας ὑμῶν καὶ τῆς πόλεως, ἀλλ' ἀποδιδόναι τῇ πατρίδι τἀληθῆ καὶ τὰ δίκαια, μηδὲ λείπειν τὴν τάξιν ταύτην [r] καὶ μιμεῖσθαι Λεωκράτην, ἢ λαβόντας τὰ ἱερὰ κατὰ τὸν νόμον ἐξομόσασθαι. ἐὰν δὲ μηδέτερον τούτων ποιῶσιν ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας, [s] κλητεύσωμεν αὐτούς. Λέγε τὰς μαρτυρίας.

[t] ΜΑΡΤΥΡΙΑΙ.

21 Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ἐπειδὴ χρόνος [u] ἐγένετο καὶ ἀφικνεῖτο Ἀθήνηθεν πλοῖα εἰς τὴν Ῥόδον καὶ φανερὸν ἦν ὅτι οὐδὲν δεινὸν ἐγεγόνει περὶ τὴν πόλιν, φοβηθεὶς ἐκπλεῖ πάλιν ἐκ τῆς Ῥόδου καὶ ἀφικνεῖται εἰς Μέγαρα·

[k] Λεωκράτης] κλεωκράτης L.P.Z.

[l] ἀπήγγελλε A.B.L. vulg. ἀπήγγειλε.

[m] τὴν Φυρκίνου] vulg. τὴν μὲν Φυρκίνου.

[n] [ἴσασιν] om. A.B.L.P.Z.

[o] τὴν πεντηκοστὴν] vulg. τῆς πεντηκοστῆς.

[p] βραχέα] βραχεῖα A.B.

[q] ἢ ἀμνημονεῖν A.B. vulg. ἢ μὴ ἀμνημονεῖν.

[r] καὶ μιμεῖσθαι] καὶ μὴ μιμεῖσθαι A. fortasse correctus.

[s] κλητεύσωμεν] κλητεύσομεν Taylorus.

[t] ΜΑΡΤΥΡΙΑΙ A. vulg. μάρτυρες.

[u] ἐγένετο] om. Z. aoristo, ni fallor, præstat imperfectum.

καὶ ᾤκει ἐν Μεγάροις πλείω ἢ πέντε ἔτη προστάτην ἔχων Μεγαρέα, οὐδὲ τὰ [x]ὅρια τῆς χώρας αἰσχυνόμενος, ἀλλ' [y]ἐκ γειτόνων τῆς ἐκθρεψάσης αὐτὸν πατρίδος μετοικῶν.

22 καὶ οὕτως αὐτοῦ κατεγνώκει ἀΐδιον φυγήν, ὥστε μεταπεμψάμενος ἐντεῦθεν Ἀμύνταν τὸν τὴν ἀδελφὴν αὐτοῦ ἔχοντα τὴν πρεσβυτέραν καὶ [z]τῶν φίλων Ἀντιγένην [a]Ξυπεταιῶνα, καὶ δεηθεὶς τοῦ κηδεστοῦ πρίασθαι παρ' αὐτοῦ τἀνδράποδα καὶ τὴν οἰκίαν ἀποδόσθαι ταλάντου, [b]ἀπὸ [c]τούτου προσέταξε τοῖς τε χρήσταις ἀποδοῦναι τὰ ὀφειλόμενα καὶ τοὺς ἐράνους διενεγκεῖν, τὸ δὲ λοιπὸν αὐτῷ

23 ἀποδοῦναι. διοικήσας δὲ ταῦτα πάντα [d]ὁ Ἀμύντας αὐτὸς πάλιν ἀποδίδοται τἀνδράποδα πέντε καὶ τριάκοντα μνῶν Τιμοχάρει Ἀχαρνεῖ τῷ τὴν νεωτέραν ἔχοντι τούτου ἀδελφήν· ἀργύριον δὲ οὐκ ἔχων δοῦναι ὁ Τιμοχάρης, συνθήκας ποιησάμενος καὶ θέμενος παρὰ Λυσικλεῖ, μίαν μνᾶν [e]τόκον ἔφερε τῷ Ἀμύντᾳ. ἵνα δὲ μὴ λόγον [f]οἴησθε εἶναι ἀλλ' εἰδῆτε τὴν ἀλήθειαν, ἀναγνώσεται καὶ τούτων ὑμῖν τὰς μαρτυρίας. εἰ μὲν οὖν ζῶν ἐτύγχανεν ὁ Ἀμύντας, [g]ἐκεῖνον αὐτὸν παρειχόμην· [h]νυνὶ δὲ ὑμῖν καλῶ τοὺς συνειδότας. Καί μοι λέγε ταύτην τὴν μαρτυρίαν, ὡς 151

ἐπρίατο παρὰ Λεωκράτους ἐν Μεγάροις τὰ ἀνδράποδα [i]Ἀμύντας καὶ τὴν οἰκίαν.

[k]ΜΑΡΤΥΡΙΑ.

24 Ἀκούσατε δὲ καὶ ὡς ἀπέλαβε τετταράκοντα μνᾶς

[x] ὅρια] ὄρεια Z.
[y] ἐκ] vulg. ἐς.
[z] τῶν φίλων A.B. vulg. τὸν φίλον.
[a] Ξυπεταιῶνα Taylorus, ξυμπετρῶνα Z. ceteri ξυπετεῶνα.
[b] καὶ ἀπὸ] vulg. ἐπί.
[c] τούτου A. vulg. τούτοις.
[d] ὁ Ἀμύντας] vulg. om. articulum.
[e] τόκον] τόκου P.
[f] οἴησθε] οἴεσθε A.L. οἴεσθαι P.Z.
[g] ἐκεῖνον] Malim ἐκεῖνον ἄν.
[h] νυνὶ A.B. vulg. νῦν.
[i] Ἀμύντας] ὁ Ἀμύντας Z.
[k] ΜΑΡΤΥΡΙΑ A.P. vulg. μάρτυρες.

παρὰ Ἀμύντου Φιλόμηλος Χολαργεὺς καὶ Μενέλαος ὁ πρεσβεύσας πρὸς βασιλέα.

ΜΑΡΤΥΡΙΑ.

Λάβε δέ μοι καὶ [l] τὴν Τιμοχάρους τοῦ πριαμένου 5
[m] τἀνδράποδα παρ' Ἀμύντου πέντε καὶ τριάκοντα μνῶν, καὶ τὰς συνθήκας.

[n] ΜΑΡΤΥΡΙΑ. ΣΥΝΘΗΚΑΙ.

25 [o] Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες· ἄξιον δ' ἐστὶν ἐφ' οἷς μέλλω λέγειν ἀγανακτῆσαι καὶ μισῆσαι τουτονὶ Λεωκράτην. οὐ γὰρ [p] ἐξήρκεσε τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὰ χρήματα μόνον ὑπεκθέσθαι, ἀλλὰ καὶ τὰ ἱερὰ τὰ πατρῷα, ἃ τοῖς [q] ὑμετέροις νομίμοις καὶ πατρῴοις ἔθεσιν οἱ πρόγονοι [r] παρέδοσαν αὐτῷ ἱδρυσάμενοι, ταῦτα μετε- 10
πέμψατο εἰς Μέγαρα καὶ ἐξήγαγεν ἐκ τῆς χώρας, οὐδὲ τὴν ἐπωνυμίαν τῶν πατρῴων ἱερῶν φοβηθείς, ὅτι ἐκ τῆς πατρίδος αὐτὰ κινήσας συμφεύγειν αὐτῷ, ἐκλείποντα τοὺς νεὼς καὶ τὴν χώραν ἣν κατεῖχον, ἠξίωσε, καὶ [s] ἱδρύσασθαι ἐπὶ ξένης καὶ ἀλλοτρίας, καὶ εἶναι ὀθνεῖα τῇ χώρᾳ καὶ τοῖς [t] νομίμοις τοῖς κατὰ τὴν Μεγαρέων πόλιν
26 εἰθισμένοις. καὶ [u] οἱ μὲν πατέρες [x] ὑμῶν [y] τὴν Ἀθηνᾶν ὡς 15
τὴν χώραν εἰληχυῖαν, ὁμώνυμον αὐτῇ τὴν πατρίδα προσηγόρευον Ἀθήνας, ἵν' οἱ τιμῶντες τὴν θεὸν τὴν ὁμώνυμον αὐτῇ πόλιν μὴ ἐγκαταλίπωσι· Λεωκράτης δὲ οὔτε νομί-

[l] τὴν Τιμοχάρους] τὴν τοῦ Τιμοχάρους A.

[m] τἀνδράποδα A. vulg. τὰ ἀνδράποδα.

[n] ΜΑΡΤΥΡΙΑ. ΣΥΝΘΗΚΑΙ] Titulos sumpsi ab A. qui μαρτυρίαι.

[o] Τῶν μὲν μαρτύρων A. μαρτύρων B. vulg. τῶν μαρτύρων.

[p] ἐξήρκεσε A. ἐξήρκε B. ἐξῆρκε L.Z. ἐξῆρκει P.

[q] ὑμετέροις νομίμοις A. vulg. ὑμετέροις καὶ νομίμοις.

[r] παρέδοσαν] παρέδωσαν P.Z.

[s] ἱδρύσασθαι] An ἱδρῦσθαι?

[t] νομίμοις A.B.L.Z. vulg. νόμοις.

[u] οἱ μὲν πατέρες] vulg. οἱ πατέρες.

[x] ὑμῶν A. vulg. ἡμῶν.

[y] τὴν Ἀθηνᾶν ὡς τὴν χώραν εἰληχυῖαν ὁμώνυμον αὐτῇ] Hæc nescio an tollenda sint.

μων [z οὔτε] πατρῴων οὔτε ἱερῶν φροντίσας τὸ καθ' ἑαυτὸν ἐξαγώγιμον ὑμῖν καὶ τὴν παρὰ τῶν θεῶν βοήθειαν ἐποίησε. καὶ οὐκ ἐξήρκεσεν αὐτῷ τοσαῦτα καὶ τηλικαῦτα τὴν πόλιν ἀδικῆσαι, ἀλλ' οἰκῶν ἐν Μεγάροις, οἷς παρ' ὑμῶν ἐξεκομίσατο χρήμασιν ἀφορμῇ χρώμενος, ἐκ τῆς ἠπείρου παρὰ Κλεοπάτρας εἰς [a] Λευκάδα ἐσιτήγει καὶ
27 ἐκεῖθεν εἰς Κόρινθον. καίτοι, ὦ ἄνδρες, καὶ περὶ τούτων οἱ ὑμέτεροι νόμοι τὰς ἐσχάτας τιμωρίας ὁρίζουσιν, ἐάν τις Ἀθηναίων ἄλλοσέ [b] ποι σιτηγήσῃ ἢ ὡς ὑμᾶς. ἔπειτα τὸν προδόντα μὲν ἐν τῷ πολέμῳ, σιτηγήσαντα δὲ παρὰ τοὺς νόμους, μὴ φροντίσαντα δὲ μήτε ἱερῶν μήτε πατρίδος μήτε νόμων, [c] ταῦτον ἔχοντες ἐν τῇ ὑμετέρᾳ ψήφῳ οὐκ ἀποκτενεῖτε καὶ παράδειγμα τοῖς ἄλλοις ἀνθρώποις ποιήσετε; πάντων ἄρα ἀνθρώπων [d] ῥᾳθυμότατοι ἔσεσθε καὶ ἥκιστα ἐπὶ τοῖς δεινοῖς ὀργιζόμενοι.

28 Καὶ ταῦτα [e] δὲ ὦ ἄνδρες ἐμοῦ θεωρήσατε, ὡς δικαίαν τὴν ἐξέτασιν ποιουμένου περὶ τούτων. οὐ γὰρ [f] οἶμαι δεῖν ὑμᾶς ὑπὲρ τηλικούτων ἀδικημάτων εἰκάζοντας ἀλλὰ τὴν ἀλήθειαν εἰδότας ψηφίζεσθαι, καὶ τοὺς μάρτυρας μὴ δώσοντας ἔλεγχον μαρτυρεῖν ἀλλὰ δεδωκότας. παρεκαλεσάμην γὰρ αὐτοὺς πρόκλησιν ὑπὲρ τούτων ἁπάντων γράψας καὶ ἀξιῶν βασανίζειν τοὺς [g] τούτου [h] οἰκέτας. καί μοι λέγε ταύτην.

ΠΡΟΚΛΗΣΙΣ.

29 Ἀκούετε, ὦ ἄνδρες, τῆς προκλήσεως. ἅμα τοίνυν ταύτην [i] Λεωκράτης οὐκ ἐδέχετο καὶ κατεμαρτύρει αὐτοῦ ὅτι

[z] Alterum οὔτε merito suspectum est Heinrichio.
[a] Λευκάδα A.B. vulg. Ἑλλάδα.
[b] ποι Z. vulg. πη.
[c] ταῦτον] ταὐτὸν B.L.P.Z.
[d] ῥᾳθυμότατοι] vulg. ῥᾳθυμότεροι.
[e] δὲ ὦ A.B. vulg. δὲ ἐμοῦ ὦ.
[f] οἶμαι] δεῖ με Z.
[g] τούτου] τούτων Z.
[h] Post οἰκέτας in A. versus dimidius vacuus.
[i] Λεωκράτης] ἃ σωκράτης A.B. L.P.Z.

προδότης τῆς πατρίδος ἐστίν· ὁ γὰρ [k] τὸν πάντων [τῶν] συνειδότων ἔλεγχον φυγὼν ὡμολόγηκεν ἀληθῆ εἶναι τὰ 35
εἰσηγγελμένα. τίς γὰρ ὑμῶν οὐκ οἶδεν ὅτι περὶ τῶν ἀμφισβητουμένων πολὺ δοκεῖ δικαιότατον καὶ δημοτικὸν εἶναι, ὅταν οἰκέται ἢ θεράπαιναι συνειδῶσιν ἃ δεῖ, τούτους ἐλέγχειν καὶ βασανίζειν, καὶ τοῖς ἔργοις μᾶλλον ἢ τοῖς λόγοις πιστεύειν, ἄλλως τε καὶ περὶ πραγμάτων κοινῶν
30 καὶ μεγάλων καὶ συμφερόντων τῇ πόλει; ἐγὼ τοίνυν τοσοῦτον ἀφέστηκα τοῦ ἀδίκως [l] τὴν εἰσαγγελίαν κατὰ Λεωκράτους ποιήσασθαι, ὅσον [m] ἐγὼ μὲν ἐβουλόμην [τοὺς 40
ἰδίους κινδύνους] ἐν τοῖς Λεωκράτους οἰκέταις καὶ θεραπαίναις βασανισθεῖσι τὸν ἔλεγχον γενέσθαι, οὗτοσὶ δὲ διὰ τὸ συνειδέναι ἑαυτὸν οὐχ ὑπέμεινεν ἀλλ' ἔφυγε. καίτοι, ὦ ἄνδρες, πολὺ θᾶττον οἱ Λεωκράτους οἰκέται καὶ θεράπαιναι τῶν λεγομένων ἄν τι ἠρνήθησαν ἢ τὰ μὴ ὄντα τοῦ [n] αὐτῶν δεσπότου κατεψεύσαντο.

31 Χωρὶς τοίνυν τούτων Λεωκράτης ἀναβοήσεται αὐτίκα 152
ὡς ἰδιώτης ὢν καὶ ὑπὸ τῆς τοῦ ῥήτορος καὶ συκοφάντου δεινότητος ἀναρπαζόμενος. ἐγὼ δὲ ἡγοῦμαι πάντας ὑμᾶς εἰδέναι ὅτι τῶν μὲν δεινῶν καὶ συκοφαντεῖν ἐπιχειρούντων ἔργον ἐστὶν ἅμα τοῦτο προαιρεῖσθαι καὶ ζητεῖν τὰ χωρία ταῦτα ἐν οἷς τοὺς παραλογισμοὺς κατὰ τῶν ἀγωνιζο-
μένων ποιήσονται, τῶν δὲ [o] δικαίως τὰς κρίσεις ἐνιστα- 5
μένων καὶ τοὺς ἐνόχους ταῖς ἀραῖς ἀκριβῶς ἀποδεικνύντων τἀναντία φαίνεσθαι τούτοις ποιοῦντας, ὥσπερ [p] ἡμεῖς.
32 οὕτωσὶ δὲ διαλογίζεσθε περὶ τούτων παρ' ὑμῖν αὐτοῖς.

[k] τὸν πάντων [τῶν] συνειδότων] τὸν πάντων συνειδότων A.B. τῶν πάντων συνειδότων L.P.Z. vulg. τῶν πάντων.

[l] τὴν εἰσαγγελίαν] om. Z.

[m] ἐγὼ μὲν ἐβουλόμην A.B. vulg. ἐγὼ ἐβουλόμην.

[n] αὐτῶν A.B. vulg. ἑαυτῶν.

[o] δικαίως] δικαίων L.P.Z. cum pr. A.

[p] ἡμεῖς] ὑμεῖς A.B.L.P.Z.

τίνας ἀδύνατον ἦν τῇ δεινότητι καὶ ταῖς παρασκευαῖς ταῖς τοῦ λόγου παραγαγεῖν; [q τοὺς οἰκέτας]. κατὰ φύσιν τοίνυν βασανιζόμενοι πᾶσαν τὴν ἀλήθειαν περὶ πάντων τῶν ἀδικημάτων ἔμελλον φράσειν οἱ οἰκέται καὶ αἱ θεράπαιναι. ἀλλὰ τούτους ὁ Λεωκράτης παραδοῦναι ἔφυγε, καὶ ταῦτα οὐκ ἀλλοτρίους ἀλλ' αὐτοῦ ὄντας.

33 τίνας δὲ δυνατὸν εἶναι δοκεῖ τοῖς λόγοις ψυχαγωγῆσαι καὶ τὴν ὑγρότητα αὐτῶν τοῦ ἤθους τοῖς δακρύοις εἰς ἔλεον προαγαγέσθαι; τοὺς δικαστάς. ἐνταῦθα Λεωκράτης ὁ προδότης τῆς πατρίδος ἐλήλυθεν, οὐδὲν ἕτερον ἢ φοβούμενος μὴ ἐκ τῆς αὐτῆς οἰκίας οἵ τ' ἐξελέγχοντες τῷ ἔργῳ καὶ ὁ r ἐξελεγχόμενος γένηται. τί γὰρ ἔδει προφάσεων ἢ λόγων ἢ σκήψεως; ἁπλοῦν τὸ δίκαιον, ῥᾴδιον τὸ ἀλη-

34 θές, βραχὺς ὁ ἔλεγχος. εἰ μὲν ὁμολογεῖ τὰ ἐν τῇ εἰσαγγελίᾳ ἀληθῆ καὶ ὅσια εἶναι, τί οὐ τῆς ἐκ τῶν νόμων τιμωρίας τυγχάνει; εἰ δὲ μή φησι ταῦτα ἀληθῆ εἶναι, τί οὐ παραδέδωκε τοὺς οἰκέτας καὶ τὰς θεραπαίνας; προσήκει γὰρ τὸν ὑπὲρ προδοσίας κινδυνεύοντα καὶ παραδιδόναι καὶ βασανίζειν καὶ μηδένα τῶν ἀκριβεστάτων

35 ἐλέγχων φεύγειν. ἀλλ' οὐδὲν τούτων ἔπραξεν, ἀλλὰ καταμεμαρτυρηκὼς ἑαυτοῦ s ὅτι προδότης ἐστὶ τῆς πατρίδος καὶ τῶν ἱερῶν καὶ τῶν νόμων, ἀξιώσει ὑμᾶς ἐναντία ταῖς αὐτοῦ ὁμολογίαις καὶ μαρτυρίαις ψηφίσασθαι. καὶ πῶς δίκαιόν ἐστι τὸν τὴν ἐξουσίαν τῆς ἀπολογίας αὐτοῦ ἐξ ἄλλων τε πολλῶν καὶ ἐκ τοῦ μὴ δέξασθαι τὰ δίκαια περιῃρημένον, τοῦτον ἐᾶσαι ὑμᾶς αὐτοὺς ὑπὲρ τῶν ὁμολογουμένων ἀδικημάτων ἐξαπατῆσαι;

36 Περὶ μὲν οὖν τῆς προκλήσεως καὶ τοῦ ἀδικήματος,

q [τοὺς οἰκέτας] om. A.B.L.P. Z.

r ἐξελεγχόμενος γένηται] ἐλεγχόμενος γένηται P.

s ὅτι] ὅτι L.P.Z.

ὅτι ὁμολογούμενόν ἐστιν, ἱκανῶς ὑμᾶς ἡγοῦμαι ὦ ἄνδρες μεμαθηκέναι· ἐν οἷς δὲ καιροῖς καὶ ἡλίκοις κινδύνοις τὴν πόλιν οὖσαν Λεωκράτης προδέδωκεν, ἀναμνῆσαι ὑμᾶς βούλομαι. Καί μοι λάβε τὸ ψήφισμα, γραμματεῦ, τὸ [t]Ὑπερίδου, καὶ ἀναγίνωσκε.

ΨΗΦΙΣΜΑ.

37 Ἀκούετε τοῦ ψηφίσματος, ὦ ἄνδρες, ὅτι τὴν βουλὴν τοὺς πεντακοσίους καταβαίνειν [u]εἰς Πειραιᾶ χρηματιοῦσαν περὶ φυλακῆς τοῦ Πειραιέως ἐν τοῖς ὅπλοις ἔδοξε, καὶ πράττειν διεσκευασμένην ὅ τι ἂν δοκῇ τῷ δήμῳ συμφέρον εἶναι. καίτοι, ὦ ἄνδρες, εἰ οἱ [x]ἀφιέμενοι τοῦ στρατεύεσθαι ἕνεκα τοῦ βουλεύεσθαι [y]ὑπὲρ τῆς πόλεως ἐν τῇ τῶν στρατιωτῶν τάξει διέτριβον, ἆρ' ὑμῖν δοκοῦσι μικροὶ 38 καὶ οἱ τυχόντες φόβοι τότε τὴν πόλιν κατασχεῖν; ἐν οἷς Λεωκράτης οὐτοσὶ καὶ αὐτὸς ἐκ τῆς πόλεως ἀποδρὰς ᾤχετο καὶ τὰ χρήματα [z]τὰ ὑπάρχοντα ἐξεκόμισε καὶ ἱερὰ τὰ πατρῷα μετεπέμψατο, καὶ εἰς τοσοῦτον προδοσίας ἦλθεν ὥστε κατὰ τὴν αὐτοῦ προαίρεσιν ἔρημοι μὲν ἦσαν οἱ ναοὶ [τῶν ἱερέων], ἔρημοι [a]δὲ αἱ φυλακαὶ τῶν 39 τειχῶν, ἐξελέλειπτο δὲ ἡ πόλις καὶ ἡ χώρα. καίτοι κατ' ἐκείνους τοὺς χρόνους, ὦ ἄνδρες, τίς οὐκ ἂν τὴν πόλιν ἠλέησεν, οὐ μόνον πολίτης ἀλλὰ καὶ ξένος ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐπιδεδημηκώς; τίς δ' ἦν οὕτως ἢ μισόδημος τότε ἢ μισαθήναιος, ὅστις ἐδυνήθη ἂν ἄτακτον [b]ἑαυτὸν ὑπομεῖναι ἰδεῖν, ἡνίκα ἡ μὲν ἧττα καὶ τὸ γεγονὸς πάθος τῷ [c]δήμῳ προσηγγέλλετο, ὀρθὴ δὲ ἦν ἡ πόλις [d]ἐν τοῖς

[t] Ὑπερίδου] vulg. Ὑπερείδου.
[u] εἰς] ἐν Z.
[x] ἀφιέμενοι] ἀφέμενοι Z.
[y] ὑπὲρ τῆς A.B. vulg. ὑπὲρ τῶν τῆς.
[z] τὰ ὑπάρχοντα A.Z. vulg. om. articulum.
[a] δὲ αἱ] vulg. δὲ καὶ αἱ.
[b] ἑαυτὸν] τὸν αὐτὸν A.B.L.P.Z.
[c] [δήμῳ] om. A.B.L.P.Z.
[d] ἐν] Immo ἐπί.

συμβεβηκόσιν, αἱ δ' ἐλπίδες τῆς σωτηρίας τῷ δήμῳ ἐν τοῖς
40 ὑπὲρ πεντήκοντα ἔτη γεγονόσι καθειστήκεσαν, ὁρᾶν δ' ἦν
ἐπὶ μὲν τῶν θυρῶν γυναῖκας [e]ἐλευθέρας περιφόβους κατ- 153
επτηχυίας καὶ πυθανομένας εἰ ζῶσι, τὰς μὲν ὑπὲρ ἀν-
δρός, τὰς δ' ὑπὲρ πατρός, τὰς δ' ὑπὲρ ἀδελφῶν, ἀναξίως
αὐτῶν καὶ τῆς πόλεως ὀρωμένας· τῶν δὲ ἀνδρῶν τοὺς τοῖς
σώμασιν ἀπειρηκότας καὶ [f]τὰς ἡλικίας πρεσβυτέρους καὶ
ὑπὸ [g]τῶν νόμων τοῦ στρατεύεσθαι [h]ἀφιεμένους ἰδεῖν ἦν
καθ' [i]ὅλην τὴν πόλιν ἐπὶ γήρως ὀδῷ περιφθειρομένους, δι- 5
41 πλᾶ τὰ ἱμάτια [k]ἐμπεπορπημένους. πολλῶν δὲ καὶ δει-
νῶν κατὰ τὴν πόλιν γινομένων, καὶ πάντων τῶν πολιτῶν
τὰ μέγιστα ἠτυχηκότων, [l]μάλιστ' ἄν τις ἤλγησε καὶ
ἐδάκρυσεν ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς, ηνιχ' ὁρᾶν ἦν
τὸν δῆμον ψηφισάμενον τοὺς μὲν δούλους ἐλευθέρους, τοὺς
δὲ ξένους Ἀθηναίους, τοὺς δ' ἀτίμους ἐντίμους· ὃς πρῶτον
42 ἐπὶ τῷ αὐτόχθων εἶναι καὶ ἐλεύθερος ἐσεμνύνετο. τοσαύτη 10
δὲ ἡ πόλις ἐκέχρητο μεταβολῇ, ὥστε [m]πρότερον μὲν ὑπὲρ
τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας ἀγωνιζεσθαι, ἐν δὲ
τοῖς τότε χρόνοις ἀγαπᾷν ἐὰν ὑπὲρ τῆς [n]αὐτῶν σωτηρίας
ἀσφαλῶς δύνηται [o]κινδυνεῦσαι, καὶ πρότερον μὲν πολλῆς
χώρας τῶν βαρβάρων ἐπάρχειν, τότε δὲ πρὸς Μακεδόνας
ὑπὲρ τῆς ἰδίας κινδυνεύειν· καὶ τὸν δῆμον ὃν πρότερον Λα-
κεδαιμόνιοι καὶ Πελοποννήσιοι [p]καὶ οἱ τὴν Ἀσίαν κατοι- 15

[e] ἐλευθέρας B. vulg. ἐλευθέρους.

[f] τὰς ἡλικίας] ταῖς ἡλικίαις Suidas v. Πεπορπημένος.

[g] τῶν νόμων] τὸν νόμον B.P.Z. et correctus L.

[h] ἀφιεμένους] Libri ἀφεμένους, Suidas ἀφειμένους.

[i] ὅλην τὴν πόλιν] Articulum dedit Suidas. Idem mox ὀδῷ περιφθειρομένους pro librorum omnium οὐδῷ διαφθειρομένους: cf. Valckenar. ad Herodot. 3, 14.

[k] ἐμπεπορπημένους] ἐμπεπορτημένους Z.

[l] μάλιστ'] μάλιστα δ' Z.

[m] πρότερον A.B. vulg. πρῶτον.

[n] αὐτῶν] τῶν αὐτῶν Z.

[o] κινδυνεῦσαι] διακινδυνεῦσαι Z.

[p] καὶ οἱ τὴν Ἀσίαν κατοικοῦντες] καὶ τὴν Ἀσίαν κατηγοροῦντες Z.

κοῦντες Ἕλληνες βοηθὸν ἐπεκαλοῦντο, οὗτος ἐδεῖτο τῶν ἐξ Ἄνδρου καὶ Κέω καὶ Τροιζῆνος καὶ Ἐπιδαύρου ἐπικουρίαν
43 αὐτῷ μεταπέμψασθαι. ὥστε, ὦ ἄνδρες, τὸν ἐν τοῖς τοιούτοις φόβοις καὶ τηλικούτοις κινδύνοις καὶ τοσαύτῃ αἰσχύνῃ [q]ἐγκαταλιπόντα τὴν πόλιν, καὶ μήτε ὅπλα θέμενον ὑπὲρ τῆς πατρίδος μήτε τὸ σῶμα παρασχόντα τάξαι τοῖς στρατηγοῖς, ἀλλα φυγόντα καὶ [r]προδόντα τὴν τοῦ δήμου σωτηρίαν, τίς ἂν ἡ δικαστὴς φιλόπολις καὶ εὐσεβεῖν βουλόμενος ψήφῳ ἀπολύσειεν, ἢ ῥήτωρ κληθεὶς τῷ προδότῃ τῆς πόλεως βοηθήσειε, τὸν οὐδὲ συμπενθῆσαι τὰς τῆς πατρίδος συμφορὰς τολμήσαντα, οὐδὲ συμβεβλημένον οὐδὲν εἰς τὴν τῆς πόλεως καὶ τοῦ δήμου σωτη-
44 ρίαν; καίτοι κατ' ἐκείνους τοὺς χρόνους οὐκ ἔστιν ἥτις ἡλικία οὐ παρέσχετο [s]ἑαυτὴν εἰς τὴν τῆς πόλεως σωτηρίαν, ὅτε ἡ μὲν χώρα τὰ δένδρα [t]συνεβάλλετο, οἱ δὲ τετελευτηκότες τὰς θήκας, οἱ δὲ [u]νεῳ τὰ ὅπλα. ἐπεμελοῦντο γὰρ οἱ μὲν τῆς τῶν τειχῶν κατασκευῆς, οἱ δὲ τῆς τῶν [x]τάφρων, οἱ δὲ τῆς χαρακώσεως· οὐδεὶς δ' ἦν ἀργὸς τῶν ἐν τῇ πόλει. ἐφ' ὧν οὐδενὸς τὸ σῶμα τὸ ἑαυτοῦ [y]παρέσχετο
45 τάξαι Λεωκράτης. ὧν [z]εἰκὸς ὑμᾶς ἀναμνησθέντας τὸν μηδὲ [a]ξυνενεγκεῖν μηδ' ἐπ' ἐκφορὰν ἐλθεῖν ἀξιώσαντα τῶν ὑπὲρ τῆς ἐλευθερίας καὶ τοῦ δήμου σωτηρίας ἐν Χαιρωνείᾳ τελευτησάντων [b]θανάτῳ ζημιῶσαι, [c]ὡς τὸ ἐπὶ τούτῳ μέρος ἀτάφων ἐκείνων τῶν ἀνδρῶν γεγενημένων·

[q] ἐγκαταλιπόντα] ἐγκαταλείποντα A.B.L.P.Z.

[r] προδόντα] vulg. παραδόντα.

[s] ἑαυτὴν A.B. vulg. αὐτήν.

[t] συνεβάλλετο A.Z. vulg. συνεβάλετο.

[u] νεῳ post Melanchthon. Piersonus Moer. p. 265. libri νέοι.

[x] τάφρων] vulg. τάφων.

[y] παρέσχετο] Malim παρέσχε. Conf. v. 19. et p. 155, 14. 157, 28. 169, 3.

[z] εἰκὸς] vulg. εἰκότως.

[a] ξυνενεγκεῖν] ξυνεγκεῖν A.B. συνενεγκεῖν Z.

[b] θανάτῳ ζημιῶσαι] θανάτῳ χρὴ ζημιῶσαι A.

[c] ὡς τὸ] ὥστε Z.

ὧν οὗτος οὐδὲ τὰς θήκας παριὼν ᾐσχύνθη ὀγδόῳ ἔτει τὴν πατρίδα αὐτῶν προσαγορεύων.

46 Περὶ ὧν, [d]ὦ ἄνδρες, μικρῷ πλείω βούλομαι διελθεῖν, καὶ ὑμῶν ἀκοῦσαι δέομαι καὶ μὴ νομίζειν ἀλλοτρίους εἶναι τοὺς τοιούτους τῶν δημοσίων ἀγῶνας· αἱ γὰρ τῶν 35
ἀγαθῶν [e]ἀνδρῶν εὐλογίαι τὸν ἔλεγχον σαφῆ κατὰ τῶν τἀναντία ἐπιτηδευόντων ποιοῦσιν. ἔτι δὲ καὶ δίκαιον τὸν [f]ἔπαινον, ὃς μόνος ἆθλον τῶν κινδύνων τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστί, τοῦτον, ἐπειδὴ κἀκεῖνοι εἰς τὴν κοινὴν σωτηρίαν τῆς πόλεως [g]τὰς ψυχὰς αὐτῶν ἀνάλωσαν, ἐν τοῖς δημοσίοις καὶ κοινοῖς ἀγῶσι τῆς πόλεως μὴ παραλιπεῖν.

47 ἐκεῖνοι γὰρ τοῖς πολεμίοις ἀπήντησαν ἐπὶ τοῖς ὁρίοις [h]τῆς Βοιωτίας ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας μαχούμενοι, οὐκ ἐπὶ τοῖς τείχεσι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχοντες, 40
οὐδὲ τὴν χώραν κακῶς ποιεῖν προέμενοι τοῖς ἐχθροῖς, ἀλλὰ τὴν μὲν αὐτῶν ἀνδρείαν ἀσφαλεστέραν φυλακὴν εἶναι νομίζοντες τῶν λιθίνων περιβόλων, τὴν δὲ [i]θρέψασαν αὐτοὺς αἰσχυνόμενοι περιορᾶν πορθουμένην, εἰκότως· ὥσπερ γὰρ πρὸς τοὺς φύσει γεννήσαντας καὶ τοὺς ποιητοὺς τῶν πατέρων οὐχ ὁμοίως ἔχουσιν ἅπαντες ταῖς εὐνοίαις, οὕτω καὶ πρὸς τὰς χώρας τὰς μὴ φύσει προσηκούσας ἀλλ' 154
ὕστερον ἐπικτήτους γενομένας καταδεέστερον διάκεινται.

48 τοιαύταις δὲ γνώμαις χρησάμενοι, καὶ τοῖς [k]ἀρίστοις ἀνδράσιν ἐξ ἴσου τῶν κινδύνων μετασχόντες, οὐχ ὁμοίως τῆς τύχης ἐκοινώνησαν· τῆς γὰρ ἀρετῆς οὐ ζῶντες ἀπολαυούσιν, ἀλλὰ τελευτήσαντες τὴν δόξαν ἐγκαταλελοίπασιν,

[d] ὦ] Addidi e Z.
[e] ἀνδρῶν] vulg. om.
[f] ἔπαινον] ἔλεγχον L.P.Z.
[g] τὰς ψυχὰς—τῆς πόλεως] vulg. ἐτελεύτησαν.
[h] τῆς Βοιωτίας] τοῖς βωτίας Z.
[i] θρέψασαν] θράψασαν A. θάψασαν L.
[k] ἀρίστοις] ἄριστα B.L.P.Z.

οὐχ ἡττηθέντες, ἀλλ' ἀποθανόντες [l]ἔνθα παρετάχθησαν 5
49 ὑπὲρ τῆς ἐλευθερίας ἀμύνοντες. εἰ δὲ δεῖ καὶ παραδοξότατον μὲν εἰπεῖν ἀληθὲς δέ, ἐκεῖνοι νικῶντες ἀπέθανον. τὰ γὰρ ἆθλα τοῦ πολέμου τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστὶν ἐλευθερία καὶ ἀρετή· ταῦτα [m]γὰρ ἀμφότερα τοῖς τελευτήσασιν ὑπάρχει. ἔπειτα δὲ [n]οὐδ' [o]οἷόν τ' ἐστὶν εἰπεῖν ἥττης αἰτίους τοὺς ταῖς διανοίαις μὴ [p]πτήξαντας [q]τὸν τῶν ἐπιόντων φόβον. μόνους γὰρ τοὺς ἐν τοῖς πολέμοις [r]καλῶς 10
ἀποθνήσκοντας οὐδ' ἂν εἷς [s]ἡττῆσθαι δικαίως φήσειε· τὴν
50 γὰρ δουλείαν φεύγοντες εὐκλεᾶ θάνατον αἱροῦνται. ἐδήλωσε δὲ ἡ τούτων τῶν ἀνδρῶν ἀρετή· μόνοι γὰρ τῶν ἁπάντων τὴν τῆς Ἑλλάδος ἐλευθερίαν ἐν τοῖς ἑαυτῶν σώμασιν εἶχον. ἅμα γὰρ οὗτοί τε τὸν βίον μετήλλαξαν καὶ τὰ τῆς Ἑλλάδος εἰς δουλείαν μετέπεσεν· συνετάφη γὰρ τοῖς τούτων σώμασιν ἡ τῶν ἄλλων Ἑλλήνων ἐλευθε- 15
ρία. ὅθεν καὶ φανερὸν πᾶσιν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες ἀλλ' ὑπὲρ κοινῆς ἐλευθερίας προκινδυνεύοντες. ὥστε,
ὦ ἄνδρες, οὐκ [t]ἂν] αἰσχυνθείην εἰπὼν στέφανον τῆς πα-
51 τρίδος εἶναι τὰς ἐκείνων ψυχάς. Καὶ δι' ἃ οὐκ ἀλόγως ἐπετήδευον, ἐπίστασθε ὦ Ἀθηναῖοι μόνοι τῶν Ἑλλήνων τοὺς ἀγαθοὺς ἄνδρας τιμᾶν, εὑρήσετε δὲ παρὰ μὲν τοῖς ἄλλοις ἐν ταῖς ἀγοραῖς ἀθλητὰς ἀνακειμένους, παρ' ὑμῖν δὲ στρατηγοὺς ἀγαθοὺς καὶ [u]τοὺς τὸν τύραννον ἀποκτεί- 20
ναντας. καὶ τοιούτους μὲν ἄνδρας οὐδ' ἐξ ἁπάσης τῆς Ἑλλάδος ὀλίγους εὑρεῖν ῥᾴδιον, τοὺς δὲ τοὺς στεφανίτας

[l] ἔνθα παρετάχθησαν] ἔνθαπερ ἐτάχθησαν Marklandus ad Lys. p. 93. Reisk.
[m] γὰρ] Immo δέ.
[n] οὐδ'] οὐχ Z.
[o] οἷόν τ'] Fortasse leg. ὅσιον.
[p] πτήξαντας] κοτήξαντας Z.
[q] τὸν τῶν] τούτων P.
[r] καλῶς] om. Z.
[s] ἡττῆσθαι A.B. vulg. ἡττηθῆναι.
[t] [ἂν] Addidi de meo.
[u] τοὺς] om. L.P.Z.

ἀγῶνας νενικηκότας εὐπετῶς πολλαχόθεν ἔστι γεγονότας ἰδεῖν. ὥσπερ τοίνυν τοῖς εὐεργέταις μεγίστας τιμὰς ἀπονέμετε, οὕτω δίκαιον καὶ τοὺς τὴν πατρίδα καταισχύνοντας καὶ προδιδόντας ταῖς ἐσχάταις τιμωριαις κολάζειν.

52 Σκέψασθε δέ, ὦ ἄνδρες, ὅτι [x] οὐδὲν ὑμῖν ἐστὶν ἀποψηφίσασθαι Λεωκράτους τουτουὶ τὰ δίκαια ποιοῦσι. τὸ γὰρ ἀδίκημα τοῦτο κεκριμένον ἐστὶ καὶ κατεγνωσμένον. ἡ μὲν γὰρ ἐπ' Ἀρείῳ πάγῳ βουλὴ (καὶ μηδείς μοι θορυβήσῃ· ταύτην γὰρ ὑπολαμβάνω μεγιστην τοτε γενέσθαι τῇ πόλει σωτηρίαν) τοὺς [y] φυγόντας τὴν πατρίδα καὶ [z] ἐγκαταλιπόντας τότε [a] ὡς πολεμίους λαβοῦσα ἀπέκτεινε. καίτοι, ὦ ἄνδρες, μὴ [b] νομίζετε τοὺς τὰ τῶν ἄλλων φονικὰ ἀδικήματα ὁσιώτατα δικάζοντας αὐτοὺς ἂν εἷς [c] τινα

53 τῶν πολιτῶν τοιοῦτόν τι παρανομῆσαι. ἀλλὰ μὴν Αὐτολύκου μὲν ὑμεῖς κατεψηφίσασθε, μείναντος μὲν αὐτοῦ ἐν τοῖς κινδύνοις, ἔχοντος δ' αἰτίαν τοὺς [d] υἱεῖς καὶ τὴν γυναῖκα ὑπεκθέσθαι, καὶ ἐτιμωρησασθε. καίτοι εἰ τὸν τοὺς ἀχρήστους εἰς τὸν πόλεμον ὑπεκθέσθαι αἰτίαν ἔχοντα ἐτιμωρήσασθε, τί δεῖ πάσχειν ὅστις ἀνὴρ ὢν οὐκ ἀπέδωκε τὰ τροφεῖα τῇ πατρίδι; ἔτι δὲ ὁ δῆμος, δεινὸν ἡγησάμενος

54 εἶναι τὸ γινόμενον, ἐψηφίσατο ἐνόχους εἶναι τῇ προδοσίᾳ τοὺς φεύγοντας τὸν ὑπὲρ τῆς πατριδος κινδυνον, ἀξίους εἶναι νομιζων τῆς ἐσχάτης τιμωριας. ἃ δὴ κατέγνωσται [e] μὲν παρὰ τῷ δικαιοτάτῳ συνεδρίῳ, κατεψήφισται δὲ ὑφ' ὑμῶν τῶν δικάζειν λαχόντων, ὁμολογεῖται δὲ παρὰ

[x] οὐδὲν] οὐδ' ἐν Taylorus. Ego malim οὐδ' ἐφ'.

[y] φυγόντας Heinrichius: libri φεύγοντας.

[z] ἐγκαταλιπόντας A.B. vulg. καταλιπόντας.

[a] ὡς] τοὺς A.B.L.P.Z. ut reponendum sit, quod infra est (p. 159, 7. et 160, 6. et 166, 37.) τοῖς πολεμίοις.

[b] νομίζετε] νομίζητε Z.

[c] τινα A.B. vulg. τινας.

[d] υἱεῖς A.B. vulg. υἱούς.

[e] μὲν] μὴ Z.

τῷ δήμῳ τῆς μεγίστης ἄξια εἶναι τιμωρίας, τούτοις ὑμεῖς ἐναντία ψηφιεῖσθε; πάντων [f]ἆρ' ἀνθρώπων ἥσεσθε ἀγνωμονέστατοι, καὶ ἐλαχίστους ἕξετε τοὺς ὑπὲρ ὑμῶν αὐτῶν [g]κινδυνεύοντας.

55 Ὡς μὲν οὖν ἔνοχός ἐστι τοῖς εἰσηγγελμένοις ἅπασιν, ὦ ἄνδρες, Λεωκράτης, φανερόν ἐστι· πυνθάνομαι δὲ αὐτὸν ἐπιχειρήσειν ὑμᾶς ἐξαπατᾶν λέγοντα ὡς ἔμπορος ἐξέπλευσε καὶ κατὰ ταύτην τὴν ἐργασίαν ἀπεδήμησεν εἰς Ῥόδον. ἐὰν οὖν ταῦτα λέγῃ, ἐνθυμεῖσθε ᾧ ῥᾳδίως λήψεσθε αὐτὸν ψευδόμενον. πρῶτον μὲν γὰρ οὐκ ἐκ τῆς ἀκτῆς κατὰ τὴν πυλίδα [h]ἐμβαίνουσιν [i]οἱ κατ' ἐμπορίαν πλέοντες, ἀλλ' [k]ἐκ τοῦ λιμένος, ὑπὸ πάντων τῶν φίλων ὁρώμενοι καὶ ἀποστελλόμενοι· ἔπειτα οὐ μετὰ τῆς ἑταίρας καὶ τῶν θεραπαινῶν, ἀλλὰ [l]μόνος μετὰ [m]παιδὸς τοῦ διακο-
56 νοῦντος. πρὸς δὲ [n]τούτοις τί προσῆκεν ἐν Μεγάροις τὸν Ἀθηναῖον [o]ὡς ἔμπορον πέντε ἔτη [p]κατοικεῖν καὶ τὰ ἱερὰ τὰ πάτρια μετακομίζεσθαι καὶ τὴν οἰκίαν τὴν ἐνθάδε πωλεῖν, εἰ μὴ κατεγνώκει τε αὐτοῦ προδεδωκέναι τὴν πατρίδα καὶ μεγάλα πάντας ἠδικηκέναι; ὃ καὶ πάντων γένοιτ' ἂν ἀτοπώτατον, εἰ περὶ ὧν αὐτὸς προσεδόκα τεύξεσθαι τιμωρίας, ταῦθ' ὑμεῖς ἀπολύσετε κύριοι γενόμενοι
57 τῆς ψήφου. χωρὶς δὲ τούτων οὐχ ἡγοῦμαι δεῖν ἀποδέχεσθαι ταύτην τὴν ἀπολογίαν. πῶς γὰρ οὐ δεινὸν τοὺς [q]μὲν ἐπὶ [r]ἐμπορίαν ἀποδημοῦντας σπεύδειν ἐπὶ τὴν τῆς πόλεως βοήθειαν, τοῦτον δὲ μόνον ἐν τοῖς τότε καιροῖς [καὶ] κατ'

[f] ἆρα Heinrichius: libri γάρ. Conf. p. 151, 26.
[g] κινδυνεύοντας] Nescio an præstet κινδυνεύσοντας.
[h] ἐμβαίνουσιν] ἐκβαίνουσιν P.
[i] οἱ κατ' ἐμπορίαν] om. pr. A.
[k] ἐκ] εἰσὶ A.B.L.P.Z.
[l] μόνος] vulg. μόνοι.
[m] παιδὸς] τοῦ παιδὸς Z.
[n] τούτοις] Addidi ex A.B.
[o] ὡς] Deleverim.
[p] κατοικεῖν] Quidni μετοικεῖν?
[q] μὲν] vulg. om.
[r] ἐμπορίαν] ἐμπορείαν A.B.

ἐργασίαν ἐκπλεῖν, ἡνίκα οὐδ' ἂν εἷς [s]προσκτήσασθαι οὐδὲν ἂν ἐζήτησεν, ἀλλὰ τὰ ὑπάρχοντα μόνον διαφυλάξαι; ἡδέως δ' ἂν αὐτοῦ πυθοίμην, τίνα [t]ἐμπορίαν εἰσάγων χρησιμώτερος ἐγένετο ἂν τῇ πόλει τοῦ παρασχεῖν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς καὶ τοὺς ἐπιόντας [u]ἀμύνασθαι μεθ' [x]ὑμῶν μαχόμενος. ἐγὼ μὲν οὐδεμίαν ὁρῶ τηλικαύτην οὖ-
58 σαν βοήθειαν. [v]Ἄξιον δέ ἐστιν οὐ μόνον αὐτῷ διὰ τὴν πρᾶξιν ὀργίζεσθαι ταύτην, ἀλλὰ [y]καὶ διὰ τὸν λόγον τοῦτον· φανερῶς γὰρ ψεύδεσθαι τετόλμηκεν. οὔτε γὰρ πρότερον οὐδεπώποτε ἐγένετο ἐπὶ ταύτης τῆς ἐργασίας, ἀλλ' ἐκέκτητο χαλκοτύπους· οὔτε τότε ἐκπλεύσας οὐδεν εἰσήγαγεν ἐκ Μεγάρων, ἐξ ἧς συνεχῶς ἀποδημήσας. ἔτι δὲ καὶ πεντηκοστῆς μετέχων ἐτύγχανεν, ἣν οὐκ ἂν καταλι-
πὼν κατ' ἐμπορίαν [z]ἀπεδήμει. ὥστ' ἂν μέν τι περὶ τούτων λέγῃ, οὐδ' ὑμᾶς ἐπιτρέψειν αὐτῷ νομίζω.

59 [w]Ἥξει δ' ἴσως ἐπ' ἐκεῖνον τὸν λόγον φερόμενος, ὃν αὐτῷ [a]συμβεβουλεύκασί τινες τῶν συνηγόρων, ὡς οὐκ ἔνοχός ἐστι τῇ προδοσίᾳ· οὔτε γὰρ νεωρίων κύριος οὔτε πυλῶν οὔτε στρατοπέδων οὔθ' ὅλως τῶν τῆς πόλεως οὐδενός. ἐγὼ δ' ἡγοῦμαι τοὺς μὲν τούτων κυρίους μέρος ἄν τι [b]προδοῦναι τῆς ὑμετέρας δυνάμεως, τουτονὶ δ' ὅλην ἔκδοτον ποιῆσαι
60 τὴν πόλιν. ἔτι δ' οἱ μὲν τοὺς ζῶντας μόνον ἀδικοῦσι προδιδόντες, οὗτος δὲ καὶ τοὺς τετελευτηκότας καὶ τὰ ἐν τῇ χώρᾳ ἱερὰ τῶν πατρώων νομίμων ἀποστερῶν. καὶ ὑπὸ μὲν [c]ἐκείνων προδοθεῖσαν οἰκεῖσθαι ἂν συνέβαινε [d]δούλην

[s] προσκτήσασθαι] πρακτήσασθαι B.L.P.Z.
[t] ἐμπορίαν] ἐμπορείαν A.B.L.
[u] ἀμύνασθαι] ἀμύνεσθαι Z.
[x] ὑμῶν] vulg. ἡμῶν.
[y] καὶ] om. Z.
[z] ἀπεδήμει] ἐπεδήμει A.B.L.P.Z.
[a] συμβεβουλεύκασι A.B. συμβεβήκασί L.P. vulg. συμβεβήκασι.
[b] προδοῦναι] προσδοῦναι Z.
[c] ἐκείνων] ἐκεῖνον B.L.P.Z.
[d] δούλην οὖσαν τὴν πόλιν, ὃν δὲ τρόπον Reiskius: libri δούλην δὲ οὖσαν τὴν πόλιν ὃν τρόπον.

οὖσαν τὴν πόλιν, ὃν δὲ τρόπον οὗτος ἐξέλιπεν, [c]ἀοίκητον
ἂν γενέσθαι. ἔτι δὲ ἐκ μὲν τοῦ κακῶς πράττειν τὰς πό- 30
λεις μεταβολῆς τυχεῖν ἐπὶ τὸ βέλτιον εἰκός ἐστιν, ἐκ δὲ
τοῦ παντάπασι γενέσθαι ἀνάστατον καὶ τῶν κοινῶν ἐλπί-
61 δων στερηθῆναι. ὥσπερ γὰρ ἀνθρώπῳ ζῶντι μὲν ἐλπὶς ἐκ
τοῦ κακῶς πρᾶξαι μεταπεσεῖν, τελευτήσαντι δὲ συναναι-
ρεῖται πάντα δι' ὧν ἄν τις εὐδαιμονήσειεν, οὕτω καὶ περὶ
τὰς πόλεις συμβαίνει πέρας ἔχειν τὴν [f]ἀτυχίαν ὅταν
ἀνάστατοι γένωνται. εἰ γὰρ δεῖ τὴν ἀλήθειαν εἰπεῖν, πό- 35
62 λεώς ἐστι θάνατος ἀνάστατον γενέσθαι. τεκμήριον δὲ μέ-
γιστον· ἡμῶν γὰρ ἡ πόλις τὸ μὲν παλαιὸν ὑπὸ τῶν τυ-
ράννων κατεδουλώθη, τὸ δ' ὕστερον ὑπὸ τῶν τριάκοντα καὶ
ὑπὸ Λακεδαιμονίων τὰ τείχη καθηρέθη· καὶ ἐκ τούτων
ὅμως ἀμφοτέρων ἠλευθερώθημεν καὶ τῆς τῶν Ἑλλήνων [g]εὐ-
63 δαιμονίας ἠξιώθημεν προστάται γενέσθαι. ἀλλ' οὐχ ὅσαι
πώποτ' ἀνάστατοι γεγόνασι. τοῦτο μὲν γάρ, εἰ καὶ πα- 40
λαιότερον εἰπεῖν ἐστί, τὴν Τροίαν τίς οὐκ ἀκήκοεν, ὅτι με-
γίστη γεγενημένη τῶν τότε πόλεων καὶ πάσης ἐπάρξασα
τῆς Ἀσίας, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη, τὸν
αἰῶνα ἀοίκητός ἐστι; τοῦτο δὲ [h]Μεσσήνην πεντακοσίοις
ἔτεσιν ὕστερον ἐκ τῶν τυχόντων ἀνθρώπων συνοικισθεῖσαν;
64 Ἴσως οὖν τῶν συνηγόρων [i]αὐτῷ τολμήσει τις εἰπεῖν,
μικρὸν τὸ [k]πρᾶγμα ποιῶν, ὡς οὐδὲν ἂν παρ' ἕνα ἄνθρω-
πον ἐγένετο τούτων· καὶ οὐκ αἰσχύνονται τοιαύτην ἀπο- 156
λογίαν ποιούμενοι πρὸς ὑμᾶς, ἐφ' ᾗ δικαίως ἂν ἀποθά-
νοιεν. εἰ μὲν γὰρ ὁμολογοῦσι τὴν πατρίδα αὐτὸν ἐκλι-
πεῖν, τοῦτο συγχωρήσαντες ὑμᾶς ἐάτωσαν διαγνῶναι περὶ

[c] ἀοίκητον] ἀνίκητον Z.
[f] ἀτυχίαν] εὐτυχίαν Taylorus.
[g] εὐδαιμονίας A.B.L.Z. et rec. P. qui pr. ἐλευθερίας: vulg. ἡγεμονίας.
[h] Μεσσήνην] Libri μεσήνην.
[i] αὐτῷ] αὐτοῦ Z.
[k] πρᾶγμα] πρόσταγμα Z.

τοῦ μεγέθους· εἰ δ' ὅλως μηδὲν τούτων πεποίηκεν, [l]οὐ μανία δή που τοῦτο λέγειν ὡς οὐδὲν ἂν [m]γένηται παρὰ
65 [n]τοῦτον; ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τοὐναντίον τούτοις, παρὰ [o]τοῦτον εἶναι τῇ πόλει τὴν σωτηρίαν. ἡ γὰρ πόλις οἰκεῖται κατὰ τὴν ἰδίαν [p]ἑκάστου μοῖραν φυλαττομένη· ὅταν οὖν ταύτην ἐφ' ἑνός τις [q]παρίδῃ, λέληθεν ἑαυτὸν ἐφ' ἁπάντων τοῦτο πεποιηκώς. καίτοι ῥᾴδιόν ἐστιν, ὦ ἄνδρες, πρὸς τὰς τῶν ἀρχαίων νομοθετῶν διανοίας ἀποβλέψαν-
66 τας τὴν ἀλήθειαν εὑρεῖν. ἐκεῖνοι [r]γὰρ οὐ τῷ μὲν ἑκατὸν τάλαντα κλέψαντι θάνατον ἔταξαν, τῷ δὲ δέκα δραχμὰς ἔλαττον ἐπιτίμιον· οὐδὲ τὸν μὲν μεγάλα ἱεροσυλήσαντα ἀπέκτειναν, τὸν δὲ μικρὰ ἐλάττονι τιμωρίᾳ ἐκόλαζον· οὐδὲ τὸν μὲν οἰκέτην ἀποκτείναντα ἀργυρίῳ ἐζημίουν, τὸν δὲ ἐλεύθερον [s]εἶργον τῶν [t]νομίμων· ἀλλ' ὁμοίως ἐπὶ πᾶσι καὶ τοῖς ἐλαχίστοις [u]παρανομήμασι θάνατον ὥρισαν εἶναι
67 τὴν ζημίαν. οὐ γὰρ πρὸς τὸ ἴδιον ἕκαστος αὐτῶν ἀπέβλεπε τοῦ γεγενημένου πράγματος, οὐδ' ἐντεῦθεν τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐλάμβανον, ἀλλ' αὐτὸ ἐσκόπουν τοῦτο, [x]εἰ πέφυκε τὸ ἀδίκημα τοῦτο ἐπὶ πλεῖον ἐλθὸν μέγα βλάπτειν τοὺς ἀνθρώπους. καὶ γὰρ ἄτοπον ἄλλως πως περὶ [y]τούτου ἐξετάζειν. φέρε γάρ, ὦ ἄνδρες, εἴ τις ἕνα νόμον εἰς τὸ Μητρῷον ἐλθὼν ἐξαλείψειεν, εἶτ' ἀπολογοῖτο ὡς οὐδὲν παρὰ τοῦτον τῇ πόλει ἐστίν, ἆρ' οὐκ ἂν ἀπεκτείνατ' αὐτόν; ἐγὼ μὲν οἶμαι δικαίως, εἴπερ [z]ἐμέλ-

[l] οὐ] Nec negationi neque interrogationi convenit cum illo, quod instat, δήπου.
[m] γένηται] Aut ἐγένετο legendum, aut, omisso ἄν, γεγένηται.
[n] τοῦτον] τοῦτο A.B.L.P.Z.
[o] τοῦτον] τούτων A.B.L.P.Z.
[p] ἑκάστου] vulg. ἑκάστων.
[q] παρίδῃ] παρίδοι A.B.L.P.Z.
[r] γὰρ οὐ τῷ μὲν] vulg. μὲν γὰρ οὐ τῷ.
[s] εἶργον A. vulg. εἴργον.
[t] νομίμων Stephanus: libri νόμων.
[u] παρανομήμασι A.L.P.Z. vulg. παρανομήσασι.
[x] εἰ] vulg. ἤ.
[y] τούτου] vulg. τούτων.
[z] ἐμέλλετε] ἐμέλετε B.L.Z. ἐμέλησε P.

68 λετε καὶ τοὺς ἄλλους [a]σώζειν. τὸν αὐτὸν [b]τοίνυν τρόπον κολαστέον ἐστὶ τοῦτον, εἰ μέλλετε τοὺς ἄλλους πολίτας βελτίους ποιήσειν· καὶ οὐ τοῦτο λογιεῖσθε εἰ εἷς ἐστὶ μόνος ὁ ἄνθρωπος, ἀλλ' [c]εἰς τὸ πρᾶγμα. ἐγὼ μὲν γὰρ ἡγοῦμαι τὸ μὴ πολλοὺς τοιούτους γενέσθαι [d]ἡμέτερον εὐτύχημα εἶναι, τοῦτον μέντοι διὰ τοῦτο [e]μειζονος τιμωρίας ἄξιον εἶναι τυχεῖν, ὅτι μόνος τῶν ἄλλων πολιτῶν οὐ κοινὴν ἀλλ' ἰδίαν τὴν σωτηρίαν ἐζήτησεν.

69 Ἀγαναχτῶ δὲ μάλιστα, ὦ ἄνδρες, ἐπειδὰν ἀκούσω τῶν μετὰ τούτου τινὸς λέγοντος ὡς οὐκ ἔστι τοῦτο προδιδόναι, εἴ τις ᾤχετο ἐκ τῆς πόλεως· καὶ γὰρ οἱ πρόγονοι ποθ' [f]ἡμῶν τὴν πόλιν καταλιπόντες, ὅτε πρὸς Ξέρξην ἐπολέμουν, εἰς Σαλαμῖνα [g]διέβησαν. καὶ οὕτως ἐστὶν ἀνόητος καὶ παντάπασιν ὑμῶν καταπεφρονηκώς, ὥστε τὸ κάλλιστον τῶν ἔργων πρὸς τὸ αἴσχιστον συμβαλεῖν 70 ἠξίωσε. ποῦ γὰρ οὐ περιβόητος ἐκείνων τῶν ἀνδρῶν ἡ ἀρετὴ γέγονε; τίς δ' οὕτως ἢ [h]φθονερός ἐστιν ἢ παντάπασιν ἀφιλότιμος, ὃς οὐκ ἂν εὔξαιτο τῶν ἐκείνοις πεπραγμένων μετασχεῖν; οὐ γὰρ τὴν πόλιν ἐξέλιπον ἀλλὰ τὸν τόπον μετήλλαξαν, πρὸς τὸν ἐπιόντα κίνδυνον καλῶς βουλευ- 71 σάμενοι. Ἑτεόνικος [i]μὲν γὰρ ὁ Λακεδαιμόνιος καὶ Ἀδείμαντος ὁ Κορίνθιος καὶ τὸ Αἰγινητῶν ναυτικὸν ὑπὸ νύκτα τὴν σωτηρίαν αὐτοῖς ἔμελλον πορίζεσθαι· ἐγκαταλειπόμενοι δὲ οἱ πρόγονοι ὑπὸ πάντων τῶν Ἑλλήνων βίᾳ καὶ τοὺς ἄλλους ἠλευθέρωσαν, ἀναγκάσαντες ἐν Σαλαμῖνι μετ' αὐτῶν πρὸς τοὺς βαρβάρους ναυμαχεῖν. μόνοι δὲ ἀμφοτέρων περιγεγόνασι, καὶ τῶν πολεμίων καὶ τῶν

[a] σώζειν] vulg. σώσειν.
[b] τοίνυν] om. Z.
[c] εἰς] εἰ Taylorus, εἰ καὶ Reiskius. Quidni οἷον?
[d] ἡμέτερον] ὑμέτερον Z.
[e] μείζονος] πλείονος Z.
[f] ἡμῶν] ὑμῶν pr. A.
[g] διέβησαν] vulg. διέβασαν.
[h] φθονερός] φανερός Z.
[i] μὲν] om. pr. A.

συμμάχων, ὡς ἑκατέρων προσῆκε, τοὺς μὲν [k] εὐεργετοῦν-
τες, τοὺς δὲ μαχόμενοι νικῶντες. ἆρά γε ὅμοιον τῷ φεύ-
72 γοντι τὴν πατρίδα τεττάρων ἡμερῶν πλοῦν εἰς Ῥόδον; ἢ
που ταχέως ἂν ἠνέσχετό τις ἐκείνων τῶν ἀνδρῶν τοιοῦτον 40
ἔργον, ἀλλ' οὐκ ἂν κατέλευσαν τὸν καταισχύνοντα τὴν
αὐτῶν ἀριστείαν. οὕτω γοῦν ἐφίλουν τὴν πατρίδα πάντες,
ὥστε τὸν παρὰ Ξέρξου πρεσβευτὴν Ἀλέξανδρον, φίλον
ὄντα αὐτοῖς πρότερον, ὅτι γῆν καὶ ὕδωρ ᾔτησε, μικροῦ δεῖν
κατέλευσαν. ὅπου δὲ καὶ τοῦ λόγου τιμωρίαν ἠξίουν
λαμβάνειν, ἢ που τὸν ἔργῳ παραδόντα τὴν πόλιν ὑποχεί-
ριον τοῖς πολεμίοις [l] οὐ μεγάλαις ἂν ζημίαις ἐκόλασαν;
73 τοιγαροῦν τοιαύταις χρώμενοι γνώμαις [m] ἐνενήκοντα μὲν 157
[n] ἔτη τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν, Φοινίκην δὲ καὶ
Κιλικίαν ἐπόρθησαν, ἐπ' Εὐρυμέδοντι δὲ [o] καὶ πεζομα-
χοῦντες καὶ ναυμαχοῦντες ἐνίκησαν, ἑκατὸν δὲ τριήρεις
τῶν βαρβάρων [p] αἰχμαλώτους ἔλαβον, ἅπασαν δὲ τὴν
74 Ἀσίαν κακῶς ποιοῦντες περιέπλευσαν, καὶ τὸ κεφάλαιον 5
τῆς νίκης, οὐ τὸ ἐν Σαλαμῖνι τρόπαιον ἀγαπήσαντες
ἔστησαν, ἀλλ' ὅρους τοῖς βαρβάροις πήξαντες τοὺς εἰς
τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, καὶ τούτους κωλύσαντες
ὑπερβαίνειν, συνθήκας ἐποιήσαντο μαχρῷ μὲν πλοίῳ μὴ
πλεῖν ἐντὸς Κυανέων καὶ [q] Φασήλιδος, τοὺς δ' Ἕλληνας
αὐτονόμους εἶναι, μὴ μόνον τοὺς τὴν Εὐρώπην ἀλλὰ καὶ
75 τοὺς τὴν Ἀσίαν κατοικοῦντας. καίτοι οἴεσθε ἄν, εἰ τῇ
Λεωκράτους διανοίᾳ χρησάμενοι πάντες ἔφυγον, τούτων 10

[k] εὐεργετοῦντες] εὐεργετοῦντας A.Z.

[l] οὐ] Suspectum: quo sublato tollenda etiam interrogatio.

[m] ἐνενήκοντα] ἐννενήκοντα A.

[n] ἔτη] ἔτι Z.

[o] καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες A. vulg. καὶ ναυμαχοῦντες καὶ πεζομαχοῦντες: B.L.P.Z. om. illa καὶ ναυμαχοῦντες.

[p] αἰχμαλώτους] αἰχμαλώτας Z.

[q] Φασήλιδος Wesseling. ad Diodor. Sic 12, 4. vulg. Φάσιδος.

ἄν τι γενέσθαι τῶν καλῶν ἔργων, ἢ ταύτην ἂν ἔτι τὴν χώραν κατοικεῖν ὑμᾶς; χρὴ τοίνυν, ὦ ἄνδρες, ὥσπερ τοὺς ἀγαθοὺς ἐπαινεῖτε καὶ τιμᾶτε, οὕτω καὶ τοὺς κακοὺς μισεῖν τε καὶ κολάζειν, ἄλλως τε καὶ Λεωκράτην, ὃς οὔτε ἔδεισεν οὔτε ἠσχύνθη ὑμᾶς.

76 Καίτοι ὑμεῖς τίνα τρόπον νενομίκατε περὶ τούτων, καὶ πῶς ἔχετε ταῖς διανοίαις, θεωρήσατε. ἄξιον γὰρ ὅμως καίπερ πρὸς εἰδότας διελθεῖν· ἐγκώμιον γὰρ νὴ τὴν Ἀθη- 15
ναν εἰσὶ τῆς πόλεως οἱ παλαιοὶ νόμοι καὶ τὰ ἔθη τῶν ἐξ ἀρχῆς ταῦτα κατασκευασάντων, οἷς ἂν προσέχητε, τὰ δίκαια ποιήσετε καὶ πᾶσιν ἀνθρώποις σεμνοὶ καὶ ἄξιοι
77 τῆς πόλεως δόξετ' εἶναι. ὑμῖν γὰρ ἔστιν ὅρκος, ὃν ὀμνύουσι πάντες οἱ πολῖται, ἐπειδὰν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφῶσι καὶ ἔφηβοι γένωνται, μήτε [r]τὰ ἱερὰ ὅπλα [s]καταισχυνεῖν μήτε τὴν τάξιν λείψειν, ἀμυνεῖν δὲ τῇ πατρίδι καὶ ἀμείνω παραδώσειν. ὃν εἰ μὲν ὀμώ- 20
μοκε Λεωκράτης, φανερῶς ἐπιώρκηκε, καὶ οὐ μόνον ὑμᾶς ἠδίκηκεν ἀλλὰ καὶ εἰς τὸ θεῖον [t]ἠσέβησεν· εἰ δὲ μὴ ὀμώμοκεν, εὐθὺς δῆλός ἐστι [u]παρεσκευασμένος οὐδὲν ποιήσειν τῶν δεόντων, ἀνθ' ὧν δικαίως ἂν αὐτὸν [x]καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν [y]τιμωρήσαισθε. βούλομαι δὲ ὑμᾶς ἀκοῦσαι τοῦ ὅρκου. λέγε, γραμματεῦ.

ΟΡΚΟΣ.

78 Καλός γε, ὦ ἄνδρες, καὶ ὅσιος ὁ ὅρκος. παρὰ τοῦτον τοίνυν ἅπαντα πεποίηκε Λεωκράτης. καίτοι πῶς ἂν ἄν- 25
θρωπος γένοιτο ἀνοσιώτερος ἢ μᾶλλον προδότης τῆς πα-

[r] τὰ] om. B.L.P.Z. cum vulg.

[s] καταισχυνεῖν — ἀμυνεῖν Stephanus: libri καταισχύνειν—ἀμύνειν.

[t] ἠσέβησεν A.B.P.Z. εἰσέβησεν L. vulg. ἠσέβηκεν.

[u] παρεσκευασμένος] παρασκευασάμενος pr. A. παρασκευασμένος B. L.P.

[x] καὶ ὑπὲρ ὑμῶν] Addidi ex A. B.

[y] τιμωρήσαισθε] τιμωρήσεσθε A. τιμωρήσοισθε B.L.P.Z. vulg. τιμωρήσησθε.

τρίδος; τίνα δ' ἂν τρόπον ὅπλα [z] καταισχύνειέ τις μᾶλλον, ἢ εἰ λαβεῖν μὴ [a] θέλοι καὶ τοὺς πολεμίους ἀμυνασθαι; πῶς δ' οὐ καὶ τὸν παραστάτην καὶ τὴν τάξιν λέ-
79 λοιπεν ὁ μηδὲ τάξαι τὸ σῶμα παρασχών; ποῦ δ' ὑπὲρ ὁσίων καὶ ἱερῶν ἤμυνεν ἂν ὁ μηδένα κίνδυνον ὑπομείνας; τίνι δ' ἂν τὴν πατρίδα [b] παρέδωκε μείζονα προδοσίαν; τὸ γὰρ τούτου μέρος ἐκλελειμμένη [c] τοῖς πολεμίοις ὑποχείριός ἐστιν. εἶτα τοῦτον οὐκ ἀποκτενεῖτε τὸν ἁπάσαις ταῖς ἀδικίαις ἔνοχον ὄντα; τίνας οὖν τιμωρήσεσθε τοὺς ἕν τι τούτων ἡμαρτηκότας; ῥᾴδιον ἔσται παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν, εἰ φανεῖσθε ἐπὶ [d] τοῖς μικροῖς μᾶλλον ὀργιζόμενοι.

80 Καὶ μήν, ὦ ἄνδρες, καὶ τοῦθ' ὑμᾶς δεῖ μαθεῖν, ὅτι τὸ συνέχον τὴν δημοκρατίαν ὅρκος ἐστί. τρία γάρ ἐστιν ἐξ ὧν ἡ πολιτεία συνέστηκεν, ὁ ἄρχων, ὁ δικαστής, ὁ ἰδιώτης. τούτων τοίνυν ἕκαστος [e] ταύτην πίστιν δίδωσιν, εἰκότως· τοὺς μὲν γὰρ ἀνθρώπους πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόντες οὐ μόνον τῶν παρόντων κινδύνων ἀπελύθησαν, ἀλλὰ καὶ τὸν ἄλλον χρόνον ἀθῷοι τῶν ἀδικημάτων τούτων εἰσί· τοὺς δὲ θεοὺς οὔτ' ἂν ἐπιορκήσας τις λάθοι, οὔτ' ἂν ἐκφύγοι τὴν ἀπ' αὐτῶν τιμωρίαν, ἀλλ' εἰ μὴ αὐτός, οἱ παῖδές γε καὶ τὸ γένος ἅπαν τὸ τοῦ
81 ἐπιορκήσαντος μεγάλοις ἀτυχήμασι περιπίπτει. διόπερ, ὦ ἄνδρες δικασταί, [f] ταύτην πίστιν [g] ἔδοσαν αὐτοῖς ἐν Πλαταιαῖς πάντες οἱ Ἕλληνες, ὅτε ἔμελλον παραταξά-

[z] καταισχύνειε] καταισχύνοιέ L. P.Z.

[a] θέλοι] θέλει B.L.P.Z. et correctus A. qui pr. θέλη.

[b] παρέδωκε μείζονα Wesseling. ad Petit. p. 232. libri προὔδωκε μείζονι.

[c] τοῖς] Recepi ex A.

[d] τοῖς μικροῖς μᾶλλον] vulg. τοὺς μᾶλλον μικροῖς.

[e] ταύτην πίστιν pr. A. vulg. ταύτην τὴν πίστιν.

[f] ταύτην πίστιν A. vulg. ταύτην τὴν πίστιν.

[g] ἔδοσαν] ἔδωσαν L.P. ἔδωκαν Z.

μενοι μάχεσθαι πρὸς τὴν Ξέρξου δύναμιν, οὐ παρ' αὐτῶν εὑρόντες, ἀλλὰ μιμησάμενοι τὸν παρ' ὑμῖν εἰθισμένον ὅρκον. ὃν ἄξιόν ἐστιν [h] ἀκοῦσαι· καὶ γὰρ παλαιῶν ὄντων τῶν τότε πεπραγμένων ὅμως ἰσχνῶς ἔστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖν τὴν ἐκείνων ἀρετήν. Καί μοι ἀναγί- 158
νωσκε αὐτόν.

ΟΡΚΟΣ.

82 Οὐ ποιήσομαι περὶ πλείονος τὸ ζῆν τῆς ἐλευθερίας, οὐδὲ καταλείψω τοὺς ἡγεμόνας οὔτε ζῶντας οὔτε ἀποθανόντας, ἀλλὰ τοὺς ἐν τῇ μάχῃ τελευτήσαντας τῶν συμμάχων ἅπαντας θάψω. καὶ κρατήσας τῷ πολέμῳ τοὺς βαρβάρους τῶν μὲν μαχεσαμένων ὑπὲρ τῆς Ἑλλάδος πόλεων οὐδεμίαν ἀνάστατον ποιήσω, τὰς δὲ τὰ τοῦ βαρβάρου προελομένας ἁπάσας δεκατεύσω· καὶ τῶν ἱερῶν τῶν [i] ἐμπρησθέντων καὶ καταβληθέντων ὑπὸ τῶν βαρβάρων οὐδὲν ἀνοικοδομήσω παντάπασιν, ἀλλ' ὑπόμνημα τοῖς ἐπιγινομένοις ἐάσω καταλείπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.

83 Οὕτω τοίνυν, ὦ ἄνδρες, σφόδρα ἐνέμειναν ἐν τούτῳ πάντες, ὥστε καὶ τὴν παρὰ τῶν θεῶν εὔνοιαν μεθ' ἑαυτῶν ἔσχον βοηθόν· καὶ πάντων Ἑλλήνων ἀνδρῶν ἀγαθῶν γενομένων πρὸς τὸν κίνδυνον μάλιστα ἡ πόλις [k] ὑμῶν εὐδο-
84 κίμησεν. ὃ καὶ πάντων ἂν εἴη δεινότατον, τοὺς μὲν προγόνους [l] ὑμῶν ἀποθνήσκειν τολμᾷν ὥστε μὴ τὴν πόλιν ἀδοξεῖν, ὑμᾶς δὲ μὴ κολάζειν τοὺς καταισχύναντας αὐτήν, ἀλλὰ περιορᾶν τὴν κοινὴν καὶ μετὰ πολλῶν πόνων συνειλεγμένην [m] εὐκλειαν ταύτην [n] διὰ τὴν τῶν τοιούτων ἀνδρῶν πονηρίαν καταλυομένην.

85 Καίτοι, ὦ ἄνδρες, μόνοις ὑμῖν τῶν Ἑλλήνων οὐκ ἔστιν οὐδὲν τούτων περιιδεῖν. βούλομαι δὲ μικρὰ τῶν παλαιῶν ὑμῖν διελθεῖν, οἷς παραδείγμασι χρώμενοι καὶ περὶ τού-

[h] ἀκοῦσαι — πεπραγμένων A. vulg. ἄ.
[i] ἐμπρησθέντων] ἐμπρισθέντων B. L.P.Z.
[k] ὑμῶν A.B. vulg. ἡμῶν.
[l] ὑμῶν A. vulg. ἡμῶν.
[m] εὐκλειαν] om. Z.
[n] διὰ τὴν τῶν] vulg. διὰ τῶν.

των καὶ περὶ [o]τῶν ἄλλων βέλτιον βουλεύσεσθε. τοῦτο γὰρ ἔχει μέγιστον ἡ πόλις [p]ὑμῶν ἀγαθόν, ὅτι τῶν καλῶν ἔργων παράδειγμα τοῖς Ἕλλησι γέγονεν· [q]ὅσον γὰρ τῷ χρόνῳ πασῶν ἐστὶν ἀρχαιοτάτη, τοσοῦτον οἱ πρόγονοι
86 ἡμῶν τῶν ἄλλων ἀνθρώπων [r]ἀρετῇ διενηνόχασιν. Ἐπὶ Κόδρου γὰρ βασιλεύοντος Πελοποννησίοις γενομένης ἀφορίας κατὰ τὴν χώραν αὐτῶν ἔδοξε στρατεύειν ἐπὶ τὴν πόλιν [s]ἡμῶν καὶ ἡμῶν τοὺς προγόνους ἐξαναστήσαντας κατανείμασθαι τὴν χώραν. καὶ πρῶτον μὲν εἰς Δελφοὺς ἀποστείλαντες τὸν θεὸν ἐπηρώτων εἰ [t]ἐπιλήψονται τὰς Ἀθήνας· ἀνελόντος δὲ τοῦ θεοῦ αὐτοῖς ὅτι τὴν πόλιν αἱρήσουσιν, ἐὰν μὴ τὸν βασιλέα [u]τὸν Ἀθηναίων Κόδρον ἀπο-
87 κτείνωσιν, ἐστράτευον ἐπὶ τὰς Ἀθήνας. Κλεόμαντις δὲ τῶν [x]Δελφῶν τις πυθόμενος τὸ χρηστήριον δι' ἀπορρήτων [y]ἐξήγγελε τοῖς Ἀθηναίοις· οὗτος οἱ πρόγονοι ἡμῶν, ὡς ἔοικεν, καὶ τοὺς ἔξωθεν ἀνθρώπους εὔνους ἔχοντες διετέλουν. [z]ἐμβαλόντων δὲ τῶν Πελοποννησίων εἰς τὴν Ἀττικὴν τί ποιοῦσιν οἱ πρόγονοι [a]ἡμῶν, ἄνδρες δικασταί; οὐ καταλιπόντες τὴν χώραν ὥσπερ Λεωκράτης ᾤχοντο, [b]οὐκ ἔκδοτον τὴν θρεψαμένην καὶ τὰ ἱερὰ τοῖς πολεμίοις παρέδοσαν, ἀλλ' ὀλίγοι ὄντες κατακλεισθέντες ἐπολιορκοῦντο
88 καὶ [c]διεκαρτέρουν [d]εἰς τὴν πατρίδα. καὶ οὕτως ἦσαν, ὦ ἄνδρες, γενναῖοι οἱ τότε βασιλεύοντες, ὥστε προηροῦντο ἀποθνήσκειν ὑπὲρ τῆς [e]τῶν ἀρχομένων σωτηρίας μᾶλλον ἢ

[o] τῶν] om. L.P.Z. cum vulg.
[p] ὑμῶν] ἡμῶν L.P.Z. cum vulg.
[q] ὅσων] ὅσῳ P.
[r] ἀρετῇ] ἀρετὴν B.
[s] ἡμῶν] ὑμῶν A.B.
[t] ἐπιλήψονται] καὶ τῇ λήψονται Reiskius.
[u] τὸν Ἀθηναίων Z. vulg. τῶν Ἀθηναίων.
[x] Δελφῶν] ἀδελφῶν Z. cum pr. A.
[y] ἐξήγγελε] ἐξήγγελλε A.B. malim ἐξήγγειλε.
[z] ἐμβαλόντων] ἐμβαλλόντων pr. A.
[a] ἡμῶν] ἐμῶν A.B.L.P.Z.
[b] οὐκ] οὐδ' Z.
[c] διεκαρτέρουν] διεμαρτύρουν Z.
[d] εἰς] supra versum ponit A.
[e] τῶν] vulg. om.

ζῶντες ἑτέραν μεταλλάξαι τὴν χώραν. φασὶ γοῦν τὸν Κόδρον παραγγείλαντα τοῖς Ἀθηναίοις προσέχειν ὅταν τελευτήσῃ τὸν βίον, λαβόντα πτωχικὴν στολὴν ὅπως ἂν ἀπατήσῃ τοὺς πολεμίους, κατὰ τὰς πύλας ὑποδύντα φρύγανα συλλέγειν πρὸ τῆς πόλεως, προσελθόντων δ' αὐτῷ δυοῖν ἀνδρῶν ἐκ τοῦ στρατοπέδου καὶ τὰ κατὰ τὴν πόλιν πυνθανομένων τὸν ἕτερον αὐτῶν ἀποκτεῖναι τῷ δρεπάνῳ [f]προσπεσόντα· τὸν δὲ περιλελειμμένον, παροξυνθέντα τῷ Κόδρῳ καὶ νομίσαντα πτωχὸν εἶναι, σπασάμενον τὸ
89 ξίφος ἀποκτεῖναι τὸν Κόδρον. τούτων δὲ γενομένων οἱ μὲν Ἀθηναῖοι κήρυκα πέμψαντες ᾐξίουν δοῦναι τὸν βασιλέα θάψαι, λέγοντες αὐτοῖς ἅπασαν τὴν ἀλήθειαν· οἱ δὲ Πελοποννήσιοι τοῦτον μὲν ἀπέδοσαν, γνόντες δὲ ὡς οὐκ [g]ἔτι δυνατὸν αὐτοῖς τὴν χώραν κατασχεῖν ἀπεχώρησαν. τῷ δὲ [h]Κλεομάντει τῷ Δελφῷ ἡ πόλις αὐτῷ τε [i]καὶ
90 ἐκγόνοις ἐν Πρυτανείῳ ἀίδιον σίτησιν ἔδοσαν. [k]Ὁρᾶτε, ὁμοίως ἐφίλουν τὴν πατρίδα Λεωκράτει οἱ τότε βασιλεύ- 159
οντες, οἵ γε προηροῦντο τοὺς πολεμίους ἐξαπατῶντες ἀποθνήσκειν ὑπὲρ αὐτῆς καὶ τὴν ἰδίαν ψυχὴν ἀντὶ τῆς κοινῆς σωτηρίας ἀντικαταλλάττεσθαι. τοιγαροῦν μονώτατοι ἐπώνυμοι τῆς χώρας εἰσίν, ἰσοθέων τιμῶν τετυχηκότες, εἰκότως· ὑπὲρ ἧς [l]γὰρ οὕτω σφόδρα ἐσπούδαζον, δικαίως ταύτην καὶ τεθνεῶτες ἐκληρονόμουν. ἀλλὰ [m]Λεω- 5
κράτης [n]οὔτε ζῶν [o]οὔτε τεθνεὼς δικαίως ἂν αὐτῆς μετάσχοι, [p]μονώτατος [q]δ' ἂν προσηκόντως ἐξορισθείη τῆς χώ-

[f] προσπεσόντα] πεσόντα pr. A.

[g] ἔτι] ἔστι Z.

[h] Κλεομάντει] κλεομάντι B.L. P.Z.

[i] καὶ ἐκγόνοις] καὶ τοῖς ἐγγόνοις Z.

[k] Ὁρᾶτε ὁμοίως] vulg. ὁρᾶτε εἰ ὁμοίως.

[l] γὰρ οὕτω] γὰρ ζῶντες οὕτω Lobeck. ad Phrynich. p. 129.

[m] Λεωκράτης] κλεοκράτης P.

[n] οὔτε ζῶν] Addidi sumpta ab A.B.

[o] οὔτε τεθνεὼς A.B.L. vulg. οὐδὲ τεθνεώς.

[p] μονώτατος] vulg. καὶ μονώτατος.

[q] δ' ἂν] ἂν A.B.L.P.Z.

ρας ἦν ἐγκαταλιπὼν τοῖς πολεμίοις ᾤχετο· οὐδὲ γὰρ καλὸν τὴν αὐτὴν καλύπτειν τοὺς τῇ ἀρετῇ διαφέροντας καὶ τὸν κάκιστον πάντων ἀνθρώπων.

91 Καίτοι γε ἐπεχείρησεν εἰπεῖν, ὃ καὶ νῦν ἴσως ἐρεῖ πρὸς ὑμᾶς, ὡς οὐκ ἄν ποτε ὑπομεῖναι τὸν ἀγῶνα τοῦτον συνειδὼς ἑαυτῷ τοιοῦτόν τι διαπεπραγμένῳ· ὥσπερ οὐ πάντας καὶ τοὺς κλέπτοντας καὶ ἱεροσυλοῦντας τούτῳ τῷ τεκμηρίῳ χρωμένους. οὐ γὰρ τοῦ πράγματός ἐστι σημεῖον, ὡς 92 οὐ πεποιήκασιν, ἀλλὰ τῆς ἀναιδείας ἣν ἔχουσιν. οὐ γὰρ τοῦτο δεῖ λέγειν, ἀλλ' ὡς οὐκ ἐξέπλευσεν οὐδὲ τὴν πόλιν ἐγκατέλιπεν οὐδ' ἐν Μεγάροις [r] κατῴκησε· ταῦτά ἐστι τεκμήρια τοῦ πράγματος, ἐπεί γε τὸ ἐλθεῖν τοῦτον, οἶμαι [s] θεῶν τινὰ αὐτὸν ἐπ' αὐτὴν ἀγαγεῖν τὴν τιμωρίαν, ἵν' ἐπειδὴ 15 τὸν εὐκλεᾶ κίνδυνον ἔφυγε, τοῦ ἀκλεοῦς καὶ ἀδόξου θανάτου [t] τύχοι, καὶ οὓς [u] προὔδωκε, τούτοις ὑποχείριον αὐτὸν 93 καταστήσειεν. ἐτέρωθι μὲν γὰρ ἀτυχῶν οὔπω δῆλον εἰ διὰ ταῦτα δίκην δίδωσιν· ἐνταῦθα δὲ [x] παρ' οἷς προὔδωκε, φανερόν ἐστιν ὅτι τῶν αὐτοῦ παρανομημάτων ὑπέχει [y] ταύτην τὴν τιμωρίαν. οἱ γὰρ θεοὶ οὐδὲν πρότερον [z] ποιοῦσιν ἢ τῶν πονηρῶν ἀνθρώπων τὴν διάνοιαν παράγουσι· 20 94 καί μοι δοκοῦσι τῶν ἀρχαίων τινὲς ποιητῶν, ὥσπερ χρησμοὺς γράψαντες τοῖς [a] ἐπιγινομένοις, τάδε τὰ ἰαμβεῖα καταλιπεῖν,

ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινά,
τοῦτ' αὐτὸ πρῶτον [b] ἐξαφαιρεῖται φρενῶν

[r] κατῴκησε] Immo μετῴκησεν.
[s] θεῶν] θεόν A.B.
[t] τύχοι] vulg. τύχῃ.
[u] προὔδωκε] προδέδωκε Z.
[x] παρ'] om. pr. A.
[y] ταύτην τὴν] Malim abesse articulum.
[z] ποιοῦσιν] Et hoc ποιοῦσιν spurium mihi videtur et illud (p. 166, 12.) ἀδικοῦσιν. Conf. p. 152, 14. et p. 159, 23.
[a] ἐπιγινομένοις] Libri ἐπιγενομένοις.
[b] ἐξαφαιρεῖται] ἐξαιρεῖται A.B. L.P. ἐξαιρεῖται τῶν Z. et Burneianus 96.

τὸν νοῦν τὸν ἐσθλόν, εἰς δὲ τὴν χεῖρω τρέπει
γνώμην, ἵν' εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.

95 τίς γὰρ οὐ μέμνηται τῶν πρεσβυτέρων ἢ τῶν νεωτέρων οὐκ ἀκήκοε Καλλίστρατον, οὗ θάνατον ἡ πόλις κατέγνω, τοῦτον φυγόντα, καὶ τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς ἀκούσαντα ὅτι ἂν ἔλθῃ Ἀθήναζε τεύξεται τῶν [c] νομίμων, ἀφικόμενον καὶ ἐπὶ τὸν βωμὸν [d] τῶν δώδεκα θεῶν καταφυγόντα καὶ οὐδὲν ἧττον ὑπὸ τῆς πόλεως ἀποθανόντα; δικαίως· τὸ γὰρ τῶν νομίμων τοῖς ἠδικηκόσι τυχεῖν τιμωρία ἐστίν. ὁ δέ γε θεὸς ὀρθῶς ἀπέδωκε τοῖς ἠδικημένοις κολάσαι τὸν αἴτιον· δεινὸν γὰρ ἂν εἴη εἰ ταὐτὰ σημεῖα τοῖς εὐσεβέσι καὶ τοῖς κακούργοις [e] φαίνονται.

96 Ἡγοῦμαι δ' [f] ἔγωγε, ὦ ἄνδρες, τὴν τῶν θεῶν ἐπιμέλειαν [g] πάσας μὲν τὰς ἀνθρωπίνας πράξεις ἐπισκοπεῖν, μάλιστα δὲ τὴν περὶ τοὺς γονέας καὶ τοὺς τετελευτηκότας καὶ τὴν πρὸς αὐτοὺς εὐσέβειαν, εἰκότως· παρ' ὧν γὰρ τὴν ἀρχὴν τοῦ ζῆν εἰλήφαμεν καὶ πλεῖστα ἀγαθὰ πεπόνθαμεν, εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν [h] ἀλλ' ὅτι μὴ [i] εὐεργετοῦντας τὸν [k] αὐτῶν βίον καταναλῶσαι μέγιστον
97 ἀσέβημά ἐστι. λέγεται οὖν ἐν Σικελίᾳ (εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν, ἀλλ' ἁρμόσει καὶ ὑμῖν ἅπασι τοῖς νεωτέροις ἀκοῦσαι) [l] ἐκ τῆς Αἴτνης ῥύακα πυρὸς γενέσθαι· τοῦτον δὲ ῥεῖν φασὶν ἐπὶ τὴν ἄλλην χώραν καὶ [m] δὴ καὶ πρὸς πόλιν τινὰ τῶν ἐκεῖ κατοικουμένων. τοὺς μὲν [n] οὖν ἄλλους ὁρμῆσαι πρὸς φυγήν, τὴν αὐτῶν σωτηρίαν ζητοῦντας, ἕνα δέ τινα τῶν νεωτέρων, ὁρῶντα τὸν πατέρα πρεσ-

[c] νομίμων Taylorus: libri νόμων. Sic et paullo infra.
[d] τῶν] τὸν Z. Præstat τὸν τῶν.
[e] φαίνονται] φαίνοι Reiskius.
[f] ἔγωγε] om. Z.
[g] πάσας] πᾶσαν A.L.P.
[h] ἀλλ' ὅτι] ὅτι nescio an perperam iteretur.
[i] εὐεργετοῦντας] vulg. ἐνεργοῦντας.
[k] αὐτῶν] αὐτὸν Z.
[l] ἐκ τῆς] ἐκ γὰρ τῆς Z.
[m] δὴ καὶ] δεῖ Z.
[n] οὖν] om. P. et pr. A.

βύτερον ὄντα καὶ [o] οὐχὶ δυνάμενον ἀποχωρεῖν ἀλλὰ ἐγκα-
98 ταλαμβανόμενον, ἀράμενον φέρειν. φορτίου δ' οἶμαι προσ-
γενομένου καὶ αὐτὸς [p] ἐγκατελήφθη. ὅθεν δὴ καὶ ἄξιον
θεωρῆσαι τὸ θεῖον, ὅτι τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς εὐμενῶς
ἔχει. λέγεται γὰρ κύκλῳ τὸν τόπον ἐκεῖνον περιῤῥεῦσαι 160
τὸ πῦρ καὶ σωθῆναι τούτους [q] μόνους, ἀφ' ὧν καὶ τὸ χωρί-
ον ἔτι καὶ νῦν [r] προσαγορεύεσθαι [s] τῶν [t] εὐσεβῶν χῶρον· τοὺς
δὲ ταχεῖαν τὴν ἀποχώρησιν ποιησαμένους καὶ τοὺς ἀπ-
99 τῶν γονεῖς ἅπαντας ἐγκαταλιπόντας ἀπολέσθαι. ὥστε
καὶ ὑμᾶς [u] δεῖ τὴν παρὰ θεῶν ἔχοντας μαρτυριαν ὁμογνω-
μόνως τοῦτον κολάζειν τὸν ἅπασι τοῖς μεγίστοις ἀδικη-
μασιν ἔνοχον ὄντα κατὰ τὸ ἑαυτοῦ μέρος. τοὺς μὲν γὰρ
θεοὺς [x] τὰς πατρίους τιμὰς ἀπεστέρηκε, τοὺς δὲ γονεῖς τοῖς
πολεμίοις ἐγκατέλιπε, τοὺς δὲ τετελευτηκότας τῶν νομί-
μων οὐκ εἴασε τυχεῖν.

100 Καίτοι σκέψασθε, ὦ ἄνδρες· οὐ γὰρ ἀποστήσομαι
τῶν παλαιῶν· ἐφ' οἷς γὰρ ἐκεῖνοι ποιοῦντες [y] ἐφιλοτι-
μοῦντο, ταῦτα δικαίως ἂν ὑμεῖς ἀκούσαντες ἀποδέχοι-
σθε. [z] φασὶ γὰρ Εὔμολπον τὸν Ποσειδῶνος καὶ [a] Χιόνης
μετὰ Θρᾳκῶν ἐλθεῖν τῆς χώρας ταύτης ἀμφισβητοῦντα, 10
τυχεῖν [b] δὲ κατ' ἐκείνους τοὺς χρόνους [c] βασιλεύοντα
Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν [d] Κηφισοῦ θυ-
101 γατέρα. μεγάλου δὲ στρατοπέδου μέλλοντος αὐτοῖς εἰσ-
βάλλειν εἰς τὴν χώραν, εἰς Δελφοὺς ἰὼν ἠρώτα τὸν θεὸν τί

[o] οὐχὶ A.B. vulg. οὐ.
[p] ἐγκατελήφθη] ἐγκατελείφθη L. P.Z.
[q] μόνους] μόνον pr. A.
[r] προσαγορεύεσθαι] προσαγορεύεται P. προσαγορεῦσαι ceteri.
[s] τῶν] τὸν Z.
[t] εὐσεβῶν] ἀσεβῶν A.B.L.Z.
[u] δεῖ] δεῖν A.B.
[x] τὰς Reiskius: libri τούς.
[y] ἐφιλοτιμοῦντο] δικαίως ἐφιλοτιμοῦντο Z.
[z] φασὶ] φησὶ Z.
[a] Χιόνης] χιώνης P.
[b] δὲ κατ' A. vulg. δὲ καὶ κατ'.
[c] βασιλεύοντα] βασιλέα Z.
[d] Κηφισοῦ] Κηφισσοῦ Z. qui sic et infra.

ποιῶν ἂν νίκην λάβοι παρὰ τῶν πολεμίων. χρήσαντος δ' αὐτῷ τοῦ θεοῦ, τὴν θυγατέρα εἰ θύσειε πρὸ τοῦ συμβαλεῖν τὼ στρατοπέδω, κρατήσειν τῶν πολεμίων, [e] ὁ δὲ τῷ θεῷ [f] πειθόμενος τοῦτ' ἔπραξε καὶ τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλε. διὸ καὶ δικαίως ἄν τις Εὐριπίδην ἐπαινέσειεν, ὅτι τά τε ἄλλ' [g] ὢν ἀγαθὸς ποιητὴς καὶ τοῦτον τὸν μῦθον προείλετο ποιῆσαι, ἡγούμενος κάλλιστον ἂν γενέσθαι τοῖς πολίταις παράδειγμα τὰς ἐκείνων πράξεις, πρὸς ἃς ἀποβλέποντας καὶ θεωροῦντας συνεθίζεσθαι ταῖς ψυχαῖς [h] τὸ τὴν πατρίδα φιλεῖν. ἄξιον δέ, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἰαμβείων ἀκοῦσαι ἃ πεποίηκε λέγουσαν τὴν μητέρα [i] τῆς παιδός· ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα ἀξίαν καὶ τῆς πόλεως καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα.

Τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,
[k] ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι [l] μέν,
χρόνῳ δὲ δρῶσι, [m] δυσγενέστερον.
ἐγὼ δὲ δώσω τὴν ἐμὴν παῖδα κτανεῖν.
λογίζομαι δὲ πολλά, πρῶτα μὲν πόλιν
οὐκ ἄν τιν' ἄλλην τῇδε βελτίω λαβεῖν,
[n] ᾗ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
αὐτόχθονες δ' ἔφυμεν· αἱ δ' ἄλλαι πόλεις,
πεσσῶν [o] ὁμοίαις διαφοραῖς ἐκτισμέναι,
ἄλλαι παρ' ἄλλων εἰσὶν [p] εἰσαγώγιμαι.
ὅστις δ' ἀπ' ἄλλης [q] πόλεος οἰκίζει πόλιν,
ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς,

[e] ὁ] ὡς A.B.L.P.Z.
[f] πειθόμενος] πυθόμενος L.P.
[g] ὢν] Aptius fortasse ἦν.
[h] τὸ] vulg. τῷ.
[i] τῆς] τοῦ L.P.Z.
[k] ἥδιον] vulg. ἥδιστον.
[l] μέν] om. pr. A.
[m] δυσγενέστερον] vulg. πολλῷ δυσγενέστεροι, Heinrichius δρῶσι δυσγενέστερον.
[n] ᾗ] vulg. ᾗ.
[o] ὁμοίαις] vulg. ὁμοίως cum Plutarcho (de exsilio p. 604. D.) qui mox διαφορηθεῖσαι βολαῖς.
[p] εἰσαγώγιμαι] εἰσαγώγιμαί Burneianus 96, εἰσαγώγιμοι Z. ἐξαγώγιμοι Valckenar. ad Herodot. 7, 161.
[q] πόλεος Grotius in Excerptis: libri πόλεως. Sic et v. 21.

λόγῳ πολίτης ἐστί, τοῖς δ' ἔργοισιν οὔ.
ἔπειτα τέκνα τοῦδ' [r]ἕκητι τίκτομεν,
ὡς θεῶν τε βωμοὺς πατρίδα τε [s]ῥυώμεθα.
πόλεως δ' ἀπάσης τοῦνομ' [t]ἕν, [u]πολλοὶ δέ νιν
[x]ναίουσι· τούτους πῶς διαφθεῖραι με χρή,
ἐξὸν πρὸ πάντων μίαν [y]ὑπὲρ δοῦναι θανεῖν;
εἴπερ γὰρ ἀριθμὸν οἶδα καὶ τούλάσσονος
τὸ μεῖζον, [z]ἑνὸς οἶκος οὐ πλεῖον σθένει
πταίσας ἁπάσης πόλεος οὐδ' ἴσον φέρει.
εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλέων στάχυς
ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλόξ,
οὐκ [a]ἄν μιν ἐξέπεμπον [b]εἰς μάχην δορός,
θάνατον [c]προταρβοῦσ'; ἀλλ' ἔμοιγ' [d]ἔστι τέκνα,
[e]ἃ καὶ μάχοιτο καὶ μετ' ἀνδράσι πρέποι,
μὴ [f]σχήματα δ' ἄλλως ἐν πόλει πεφυκότα.
τὰ μητέρων δὲ δάκρυ', ὅταν [g]πέμπῃ τέκνα,
πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους.
μισῶ γυναῖκας αἵτινες πρὸ τοῦ καλοῦ
ζῆν παῖδας [h]εἵλοντο καὶ παρῆνεσαν κακά.
καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα
τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ' ἴσην·
τῇμῇ δὲ παιδὶ στέφανος, [i]ἢ μία μόνη
πόλεως θανοῦσα τῆσδ' ὕπερ δοθήσεται,
καὶ τὴν τεκοῦσαν καὶ σὲ [k]δύο θ' ὁμοσπόρω

[r] ἕκητι] ἕνεκα A.B.L.P. ἕνεκεν Z. et Burn.

[s] ῥυώμεθα] ῥύομεθα A.B.L.P.Z. cum Burn.

[t] ἕν Grotius et Scaliger: vulg. ἐν.

[u] πολλοὶ δέ νιν] πολλοῖς δ' ἐνιν A. B. πολλοῖς δέ νιν L.P.Z. cum Burneiano: vulg. πολλοῖς δέ μιν. Correxit et Heinrichius.

[x] ναίουσι] vulg. νόμισι.

[y] ὑπὲρ δοῦναι] ὑπερδοῦναι A.B.L. P.

[z] ἑνὸς] εἷς μὲν Taylorus, ἐμὸς μὲν Reiskius. Possis οὑμός.

[a] ἄν μιν] ἂν μὴν A.L.P.

[b] εἰς] πρὸς pr. Burn.

[c] προταρβοῦσ'] προτάρβουσ' A. πρὸς τάρβους B.L.P.Z. et correctus Burneianus, qui pr. πρὸ τάρβους.

[d] ἔστι] vulg. εἴη.

[e] ἃ] om. A.B.L.P.Z. cum Burn.

[f] σχήματα δ' ἄλλως] σχήματ' ἄλλως Scaliger.

[g] πέμπῃ] πέμποι A.B.

[h] εἵλοντο καὶ] Reiskius ἑλόμεναι: Heinrichius, omisso ζῆν, εἵλοντο ante παῖδας ponebat.

[i] ἢ μία μόνη—θανοῦσα] εἷς μιᾷ μόνῃ—θανούσῃ Heinrichius.

[k] δύο θ' ὁμοσπόρω] δύο θ' ὁμοσπόρων A.B. δύο θ' ὁμοσπόρους Valc-

[l]σώσει· τί τούτων οὐχὶ δέξασθαι καλόν;
τὴν οὐκ [m]ἐμὴν πλὴν φύσει δώσω κόρην
θῦσαι πρὸ γαίας. εἰ γὰρ αἱρεθήσεται
πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι;
οὐκοῦν [n]ἅπαντα γοῦν ἐμοὶ σωθήσεται·
[o]ἄρξουσιν ἄλλοι, [p]τήνδ' ἐγὼ σώσω πόλιν.
[q]ἐκεῖνο δ' [r]οὗ τὸ πλεῖστον ἐν κοινῷ μέρος,
οὐκ ἔσθ' ἑκούσης τῆς ἐμῆς ψυχῆς [s]ἄτερ
προγόνων παλαιὰ [t]θέσμι' ὅς τις ἐκβαλεῖ.
οὐδ' [u]ἀντ' ἐλάας χρυσέας τε Γοργόνος
τρίαιναν ὀρθὴν στᾶσαν ἐν [x]πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρᾷξ [y]ἀναστέψει λεὼς
στεφάνοισι, [z]Παλλὰς δ' [a]οὐδαμοῦ [b]τιμήσεται.
χρῆσθ' ὦ πολῖται τοῖς ἐμοῖς λοχεύμασιν,
σώζεσθε, [c]νικᾶτ'· ἀντὶ γὰρ ψυχῆς μιᾶς
οὐκ ἔσθ' [d]ὅπως οὐ τήνδ' ἐγὼ σώσω πόλιν.
ὦ πατρίς, εἴθε πάντες οἱ ναίουσί σε
οὕτω φιλοῖεν ὡς [e]ἐγώ· καὶ ῥᾳδίως
οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.

103 Ταῦτα, ὦ ἄνδρες, τοὺς πατέρας ἡμῶν ἐπαίδευε. φύσει γὰρ οὐσῶν φιλοτέκνων πασῶν τῶν γυναικῶν ταύτην ἐποίησε τὴν πατρίδα μᾶλλον τῶν παίδων φιλοῦσαν, ἐνδεικνύμενος ὅτι εἴπερ αἱ γυναῖκες τοῦτο τολμήσουσι ποιεῖν, τούς

kenar. ad E. Phœn. 1022. vulg. δυ' ὁμοσπόρους.

[l] σώσει Grotius: libri ὡς εἰ.

[m] ἐμὴν] vulg. ἐμήν γε.

[n] ἅπαντα γοῦν ἐμοὶ] ἅπαντας γοῦν τ' ἐμοὶ A.B.L.P.Z. et Burneianus: ἅπαντα τοὺν ἐμοὶ Reiskius.

[o] ἄρξουσιν Z. cum Burneiano: vulg. ἄρξουσί τ'.

[p] τήνδ' A.L.Z. vulg. τὴν δ'.

[q] ἐκεῖνο] ἐκείνῳ A.L.

[r] οὗ τὸ] οὐ A.B.L.P.Z. et Burn.

[s] ἄτερ] ἄτερ A. ἄνερ. Valcken. l.l.

[t] θέσμι' ὅστις Reiskius: libri πάλαι θεσμιά τις ἐκβάλλει.

[u] ἀντ' ἐλάας Dobreus ad Porsoni Aristophan. p. 76. vulg. ἂν τελείας.

[x] πόλεως βάθροις] πόλει βάθρου Z.

[y] ἀναστέψει Musgravius: vulg. ἀναστρέψει.

[z] Παλλὰς δ'] Addidi hæc ex A.B.

[a] οὐδαμοῦ] τ' οὐδαμοῦ Z. et Burneianus.

[b] τιμήσεται] τιμηθήσεται Burn.

[c] νικᾶτ'] καὶ νικᾶτ' B.Z. cum Burneiano: καὶ νικᾶτε A.L.P.

[d] ὅπως οὐ τήνδ' ἐγὼ] ὅπως ὑμῶν τήνδ' ἐγὼ οὐ A.B.L.P.Z. et Burneianus.

[e] ἐγώ· καὶ] ἔγωγε Reiskius.

γε ἄνδρας ἀνυπέρβλητόν τινα δεῖ τὴν εὔνοιαν ὑπὲρ τῆς πατρίδος ἔχειν, μηδὲ φεύγειν αὐτὴν ἐγκαταλιπόντας μηδὲ καταισχύνειν πρὸς ἅπαντας τοὺς Ἕλληνας, [f] ὥσπερ Λεωκράτης.

104 Βούλομαι δ' ὑμῖν καὶ [g] τὸν Ὅμηρον παρασχέσθαι ἐπαινῶν. οὕτω γὰρ ὑπέλαβον ὑμῶν οἱ πατέρες σπουδαῖον εἶναι ποιητήν, ὥστε νόμον ἔθεντο καθ' ἑκάστην πενταετηρίδα τῶν Παναθηναίων μόνου τῶν ἄλλων ποιητῶν ῥαψῳδεῖσθαι τὰ ἔπη, ἐπίδειξιν ποιούμενοι πρὸς τοὺς Ἕλληνας ὅτι τὰ κάλλιστα τῶν ἔργων προῃροῦντο, εἰκότως· οἱ μὲν γὰρ νόμοι διὰ τὴν συντομίαν οὐ διδάσκουσιν ἀλλ' ἐπιτάττουσιν ἃ δεῖ ποιεῖν, οἱ δὲ ποιηταὶ μιμούμενοι τὸν ἀνθρώπινον βίον, τὰ κάλλιστα τῶν ἔργων ἐκλεξάμενοι, μετὰ 162
λόγου καὶ ἀποδείξεως τοὺς ἀνθρώπους συμπείθουσιν.

105 Ἕκτωρ γὰρ τοῖς Τρωσὶ παρακελευόμενος ὑπὲρ τῆς πατρίδος τάδε εἴρηκεν,

> ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶ διαμπερές. ὃς δέ κεν ὑμέων
> βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
> τεθνάτω. οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ [h] πάτρης
> [i] τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ νήπια τέκνα,
> καὶ κλῆρος καὶ οἶκος ἀκήρατος, εἴ κεν Ἀχαιοί
> [k] οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

106 Τούτων τῶν ἐπῶν ἀκούοντες, ὦ ἄνδρες, οἱ πρόγονοι ὑμῶν καὶ τὰ τοιαῦτα τῶν ἔργων ζηλοῦντες οὕτως ἔσχον πρὸς ἀρετήν, ὥστε οὐ μόνον ὑπὲρ τῆς αὐτῶν πατρίδος ἀλλὰ καὶ πάσης Ἑλλάδος ὡς κοινῆς ἤθελον ἀποθνήσκειν. οἱ γοῦν ἐν Μαραθῶνι παραταξάμενοι τοῖς βαρβάροις τὸν ἐξ

[f] ὥσπερ Λεωκράτης] ὥσπερ καὶ Λεωκράτης Z.

[g] τὸν Ὅμηρον—ἐπαινῶν] τῶν Ὁμήρου—ἐπῶν Reiskius vol. viii. p. 456. et Coraës Προδρόμ. Ἑλλην. βιβλιοθ. p. ξη'.

[h] πάτρης;] om. Z.

[i] Τεθνάμεν] om. Z.

[k] οἴχωνται] ἥικωνται B. ἥικωνται A. ἵκωνται L.P.Z. vulg. ἵωνται.

ἀπάσης τῆς Ἀσίας στόλον ἐκράτησαν, τοῖς ἰδίοις κινδύνοις κοινὴν ἄδειαν ἅπασι τοῖς Ἕλλησι κτώμενοι, οὐκ ἐπὶ τῇ δόξῃ μέγα φρονοῦντες ἀλλ' ἐπὶ τῷ ταύτης ἄξια πράττειν, τῶν μὲν Ἑλλήνων προστάτας τῶν δὲ βαρβάρων δεσπότας ἑαυτοὺς καθιστάντες· οὐ γὰρ λόγῳ τὴν ἀρετὴν
107 ἐπετήδευον, ἀλλ' ἔργῳ πᾶσιν ἐπεδείκνυντο. τοιγαροῦν οὕτως ἦσαν ἄνδρες σπουδαῖοι καὶ κοινῇ καὶ ἰδίᾳ οἱ τότε τὴν πόλιν οἰκοῦντες, ὥστε τοῖς ἀνδρειοτάτοις Λακεδαιμονίοις ἐν τοῖς ἔμπροσθεν χρόνοις πολεμοῦσι πρὸς [l] Μεσσηνίους ἀνεῖλεν ὁ θεὸς παρ' ἡμῶν ἡγεμόνα λαβεῖν καὶ νικήσειν τοὺς ἐναντίους. καίτοι εἰ [m] τοῖς ἀφ' Ἡρακλέους [n] γεγενημένοις, οἳ ἀεὶ [o] βασιλεύουσιν ἐν Σπάρτῃ, τοὺς παρ' [p] ὑμῶν ἡγεμόνας ἀμείνους ὁ θεὸς ἔκρινε, πῶς οὐκ ἀνυπέρβλητον
108 χρὴ τὴν ἐκείνων ἀρετὴν νομίζειν; τίς γὰρ οὐκ οἶδε τῶν Ἑλλήνων ὅτι Τυρταῖον στρατηγὸν ἔλαβον παρὰ τῆς πόλεως, μεθ' οὗ καὶ τῶν πολεμίων ἐκράτησαν καὶ τὴν περὶ τοὺς νέους ἐπιμέλειαν συνετάξαντο, οὐ μόνον εἰς τὸν παρόντα κίνδυνον ἀλλ' εἰς ἅπαντα τὸν αἰῶνα βουλευσάμενοι καλῶς. κατέλιπε γὰρ αὐτοῖς ἐλεγεῖα ποιήσας, ὧν ἀκού-
109 οντες παιδεύονται πρὸς ἀνδρείαν· [q] καὶ περὶ τοὺς ἄλλους ποιητὰς οὐδένα λόγον ἔχοντες περὶ [r] τούτου οὕτω σφόδρα ἐσπουδάκασιν, ὥστε νόμον ἔθεντο, ὅταν ἐν τοῖς ὅπλοις ἐκστρατευόμενοι [s] εἰσί, καλεῖν ἐπὶ τὴν τοῦ βασιλέως σκηνὴν ἀκουσομένους τῶν Τυρταίου ποιημάτων ἅπαντας, νομίζοντες οὕτως ἂν αὐτοὺς μάλιστα πρὸ τῆς πατρίδος ἐθέλειν ἀποθνήσκειν. χρήσιμον δ' ἐστὶ καὶ [t] τούτων ἀκοῦσαι τῶν

[l] Μεσσηνίους] Μεσηνίους Z.
[m] τοῖς A.B. τοὺς L.P.Z. vulg. τῶν.
[n] γεγενημένοις A.B.P. γεγενημένους L.Z. vulg. γεγενημένων.
[o] βασιλεύουσιν] βασιλεύσουσιν Z.
[p] ὑμῶν] ἡμῶν P.
[q] καὶ περὶ] Conf. Valckenar. ad Herodot. 2, 141.
[r] τούτου] τοῦτον Z.
[s] εἰσὶ] Immo ὦσι.
[t] τούτων] τούτω B.

ἐλεγείων, ἵν' ἐπίστησθε οἷα ποιοῦντες εὐδοκίμουν παρ' ἐκείνοις.

Τεθνάμεναι γὰρ καλὸν [u]ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθόν, περὶ [x]ᾗ πατρίδι μαρνάμενον.
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγρούς
πτωχεύειν πάντων ἔστ' [y]ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν [z]μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς [a]μὲν γὰρ τοῖσι μετέσσεται, οὓς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
[b]αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' [c]ἀτιμίη καὶ κακότης ἕπεται.
εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' [d]ὥρη
γίγνεται, [e]οὐδ' αἰδὼς [f]εἰσοπίσω [g]τελέθει.
θυμῷ γῆς περὶ [h]τῆσδε [i]μαχώμεθα, καὶ περὶ παίδων
[k]θνήσκωμεν [l]ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε [m]μηδὲ φόβου,
ἀλλὰ μέγαν [n]ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι [o]μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε τοὺς [p]γεραιούς.
αἰσχρὸν [q]γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι [r]πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα [s]φίλαις ἐν χερσὶν ἔχοντα

[u] ἐνὶ Franckius Callin. p. 181. libri ἐπί.
[x] ᾗ] τῇ ἑαυτοῦ A.B.
[y] ἀνιηρότατον] ἀνιαρότατον P. ἀνιαρώτατον A.B. et pr. L.
[z] μικροῖς] μικρῷ Z.
[a] μὲν] om. pr. A.
[b] αἰσχύνει] αἰσχύνη L.P.
[c] ἀτιμίη] libri ἀτιμία.
[d] ὥρη] ὥρη A.B.L.P.Z.
[e] οὐδ' Z. vulg. οὔτ'.
[f] εἰσοπίσω] οὔτ' ὀπίσω A.B.P. εἰς τ' ὀπίσω L. ἐς τ' ὀπίσω Z.
[g] τελέθει] τέλος A.B. τελ P.
[h] τῆσδε] τῆσγε Z.
[i] μαχώμεθα] μαχόμεθα A.B.P.
[k] θνήσκωμεν] θνήσκομεν A.B.
[l] ψυχέων] ψυχάων A.B.L.P.Z.
[m] μηδὲ φόβου] μήτε φόβου Z.
[n] ποιεῖσθε A.B.P. vulg. ποιεῖτε.
[o] μαρνάμενοι] μαχόμενοι L.P.Z.
[p] γεραιοὺς] γηραιοὺς A.B.L.P.
[q] γὰρ] μὲν γὰρ A.B.
[r] πρόσθε] πρόσθεν B.
[s] φίλαις ἐν] φίλ' ἐνὶ Z.

(αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν)
καὶ χρόα γυμνωθέντα. νέοισι δὲ πάντ' ἐπέοικεν,
ὅφρ' [t]ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν [u]θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξίν
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

110 Καλά γε, ὦ ἄνδρες, καὶ [x]χρήσιμα τοῖς βουλομένοις προσέχειν. οὕτω τοίνυν εἶχον πρὸς ἀνδρείαν οἱ τούτων ἀκούοντες, ὥστε πρὸς τὴν πόλιν ἡμῶν [y]περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν, εἰκότως· τὰ γὰρ κάλλιστα τῶν ἔργων ἀμφοτέροις ἦν κατειργασμένα. οἱ μὲν γὰρ πρόγονοι τοὺς βαρβάρους ἐνίκησαν οἱ [z]πρῶτοι τῆς Ἀττικῆς ἐπέβησαν, καὶ καταφανῆ ἐποίησαν τὴν ἀνδρείαν τοῦ πλούτου καὶ τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην· Λακεδαιμόνιοι δ' ἐν Θερμοπύλαις παραταξάμενοι ταῖς μὲν τύχαις [a]ὁμοίως
111 ἐχρήσαντο, τῇ δ' ἀνδρείᾳ πολὺ πάντων διήνεγκαν. τοιγαροῦν ἐπὶ τοῖς [b]ὁρίοις τοῦ [c]βίου μαρτύρια ἔστιν ἰδεῖν τῆς ἀρετῆς αὐτῶν ἀναγεγραμμένα ἀληθῆ πρὸς ἅπαντας τοὺς Ἕλληνας, [d]ἐκείνοις μέν

ὦ ξεῖν' ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα [e]τοῖς [f]κείνων πειθόμενοι [g]νομίμοις,

τοῖς δὲ ὑμετέροις προγόνοις

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
Χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

[t] ἐρατῆς] Z. cum Valckenario (Diatrib. in Eurip. p. 293. A.) ἀρετῆς A.B.L.P. vulg. ἄρα τῆς.

[u] θηητὸς Reiskius: libri θνητοῖσιν.

[x] χρήσιμα] χρήμασι B.

[y] περὶ τῆς ἡγεμονίας] Articulum supra versum ponit A.

[z] πρῶτοι] πρῶτον L.P.Z. quo recepto οἳ aut in οὗ aut in ᾗ mutabitur.

[a] ὁμοίως] οὐχ ὁμοίως Morus et Heinrichius. Equidem οὐχ ὁμοίαις malim.

[b] ὁρίοις] ὁρείοις Z.

[c] Vocem βίου mendosam putat Palmerius.

[d] ἐκείνοις μὲν] Addidi ex A.B.

[e] τοῖς] ταῖς Z.

[f] κείνων] ἐκείνων A. ἐκεῖνον B.

[g] νομίμοις] νόμοις P.

112 Ταῦτα, ὦ Ἀθηναῖοι, καὶ μνημονεύεσθαι καλὰ καὶ [h] τοῖς πράξασιν ἔπαινος καὶ τῇ πόλει δόξα ἀείμνηστος. ἀλλ' οὐχ ὁ Λεωκράτης πεποίηκεν, ἀλλ' ἐκὼν τὴν ἐξ ἅπαντος τοῦ αἰῶνος συνηθροισμένην τῇ πόλει δόξαν [i] κατήσχυνεν. ἐὰν [k] μὲν οὖν ἀποκτείνητε αὐτόν, δόξετε πᾶσι τοῖς Ἕλλησι καὶ ὑμεῖς τὰ τοιαῦτα τῶν ἔργων μισεῖν· εἰ δὲ μή, καὶ τοὺς προγόνους τῆς παλαιᾶς δόξης ἀποστερήσετε καὶ τοὺς ἄλλους πολίτας μεγάλα βλάψετε. οἱ γὰρ ἐκείνους μὴ θαυμάζοντες τοῦτον πειράσονται μιμεῖσθαι, νομίζοντες ἐκεῖνα μὲν παρὰ τοῖς πολεμίοις εὐδοκιμεῖν, παρὰ δ' ὑμῖν ἀναίδειαν καὶ προδοσίαν [l] καὶ δειλίαν κεκρίσθαι κάλλιστον.

113 Εἰ μὴ [m] δύνασθε ὑπ' ἐμοῦ διδαχθῆναι ὃν τρόπον δεῖ πρὸς τοὺς τοιούτους ἔχειν, σκέψασθε ἐκείνους τινα τρόπον ἐλάμβανον παρ' αὐτῶν τὴν τιμωρίαν· ὥσπερ γὰρ τὰ καλὰ τῶν ἔργων ἠπίσταντο ἐπιτηδεύειν, οὕτω καὶ τὰ πονηρὰ προῃροῦντο κολάζειν. ἐκεῖνοι γὰρ ὦ ἄνδρες θεωρήσατε ὡς ὠργίζοντο τοῖς προδόταις καὶ κοινοὺς ἐχθροὺς ἐνόμιζον

114 εἶναι τῆς πόλεως. Φρυνίχου γὰρ ἀποσφαγέντος νύκτωρ παρὰ τὴν κρήνην τὴν ἐν τοῖς [n] οἰσυίοις ὑπὸ Ἀπολλοδώρου καὶ Θρασυβούλου, καὶ τούτων ληφθέντων καὶ εἰς τὸ δεσμωτήριον ἀποτεθέντων ὑπὸ τῶν [o] τοῦ Φρυνίχου φίλων, αἰσθανόμενος ὁ δῆμος τὸ γεγονὸς τούς τε εἰρχθέντας ἐζήγε καὶ βασάνων γενομένων ἀνέκρινε, καὶ ζητῶν τὸ πρᾶγμα εὗρε τὸν μὲν Φρύνιχον [p] προδιδόντα τὴν πόλιν, τοὺς δ' ἀποκτει-

115 ναντας αὐτὸν ἀδίκως εἰρχθέντας· καὶ ψηφίζεται ὁ δῆμος Κριτίου εἰπόντος τὸν μὲν νεκρὸν κρίνειν προδοσίας, κἂν

[h] τοῖς πράξασιν Taylorus: ταῖς πράξεσιν A.L. τοῖς πράξεσιν B.P.Z.
[i] κατήσχυνεν] κατήσχυναν L.
[k] μὲν] om. pr. A.
[l] καὶ δειλίαν] vulg. om.
[m] δύνασθε] δύνασθαι P. δύνασθαι L.Z.
[n] οἰσυίοις] οἰσαίοις P. ἰσαίοις Z.
[o] τοῦ] Recepi ex A.B.
[p] προδιδόντα] προδόντα pr. A.

δόξῃ προδότης ὢν ἐν τῇ χώρᾳ [q]τεθάφθαι, τά τε ὁστᾶ αὐτοῦ ἀνορύξαι καὶ ἐξορίσαι ἔξω τῆς Ἀττικῆς, ὅπως ἂν μὴ κέηται ἐν τῇ χώρᾳ μηδὲ τὰ ὁστᾶ [r]τοῦ τὴν χώραν καὶ
116 τὴν πόλιν προδιδόντος. ἐψηφίσαντο δέ [[s]τινες] καὶ ἐὰν ἀπολογῶνταί τινες περὶ τοῦ τετελευτηκότος, ἐὰν ἀλῷ ὁ τεθνηκώς, ἐνόχους εἶναι καὶ τούτους τοῖς αὐτοῖς ἐπιτιμίοις· οὕτως οὐδὲ βοηθεῖν τοῖς τοὺς ἄλλους ἐγκαταλείπουσιν ἡγοῦντο δίκαιον εἶναι, ἀλλ' ὁμοίως ἂν προδοῦναι τὴν πόλιν καὶ τὸν διασώζοντα τὸν προδότην. τοιγαροῦν οὕτω μισοῦντες τοὺς ἀδικοῦντας καὶ τοιαῦτα κατ' αὐτῶν ψηφιζόμενοι ἀσφαλῶς ἐκ τῶν κινδύνων ἀπηλλάττοντο. Λάβε δὲ αὐτοῖς τὸ ψήφισμα, γραμματεῦ, καὶ ἀνάγνωθι.

ΨΗΦΙΣΜΑ.

117 Ἀκούετε ὦ ἄνδρες τούτου τοῦ ψηφίσματος. ἔπειτα ἐκεῖνοι μὲν τὰ τοῦ προδότου ὁστᾶ ἀνορύξαντες ἐκ τῆς Ἀττικῆς ἐξώρισαν, καὶ τοὺς ἀπολογουμένους ὑπὲρ αὐτοῦ Ἀρίσταρχον καὶ Ἀλεξικλέα ἀπέκτειναν καὶ οὐδ' ἐν τῇ χώρᾳ ταφῆναι ἐπέτρεψαν· ὑμεῖς δ' αὐτὸ τὸ σῶμα τὸ προδεδωκὸς τὴν πόλιν ζῶν καὶ ὑποχείριον ἔχοντες [t]τῇ [u]ψήφῳ
118 ἀτιμώρητον [x]ἐάσετε; καὶ τοσοῦτον ἔσεσθέ γε τῶν προγόνων χείρους, ὅσον ἐκεῖνοι μὲν τοὺς λόγῳ [y]μόνον τῷ προδότῃ βοηθήσαντας ταῖς ἐσχάταις τιμωρίαις μετῆλθον, ὑμεῖς δὲ αὐτὸν τὸν ἔργῳ καὶ οὐ λόγῳ τὸν δῆμον ἐγκαταλιπόντα ὡς οὐδὲν ἀδικοῦντα ἀφήσετε; μὴ δῆτα, ὦ ἄνδρες δικασταί, ὑμῖν [z]οὕτω [a]πάτριον, ἀναξίως ὑμῶν [b]αὐτῶν [c]ψηφίζεσθε. καὶ γὰρ εἰ μὲν ἕν τι τοιοῦτον γεγονὸς ἦν ψή-

[q] τεθάφθαι] vulg. μὴ τεθάφθαι.
[r] τοῦ τὴν χώραν] τοῦ χώραν L.P. Z.
[s] Prius τινες seclusi cum Heinrichio.
[t] τῇ] τὴν B.L.P.Z.
[u] ψήφῳ] ψῆφον P.Z.
[x] ἐάσετε] ἐάσατε L.
[y] μόνον] μόνῳ Z.
[z] οὕτω] οὔτε A.B.L.P.Z.
[a] πάτριον] Malim πάτριων ὄν.
[b] αὐτῶν] om. L.P.Z.
[c] ψηφίζεσθε] ψηφίζεσθαι Z.

φισμα, εἶχεν ἄν τις εἰπεῖν ὡς δι' ὀργὴν μᾶλλον [d]ἢ δι' ἀλήθειαν ἐποιήσαντο· ὅταν δὲ παρὰ πάντων ὁμοίως εἰ- 25
ληφότες ὦσι τὴν αὐτὴν τιμωρίαν, πῶς οὐκ εὔδηλον ὅτι
119 [e]φύσει πᾶσι τοῖς τοιούτοις ἔργοις ἐπολέμουν; Ἵππαρχον γὰρ τὸν Τιμάρχου οὐχ ὑπομείναντα [f]τῆς προδοσίας ἐν τῷ δήμῳ κρίσιν, ἀλλ' ἔρημον τὸν ἀγῶνα [g]ἐάσαντα, θανάτῳ τοῦτον ζημιώσαντες, ἐπειδὴ τῆς ἀδικίας οὐκ ἔλαβον τὸ σῶμα ὅμηρον, τὴν εἰκόνα αὐτοῦ ἐξ ἀκροπόλεως καθελόντες καὶ συγχωνεύσαντες καὶ ποιήσαντες στήλην ἐψηφίσαντο εἰς ταύτην ἀναγράφειν τοὺς ἀλιτηρίους καὶ τοὺς 30
προδότας· καὶ αὐτὸς ὁ Ἵππαρχος ἐν ταύτῃ τῇ στήλῃ
120 ἀναγέγραπται, καὶ οἱ ἄλλοι δὲ προδόται. Καί μοι λάβε πρῶτον μὲν τὸ ψήφισμα καθ' ὃ ἡ εἰκὼν [h]ἡ Ἱππάρχου τοῦ προδότου ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς στήλης τὸ ὑπόγραμμα καὶ τοὺς ὕστερον [i]προσαναγραφέντας προδότας εἰς ταύτην τὴν στήλην, καὶ ἀναγίνωσκε, γραμματεῦ. 35

ΨΗΦΙΣΜΑ ΚΑΙ ΥΠΟΓΡΑΜΜΑ ΤΗΣ ΣΤΗΛΗΣ.

121 Τί δοκοῦσιν ὑμῖν, ὦ ἄνδρες; ἆρά γε ὁμοίως ὑμῖν περὶ τῶν ἀδικούντων γινώσκειν, καὶ οὐκ, ἐπειδὴ καὶ τὸ σῶμα οὐκ ἐδύναντο ὑποχείριον τοῦ προδότου λαβεῖν, τὸ μνημεῖον τοῦ προδότου ἀνελόντες ταῖς ἐνδεχομέναις τιμωρίαις ἐκόλασαν; οὐχ ὅπως τὸν χαλκοῦν ἀνδριάντα συγχωνεύσειαν, ἀλλ' ἵνα τοῖς ἐπιγινομένοις παράδειγμα εἰς τὸν 40
λοιπὸν χρόνον ὡς εἶχον πρὸς τοὺς προδότας καταλίποιεν.
122 Λάβε δ' αὐτοῖς καὶ τὸ ἕτερον ψήφισμα περὶ τῶν εἰς

[d] ἢ δι' ἀλήθειαν] Præpositionem om. L.P.Z.
[e] φύσει] Hoc quoque iidem om.
[f] τῆς] τὴν περὶ τῆς A.
[g] ἐάσαντα] vulg. ἐάσαντος.
[h] ἡ Ἱππάρχου Z. vulg. τοῦ Ἱππάρχου.
[i] προσαναγραφέντας] προαναγραφέντας A.B.

Δεκέλειαν μεταστάντων, [k]ὅτε ὁ δῆμος ὑπὸ Λακεδαιμονίων ἐπολιορκεῖτο, ὅπως εἰδῶσιν [l]ὅτι περὶ τῶν προδοτῶν οἱ πρόγονοι ὁμοίας καὶ ἀκολούθους ἀλλήλαις [m]τὰς τιμωρίας ἐποιοῦντο. ἀναγίνωσκε, γραμματεῦ.

ΨΗΦΙΣΜΑ.

123 Ἀκούετε ὦ ἄνδρες καὶ τούτου τοῦ ψηφίσματος, ὅτι 165
τῶν ἐν τῷ πολέμῳ μεταστάντων εἰς Δεκέλειαν κατέγνωσαν, καὶ ἐψηφίσαντο, ἐάν τις αὐτῶν ἐπανιὼν ἁλίσκηται, ἀπαγαγεῖν Ἀθηναίων τὸν βουλόμενον πρὸς τοὺς θεσμοθέτας, παραλαβόντας δὲ παραδοῦναι τῷ ἐπὶ τοῦ ὀρύγματος. ἔπειτα ἐκεῖνοι μὲν τοὺς ἐν αὐτῇ τῇ χώρᾳ μεταστάντας οὕτως ἐκόλαζον, ὑμεῖς δὲ [n]τὸν ἐκ τῆς πόλεως καὶ 5
τῆς χώρας ἐν τῷ πολέμῳ φυγόντα εἰς Ῥόδον καὶ προδόντα τὸν δῆμον οὐκ ἀποκτενεῖτε; πῶς οὖν δόξετε ἀπόγονοι εἶναι ἐκείνων τῶν ἀνδρῶν;

124 [v]Ἄξιον τοίνυν ἀκοῦσαι καὶ [o]τοῦ περὶ τῶ ἐν Σαλαμῖνι τελευτήσαντος γενομένου ψηφίσματος, ὃν ἡ βουλή, ὅτι [p]λόγῳ μόνῳ ἐνεχείρει προδιδόναι τὴν πόλιν, περιελομένη τοὺς στεφάνους αὐτοχειρὶ ἀπέκτεινεν.

[q]ΨΗΦΙΣΜΑ.

Γενναῖόν γε ὦ ἄνδρες τὸ ψήφισμα καὶ ἄξιον τῶν ὑμετέρων προγόνων, δικαίως· συγγενεῖς γὰρ οὐ μόνον τὰς 10
ψυχὰς ἀλλὰ καὶ τὰς τῶν ἀδικούντων τιμωρίας ἐκέκτηντο.

125 Τί οὖν, ὦ ἄνδρες; ἆρά γε [r]ὑμῖν δοκεῖ βουλομένοις

[k] ὅτε] ὅτι L.P.Z.
[l] ὅτι A.B. οἱ L.P. vulg. εἰ.
[m] τὰς τιμωρίας] ταῖς τιμωρίαις L.P.Z.
[n] τὸν om. B.L.P.Z.
[o] τοῦ ante περὶ primus desideravit Reiskius.
[p] λόγῳ μόνῳ A.B. vulg. μόνῳ λόγῳ.
[q] Titulum addidit Marklandus, γε pro librorum δὲ ponendum vidit Reiskius.
[r] ὑμῖν δοκεῖ A.B. vulg. δοκεῖ ὑμῖν.

μιμεῖσθαι τοὺς προγόνους πάτριον εἶναι [s]Λεωκράτην μὴ ἀποκτεῖναι; ὁπότε γὰρ ἐκεῖνοι ἀνάστατον τὴν πόλιν οὖσαν τὸν λόγῳ μόνῳ προδιδόντα οὕτως ἀπέκτειναν, τί ὑμᾶς προσήκει τὸν ἔργῳ [t]καὶ οὐ λόγῳ τὴν οἰκουμένην ἐκλιπόντα ποιῆσαι; ἆρ' οὐχ ὑπερβαλέσθαι ἐκείνους [u]τῆς τιμωρίας; [x]καὶ ὅτ' [y]ἐκεῖνοι τοὺς [z]ἐπιχειρήσαντας τῆς παρὰ τοῦ δήμου σωτηρίας ἀποστερεῖν οὕτως ἐκόλασαν, τί ὑμᾶς προσήκει τὸν [a]αὐτοῦ τοῦ δήμου [b]τὴν σωτηρίαν προδόντα ποιῆσαι; καὶ ὅτε ὑπὲρ τῆς δόξης ἐκεῖνοι τοὺς αἰτίους [c]οὕτως ἐτιμωροῦντο, τί ὑμᾶς ὑπὲρ τῆς πατρίδος προσήκει ποιεῖν;

126 Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τὴν τῶν προγόνων γνώναι διάνοιαν, ὡς εἶχον πρὸς τοὺς παρανομοῦντας εἰς τὴν πόλιν· οὐ μὴν ἀλλ' ἔτι βούλομαι τῆς στήλης ἀκοῦσαι ὑμᾶς τῆς ἐν τῷ βουλευτηρίῳ περὶ τῶν προδοτῶν καὶ τῶν τὸν δῆμον καταλυόντων· τὸ γὰρ μετὰ πολλῶν παραδειγμά-
127 των διδάσκειν ῥᾳδίαν ὑμῖν τὴν κρίσιν καθιστησι. μετὰ γὰρ τοὺς τριάκοντα οἱ πατέρες ὑμῶν πεπονθότες ὑπὸ τῶν πολιτῶν οἷα οὐδεὶς πώποτε τῶν Ἑλλήνων ἠξίωσε, καὶ μόλις εἰς τὴν ἑαυτῶν κατεληλυθότες, ἁπάσας τὰς ὁδοὺς τῶν ἀδικημάτων ἐνέφραξαν, πεπειραμένοι καὶ εἰδότες τὰς ἀρχὰς καὶ τὰς ἐφόδους τῶν τὸν δῆμον προδιδόντων. ἐψηφίσαντο γὰρ καὶ ὤμοσαν, ἐάν τις τυραννίδι [d]ἐπιτιθῆται ἢ τὴν πόλιν προδιδῷ ἢ τὸν δῆμον καταλύῃ, τὸν αἰσθανό-
128 μενον καθαρὸν εἶναι ἀποκτείναντα. καὶ κρεῖττον ἔδοξεν αὐτοῖς τοὺς τὴν [e]αἰτίαν ἔχοντας τεθνάναι μᾶλλον ἢ πει-

[s] Λεωκράτην] vulg. Λεωκράτη.
[t] καὶ οὐ λόγῳ] vulg. om.
[u] τῆς τιμωρίας] ταῖς τιμωρίαις Stephanus.
[x] καὶ] ἀλλ' Z.
[y] ἐκεῖνοι] κεῖνοι B.
[z] ἐπιχειρήσαντας] ἐπιχειρήσαντας ἑαυτοὺς Reiskius. Heinrichius autem αὐτοὺς addit ante ἀποστερεῖν.
[a] αὐτοῦ] αὐτὴν A.B. αὐτὰν L.P.
[b] τὴν] vulg. μέν.
[c] οὕτως] vulg. ὄντως.
[d] ἐπιτιθῆται] Libri ἐπιθῆται.
[e] αἰτίαν A.B. vulg. ἐναντίαν.

ραθέντας μετὰ ἀληθείας αὐτοὺς δουλεύειν· ἀρχὴν γὰρ [f]οὕτως ὥοντο δεῖν ζῆν τοὺς πολίτας, ὥστε μηδ' εἰς ὑποψίαν ἐλθεῖν μηδένα τούτων τῶν ἀδικημάτων. Καί μοι λάβε τὸ ψήφισμα.

[g]ΨΗΦΙΣΜΑ.

129 Ταῦτα ὦ ἄνδρες ἔγραψαν εἰς τὴν στήλην, καὶ ταύτην ἔστησαν εἰς τὸ βουλευτήριον ὑπόμνημα τοῖς καθ' ἑκάστην ἡμέραν συνιοῦσι καὶ [h]βουλευομένοις ὑπὲρ τῆς πατρίδος ὡς δεῖ πρὸς [i]τοὺς τοιούτους ἔχειν. καὶ διὰ τοῦτο ἄν τις [k]αἴσθηται μόνον μέλλοντας αὐτοὺς τούτων τι ποιεῖν, ἀποκτείνειν συνώμοσαν, εἰκότως· τῶν μὲν [l]γὰρ ἄλλων ἀδικημάτων ὑστέρας δεῖ τετάχθαι τὰς τιμωρίας, προδο-
130 σίας δὲ καὶ δήμου καταλύσεως προτέρας. εἰ γὰρ [m]προήσεσθε τοῦτον τὸν καιρὸν ἐν ᾧ μέλλουσιν [n]ἐκεῖνοι κατὰ τῆς πατρίδος φαῦλόν τι πράττειν, οὐκ ἔστιν ὑμῖν μετὰ ταῦτα δίκην [o]παρ' αὐτῶν ἀδικούντων λαβεῖν· κρείττους γὰρ ἤδη γίνονται τῆς παρὰ τῶν ἀδικουμένων τιμωρίας.

Ἐνθυμεῖσθε τοίνυν ὦ ἄνδρες τῆς προνοίας ταύτης καὶ τῶν ἔργων ἀξίως, καὶ μὴ ἐπιλανθάνεσθε ἐν τῇ ψήφῳ οἵων ἀνδρῶν ἔκγονοί ἐστε, ἀλλὰ παρακελεύεσθε ὑμῖν αὐτοῖς
[p]ὅπως ὅμοια ἐκείνοις καὶ ἀκόλουθα ἐν τῇ τήμερον ἡμέρᾳ
131 ἐψηφισμένοι ἐκ τοῦ δικαστηρίου ἐξίητε. ὑπομνήματα δ' ἔχετε καὶ παραδείγματα τῆς ἐκείνων τιμωρίας τὰ ἐν τοῖς περὶ τῶν ἀδικούντων ψηφίσμασιν ὡρισμένα· διομωμόκατε δ' ἐν τῷ ψηφίσματι τῷ Δημοφάντου κτείνειν τὸν τὴν πατρίδα προδιδόντα καὶ λόγῳ καὶ ἔργῳ καὶ χειρὶ

[f] οὕτως] Addidi ex A.B.

[g] Titulum posui, cum lacuna esset in A.

[h] βουλευομένοις] βουλομένοις L.Z.

[i] τοὺς τοιούτους] vulg. om. articulum.

[k] αἴσθηται μόνον] vulg. αἴσθησιν.

[l] γὰρ] Supra versum habet A.

[m] προήσεσθε] ποιήσεσθε A.B.L. ποιήσεσθαι Z.

[n] ἐκεῖνοι] ἐκεῖνον Z.

[o] παρ' αὐτῶν] παρὰ τῶν Z.

[p] ὅπως] vulg. ὡς.

καὶ ψήφῳ. μὴ γὰρ οἴεσθε τῶν μὲν οὐσιῶν ἃς ἂν οἱ πρόγονοι καταλίπωσι κληρονόμοι εἶναι, τῶν δὲ ὅρκων καὶ τῆς 166
πίστεως [q] ἣν δόντες οἱ πατέρες [r] ὑμῶν ὅμηρον τοῖς θεοῖς τῆς κοινῆς εὐδαιμονίας [s] τῆς πόλεως μετεῖχον, ταύτης δὲ μὴ κληρονομεῖν.

132 Οὐ μόνον τοίνυν ἡ πόλις ὑμῶν οὕτως [t] ἔσχε πρὸς τοὺς [u] προδιδόντας, ἀλλὰ καὶ Λακεδαιμόνιοι. καὶ μή μοι ἀχθεσθῆτε, ὦ ἄνδρες, εἰ πολλάκις μέμνημαι τῶν ἀνδρῶν 5
τούτων· [x] καλὸν γάρ ἐστι [y] πόλεως εὐνομουμένης περὶ τῶν δικαίων παραδείγματα λαμβάνειν· ἀσφαλέστερον [z] γὰρ ἕκαστος ὑμῶν τὴν δικαίαν καὶ τὴν εὔορκον ψῆφον [a] θήσεται. Παυσανίαν γὰρ τὸν βασιλέα αὐτῶν προδιδόντα τῷ Πέρσῃ τὴν Ἑλλάδα λαβόντες, ἐπειδὴ ἔφθασε καταφυγὼν εἰς τὸ τῆς Χαλκιοίκου ἱερόν, τὴν θύραν ἀνοικοδομήσαντες καὶ τὴν ὀροφὴν ἀποσκευάσαντες καὶ κύκλῳ περιστρατοπεδεύσαντες οὐ πρότερον ἀπῆλθον πρὶν ἢ τῷ 10
133 λιμῷ ἀπέκτειναν, καὶ πᾶσιν ἐπίσημον [b] ἐποίησαν τὴν τιμωρίαν, ὅτι οὐδ' αἱ παρὰ τῶν θεῶν ἐπικουρίαι τοῖς προδόταις βοηθοῦσιν, εἰκότως· οὐδὲν γὰρ πρότερον ἀδικοῦσιν ἢ περὶ τοὺς θεοὺς ἀσεβοῦσι, τῶν πατρῴων νομίμων [c] αὐτοὺς ἀποστεροῦντες. μέγιστον δὲ τῶν ἐκεῖ γεγενημένων τεκμήριόν [d] ἐστιν, ὃ μέλλω λέγειν· νόμον γὰρ ἔθεντο περὶ ἁπάντων τῶν μὴ θελόντων ὑπὲρ τῆς πατρίδος κινδυνεύειν διαρ- 15
ῥήδην λέγοντα ἀποθνήσκειν, εἰς αὐτὸ τοῦτο τὴν τιμωρίαν

[q] ἣν] οἷς Z.
[r] ὑμῶν Z. vulg. ἡμῶν.
[s] τῆς πόλεως] vulg. om. articulum.
[t] ἔσχε] εἶχε Z. προ
[u] προδιδόντας A.B.Z. παραδιδόντας L. vulg. προπαραδιδόντας.
[x] καλὸν] καλῶν P.
[y] πόλεως] πόλις Z.
[z] γὰρ ἕκαστος] vulg. γὰρ ἂν ἕκαστος.
[a] θήσεται] Libri θῆται.
[b] ἐποίησαν τὴν τιμωρίαν A.B.L. Z. vulg. τὴν τιμωρίαν ἐποίησαν.
[c] αὐτοὺς Heinrichius: libri ἑαυτούς.
[d] ἐστὶν] Addidi ex A.B.

[e]τάξαντες [f]εἰς ὃ μάλιστα φοβούμενοι τυγχάνουσι, καὶ τὴν ἐκ τοῦ πολέμου σωτηρίαν ὑπεύθυνον κινδύνῳ ἐποίησαν [g]μετ' αἰσχύνης. ἵνα δὲ εἰδῆτε ὅτι οὐ λόγον ἀναπόδεικτον εἴρηκα ἀλλὰ μετ' ἀληθείας παραδείγματα, φέρε αὐτοῖς τὸν νόμον.

[h]NOMOΣ.

134 Ἐνθυμεῖσθε [i]δὴ ὡς καλὸς ὁ νόμος, ὦ ἄνδρες, καὶ σύμφορος οὐ μόνον ἐκείνοις ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνθρώποις. ὁ γὰρ παρὰ τῶν πολιτῶν φόβος ἰσχυρὸς ὢν ἀναγκάσει τοὺς πρὸς τοὺς πολεμίους κινδύνους ὑπομένειν· τίς γὰρ ὁρῶν θανάτῳ ζημιούμενον τὸν προδότην ἐν τοῖς κινδύνοις ἐκλείψει τὴν πατρίδα; ἢ τίς παρὰ τὸ συμφέρον τῆς πόλεως φιλοψυχήσει εἰδὼς ὑποκειμένην αὐτῷ [k]τιμωρίαν; οὐδεμίαν γὰρ ἄλλην [l]δεῖ ζημίαν εἶναι τῆς [m]δειλίας ἢ θάνατον· εἰδότες γὰρ ὅτι δυοῖν κινδύνοιν ὑποκειμένοιν ἀναγκαῖον ἔσται θατέρου μετασχεῖν, πολὺ μᾶλλον αἱρήσονται τὸν πρὸς τοὺς πολεμίους ἢ τὸν πρὸς τοὺς νόμους καὶ τοὺς πολίτας.

135 [n]Τοσούτῳ δ' ἂν δικαιότερον [o]οὗτος ἀποθάνοι τῶν ἐκ τῶν στρατοπέδων φευγόντων, ὅσον οἱ μὲν εἰς τὴν πόλιν ἥκουσιν [p]ὡς ὑπὲρ ταύτης μαχούμενοι ἢ κοινῇ μετὰ τῶν ἄλλων πολιτῶν συνατυχοῦντες, οὑτοσὶ δ' ἐκ τῆς πατρίδος ἔφυγεν ἰδίᾳ τὴν σωτηρίαν ποριζόμενος, οὐδὲ ὑπὲρ τῆς ἰδίας ἑστίας ἀμύνεσθαι τολμήσας, ἀλλὰ μόνος οὗτος τῶν πάντων ἀνθρώπων καὶ [q]τὰ τῆς φύσεως οἰκεῖα καὶ ἀναγ-

[e] τάξαντες] vulg. κατάξαντες.
[f] εἰς] Inutilis visa est præpositio: tu confer Æschin. p. 22, 9. ἐκ τούτων ἐξ ὧν—et p. 37, 1. ἐφ' οἷς—ἐπὶ τοῖς αὐτοῖς ἐφ' οἷσπερ.
[g] μετ' αἰσχύνης] vulg. om.
[h] NOMOΣ] ὁ νόμος P.
[i] δὴ A.B. vulg. δέ.
[k] τιμωρίαν] τὴν τιμωρίαν Z.
[l] δεῖ A. vulg. om.
[m] δειλίας] δουλείας Z.
[n] Τοσούτῳ] τοσοῦτο L.Z. τοσοῦτον P.
[o] οὗτος] ἐκεῖνος Z.
[p] ὡς] om. Z.
[q] τὰ] κατὰ L.P.Z.

καῖα προδέδωκεν, ἃ καὶ τοῖς ἀλόγοις ζώοις μέγιστα καὶ
136 σπουδαιότατα διείληπται. τὰ γοῦν ζῶα [r]τὰ πετεινὰ
μάλιστα πέφυκε [s]πρὸς τάχος, [t]ἃ ἔστιν ἰδεῖν ὑπὲρ τῆς
αὑτῶν νεοττιᾶς ἐθέλοντα ἀποθνήσκειν· ὅθεν καὶ τῶν [u]ποι-
ητῶν τινὲς εἰρήκασιν

οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον, 35
ἄλλῃ νεοσσοὺς [x]ἠξίωσεν ἐντεκεῖν.

ἀλλὰ Λεωκράτης τοσοῦτον ὑπερβέβληκε δειλίᾳ, ὥστε τὴν
137 πατρίδα τοῖς πολεμίοις ἐγκατέλιπε. τοιγαροῦν οὐδεμία
πόλις αὐτὸν εἴασε παρ' αὐτῇ μετοικεῖν, ἀλλὰ μᾶλλον
[y]τῶν ἀνδροφόνων ἤλαυνεν, εἰκότως· οἱ μὲν γὰρ φόνου φεύ-
γοντες εἰς ἑτέραν πόλιν μεταστάντες οὐκ ἔχουσιν ἐχθροὺς 40
τοὺς [z]ὑποδεξαμένους, [a]τοῦτον δὲ τίς ἂν ὑποδέξαιτο πό-
λις; ὃς γὰρ ὑπὲρ τῆς [b]αὐτοῦ πατριδος οὐκ ἐβοηθησε,
ταχύ γε ἂν ὑπὲρ τῆς ἀλλοτρίας κινδυνόν τινα ὑπομείνειε.
κακοὶ γὰρ καὶ πολῖται καὶ ξένοι καὶ ἰδία φίλοι, οἱ τοι-
οῦτοι τῶν ἀνθρώπων εἰσίν, οἳ τῶν μὲν ἀγαθῶν τῶν τῆς
πόλεως μεθέξουσιν, ἐν δὲ ταῖς ἀτυχίαις οὐδὲ βοηθείας
138 ἀξιώσουσι. καίτοι τὸν ὑπὸ τῶν μηδὲν ἀδικουμένων μι- 167
σούμενον καὶ ἐξελαυνόμενον τί δεῖ παθεῖν ὑφ' ὑμῶν τῶν
τὰ [c]δεινότατα πεπονθότων; ἆρ' οὐ τῆς ἐσχάτης τιμωρίας
τυγχάνειν; καὶ μὴν ὦ ἄνδρες τῶν πώποτε προδοτῶν δι-
καιότατ' ἂν Λεωκράτης, εἴ τις μείζων εἴη τιμωρία θανά-
του, ταύτην ὑπόσχοι. οἱ μὲν γὰρ ἄλλοι προδόται μέλ-
λοντες ἀδικεῖν, ὅταν μὴ ληφθῶσι, τιμωρίαν ὑπέχουσιν· 5

[r] τὰ πετεινὰ] Articulum om. A.B.L.P.Z.

[s] πρὸς τάχος] πρὸς τὸ τάχος A.

[t] ἃ ante μάλιστα ponebat Reiskius.

[u] ποιητῶν A.B.Z. vulg. ποιητικῶν.

[x] ἠξίωσεν ἐντεκεῖν Scaliger: libri ἐντεκεῖν ἠξίωσεν.

[y] τῶν ἀνδροφόνων] τὸν ἀνδροφόνον A.L.P.

[z] ὑποδεξαμένους] vulg. ὑποδεξομένους.

[a] τοῦτον] τὸν P.

[b] αὐτοῦ] ἑαυτοῦ P.

[c] δεινότατα A.B. vulg. δεινά.

οὗτος δὲ μόνος διαπεπραγμένος ὅπερ ἐπεχείρησε, τὴν πό-
λιν [d]ἐγκαταλιπὼν κρίνεται.

139 Θαυμάζω δὲ καὶ τῶν συνηγορεῖν αὐτῷ μελλόντων, διὰ
τί ποτε [e]τοῦτον ἀξιώσουσιν ἀποφυγεῖν. πότερον διὰ τὴν
πρὸς αὐτοὺς φιλίαν; ἀλλ' ἔμοιγε δοκοῦσι δικαίως οὐκ
ἂν χάριτος τυχεῖν ἀλλ' ἀποθανεῖν, ὅτι χρῆσθαι τούτῳ
τολμῶσι. πρὶν μὲν γὰρ τοῦτο πρᾶξαι Λεωκράτην ἄδηλον
ἦν ὁποῖοί τινες ὄντες ἐτύγχανον, νῦν δὲ πᾶσι φανερὸν ὅτι
τοῖς αὐτοῖς ἤθεσι χρώμενοι τὴν πρὸς [f]τοῦτον φιλίαν δια-
φυλάττουσιν, ὥστε πολὺ πρότερον ὑπὲρ αὐτῶν αὐτοῖς
ἐστὶν ἀπολογητέον ἢ τοῦτον παρ' ὑμῶν ἐξαιτητέον.

140 Ἡγοῦμαι δ' ἔγωγε καὶ τὸν πατέρα αὐτῷ τὸν τετελ-
ευτηκότα, εἴ τις [g]ἄρα ἔστιν αἴσθησις τοῖς ἐκεῖ [h]περὶ τῶν
ἐνθάδε γινομένων, ἁπάντων ἂν χαλεπώτατον γενέσθαι δι-
καστήν, οὗ τὴν χαλκῆν εἰκόνα ἔκδοτον κατέλιπε τοῖς πο-
λεμίοις [i]ἐν τῷ τοῦ Διὸς [k]τοῦ σωτῆρος ἱεροσυλῆσαι καὶ
αἰκίσασθαι, καὶ ἣν ἐκεῖνος ἔστησε μνημεῖον τῆς αὐτοῦ
μετριότητος, ταύτην αὐτὸς ἐπονείδιστον ἐποίησε· τοσούτου
141 γὰρ [l]υἱοῦ πατὴρ προσαγορεύεται. διὸ καὶ πολλοί μοι
προσεληλύθασιν, ὦ ἄνδρες, ἐρωτῶντες διὰ τί οὐκ ἐνέ-
γραψα τοῦτο εἰς τὴν εἰσαγγελίαν, προδεδωκέναι τὴν εἰ-
κόνα [m]τὴν τοῦ πατρός, τὴν ἐν τῷ τοῦ Διὸς τοῦ σωτῆρος
ἀνακειμένην. ἐγὼ δὲ ὦ ἄνδρες οὐκ [n]ἠγνόουν τοῦτο τὸ ἀδί-
κημα [o]ἄξιον τῆς μεγίστης τιμωρίας, ἀλλ' οὐχ ἡγούμην
δεῖν περὶ προδοσίας τοῦτον κρίνων ὄνομα Διὸς σωτῆρος
ἐπιγράψαι πρὸς τὴν εἰσαγγελίαν.

[d] ἐγκαταλιπὼν A. vulg. καταλιπών.
[e] τοῦτον] τούτων P.
[f] τοῦτον] τούτων A.
[g] ἄρα] vulg. om.
[h] περὶ] om. Z.
[i] ἐν τῷ] αὐτῷ Z.
[k] τοῦ σωτῆρος] Articulum om. A.B.L.P.Z.
[l] υἱοῦ] υἷος Z.
[m] τὴν τοῦ] vulg. om. priorem articulum.
[n] ἠγνόουν] ἐνόουν Z.
[o] ἄξιον] Immo ἄξιων ὤν.

142 Ἐκπέπληγμαι δὲ μάλιστα ἐπὶ τοῖς μήτε γένει μήτε φιλίᾳ μηδὲν προσήκουσι, μισθοῦ δὲ [p] συναπολογουμένοις ἀεὶ τοῖς κρινομένοις, εἰ λελήθασιν ὑμᾶς τῆς ἐσχάτης ὀργῆς δικαίως ἂν τυγχάνοντες. τὸ γὰρ ὑπὲρ τῶν ἀδικημάτων ἀπολογεῖσθαι τεκμήριόν ἐστιν ὅτι καὶ τῶν πεπραγμένων οἱ τοιοῦτοι ἂν [q] μετάσχοιεν. οὐ γὰρ [r] δεῖ καθ' ὑμῶν γεγενῆσθαι [s] δεινόν, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας.

143 Καίτοι τινὲς αὐτῶν [t] οὐκέτι τοῖς λόγοις ὑμᾶς παρακρούσασθαι ζητοῦσιν, ἀλλ' ἤδη ταῖς αὐτῶν λειτουργίαις ἐξαιτεῖσθαι τοὺς κρινομένους ἀξιώσουσιν· ἐφ' οἷς ἔγωγε καὶ μάλιστ' ἀγαναχτῶ. εἰς γὰρ τὸν ἴδιον οἶκον αὐτὰς περιποιησάμενοι κοινὰς χάριτας ὑμᾶς ἀπαιτοῦσιν. οὐ γὰρ εἴ τις ἱπποτετρόφηκεν ἢ κεχορήγηκε λαμπρῶς ἢ τῶν ἄλλων τῶν τοιούτων τι δεδαπάνηκεν, ἄξιός ἐστι παρ' ὑμῶν τοιαύτης χάριτος (ἐπὶ τούτοις γὰρ αὐτὸς μόνος στεφανοῦται, τοὺς ἄλλους οὐδὲν ὠφελῶν,) ἀλλ' εἴ τις τετριηράρχηκε λαμπρῶς ἢ τείχη τῇ πατρίδι περιέβαλεν ἢ πρὸς τὴν
144 κοινὴν σωτηρίαν ἐκ τῶν ἰδίων συνευπόρησε· ταῦτα γάρ ἐστι κοινῶς ὑπὲρ ἡμῶν ἁπάντων, καὶ ἐν μὲν τούτοις ἔστιν ἰδεῖν τὴν ἀρετὴν τῶν ἐπιδεδωκότων, ἐν ἐκείνοις δὲ τὴν εὐπορίαν μόνον τῶν δεδαπανηκότων. ἡγοῦμαι δ' ἔγωγε [u] οὐδένα ἂν οὕτω μεγάλα τὴν πόλιν εὐηργετηκέναι, ὥστ' ἐξαίρετον ἀξιοῦν λαμβάνειν χάριν τὴν κατὰ τῶν προδιδόντων τιμωρίαν, οὐδ' οὕτως ἀνόητον ὥστε φιλοτιμεῖσθαι μὲν πρὸς τὴν πόλιν, τούτῳ δὲ βοηθεῖν ὃς αὐτοῦ [v] πρῶτον τὰς

[p] συναπολογουμένοις] συναπολογουμένου Z.
[q] μετάσχοιεν] κατάσχοιεν L.P. Z.
[r] δεῖ] Libri cum vulg. δὴ.
[s] δεινόν] vulg. δεῖ.
[t] οὐκέτι—παρακρούσασθαι Reiskius: libri οὐκ ἐπὶ — προσκρούσασθαι.
[u] οὐδένα] οὐδὲν Z.
[v] πρῶτον] πρώτου Z.

φιλοτιμίας ἠφάνισεν· εἰ μὴ νὴ Δία μὴ ταὐτὰ τῇ πατρίδι καὶ τούτοις ἐστὶ συμφέροντα.

145 Ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες, εἰ καὶ περὶ οὐδενὸς ἄλλου νόμιμόν ἐστι παῖδας καὶ γυναῖκας παρακαθισαμένους ἑαυτοῖς τοὺς δικαστὰς δικάζειν, ἀλλ' οὖν γε περὶ προδοσίας κρίνοντας οὕτως ὅσιον [x]εἶναι τοῦτο πράττειν, ὅπως ὁπόσοι τοῦ κινδύνου μετεῖχον, ἐν ὀφθαλμοῖς ὄντες καὶ ὁρώμενοι καὶ ἀναμιμνήσκοντες ὅτι τῶν κοινῶν παρὰ πᾶσιν ἐλέου [y]οὐκ ἠξιώθησαν, πικροτέρας τὰς γνώσεις [z]κατὰ τοῦ 168
ἀδικοῦντος παρασκευάζωσιν. ἐπειδὴ δ' οὐ νόμιμον οὐδ' εἰθισμένον ἐστίν, ἀλλ' ἀναγκαῖον ὑμᾶς ὑπὲρ ἐκείνων δικάζειν. τιμωρησάμενοι οὖν [a]Λεωκράτη καὶ ἀποκτείναντες αὐτόν, ἀπαγγείλατε τοῖς ὑμετέροις [b]αὐτῶν παισὶ καὶ γυναιξὶν ὅτι ὑποχείριον λαβόντες τὸν προδότην αὐτῶν ἐτι-
146 μωρήσασθε. καὶ γὰρ δεινὸν καὶ σχέτλιον, ὅταν νομίζῃ δεῖν Λεωκράτης ἴσον ἔχειν ὁ φυγὼν ἐν τῇ τῶν [c]μεινάντων πόλει καὶ ὁ μὴ κινδυνεύσας ἐν τῇ τῶν παραταξαμένων καὶ ὁ μὴ διαφυλάξας ἐν τῇ τῶν σωσάντων, ἀλλ' [d]ἥκῃ ἱερῶν [e]ὁσίων [f]ἀγορᾶς νόμων πολιτείας μεθέξων, ὑπὲρ ὧν τοῦ μὴ καταλυθῆναι χίλιοι τῶν [g]ὑμετέρων πολιτῶν ἐν Χαιρωνείᾳ ἐτελεύτησαν καὶ δημοσίᾳ αὐτοὺς ἡ πόλις [h]ἔθαψεν. ὧν οὗτος οὐδὲ τὰ ἐλεγεῖα τὰ ἐπιγεγραμμένα [i]τοῖς μνημείοις ἐπανιὼν εἰς τὴν πόλιν ᾐδέσθη, ἀλλ' οὕτως ἀναι-
δῶς ἐν τοῖς ὀφθαλμοῖς τῶν πεισθησάντων τὰς ἐκείνων συμφο-
147 ρὰς ἡγεῖται δεῖν ἀναστρέφεσθαι. καὶ αὐτίκα μάλ' ὑμᾶς

[x] εἶναι—ὅπως] vulg. οἷμαι—ἵν'.
[y] οὐκ ἠξιώθησαν A.B. vulg. ἠξιώθησαν.
[z] κατὰ A.B, παρὰ L.P.Z. vulg. περί.
[a] Λεωκράτη] Λεωκράτην P.Z.
[b] αὐτῶν] αὐτὸν Z.
[c] μεινάντων Taylorus : libri σωσάντων.
[d] ἥκῃ] ἥκει A.B.L.P.Z.
[e] ὁσίων Reiskius : libri οὐσιῶν.
[f] ἀγορᾶς νόμων] νόμων ἀγορᾶς Z.
[g] ὑμετέρων A.B. vulg. ἡμετέρων.
[h] ἔθαψεν] ἔθαψαν A.B.L.Z.
[i] τοῖς A.B. vulg. ἐν τοῖς.

ἀξιώσει ἀκούειν αὐτοῦ ἀπολογουμένου κατὰ τοὺς νόμους· ὑμεῖς δ' ἐρωτᾶτε αὐτὸν ποίους; οὓς ἐγκαταλιπὼν ᾤχετο. καὶ [k]ἐάσετε αὐτὸν οἰκεῖν ἐν τοῖς τείχεσι τῆς πατρίδος· [l]ποίοις; ἃ μόνος τῶν πολιτῶν [m]οὐ συνδιεφύλαξε. καὶ [n]ἐπικαλέσεται τοὺς θεοὺς σώσοντας αὐτὸν ἐκ τῶν κινδύνων· τίνας; οὐχ ὧν τοὺς νεὼς καὶ τὰ ἕδη καὶ τὰ τεμένη προὔδωκεν; καὶ δεήσεται καὶ ἱκετεύσει ἐλεῆσαι αὐτὸν τίνων; οὐχ οἷς [o]τὸν αὐτὸν ἔρανον εἰς τὴν σωτηριαν εἰσενεγκεῖν οὐκ ἐτόλμησεν; Ῥοδίους ἱκετευέτω· [p]τὴν γὰρ ἀσφάλειαν ἐν τῇ ἐκείνων πόλει μᾶλλον ἢ ἐν τῇ [q]ἑαυτοῦ πατρίδι ἐνόμισεν εἶναι. 148 Ποία δὲ ἡλικία δικαίως ἂν τοῦτον ἐλεήσειε; πότερον ἡ τῶν πρεσβυτέρων; ἀλλ' οὐδὲ γηροτροφηθῆναι οὐδ' ἐν ἐλευθέρῳ ἐδάφει τῆς πατριδος αὐτοῖς ταφῆναι τὸ καθ' αὐτὸν μέρος παρέδωκεν. ἀλλ' ἡ τῶν νεωτέρων; καὶ τίς [r]ἀναμνησθεὶς τῶν ἡλικιωτῶν τῶν ἐν Χαιρωνείᾳ ἑαυτοῖς [s]συμπαραταξαμένων καὶ τῶν κινδύνων τῶν αὐτῶν μετασχόντων σώσειε τὸν τὰς ἐκείνων θήκας προδεδωκότα, καὶ τῇ αὐτῇ ψήφῳ τῶν μὲν ὑπὲρ τῆς ἐλευθερίας τελευτησάντων [t]παράνοιαν καταγνοίη, τὸν [u]δὲ καταλιπόντα τὴν πατρίδα ὡς εὖ φρονοῦντα ἀθῶον ἀφήσει. 149 ἐξουσίαν ἄρα [x]δώσετε [y]τῷ βουλομένῳ καὶ λόγῳ καὶ ἔργῳ τὸν δῆμον [z]καὶ ὑμᾶς κακῶς ποιεῖν. οὐ γὰρ μόνον νῦν οἱ

[k] ἐάσετε] ἐᾶσαι Reiskius.

[l] ποίοις ἃ μόνος Reiskius : libri ποιησάμενοι.

[m] οὐ] Libri οἷς οὐ, Reiskius αὐτοῖς οὐ.

[n] ἐπικαλέσεται] ἐπικαλέσετε Z.

[o] τὸν αὐτὸν ἔρανον Scaliger : libri τῶν αὐτῶν ἐράνων.

[p] τὴν γὰρ A. ceteri τήν : vulg. ἐπεὶ καὶ τήν.

[q] ἑαυτοῦ A.Z. vulg. αὐτοῦ.

[r] ἀναμνησθεὶς] Malim ἂν μνησθείς.

[s] συμπαραταξαμένων] συμπαταξαμένων Z.

[t] παράνοιαν Reiskius : libri παρανοίας.

[u] δὲ καταλιπόντα] Immo δ' ἐγκαταλιπόντα.

[x] δώσετε] δώσητε L.P.

[y] τῷ] om. A.B.L.P.

[z] καὶ ante ὑμᾶς supra versum habet A.

φεύγοντες κατέρχονται, ὅταν ὁ ἐγκαταλιπὼν τὴν πόλιν καὶ [a]φυγὴν αὐτὸς ἑαυτοῦ καταγνοὺς καὶ οἰκήσας ἐν Μεγάροις [b]ἐπὶ προστάτου πλείω πέντ' ἢ ἓξ [c]ἔτη ἐν τῇ χώρᾳ καὶ ἐν τῇ πόλει ἀναστρέφηται, ἀλλὰ καὶ ὁ μηλόβοτον τὴν Ἀττικὴν εἶναι φανερᾷ τῇ ψήφῳ καταψηφισάμενος, οὗτος ἐν ταύτῃ τῇ χώρᾳ σύνοικος [d]ὑμῶν [e]γενήσεται.

150 Βούλομαι δ' ἔτι βραχέα πρὸς ὑμᾶς εἰπὼν καταβῆναι, καὶ τὸ ψήφισμα τοῦ δήμου παρασχόμενος ὃ περὶ εὐσεβείας ἐποιήσατο· χρήσιμον γὰρ ὑμῖν [f]ἐστὶ τοῖς μέλλουσι τὴν ψῆφον φέρειν. Καί μοι λέγε [g]τὸ αὐτὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

151 Ἐγὼ [h]μὲν [i]τοίνυν μηνύω τὸν ἀφανίζοντα ταῦτα πάντα πρὸς ὑμᾶς τοὺς κυρίους ὄντας κολάσαι, ὑμέτερον δέ ἐστι καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τιμωρήσασθαι Λεωκράτην. τὰ γὰρ ἀδικήματα, ἕως μὲν ἂν ᾖ ἄκριτα, παρὰ τοῖς πράξασίν ἐστιν, ἐπειδὰν δὲ κρίσις γένηται, παρὰ τοῖς μὴ δικαίως ἐπεξελθοῦσιν. εὖ δὲ ἴστε ὦ ἄνδρες ὅτι νῦν κρύβδην ψηφιζόμενος ἕκαστος ὑμῶν φανερὰν ποιήσει τὴν αὐ-
152 τοῦ διάνοιαν τοῖς θεοῖς. ἡγοῦμαι δέ, ὦ ἄνδρες, ὑπὲρ ἁπάντων τῶν μεγίστων καὶ δεινοτάτων ἀδικημάτων μίαν ὑμᾶς ψῆφον ἐν τῇ τήμερον ἡμέρᾳ φέρειν, οἷς ἅπασιν ἔνοχον ὄντα Λεωκράτην ἔστιν ἰδεῖν, προδοσίας μὲν ὅτι τὴν πόλιν ἐγκαταλιπὼν τοῖς πολεμίοις ὑποχείριον ἐποίησε, δήμου δὲ καταλύσεως ὅτι οὐχ ὑπέμεινε τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον, ἀσεβείας δ' ὅτι τοῦ τὰ τεμένη τέμ-

[a] φυγὴν] φυγὼν L.P.Z.
[b] ἐπὶ προστάτου] ἐπεὶ πρὸς τὰ τοῦ L.Z.
[c] ἔτη] τῇ A.B.L.P.Z.
[d] ἡμῶν] ὑμῶν A.B.Z.
[e] γενήσεται Melanchthon: libri γένηται.
[f] ἐστὶ] vulg. om.
[g] τὸ αὐτὸ] Fallor aut latet in pronomine nomen ejus qui hoc psephisma tulit.
[h] μὲν addidit Reiskius.
[i] τοίνυν μηνύω pr. A. vulg. τοίνυν ὑμῖν μηνύω.

νεσθαι καὶ τοὺς νεὼς κατασκάπτεσθαι τὸ καθ' ἑαυτὸν 169
γέγονεν αἴτιος, τοκέων δὲ κακώσεως [ὅτι] τὰ μνημεῖα
αὐτῶν ἀφανίζων καὶ τῶν νομίμων ἀποστερῶν, λειπο-
ταξίου δὲ καὶ ἀστρατείας [k]οὐ παρασχὼν τὸ σῶμα τάξαι
153 τοῖς στρατηγοῖς. ἔπειτα [l]τούτου τίς ἀποψηφιεῖται καὶ
συγγνώμην ἕξει τῶν κατὰ [m]προαίρεσιν ἀδικημάτων; καὶ
τοσοῦτον [n]ἔσται ἀνόητος ὥστε τοῦτον [o]σώζων τὴν ἑαυτοῦ 5
σωτηρίαν προέσθαι τοῖς ἐγκαταλιπεῖν βουλομένοις, καὶ
τοῦτον ἐλεήσας αὐτὸς [p]ἀνελέητος ὑπὸ τῶν πολεμίων
[q]ἀπολέσθαι προαιρήσεται, καὶ τῷ προδότῃ τῆς πατρίδος
χάριν θέμενος ὑπεύθυνος εἶναι τῇ παρὰ τῶν θεῶν τιμωρίᾳ;
154 Ἐγὼ μὲν οὖν καὶ τῇ πατρίδι βοηθῶν καὶ τοῖς ἱεροῖς
καὶ τοῖς νόμοις ἀποδέδωκα τὸν ἀγῶνα ὀρθῶς καὶ δικαί-
ως, οὔτε τὸν ἄλλον [r]τούτου βίον διαβαλὼν οὔτ' ἔξω τοῦ 10
πράγματος οὐδὲν κατηγορήσας· ὑμῶν δ' ἕκαστον χρὴ
νομίζειν τὸν Λεωκράτους ἀποψηφιζόμενον θάνατον τῆς
155 πατρίδος καὶ [s]ἀνδραποδισμὸν [t]καταψηφίζεσθαι, καὶ
δυοῖν [u]καδίσκοιν κειμένοιν, [x]τοῦ μὲν προδοσίας τοῦ δὲ
σωτηρίας [y]εἵνεκα, τὰς ψήφους φέρεσθαι τὰς μὲν ὑπὲρ
ἀναστάσεως τῆς πατρίδος, τὰς δὲ ὑπὲρ ἀσφαλείας καὶ
[z]τῆς ἐν τῇ πόλει εὐδαιμονίας. ἐὰν [a]μὲν [b]Λεωκράτη ἀπο-
λύσητε, προδιδόναι τὴν πόλιν καὶ τὰ ἱερὰ καὶ τὰς ναῦς 15
ψηφιεῖσθε· ἐὰν δὲ τοῦτον ἀποκτείνητε, διαφυλάττειν καὶ

[k] οὐ] vulg. om.
[l] τούτου] vulg. τούτοις.
[m] προαίρεσιν] αἵρεσιν Z.
[n] ἔσται Taylorus : libri ἐστιν.
[o] σώζων] σώζοντα A.B.L.P.Z.
[p] ἀνελέητος] Nonne ἀνηλέητος?
[q] ἀπολέσθαι] ἀπολεῖσθαι B.L.P.Z. Quod additur verbum προαιρήσεται concinnitati obest, sententiæ non prodest.
[r] τούτου] Addidi ex A.
[s] ἀνδραποδισμὸν] ἀνδραπόδων A.B.L.P.Z. ἀνδρῶν καὶ παίδων vulg.
[t] καταψηφίζεσθαι A. L. P. Z. vulg. καταψηφίσεσθαι.
[u] καδίσκοιν] Libri καδδίσκοιν.
[x] τοῦ — τοῦ Taylorus : libri τὸν—τόν.
[y] εἵνεκα] vulg. ἕνεκα.
[z] τῆς] Nonne τῶν?
[a] μὲν] Recepi ex A.B.
[b] Λεωκράτη] vulg. λεωκράτην.

σώζειν τὴν πατρίδα καὶ τὰς προσόδους καὶ τὴν εὐδαιμον-
156 ίαν [c]παρακελεύσεσθε. νομίζοντες οὖν ὦ Ἀθηναῖοι ἱκετεύειν
ὑμῶν τὴν χώραν καὶ τὰ δένδρα, δεῖσθαι τοὺς λιμένας τὰ
νεώρια καὶ τὰ τείχη τῆς πόλεως, ἀξιοῦν δὲ καὶ τοὺς νεὼς
καὶ τὰ ἱερὰ βοηθεῖν αὐτοῖς, παράδειγμα ποιήσατε Λεω-
κράτη, [d]ἀναμνησθέντες τῶν κατηγορουμένων, καὶ ὅτι οὐ
πλέον ἰσχύει παρ' ὑμῖν ἔλεος οὐδὲ δάκρυα τῆς ὑπὲρ τῶν
νόμων καὶ τοῦ δήμου σωτηρίας.

[c] παρακελεύσεσθε] παρακελεύεσθε B.L.P.Z. [d] ἀναμνησθέντες] ἀναμνησθέντας Z.

ΑΙΣΧΙΝΗΣ.

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ ΒΙΟΣ.

Αἰσχίνης υἱὸς μὲν ἦν Ἀτρομήτου τοῦ [a] γραμματιστοῦ καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους τελούσης. φασὶ δὲ αὐτὸν παῖδα μὲν ὄντα ἐν τῷ διδασκαλείῳ τοῦ πατρὸς ὑπουργεῖν καὶ τῇ μητρὶ τὰς βίβλους ἀναγινώσκειν, ταύτην δὲ [b] σκοτεινῶν ἐκ τόπων ὁρμωμένην καὶ φοβοῦσαν παῖδας καὶ γυναῖκας Ἔμπουσαν ὀνομασθῆναι, ἐπεὶ νυκτερινὸν φάντασμα ἡ Ἔμπουσα. γενόμενον δὲ μειράκιον ὑποκριθῆναι τραγῳδίαν, ὥστε τριταγωνιστεῖν· ὄντα δὲ λαμπρόφωνον γραμματεῦσαι Ἀριστοφῶντι καὶ [c] μετὰ τοῦτον Εὐβούλῳ, καὶ [d] ἀναγινώσκοντα ψηφισμάτων ὁμοῦ καὶ νόμων ἔμπειρον γενόμενον ἐπιθέσθαι τῷ βήματι, καὶ τῶν κατ' αὐτὸν διενεγκεῖν ὄντα [e] εὐφυᾶ. μετὰ δὲ τὴν Φιλίππου τελευτὴν δόξαντα πολεμεῖν τῷ δήμῳ καὶ διαπέμπεσθαι τῷ Ἀντιπάτρῳ κατὰ τῆς πόλεως διὰ [f] τοῦτό τε εἰληφέναι ἐν Θήβαις κτήματα, εὐθύνοντα Κτησιφῶντα, ὅτε ἔγραψε Δημοσθένην ἐν τῷ θεάτρῳ ἀναγορεῦσαι στεφάνῳ, μὴ μεταλαβεῖν τὸ πέμπτον μέρος τῶν ψήφων. ἀτιμωθέντα δὲ ἀπᾶραι εἰς τὴν Ἀσίαν, καὶ ἐλθεῖν εἰς Ἔφεσον οἰηθέντα κατάξειν αὐτὸν εἰς [g] Ἀθήνας Ἀλέξανδρον· πυθόμενον δὲ τετελευτηκέναι τὸν βασιλέα καὶ ταραχὴν εἶναι τῶν διαδεχομένων, καταφυγεῖν εἰς Ῥόδον*. ἔνθα δεομένων

[a] γραμματιστοῦ Helmstadiensis, γραμματέως d. vulg. γραμματικοῦ.

[b] σκοτεινῶν ἐκ τόπων ὁρμωμένην καὶ φοβοῦσαν παῖδας καὶ γυναῖκας Helmst. vulg. ἐκ σκοτεινῶν τόπων τοῖς παισὶ καὶ τοῖς γυναιξὶν ὁρμωμένην.

[c] μετὰ τοῦτον] μετ' αὐτὸν d.

[d] ἀναγινώσκοντα] διαγινώσκωντα b.

[e] εὐφυᾶ a. b. d. m. vulg. εὐφυῆ.

[f] τοῦτό τε] τοῦτό γε a. b.

[g] Ἀθήνας Ἀλέξανδρον a. b. d. vulg. Ἀθήνας τὸν Ἀλέξανδρον.

* εἰς Ῥόδον ἐπλευσε καὶ Ῥοδιακὸν διδασκαλεῖον συνέστησε, παιδεύων τε αὖτω τοὺς νέους καὶ τοῖς τελειοτέροις ἀνδράσιν ἀναγινώσκων τὸν λόγον τὸν κατὰ Κτησιφῶντος, ὃν εἶπε κατὰ τοῦ Δημοσθένους. καὶ θαυμαζόμενος σφόδρα παρ' αὐτῶν ἐτὶ τούτῳ καὶ ἐρωτώμενος "πῶς ἂν ἐπὶ τοιούτῳ λόγῳ

[h] αὐτοῦ Ῥοδίων τὴν τέχνην διδάξαι τὴν ῥητορικήν, ἀρνήσασθαι εἰπόντα μηδ' αὐτὸν εἰδέναι. δίκας γοῦν κελευόντων εἰπεῖν οὐδὲ τοῦτο [i] θελῆσαι, συμβαλόντα ὅτι ἐν τῇ πατρίδι ἡττηθεὶς κομιδῇ γ' ἂν ἐπὶ γῆς ἀλλοτρίας διαφθαρῆναι. τέλος οὖν ἐπὶ τὴν τοῦ πατρὸς ἐλθεῖν τέχνην, καὶ διδάσκειν τοὺς παῖδας γράμματα. Δημοχάρης [k] δὲ ὁ ἀδελφιδοῦς Δημοσθένους, εἰ ἄρα πιστευτέον αὐτῷ λέγοντι περὶ Αἰσχίνου, φησὶν Ἰσχάνδρου τοῦ τραγῳδοποιοῦ τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην, καὶ ὑποκρινόμενον Οἰνόμαον διώκοντα Πέλοπα αἰσχρῶς πεσεῖν, καὶ ἀναστῆναι ὑπὸ Σαννίωνος τοῦ χοροδιδασκάλου (ἐνθένδ' οὖν ὁ Δημοσθένης Οἰνόμαον αὐτὸν ὀνομάζει, πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων), καὶ μετὰ Σωκράτους καὶ Σιμύλου, τῶν κακῶν ὑποκριτῶν, ἀλᾶσθαι [l] κατ' ἀγρούς· εἴη ἂν οὖν ἐνθένδε ἀρουραῖος λεγόμενος. ἦν δὲ [m] τὸν δῆμον [n] Αἰσχίνης Κοθωκίδης.

ΑΠΟΛΛΩΝΙΟΥ [a] ΠΕΡΙ ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ.

ΑΙΣΧΙΝΗΣ ὁ ῥήτωρ τὸ μὲν γένος ἦν Ἀθηναῖος, [b] τὸν δῆμον [c] Κοθωκίδης, υἱὸς δὲ Ἀτρομήτου, ὃν φασι πρότερον Τρόμητα καλούμενον ὕστερον συλλαβῆς προσθέσει ἀντὶ Τρόμητος Ἀτρόμητον προσαγορευθῆναι, γεγονέναι δὲ τὸ κατ' ἀρχὰς δοῦλον καὶ

" ἥττησαι;" ἀπεκρίνατο " θαυμά-
" ζετε πῶς ἥττημαι, καθὸ οὐκ ἠκού-
" σατε ὑμεῖς τοῦ θηρίου ἐκείνου." θηρίον γὰρ αὐτὸν ἐκάλει διὰ τὸ δεινὸν τῶν τρόπων καὶ ἀνελεῆμον. λέγεται δὲ ὅτι καὶ τὰς λεγομένας μελέτας καὶ τὰ πλάσματα τῶν ζητημάτων αὐτὸς πρῶτος ἐκεῖ εὗρεν ἐν τῷ σχολάζειν.

[h] αὐτοῦ Ῥοδίων τὴν τέχνην] Ῥοδίων τὴν τέχνην αὐτοῖς a. b. d. m.

[i] θελῆσαι] ἐθελῆσαι a. b. m.

[k] δὲ ὁ ἀδελφιδοῦς Δημοσθένους] Δημοσθένους δὲ ὁ ἀδελφιδοῦς m.

[l] κατ' ἀγρούς] καταγνούς d.

[m] τὸν δῆμον] τῶν δήμων a. b.

[n] Αἰσχίνης] ὁ αἰσχίνης b.

[a] ΠΕΡΙ ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ Helmst. vulg. εἰς Αἰσχίνην ἐξήγησις.

[b] τὸν δῆμον] τῶν δήμων a. b.

[c] Κοθωκίδης] καθωνίδης d.

παῖδας ἔχοντα διδάσκειν γράμματα πρὸς τῷ Θησείῳ καὶ τῷ τοῦ Ἰατροῦ ἡρῴῳ, εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας. μητρὸς δὲ [d]ἦν Αἰσχίνης Γλαυκοθέας, ἢ ὡς ἔνιοι, Γλαυκίδος. ἧν φασι τὴν πρώτην ἡλικίαν [e]ἑταιρηκέναι καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ Καλαμίτου ἡρῴῳ, ἔπειτα ὕστερον ἀναστᾶσαν ἀπὸ τῆς ἐργασίας ταύτης ἐπὶ τὸ τελεῖν καὶ καθαίρειν τοὺς βουλομένους ἀποκλῖναι. γεγονὼς δ' ἐκ τούτων ὁ Αἰσχίνης, καὶ ἀδελφῶν αὐτῷ δύο γενομένων, Ἀφοβήτου καὶ Φιλοχάρους τοῦ τὰς [f]ἀλαβαστοθήκας καὶ τὰ τύμπανα γράφοντος, παῖς μὲν ὢν τῷ πατρὶ ὑπηρέτει γράμματα διδάσκοντι, ἀνὴρ δὲ γενόμενος τὸ μὲν πρῶτον [g]ὑπεγραμμάτευσε ταῖς ἀρχαῖς χρόνον τινὰ σὺν τῷ ἀδελφῷ Ἀφοβήτῳ (ἦν δὲ ἐπονείδιστον τοῦτο τὸ ἔργον), ἔπειτα ἀποστὰς τούτου τριταγωνιστὴς ἐγένετο τραγῳδῶν, καὶ ἐν Κολυττῷ ποτὲ Οἰνόμαον ὑποκρινόμενος κατέπεσε. μετὰ ταῦτα δὲ προκόπτων τῇ ἡλικίᾳ ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέκλινε. καὶ δοκεῖ τὴν ὑπὲρ Φιλίππου καὶ Ἀλεξάνδρου πολιτείαν ἐπανελέσθαι, κοινωσάμενος Φιλοκράτει τὰ πράγματα, καὶ πρὸς τὴν ἐκείνων χάριν καὶ κολακείαν ἄρασθαι πολιτείαν πρὸς τοὺς περὶ Δημοσθένην, τοὺς τἀναντία τοῖς Φιλίππου πράγμασι καὶ Ἀλεξάνδρου πολιτευσαμένους. ὅτι δὲ πρὸς χάριν ἐπολιτεύσατο τοῖς βασιλεῦσιν, ἄλλα τε πολλὰ μαρτύριά ἐστι, καὶ δὴ [h]πάντων ἐκεῖνο ἐναργέστατον· ἑλομένου γάρ ποτε αὐτὸν τοῦ δήμου σύνδικον ὑπὲρ τοῦ ἐν Δήλῳ ἱεροῦ πρὸς τὴν γενομένην πρὸς Δηλίους Ἀθηναίων διαδικασίαν, οὐκ ἐπέτρεπεν ἡ ἐν Ἀρείῳ πάγῳ βουλή, ἀλλ' ἀπελάσασα αὐτὸν ὡς οὐκ ὄντα εὔνουν τῷ δήμῳ [i]τῷ Ἀθηναίων Ὑπερίδῃ λέγειν προσέταξε. φασὶ μέντοι τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι Πλάτωνός τε καὶ Σωκράτους, ψευδόμενοι *. ἦν δὲ καὶ

[d] ἦν ὁ Αἰσχίνης] ἦν αἰσχίνης d. m.

[e] ἑταιρηκέναι] ἑταιρικέναι b.

[f] ἀλαβαστοθήκας a.b.d.m. vulg. ἀλαβαστροθήκας.

[g] ὑπεγραμμάτευσε] ὑπογραμματεῦσαι d.

[h] πάντων ἐκεῖνο] πάντων ἐκείνων m.

[i] τῷ Ἀθηναίων d. m. τῷ ἀθηναίῳ a. b. vulg. τῶν Ἀθηναίων.

* ὅτι μαθητὴς ἐγένετο, ὡς μὲν Δημήτριος ὁ Φαληρεύς φησι, Σωκράτους τοῦ φιλοσόφου, εἶθ' ὕστερον Πλάτωνος. ὡς δὲ Καικίλιος καὶ Ἰδομενεὺς καὶ Ἕρμιππος ἱστοροῦσιν, οὐκ

ἕτερος ῥήτωρ Αἰσχίνης Ἐλευσίνιος, ὃς καὶ τέχνας λέγεται ῥητορικὰς γεγραφέναι. λέγεται δὲ ὁ Αἰσχίνης ἐρωτικὸς γεγονέναι. αὐτὸς δὲ ὁ Αἰσχίνης περὶ τοῦ γένους αὐτοῦ ἐν τῷ παραπρεσβείας φησὶν ὡς ὁ πατὴρ αὐτοῦ Ἀτρόμητος φατρίας μὲν ἦν καὶ γένους [k]τοῦ Ἐτεοβουταδῶν, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια· [l]νέος δ' ὢν [m]ἤθλει, καὶ χρόνῳ ὕστερον τὴν οὐσίαν ἀπολέσας ἐν τῷ πολέμῳ ἐξέπεσεν ὑπὸ τῶν τριάκοντα, καὶ στρατευόμενος [n]εὐνοίας καὶ ἀριστείων ἠξιώθη, καὶ ἐν Κορίνθῳ μετὰ τὴν ἔκπτωσιν διατρίψας συγκατήγαγε τὸν δῆμον· [o]βιῶσαι δ' ἀναμαρτήτως, εἶναι δ' αὐτὸν ἐτῶν ἐννενήκοντα τεσσάρων. φησὶ δὲ καὶ τοὺς πρὸς μητρὸς αὐτῷ προσήκοντας ἐλευθέρους εἶναι. τὸν δὲ ἀδελφὸν αὐτοῦ [p]Φιλοχάρη μὲν ἐν γυμνασίοις διατρίβειν καὶ μετ' Ἰφικράτους ἐστρατεῦσθαι καὶ συνεχῶς στρατηγεῖν, Ἀφόβητον δὲ τὸν [q]νεώτατον αὐτοῦ ἀδελφὸν πεπρεσβευκέναι μὲν ὡς βασιλέα ἀξίως τῆς πόλεως, ἐπὶ δὲ τῆς διοικήσεως γενομένων καλῶς τῶν δημοσίων προσόδων ἐπιμεληθῆναι. περὶ δὲ ἑαυτοῦ φησιν ὡς ἐκ παίδων ἀπαλλαγεὶς περίπολος τῆς Ἀττικῆς χώρας ἐγένετο δύο ἔτη, ἔφηβος ὤν (οὗτοι γὰρ μεθ' ὅπλων τὴν χώραν περιήρχοντο κατὰ [r]πρόσταγμα νόμου), ἐστρατεύσατο [s]δὲ πρώτην στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετ' Ἀλκιβιάδου καὶ τῶν ξένων τὴν [t]εἰς Φλιοῦντα πομπὴν κινδύνου [δὲ] γενομένου περὶ τὴν καλουμένην Νεμεάδα χαράδραν ἀξιεπαίνως ἐμαχέ-

ἤκουσε τούτων τῶν ἀνδρῶν μαθήσεως χάριν. φασὶ γὰρ ὡς ὅτι οὐδὲν τοῦ χαρακτῆρος τοῦ Πλατωνικοῦ σάζει, οὔτε τὸ ἀκριβὲς καὶ καθαρὸν καὶ ἀπέριττον καὶ εὔρυθμον, ἀλλὰ κεχηνυῖά πώς ἐστιν αὐτοῦ ἡ ἰδέα τοῦ λόγου καὶ ἄτεχνος μὲν καὶ προπετὴς καὶ εὐχερῶς ἐπὶ τὸ λοιδορεῖν αἰσχρῶς καὶ ἀπρεπῶς ῥήτορι ἐξαγομένη, ἔχουσα δέ τι εὐφυὲς καὶ εὐάγωγον καὶ οἷον ἂν γένοιτό τινι ἐκ φύσεως καὶ μελέτης ἀφανοῦς.

[k] τοῦ Ἐτεοβουταδῶν a. b. d. m. vulg. τῶν Ἐτεοβουταδῶν.

[l] νέος] ὃς d.

[m] ἤθλει Hier. Wolfius: libri κάλλει.

[n] εὐνοίας] καὶ εὐνοίας a. b. d.

[o] βιῶσαι a. b. d. m. vulg. βιῶναι.

[p] Φιλοχάρη] Φιλοχάρην correctus m.

[q] νεώτατον αὐτοῦ] νεώτατον αὐτῶν a. b. d. m.

[r] πρόσταγμα a. b. d. m. vulg. προσταγήν.

[s] δὲ πρώτην] δὲ τὴν πρώτην m.

[t] εἰς] om. d.

σατο, καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους πάσας ἐξῆλθε, καὶ ἐν Μαντινείᾳ γενναίως ἐμαχέσατο, καὶ τὴν ἐν [u]Ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις, εἶτ' ἐστεφανώθη μαχόμενος. ἐτελεύτησε δ' Αἰσχίνης ἀναιρεθεὶς ὑπὸ Ἀντιπάτρου καταλυθείσης τῆς πολιτείας, ὅτε καὶ οἱ περὶ Δημοσθένην ἐξεδόθησαν, βεβιωκὼς ἔτη οε. τριῶν δὲ ὄντων λόγων τῶν ὑπ' αὐτοῦ γεγραμμένων, καὶ τούτων δημοσίων (ὁ γὰρ Δηλιακὸς [x]νόθος ἐστί), τὸν μὲν κατὰ Κτησιφῶντος εὑρίσκομεν τελευταῖον γεγραμμένον (ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου χρόνων γέγραπται), τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων χρόνους πρότερός ἐστι τῇ τάξει [y]ὁ κατὰ Τιμάρχου· ἐν γὰρ τῷ μετ' αὐτόν, τῷ περὶ τῆς [z]παραπρεσβείας, μέμνηται ὁ Αἰσχίνης τούτου τοῦ λόγου.

[u] Ταμύναις a. b. vulg. Ταμύνοις.
[x] νόθος] καὶ νόθος a. b. d. m.
[y] ὁ ante κατὰ om. b.
[z] παραπρεσβείας] παρὰ τῆς πρεσβείας m.

[a] ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ.

Α.

ΥΠΟΘΕΣΙΣ.

Ἀθηναῖοι πολεμήσαντες πρὸς [b] Φίλιππον τὸν Ὀλυνθιακὸν πόλεμον, ὕστερον δόξαν αὐτοῖς εἰρήνην ἐποιήσαντο πρὸς Φίλιππον, καὶ [c] συμμαχίαν αὐτῷ καὶ τοῖς ἐγγόνοις ψηφισάμενοι ἔπεμψαν πρὸς αὐτὸν δέκα πρέσβεις τοὺς ἀπολιψομένους παρ' αὐτοῦ τοὺς ὅρκους, ἐν οἷς ἦσαν Δημοσθένης τε καὶ Αἰσχίνης. ἐπανηκούσης δὲ τῆς πρεσβείας γράφουσι παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε ὁ ῥήτωρ καὶ Τίμαρχος Ἀριζήλου Σφήττιος, διάσημος ὢν ἐν τῇ [d] πολιτείᾳ καὶ δημηγορῶν καὶ πλέον ἢ ἑκατὸν ψηφίσματα γεγραφώς. ἐτύγχανε δὲ νεωστὶ γεγραφὼς ψήφισμα βουλεύων, τὸν ἐκφέροντα ὅπλα πρὸς Φίλιππον θανάτῳ ζημιοῦσθαι. [c] ἀποτεθείσης οὖν τῆς γραφῆς, πρὶν τὸν ἀγῶνα εἰσελθεῖν, ἐγράψατο Αἰσχίνης τὸν Τίμαρχον ὡς δημηγοροῦντα παρὰ τοὺς νόμους· οὐκ [f] ἐξεῖναι γὰρ αὐτῷ δημηγορεῖν ἑταιρηκότι. ἔνιοι μὲν οὖν φασὶν ὡς ἀπήγξατο ὁ Τίμαρχος, τὴν κρίσιν οὐχ ὑπομείνας, οἱ δὲ ὅτι ἁλοὺς ἠτιμώθη, ὡς Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. οὕτω δὲ περιβόητον τὸ πρᾶγμα ἐγένετο, ὥστε ἀπὸ τῆς κρίσεως ταύτης τοὺς πόρνους [g] τὸ λοιπὸν ἐκάλουν Τιμάρχους. Τὸ δὲ προοίμιόν ἐστι τραγικώτερον· ἐν αὐτῷ δὲ [h] συστήσας ἑαυτὸν [i] μέτριον, ἵνα εὔνοιαν ἐπισπάσηται, καὶ τὸν Τίμαρχον διαβαλών, καὶ περὶ τῆς πολιτείας εἰπών, μεταβαίνει [k] ἐπὶ κεφάλαια οὐ [l] τῆς ὑποθέσεως ἴδια ἀλλὰ κοινὰ [m] κατὰ πάντων τῶν [n] ἑταιρήσεως κρινομένων. ἔστι δὲ τάδε, εἰ καλῶς καὶ [o] ἀκριβῶς τοὺς νόμους ἔθεντο οἱ παλαιοὶ τοὺς περὶ τῆς τῶν παίδων εὐκοσμίας καὶ μειρα-

[a] ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ a. b. vulg. εἰς τὸν κατὰ Τιμάρχου λόγων.

[b] Φίλιππον τὸν Ὀλυνθιακὸν] Φίλιππον ὀλυνθιακὸν a. b. d. l. m.

[c] συμμαχίαν αὐτῷ] συμμαχίαν αὐτοῖς l.

[d] πολιτείᾳ] πόλει m.

[e] ἀποτεθείσης] Reiskius προτεθείσης.

[f] ἐξεῖναι γὰρ αὐτῷ] ἐξεῖναι αὐτῷ a. b. d. m. ἐξεῖναι αὐτὸν l.

[g] τὸ λοιπὸν] om. l.

[h] συστήσας H. Wolfius, διαστήσας l. vulg. διασυστήσας.

[i] μέτριον] om. l.

[k] ἐπὶ κεφάλαια] ἐπὶ τὰ κεφάλαια d.

[l] τῆς ὑποθέσεως] τῇ ὑποθέσει d.

[m] κατὰ] καὶ κατὰ l.

[n] ἑταιρήσεως] ἑταιρήσεων l.

[o] ἀκριβῶς] ἀκριβεῖς d.

κίων καὶ τῶν ἄλλων ἡλικιῶν· εἰ ὀρθῶς ἀπεῖπον τοῖς [p] ἡταιρηκόσι μὴ δημηγορεῖν, καὶ ἐξῆς, εἰ παρὰ τοὺς νόμους δημηγορεῖ Τίμαρχος ἡταιρηκώς· ἐν ᾧ, εἰ ἔνοχος [q] τῇ γραφῇ Τίμαρχος ἑταιρήσας· [r] εἰ παρὰ Μισγόλα ἡταίρησε μισθοῦ περὶ τὰ τοιαῦτα ὄντι δεινῷ· εἰ παρὰ Ἀντικλεῖ [s] ἐν τῷ κυβευτηρίῳ [t] διατρίβων καὶ κυβεύων ἀνελήφθη ὑπὸ [u] Πιτταλάκου, δημοσίου δούλου τῆς πόλεως, καὶ παρ' αὐτῷ διέτριψεν ἑταιρῶν· εἰ παρὰ Ἡγησάνδρῳ τῷ [v] Τιμομάχου ταμίᾳ διέτριψε χρόνον ἑταιρῶν.

[x] ΑΛΛΩΣ.

Τοῦτον τὸν λόγον ὁ Αἰσχίνης γέγραφε δοκιμασίαν κατὰ Τιμάρχου. ἦν δὲ ὁ Τίμαρχος τῶν ἐπὶ τὸ βῆμα προσιόντων, καὶ αὐτὸν τὸν Αἰσχίνην σεσυκοφαντηκώς. νόμοι δέ εἰσι [y] περὶ τῶν ῥητόρων κείμενοι, οὓς τινας χρὴ εἴργεσθαι [z] τοῦ λέγειν, οἷον τοὺς τὰ πατρῷα κατεδηδοκότας, τοὺς ἡταιρηκότας· εἰ δὲ μὴ πείθοιντο, ἐξεῖναι τὸν βουλόμενον αὐτοῖς δοκιμασίαν ἐπαγγεῖλαι, ὥστε δοκιμάζεσθαι εἰ ἐπιτήδειοί εἰσι λέγειν. δύο δὲ ἐγκαλῶν Τιμάρχῳ Αἰσχίνης, καὶ ὅτι ἡταίρηκε καὶ ὅτι τὰ πατρῷα κατεδήδοκε, περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος, ὅτι τὸ πλέον τῆς κατηγορίας διὰ ταύτην ἐστί. φαίνεται δὲ νενικηκὼς τὸν ἀγῶνα, ὥς φασιν οἱ παλαιοί. δοκοῦσι δέ μοι οἱ λόγοι μετὰ τὰς δίκας γράφεσθαι.

ΟΥΔΕΝΑ πώποτε τῶν πολιτῶν, ὦ [a] ἄνδρες Ἀθηναῖοι, 1
οὔτε γραφὴν γραψάμενος, οὔτ' ἐν εὐθύναις λυπήσας,
ἀλλ' ὡς ἔγωγε νομίζω μέτριον ἐμαυτὸν [b] πρὸς ἕκαστα
τούτων παρεσχηκώς, ὁρῶν δὲ [c] τήν τε πόλιν μεγάλα
βλαπτομένην ὑπὸ Τιμάρχου [d] τουτουὶ δημηγοροῦντος παρὰ 5
τοὺς νόμους καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος (ὃν δὲ τρό-
2 πον, [e] προϊόντος ἐπιδείξω τοῦ λόγου) ἔν τι τῶν αἰσχίστων

[p] ἡταιρηκόσι—ἡταιρηκώς] ἡταιρικόσι—ἡταιρικώς b.

[q] τῇ γραφῇ Τίμαρχος d. l. vulg. Τίμαρχος τῇ γραφῇ: nomen Τίμαρχος om. a. b.

[r] εἰ παρὰ] ἐν ᾧ εἰ παρὰ d. l. m.

[s] ἐν τῷ] om. l.

[t] διατρίβων καὶ κυβεύων] κυβεύων καὶ διατρίβων m.

[u] Πιτταλάκου] πυτταλάκου d.

[v] Τιμομάχου] τιμάρχου l.

[x] ΑΛΛΩΣ] ἑτέρα ὑπόθεσις εἰς τὸν κατὰ Τιμάρχου a. et addito λόγων b.

[y] περὶ] ἐπὶ b.

[z] τοῦ λέγειν b. ceteri om. articulum.

[a] ἄνδρες] om. a. b. l. m. et hic et similibus locis.

[b] πρὸς] παρ' b.

[c] τήν τε] τὴν a. b. d. l. m.

[d] τουτουὶ] τούτου g.

[e] προϊόντος ἐπιδείξω] ἐπιδείξω προϊόντος a. b. l. m.

ἡγησάμην εἶναι μὴ βοηθῆσαι τῇ [f]τε πόλει πάσῃ καὶ [g]τοῖς νόμοις καὶ ὑμῖν καὶ ἐμαυτῷ, εἰδὼς δ' αὐτὸν ἔνοχον ὄντα οἷς ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινώσκοντος τοῦ γραμματέως, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν ταυτηνί. καὶ ὡς ἔοικεν, ὦ ἄνδρες Ἀθηναῖοι, οἱ εἰωθότες λόγοι λέ- 10
γεσθαι [h]ἐν τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ ψευδεῖς· αἱ γὰρ ἴδιαι ἔχθραι [i]πολλὰ πάνυ τῶν κοινῶν [k]ἐπανορθοῦν-
3 ται. τοῦ μὲν [l]οὖν ὅλου ἀγῶνος φανήσεται οὔθ' ἡ πόλις αἰτία οὖσα Τιμάρχῳ οὔθ' οἱ νόμοι οὔθ' ὑμεῖς οὔτ' ἐγώ, ἀλλ' αὐτὸς οὗτος [m]αὑτῷ. οἱ μὲν γὰρ νόμοι προεῖπον αὐτῷ αἰσχρῶς βεβιωκότι μὴ δημηγορεῖν, ἐπίταγμα, ὥς γε δὴ ἐγὼ κρίνω, οὐ χαλεπὸν ἐπιταξαντες ἀλλὰ καὶ πάνυ ῥᾴδιον· ἐμὲ δ' ἐξῆν [n]αὐτῷ, εἰ ἐσωφρόνει, μὴ συκο- 15
φαντεῖν. περὶ μὲν [o]οὖν τούτων μετρίως ἐλπίζω μοι προειρῆσθαι.

4 Οὐκ ἀγνοῶ δέ, [p]ὦ ἄνδρες Ἀθηναῖοι, [q]ὅτι ἃ μέλλω ἐν πρώτοις λέγειν φανεῖσθε καὶ ἑτέρων [r]ἤδη πρότερον ἀκηκοότες· ἀλλά μοι δοκεῖ [s]καιρὸς εἶναι καὶ ἐμὲ νῦν πρὸς ὑμᾶς τῷ αὐτῷ [t]λόγῳ τούτῳ [u]χρήσασθαι. [x]ὁμολογοῦνται γὰρ τρεῖς εἶναι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραν- νὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία· διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ [y]ὀλιγαρχίαι τοῖς τρόποις τῶν [z]ἐφε- 20

[f] τε] om. l.
[g] τοῖς] om. m.
[h] ἐν a. b. l. m. vulg. ἐπί.
[i] πολλὰ πάνυ] πάνυ πολλὰ l.
[k] ἐπανορθοῦνται] ἐπανορθοῦσι d. f. g.
[l] οὖν] om. l.
[m] αὑτῷ a. b. vulg. ἑαυτῷ.
[n] αὐτῷ] αὐτὸν b. d. m. et pr. a.
[o] οὖν] om. m.
[p] ὦ ἄνδρες Ἀθηναῖοι] om. a. b. l. m.
[q] ὅτι ἃ — λέγειν a. b. h. l. m. vulg. ἃ—λέγειν ὅτι.
[r] ἤδη] om. d. f. g.
[s] καιρὸς—πρὸς] καιρὸν—καὶ g.
[t] λόγῳ τούτῳ a. b. d. f. g. h. l. m. vulg. τούτῳ λόγῳ.
[u] χρήσασθαι a. b. g. h. l. vulg. χρῆσθαι. οὖν
[x] ὁμολογοῦνται] ὁμολογεῖται h.
[y] ὀλιγαρχίαι] Apud Reiskium cum articulo, αἱ ὀλιγαρχίαι. Quem mei codices omittunt. neque est p. 54, 24. προ
[z] ἐφεστηκότων] ἐφεστηκότων f. προεφεστηκότων g.

στηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι [a] τοῖς νόμοις τοῖς κειμένοις. εὖ δ' ἴστε ὦ 'Αθηναῖοι ὅτι [b] τὰ μὲν τῶν δημοκρατουμένων σώματα καὶ τὴν πολιτείαν οἱ νόμοι [c] σώζουσι, τὰ δὲ τῶν τυράννων καὶ [[d] τῶν] [e] ὀλιγαρχικῶν ἀπιστία καὶ ἡ μετὰ τῶν ὅπλων φρουρά. φυλακτέον δὴ τοῖς μὲν ὀλιγαρχικοῖς καὶ τοῖς τὴν ἄνισον πολιτείαν πολιτευομένοις τοὺς ἐν χειρῶν νόμῳ τὰς πολιτείας καταλύοντας, ὑμῖν δὲ τοῖς τὴν ἴσην [f] καὶ ἔννομον πολιτείαν ἔχουσι τοὺς παρὰ τοὺς νόμους [g] ἢ λέγοντας ἢ βεβιωκότας [[h] κολάζειν]· ἐντεῦθεν γὰρ ἰσχύσετε, ὅταν εὐνομῆσθε καὶ μὴ καταλύησθε ὑπὸ τῶν παρανομούντων [i] καὶ ἀσελγῶς βιούντων. προσήκειν δὲ ἔγωγε νομίζω, ὅταν μὲν νομοθετῶμεν, τοῦθ' ἡμᾶς σκοπεῖν, ὅπως καλῶς ἔχοντας καὶ συμφέροντας νόμους τῇ [j] πόλει [k] θησοίμεθα, ἐπειδὰν δὲ νομοθετήσωμεν, τοῖς νόμοις τοῖς κειμένοις πείθεσθαι, τοὺς δὲ μὴ πειθομένους [l] κολάζειν, εἰ δεῖ τὰ τῆς πόλεως [m] καλῶς ἔχειν. σκέψασθε γὰρ ὦ 'Αθηναῖοι ὅσην πρόνοιαν περὶ σωφροσύνης ἐποιήσατο [n] ὁ Σόλων ἐκεῖνος, ὁ παλαιὸς νομοθέτης, καὶ ὁ Δράκων καὶ οἱ κατὰ τοὺς [o] χρόνους ἐκείνους νομοθέται. πρῶτον μὲν γὰρ [p] ἐνομοθέτησαν περὶ τῆς σωφροσύνης τῶν παίδων τῶν ἡμετέρων, καὶ διαῤῥήδην ἀπέδειξαν ἃ χρὴ τὸν παῖδα τὸν ἐλεύθερον ἐπιτηδεύειν καὶ ὡς

[a] τοῖς νόμοις τοῖς κειμένοις] τοῖς κειμένοις νόμοις l.
[b] τὰ μὲν] om. h.
[c] σώζουσι] αὔξουσι l. et γρ. h.
[d] [τῶν] post καὶ om. a. b. h. l.
[e] ὀλιγαρχικῶν Taylorus: vulg. ὀλιγαρχιῶν.
[f] καὶ ἔννομον a. b. h. l. m. vulg. καὶ τὴν ἔννομον.
[g] ἢ] τι d. f. g.
[h] [κολάζειν] κολάζετε l.
[i] καὶ ἀσελγῶς βιούντων] om. a. b. l.
[j] πόλει l. m. vulg. πολιτείᾳ.
[k] θησοίμεθα] Immo θησόμεθα.
[l] κολάζειν] κολάζεσθαι d. f.
[m] καλῶς] καλῶς καὶ εὖ d. f. g. cum vulg.
[n] ὁ Σόλων a. b. h. l. m. vulg. om. articulum.
[o] χρόνους] καιροὺς d. f. g. h.
[p] Verbum ἐνομοθέτησαν ante περὶ ponunt a. b. l. m. ante καὶ ceteri.

[q] δεῖ αὐτὸν τραφῆναι, ἔπειτα δεύτερον περὶ τῶν μειρακίων, 2
τρίτον δ' ἐφεξῆς περὶ τῶν ἄλλων ἡλικιῶν, οὐ [r] μόνον περὶ
τῶν ἰδιωτῶν ἀλλὰ καὶ περὶ τῶν ῥητόρων. καὶ τούτους
τοὺς νόμους ἀναγράψαντες ὑμῖν παρακατέθεντο, καὶ
8 ὑμᾶς αὐτῶν [s] ἐπέστησαν φύλακας. βούλομαι δὴ καὶ
[t] ἐγὼ νυνὶ πρὸς ὑμᾶς τὸν αὐτὸν τρόπον χρήσασθαι τῷ
λόγῳ, ὅνπερ τοῖς νόμοις ὁ νομοθέτης· πρῶτον μὲν γὰρ 3
διέξειμι πρὸς ὑμᾶς τοὺς νόμους οἳ κεῖνται περὶ τῆς εὐκο-
σμίας τῶν παίδων τῶν ὑμετέρων, ἔπειτα δεύτερον [u] τοὺς
περὶ τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς τοὺς περὶ τῶν ἄλλων
ἡλικιῶν, [οὐ μόνον περὶ τῶν ἰδιωτῶν ἀλλὰ καὶ περὶ τῶν
ῥητόρων.] οὕτω γὰρ ἄν μοι μάλιστα ὑπολαμβάνω τοὺς
λόγους εὐμαθεῖς γενέσθαι. ἅμα δὲ καὶ βούλομαι ὦ
Ἀθηναῖοι [x] προδιεξελθεῖν πρῶτον πρὸς ὑμᾶς [y] ὡς ἔχουσιν 10
οἱ νόμοι [z] περὶ τῆς πόλεως, πάλιν δὲ μετὰ τοῦτο ἀντεξε-
τάσαι τοὺς τρόπους [a] τοὺς Τιμάρχου· εὑρήσετε γὰρ αὐτὸν
ἐναντίως ἅπασι τοῖς νόμοις βεβιωκότα.

9 Ὁ γὰρ νομοθέτης πρῶτον μὲν τοῖς διδασκάλοις, οἷς ἐξ
ἀνάγκης [b] παρακατατιθέμεθα τοὺς ἡμετέρους αὐτῶν παῖ-
δας, οἷς ἐστὶν ὁ [c] μὲν βίος ἀπὸ τοῦ σωφρονεῖν ἡ δ' ἀπορία
ἐκ τῶν ἐναντίων, ὅμως ἀπιστῶν φαίνεται, καὶ διαῤῥήδην
[d] ἀποδείκνυσι πρῶτον μὲν ἣν ὥραν προσήκει ἰέναι τὸν παῖδα 15
τὸν ἐλεύθερον εἰς τὸ διδασκαλεῖον, ἔπειτα μετὰ πόσων
10 παίδων εἰσιέναι καὶ [e] ὁπηνίκα ἀπιέναι, καὶ τοὺς διδα-

[q] δεῖ αὐτὸν τραφῆναι] δὴ τραφῆναι αὐτὸν b.
[r] μόνον περὶ a. b. l. m. vulg. μόνον δὲ περί.
[s] ἐπέστησαν] ἐποίησαν d. f. g. h.
[t] ἐγὼ νυνὶ πρὸς] om. h. νυνὶ solum om. d. f. g.
[u] τοὺς] τὰ l.
[x] προδιεξελθεῖν] διεξελθεῖν d. f. g. h.
[y] ὡς] om. m. cujus loco a rec. manu positum est πῶς.
[z] περὶ] οἱ margo Stephani.
[a] τοὺς Τιμάρχου] τοῦ τιμάρχου f. g. h.
[b] παρακατατιθέμεθα] προκατατιθέμεθα l.
[c] μὲν] om. h.
[d] ἀποδείκνυσι] ἀποδεικνύων l.
[e] ὁπηνίκα h. l. m.

σκάλους τὰ διδασκαλεῖα καὶ τοὺς παιδοτρίβας τὰς παλαίστρας ἀνοίγειν [f]μὲν ἀπαγορεύει μὴ πρότερον πρὶν ἂν ὁ ἥλιος ἀνίσχῃ, κλείειν δὲ [g]προστάττει πρὸ ἡλίου δεδυκότος, τὰς ἐρημίας καὶ τὸ σκότος ἐν πλείστῃ ὑποψίᾳ ποιούμενος· καὶ τοὺς νεανίσκους τοὺς εἰσφοιτῶντας οὔστινας δεῖ εἶναι καὶ ἄστινας ἡλικίας ἔχοντας, καὶ [h]ἀρχὴ ἥτις ἔσται ἡ τούτων [i]ἐπιμελησομένη, καὶ περὶ παιδαγωγῶν ἐπιμελείας καὶ περὶ Μουσείων ἐν τοῖς διδασκαλείοις καὶ περὶ Ἑρμαίων ἐν ταῖς παλαίστραις, καὶ τὸ τελευταῖον περὶ τῆς συμφοιτήσεως τῶν παίδων καὶ τῶν [k]χορῶν
11 τῶν ἐγκυκλίων· κελεύει γὰρ τὸν χορηγὸν τὸν μέλλοντα τὴν οὐσίαν τὴν [l]ἑαυτοῦ ἀναλίσκειν ὑπὲρ τετταράκοντα ἔτη γεγονότα τοῦτο πράττειν, ἵν' ἤδη ἐν τῇ [m]σωφρονεστάτῃ [n]αὐτοῦ ἡλικίᾳ ὢν οὕτως ἐντυγχάνῃ τοῖς [o]ὑμετέροις παισίν. ἀναγνώσεται [p]δὲ ὑμῖν τούτους τοὺς νόμους ὁ γραμματεύς, ἵν' εἰδῆτε ὅτι ὁ νομοθέτης ἡγήσατο τὸν καλῶς τραφέντα παῖδα ἄνδρα γενόμενον χρήσιμον ἔσεσθαι τῇ πόλει· ὅταν δ' ἡ φύσις τοῦ ἀνθρώπου εὐθὺς πονηρὰν ἀρχὴν λάβῃ τῆς παιδείας, ἐκ τῶν κακῶς τεθραμμένων παίδων [q]παραπλησίους ἡγήσατο πολίτας ἔσεσθαι Τιμάρχῳ τουτωί. [r]Λέγε αὐτοῖς τοὺς νόμους τούτους.

[s]NOMOI.

12 Οἱ δὲ τῶν παίδων διδάσκαλοι ἀνοιγέτωσαν μὲν τὰ διδασκαλεῖα

[f] μὲν] μὲν γὰρ h.

[g] προστάττει] προστάττειν l. qui paullo ante non ἀπαγορεύει sed ἀπαγορεύειν ἀπαγορεύει.

[h] ἀρχὴ l. m. et pr. a. vulg. ἀρχήν.

[i] ἐπιμελησομένη] ἐπιμεληθησομένη l.

[k] χορῶν τῶν] χορῶν καὶ τῶν l.

[l] ἑαυτοῦ ἀναλίσκειν a. b. l. m. vulg. ἑαυτοῦ εἰς ὑμᾶς ἀναλίσκειν.

[m] σωφρονεστάτῃ] σώφρονι pr. f.

[n] αὐτοῦ] αὐτὸς m.

[o] ὑμετέροις] ἡμετέροις d.

[p] δὲ b. h. l. γοῦν g. vulg. οὖν.

[q] παραπλησίους—πολίτας] παραπλήσιον — πολίτη a. h. l. m. παραπλήσιον πόλιτην b.

[r] Λέγε αὐτοῖς l. m. vulg. λέγε δ' αὐτοῖς.

[s] NOMOI] νόμος f. qui leges ipsas om.

μὴ [t]πρότερον ἡλίου ἀνιόντος, κλειέτωσαν δὲ πρὸ ἡλίου δύνοντος. καὶ μὴ ἐξέστω τοῖς ὑπὲρ [u]τὴν τῶν παίδων ἡλικίαν οὖσιν εἰσιέναι τῶν παίδων ἔνδον ὄντων, ἐὰν μὴ υἱὸς διδασκάλου ἢ [x]ἀδελφὸς ἢ θυγατρὸς ἀνήρ· ἐὰν δέ τις παρὰ ταῦτ' [y]εἰσίῃ, θανάτῳ ζημιούσθω. καὶ οἱ γυμνασιάρχαι [z]τοῖς Ἑρμαίοις μὴ ἐάτωσαν [a]συγκαθιέναι μηδένα τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί· ἐὰν [b]δὲ ἐπιτρέπῃ καὶ μὴ ἐξείργῃ τοῦ γυμνασίου, ἔνοχος [c]ἔστω ὁ γυμνασιάρχης τῷ τῆς ἐλευθέρων φθορᾶς νόμῳ. οἱ δὲ [d]χορηγοὶ οἱ καθιστάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν τὴν ἡλικίαν ὑπὲρ τετταράκοντα ἔτη.

13 Μετὰ ταῦτα τοίνυν ὦ Ἀθηναῖοι [e]νομοθετεῖ περὶ ἀδικημάτων μεγάλων μέν, γινομένων δ' οἶμαι ἐν τῇ πόλει· ἐκ γὰρ τοῦ πράττεσθαί [f]τινα ὧν οὐ προσῆκεν, ἐκ [g]τούτου τοὺς νόμους [h]ἔθηκαν οἱ παλαιοί. διαρρήδην γοῦν λέγει ὁ νόμος, ἐάν τινα ἐκμισθώσῃ ἑταιρεῖν πατὴρ ἢ ἀδελφὸς ἢ θεῖος ἢ ἐπίτροπος ἢ ὅλως τῶν κυρίων τις, κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ [i]γραφὴν [k]ἑταιρήσεως εἶναι, κατὰ [l]δὲ τοῦ μισθώσαντος καὶ τοῦ μισθωσαμένου, τοῦ μὲν ὅτι ἐξεμίσθωσε, τοῦ δὲ [m]ὅτι, φησίν, ἐμισθώσατο. καὶ ἴσα τὰ ἐπιτίμια ἑκατέρῳ πεποίηκε, καὶ μὴ ἐπάναγκες εἶναι τῷ 3 παιδὶ ἠβήσαντι τρέφειν τὸν πατέρα μηδὲ οἴκησιν παρέχειν, ὃς ἂν [n]ἐκμισθωθῇ ἑταιρεῖν· [o]ἀποθανόντα δὲ θαπτέτω καὶ 14 [p]τἆλλα [q]ποιείτω τὰ νομιζόμενα. σκέψασθε [r]δὲ ὡς καλῶς, ὦ Ἀθηναῖοι, ζῶντος μὲν αὐτοῦ ἀφαιρεῖται τὴν ὄνησιν

[t] πρότερον] πρὸ h.
[u] τὴν] om. l.
[x] ἀδελφὸς] ἀδελφοῦ a. b. h.
[y] εἰσίῃ] εἰσήει d.
[z] τοῖς Ἑρμαίοις] τῆς ἑρμαίου l.
[a] συγκαθιέναι] συγκατιέναι h.
[b] δὲ] δὲ μὴ h.
[c] ἔστω] ἔσται h. l.
[d] χορηγοὶ] χοροὶ h.
[e] νομοθετεῖ om. d.
[f] τινα] τινος b.
[g] τούτου] τούτων l.
[h] ἔθηκαν a. b. h. l. m. vulg. ἔθεντο.
[i] γραφὴν] γραφὰς a. b. h. l.
[k] ἑταιρήσεως] om. d. f. g.
[l] δὲ] om. d.
[m] ὅτι φησὶν ἐμισθώσατο a. b. ὅτι φησὶν ὅτι ἐμισθώσατο l. ὅτι ἐμισθώσατο φησί m. vulg. φησὶν ὅτι.
[n] ἐκμισθωθῇ] ἐκμισθώσῃ l. m. et γρ. h.
[o] ἀποθανόντα δὲ] ἀποθανόντα δὲ αὐτὸν a. b. ἀποθανόντι δὲ αὐτῷ l. m.
[p] τἆλλα] ἄλλα f. g. h.
[q] ποιείτω] ποιήσας h.
[r] δὲ h. l. vulg. δή.

τῆς παιδοποιίας, ὥσπερ ἐκεῖνος [s]τοῦ παιδὸς τὴν παρρησίαν· τελευτήσαντα δὲ αὐτὸν, ἡνίκα ὁ μὲν εὐεργετούμενος [t]οὐκέτι αἰσθάνεται [u]ὧν εὖ πάσχει, τιμᾶται δὲ ὁ νόμος καὶ τὸ θεῖον, θάπτειν ἤδη κελεύει καὶ τἆλλα ποιεῖν τὰ νομιζόμενα. Καὶ τίνα ἕτερον νόμον ἔθηκε φύλακα τῶν [x]ἡμετέρων παίδων; τὸν τῆς [y]προαγωγείας, τὰ μέγιστα ἐπιτίμια ἐπιγράψας ἐάν τις ἐλεύθερον παῖδα ἢ γυναῖκα [z]προαγωγεύῃ. Καὶ ποῖον ἄλλον; τὸν τῆς ὕβρεως, ὃς ἐνὶ κεφαλαίῳ [a]ἅπαντα τὰ τοιαῦτα συλλαβὼν ἔχει· ἐν ᾧ διαρρήδην γέγραπται, ἐάν τις [b]ὑβρίζῃ εἰς παῖδα (ὑβρίζει δὲ δή που ὁ μισθούμενος) ἢ ἄνδρα ἢ γυναῖκα, ἢ τῶν ἐλευθέρων τινὰ [c]ἢ τῶν δούλων, [d]ἢ ἐὰν παράνομόν [e]τι ποιῇ εἰς τούτων τινά, γραφὰς ὕβρεως εἶναι πεποίηκεν καὶ τίμημα ἐπέθηκεν ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. Λέγε τὸν νόμον.

[f]NOMOΣ.

16 Ε'Εάν τις Ἀθηναίων ἐλεύθερον παῖδα ὑβρίσῃ, γραφέσθω ὁ κύριος τοῦ παιδὸς [h]πρὸς τοὺς θεσμοθέτας, τίμημα ἐπιγραψάμενος, ᾧ ἂν τὸ δικαστήριον [i]καταψηφισθῇ, παραδοθεὶς τοῖς ἕνδεκα τεθνάτω αὐθημερόν. ἐὰν δὲ εἰς ἀργύριον [k]καταψηφισθῇ, ἀποτισάτω ἐν ἕνδεκα ἡμέραις μετὰ τὴν δίκην, ἐὰν [l]μὴ παραχρῆμα δύνηται ἀποτίνειν· ἕως δὲ [m]τοῦ ἀποτῖσαι εἱρχθήτω. ἔνοχοι δὲ ἔστωσαν ταῖσδε ταῖς αἰτίαις καὶ οἱ εἰς τὰ οἰκετικὰ σώματα ἐξαμαρτάνοντες.

17 [y]Ἴσως [n]οὖν ἄν τις θαυμάσειεν ἐξαίφνης ἀκούσας, τί δή

[s] τοῦ παιδὸς] ἐκείνου d. f. h.
[t] ἔτι] om. a. b.
[u] ὧν] ὡς g.
[x] ἡμετέρων] ὑμετέρων a. b.
[y] προαγωγείας] προαγωγίας h. l.
[z] προαγωγεύῃ a. b. προαγωγεύει m. προαγάγῃ l. vulg. προαγωγεύσῃ.
[a] ἅπαντα a. b. l. m. vulg. πάντα.
[b] ὑβρίζῃ] ὑβρίσῃ h. l.
[c] ἢ τῶν δούλων] ἢ δούλων l.
[d] ἢ ἐὰν] καὶ d. f. h.
[e] τι] τινὰ h.
[f] NOMOΣ] Et hanc legem et ceteras om. d.
[g] Ε'Εάν d. h. l. vulg. ἄν.
[h] πρὸς] εἰς h. l.
[i] καταψηφισθῇ] καταψηφίσηται h. καταψηφισθῇ καὶ g.
[k] καταψηφισθῇ] ἀποψηφισθῇ l.
[l] μὴ παραχρῆμα] Horum loco lacuna est in f.
[m] τοῦ] om. g.
[n] οὖν ἄν h. l. vulg. ἂν οὖν.

ποτ' [o]ἐν τῷ νόμῳ τῷ τῆς ὕβρεως προσεγράφη τοῦτο τὸ ῥῆμα, τὸ τῶν δούλων. τοῦτο δὲ ἐὰν σκοπῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, [p]εὑρήσετε ὅτι [q]τοῦτο πάντων ἄριστα ἔχει· οὐ γὰρ [r]ὑπὲρ τῶν οἰκετῶν [s]ἐσπούδασεν ὁ νομοθέτης, ἀλλὰ βουλόμενος [t]ἡμᾶς ἐᾶσαι πολὺ ἀπέχειν τῆς τῶν ἐλευθέρων ὕβρεως προσέγραψε μηδ' εἰς τοὺς δούλους [u]ὑβρίζειν. ὅλως δὲ [x]ἐν δημοκρατίᾳ τὸν εἰς ὁτιοῦν ὑβριστήν, τοῦτον
18 οὐκ ἐπιτήδειον [y]εἶναι ἡγήσατο συμπολιτεύεσθαι. Κἀκεῖνο 25
δέ μοι συνδιαμνημονεύσατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐνταῦθ' ὁ νομοθέτης οὔπω διαλέγεται αὐτῷ τῷ σώματι τοῦ παιδὸς ἀλλὰ τοῖς περὶ τὸν παῖδα, [z]πατρί, ἀδελφῷ, ἐπιτρόπῳ, διδασκάλοις καὶ ὅλως τοῖς κυριοις· ἐπειδὰν [a]δ' ἐγγραφῇ [b]εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ τοὺς νόμους [c]γνῷ καὶ] εἰδῇ τοὺς τῆς πόλεως καὶ ἤδη δύνηται
[d]διαλογίζεσθαι τὰ καλὰ καὶ [e]τὰ μή, [f]οὐκέτι ἑτέρῳ δια- 30
19 λέγεται ἀλλ' ἤδη αὐτῷ [Τιμάρχῳ.] καὶ πῶς λέγει;
[v]Αν τις Ἀθηναίων, φησίν, ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι, ὅτι οἶμαι στεφανηφόρος ἡ ἀρχή, μηδ' ἱερωσύνην [g]ἱεράσασθαι, [h]ὃς οὐδὲ καθαρῷ διαλέγεται τῷ σώματι. [i]μηδὲ [k]συνδικησάτω, φησί, τῷ δημοσίῳ, μηδὲ [l]ἀρξάτω ἀρχὴν μηδεμιαν μηδέποτε, μήτ' ἔνδημον

[o] ἐν] vulg. om.
[p] Verbum εὑρήσετε vulg. ante ὅ ponunt.
[q] τοῦτο] τούτων l.
[r] ὑπὲρ] περὶ a. b.
[s] ἐσπούδασεν] ἐσπούδακεν a. g. h. l.
[t] ἡμᾶς] ἐμᾶς a. b. f. g. h. m.
[u] ὑβρίζειν] ἐνυβρίζειν g. h.
[x] ἐν] ἐν τῇ a. b. h. m.
[y] εἶναι ἡγήσατο a. b. l. m. vulg. ἡγήσατο εἶναι.
[z] πατρὶ] πατρὸς a. b. l.
[a] δ'] om. l.
[b] εἰς] τις εἰς d. f. g.
[c] [γνῷ καὶ] om. d. f. g. h.
[d] διαλογίζεσθαι τὰ καλὰ] τὰ καλὰ διαλογίζεσθαι l.
[e] τὰ μή] ἃ μὴ g.
[f] οὐκ] ἀλλ' h.
[g] ἱεράσασθαι] ἱερώσασθαι m.
[h] ὃς] ὡς m. καὶ l.
[i] μηδὲ] μὴ g.
[k] συνδικησάτω] συνδικήσῃ a. b. m. et pr. h. συνδικάσῃς correctus h. συνδικασάτω g.
[l] ἀρξάτω] ἀρξάτω φησὶν d. f. g. h.

20 μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε χειροτονητήν· μηδὲ κηρυκευσάτω, μηδὲ [m] πρεσβευσάτω, μηδὲ τοὺς πρεσβεύσαντας κρινέτω, μηδὲ [n] συκοφαντείτω μισθωθείς, μηδὲ γνώμην εἰπάτω μηδέποτε μήτε [o] ἐν τῇ βουλῇ, μήτε ἐν τῷ δήμῳ, μηδ' ἂν δεινότατος ᾖ [p] λέγειν. ἐὰν [q] δέ τις παρὰ ταῦτα πράττῃ, γραφὰς ἑταιρήσεως πεποίηκε καὶ τὰ μέγιστα ἐπιτίμια ἐπέθηκεν. Λέγε αὐτοῖς καὶ τοῦτον τὸν νόμον, [r] ἵν' εἰδῆτε οἵων [s] νόμων ἡμῖν κειμένων, ὡς καλῶν καὶ σωφρόνων, τετόλμηκε Τίμαρχος δημηγορεῖν ὁ τοιοῦτος τὸν τρόπον οἷον ὑμεῖς ἐπίστασθε.

ΝΟΜΟΣ.

21 [t] Ἐάν τις Ἀθηναῖος ἑταιρήσῃ, μὴ [u] ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι, μηδ' [x] ἱερωσύνην [y] ἱεράσασθαι, μηδὲ [z] συνδικῆσαι τῷ δήμῳ. μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, [a] μήτε ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε χειροτονητήν, μηδ' ἐπὶ κηρυκείαν ἀποστελλέσθω, μηδὲ γνώμην λεγέτω, μηδ' εἰς τὰ δημοτελῆ ἱερὰ εἰσίτω, μηδ' ἐν ταῖς κοιναῖς στεφανηφορίαις στεφανούσθω, μηδ' ἐντὸς [b] τῶν τῆς ἀγορᾶς περιῤῥαντηρίων πορευέσθω. ἐὰν δέ τις ταῦτα ποιῇ, [c] καταγνωσθέντος αὐτοῦ ἑταιρεῖν θανάτῳ ζημιούσθω.

22 Τοῦτον [d] μὲν τὸν νόμον ἔθηκε περὶ τῶν μειρακίων τῶν προχείρως εἰς τὰ ἑαυτῶν σώματα ἐξαμαρτανόντων· οὓς δὲ ὀλίγῳ πρότερον ὑμῖν [e] ἀνέγνων, περὶ τῶν παίδων· οὓς

[m] πρεσβευσάτω] πρεσβευσάτω οὗτος.

[n] συκοφαντείτω μισθωθείς] ὁ μισθωθεὶς συκοφαντείτω a. b. l. m.

[o] ἐν τῇ βουλῇ μήτε ἐν τῷ δήμῳ a. b. l. m. vulg. ἐν τῷ δήμῳ μήτε ἐν τῇ βουλῇ.

[p] λέγειν] λέγειν ἀθηναίων d. f. g. h.

[q] δέ] om. h.

[r] ἵν'—ἐπίστασθε] om. d.

[s] νόμων ἡμῖν κειμένων a. b. l. νόμων ὑμῖν κειμένων m. vulg. ἡμῖν κειμένων νόμων.

[t] Ἐάν a. b. d. vulg. ἄν.

[u] ἐξέστω αὐτῷ τῶν] ἐξ a. b. h. l. m.

[x] ἱερωσύνην] om. a. b. g. h. l. m.

[y] ἱεράσασθαι] ἱερώσασθαι b. h. m.

[z] συνδικῆσαι] συνδικάσαι correctus h.

[a] μήτε κλ. μήτε χ.] μηδὲ κλ. μηδὲ χ. a. b. d. g. h. l. m.

[b] τῶν τῆς ἀγορᾶς περιῤῥαντηρίων] τῆς ἀγορᾶς τῶν περιῤῥαντηρίων a. b. l. τῆς ἀγορᾶς περὶ τῶν ῥαντηρίων d. g. m. τῆς ἀγορᾶς περιῤῥαντηρίων.

[c] καταγνωσθέντος] Malim καταγνωσθέν.

[d] μὲν] μέντοι a. b. g. l. m.

[e] ἀνέγνων] ἀνέγνω a. b.

δὲ νυνὶ μέλλω λέγειν, περὶ τῶν ἄλλων Ἀθηναίων. ἀπαλλαγεὶς γὰρ τῶν νόμων τούτων, ἐσκέψατο τίνα χρὴ τρόπον συλλεγομένους [f] ὑμᾶς εἰς [g] τὴν ἐκκλησίαν βουλεύεσθαι περὶ τῶν [h] σπουδαιοτάτων πραγμάτων. καὶ πόθεν ἄρχεται; [i] νόμοι, φησί, περὶ εὐκοσμίας. ἀπὸ σωφροσύνης [k] πρῶτον ἤρξατο, ὡς ὅπου πλείστη εὐκοσμία [l] ἐστί, ταύ-
23 την ἄριστα τὴν πόλιν οἰκησομένην. καὶ πῶς δὲ κελεύει [m] τοὺς προέδρους χρηματίζειν; ἐπειδὰν τὸν καθάρσιον περι- 10
ενεχθῇ καὶ ὁ κῆρυξ τὰς πατρίους εὐχὰς εὔξηται, προχειροτονεῖν κελεύει τοὺς προέδρους περὶ [n] ἱερῶν τῶν πατρίων καὶ [o] κήρυξι καὶ πρεσβείαις καὶ [p] ὁσίων, καὶ μετὰ ταῦτα [q] ἐπερωτᾷ ὁ κῆρυξ "τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεν-
" τήκοντα ἔτη γεγονότων;" ἐπειδὰν δὲ οὗτοι πάντες εἴ-
πωσι, τότ' ἤδη κελεύει λέγειν τῶν ἄλλων [r] Ἀθηναίων τὸν
24 βουλόμενον, οἷς ἔξεστιν. Σκέψασθε [s] δὲ ὡς καλῶς, ὦ [t] ἄν- 15
δρες Ἀθηναῖοι. οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθετης ὅτι οἱ πρεσβύτεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν [u] διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. βουλόμενος δὴ συνεθίσαι [x] τοὺς ἄριστα φρονοῦντας τούτους ἐπάναγκες περὶ τῶν πραγμάτων λέγειν, ἐπειδὴ [y] ὀνόματι αὐτῶν ἕνα ἕκαστον ἀπορεῖ προσειπεῖν, τὴν

[f] ὑμᾶς] ἡμᾶς a. b. d. f. g. l. m.

[g] τὴν ἐκκλησίαν] τὰς ἐκκλησίας d. f. g.

[h] σπουδαιοτάτων d. f. h. vulg. σπουδαιοτέρων. Conf. p. 5, 25.

[i] νόμοι] νόμος h. l.

[k] πρῶτον] πρότερον m.

[l] ἐστί] εἶναι h.

[m] τοὺς] om. d. f.

[n] ἱερῶν] τῶν ἱερῶν d. g. et rec. f. pr. enim f. et hunc articulum om. et qui infertur.

[o] κήρυξι καὶ πρεσβείαις a. b. d. f. g. h. l. vulg. κηρύκων καὶ πρέσβεων.

[p] ὁσίων] ὁσίοις h.

[q] ἐπερωτᾷ ὁ κῆρυξ] ὁ κήρυξ ἐπερωτᾷ l.

[r] Ἀθηναίων τὸν] ἀθηναίων ἁπάντων τῶν d. f. h.

[s] δὲ Helmst. vulg. δή.

[t] ἄνδρες] om. a. b. g.

[u] διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων] Hæc haud scio an aptius collocarentur post illa τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν.

[x] τοὺς] τὰ l.

[y] ὀνόματι] ὀνόμασιν h. Reiskius ὀνομαστί.

[z κοινὴν] a ἐπωνυμίαν τῆς ὅλης ἡλικίας b ὑπολαβὼν παρακαλεῖ ἐπὶ τὸ βῆμα καὶ προτρέπει δημηγορεῖν. ἅμα c δὲ τοὺς d νεωτέρους διδάσκει αἰσχύνεσθαι τοὺς πρεσβυτέρους καὶ πάνθ' ὑστέρους πράττειν καὶ τιμᾶν τὸ γῆρας, εἰς ὃ πάντες ἀφιξόμεθα, ἐὰν e ἄρα f διαγιγνώμεθα. Καὶ οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς g καὶ ὁ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης ὁ τὴν h ἀνόμοιον i ἐπωνυμίαν ἔχων k Τιμάρχῳ l τουτωί, ὁ δίκαιος ἐπικαλούμενος, ὥστε ὃ νυνὶ πάντες ἐν ἔθει πράττομεν, τὸ τὴν χεῖρα ἔξω ἔχοντες λέγειν, τότε τοῦτο θρασύ τι ἐδόκει εἶναι καὶ εὐλαβοῦντο αὐτὸ πράττειν. μέγα δὲ m πάνυ τούτου σημεῖον ἔργῳ n ὑμῖν οἶμαι ἐπιδειξειν· εὖ γὰρ οἶδ' ὅτι πάντες ἐκπεπλεύκατε εἰς Σαλαμῖνα καὶ o τεθέασθε τὴν Σόλωνος εἰκόνα, καὶ αὐτοὶ μαρτυρήσαιτ' ἂν ὅτι ἐν τῇ ἀγορᾷ p τῇ Σαλαμινίων ἀνάκειται ὁ Σόλων ἐντὸς τὴν χεῖρα ἔχων. τοῦτ' ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπόμνημα καὶ μίμημα τοῦ Σόλωνος σχήματος, ὃν τρόπον ἔχων αὐτὸς διελέγετο τῷ δήμῳ τῶν Ἀθηναίων. σκέψασθε q δὲ ὦ ἄνδρες Ἀθηναῖοι ὅσον διαφέρει ὁ Σόλων Τιμάρχου καὶ οἱ ἄνδρες ἐκεῖνοι ὧν r ὀλίγῳ πρότερον s ἐν τῷ λόγῳ ἐπεμνήσθην. ἐκεῖνοι μέν γε ἠσχύνοντο ἔξω τὴν χεῖρα ἔχοντες λέγειν,

z κοινὴν] om. b. g. l. m. et pr. a. f.

a ἐπωνυμίαν] ὁμωνυμίαν l.

b ὑπολαβὼν] ἀπολαβὼν g. m.

c δὲ τοὺς a. b. g. m. τοὺς l. vulg. δὲ καὶ τούς.

d νεωτέρους a. b. g. l. m. vulg. νέους.

e ἄρα d. f. h. vulg. ἄρα δή.

f διαγιγνώμεθα d. f. vulg. διαγενόμεθα.

g καὶ ὁ Θεμιστοκλῆς] καὶ θεμιστοκλῆς a. b. g. l. m.

h ἀνόμοιον] ἀνόμοιαν l.

i ἐπωνυμίαν ἔχων a. b. g. l. m. vulg. ἔχων ἐπωνυμίαν.

k Τιμάρχῳ] καὶ βίων τιμάρχῳ h.

l τουτωί] τούτῳ a. b. g.

m πάνυ τούτου] τούτου πάνυ d. f. g.

n ὑμῖν οἶμαι a. b. g. l. m. vulg. οἶμαι ὑμῖν.

o τεθέασθε] τεθεωρήκατε d. f. h.

p τῇ Σαλαμινίων] τῶν σαλαμινίων h.

q δὲ a. b. g. l. m. vulg. δή.

r ὀλίγῳ] ἐγὼ h. ἐγὼ ὀλίγῳ d. f.

s ἐν τῷ λόγῳ ἐπεμνήσθην] ἐγὼ ἐμνήσθην ἐν τῷ λόγῳ g. ἐν τῷ λόγῳ ἐμνήσθην h. ἐμνήσθην d. f.

[t] Τίμαρχος δὲ οὐτοσὶ οὐ [u]πάλαι ἀλλὰ πρώην ποτὲ ῥίψας θοιμάτιον γυμνὸς ἐπαγκρατίαζεν ἐν τῇ ἐκκλησίᾳ, οὕτω κακῶς καὶ αἰσχρῶς διακείμενος τὸ σῶμα [x]ὑπὸ μέθης καὶ βδελυρίας, ὥστε τούς γε εὖ φρονοῦντας ἐγκαλύψασθαι, [y]αἰσχυνθέντας ὑπὲρ τῆς πόλεως εἰ τοιούτοις
27 συμβούλοις χρώμεθα. [a]Α συνιδὼν ὁ νομοθέτης διαῤῥήδην ἀπέδειξεν οὓς χρὴ δημηγορεῖν καὶ οὓς οὐ δεῖ λέγειν ἐν τῷ δήμῳ. καὶ οὐκ ἀπελαύνει ἀπὸ τοῦ βήματος εἴ τις μὴ προγόνων ἐστὶ [z]τῶν ἐστρατηγηκότων υἱός, οὐδέ γε εἰ τέχνην τινὰ ἐργάζεται [a]ἐπικουρῶν τῇ ἀναγκαίᾳ τροφῇ· [b]ἀλλὰ τούτους καὶ μάλιστα ἀσπάζεται, καὶ διὰ τοῦτο πολλά-
28 κις [c]ἐπερωτᾷ τίς ἀγορεύειν βούλεται. τίνας δ' οὐκ ᾤετο [d]δεῖν λέγειν; τοὺς αἰσχρῶς βεβιωκότας· τούτους οὐκ ἐᾷ δημηγορεῖν. καὶ ποῦ τοῦτο [e]δηλοῖ; δοκιμασία, φησί, ῥητόρων, [f]ἐάν τις λέγῃ ἐν τῷ δήμῳ τὸν πατέρα τύπτων ἢ τὴν μητέρα, ἢ μὴ τρέφων, ἢ μὴ παρέχων οἴκησιν· τοῦτον οὐκ ἐᾷ λέγειν. νὴ Δία καλῶς γε, ὡς [g]ἐγώ φημι. διὰ τί; ὅτι εἴ τις, οὓς ἐξ ἴσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους ἐστὶ φαῦλος, τί ποτε, [h]φησίν, ὑπ' αὐτοῦ πείσονται οἱ
29 ἀλλότριοι καὶ ἡ πόλις ὅλη; καὶ τίσι δεύτερον ἀπεῖπε μὴ λέγειν; ἢ τὰς στρατείας, φησί, μὴ [i]ἐστρατευμένος [k]ὅσαι ἂν αὐτῷ προσταχθῶσιν, [l]ἢ τὴν ἀσπίδα [m]ἀποβεβληκώς, δίκαια λέγων. [n]τί δή ποτε; ἄνθρωπε, τῇ πόλει ὑπὲρ ἧς

[t] Τίμαρχος δὲ οὐτοσὶ] οὐτοσὶ δὲ d. f.
[u] πάλαι] πρώην l.
[x] ὑπὸ μέθης] ὑπὸ τῆς μέθης h.
[y] αἰσχυνθέντας] αἰσχυνθέντες l.
[z] τῶν ἐστρατηγηκότων a. b. g. l. m. vulg. om. articulum.
[a] ἐπικουρῶν—ἀσπάζεται] om. l.
[b] ἀλλὰ τούτους d. f. h. vulg. ἀλλὰ καὶ τούτους.
[c] ἐπερωτᾷ] ἐρωτᾷ pr. d.
[d] δεῖν] om. l.
[e] δηλοῖ] δοκεῖ l.
[f] ἐάν a. b. vulg. ἄν.
[g] ἐγὼ a. b. g. l. m. vulg. ἔγωγε.
[h] φησίν] om. l.
[i] ἐστρατευμένος] στρατευόμενος d. f. h.
[k] ὅσαι] αἷ d.
[l] ἢ] εἰ f. h.
[m] ἀποβεβληκώς] προβεβληκὼς l.
[n] τί] διὰ τί d. f. h.

τὰ ὅπλα μὴ τίθεσαι ἢ διὰ δειλίαν μὴ δυνατὸς εἶ ἐπαμῦναι, μηδὲ συμβουλεύειν ἀξίου. τρίτον τίσι διαλέγεται; [o]ἢ πεπορνευμένος, φησίν, [p]ἢ ἡταιρηκώς· τὸν γὰρ τὸ σῶμα [q]τὸ ἑαυτοῦ ἐφ' ὕβρει πεπρακότα καὶ τὰ κοινὰ [r]τὰ τῆς πόλεως ῥᾳδίως ἡγήσατο ἀποδώσεσθαι. τέταρτον τίσι διαλέγεται; [s]ἢ τὰ πατρῷα, φησί, κατεδηδοκὼς ἢ ὧν ἂν κληρονόμος γένηται· τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο [t]διαθήσειν, καὶ οὐκ ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρὸν δημοσίᾳ δὲ χρηστόν, οὐδ' ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα τῶν λόγων ἐπιμεληθέντα πρότερον ἀλλ' οὐ τοῦ βίου. [u]καὶ παρὰ μὲν ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, [x]κἂν πάνυ [y]κακῶς [z]καὶ ἁπλῶς ῥηθῇ [a]λόγος, χρήσιμα τὰ λεγόμενα ἡγήσατο εἶναι τοῖς ἀκούουσι· παρὰ δὲ ἀνθρώπου βδελυροῦ καὶ καταγελάστως μὲν κεχρημένου τῷ [b]ἑαυτοῦ σώματι, αἰσχρῶς δὲ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότος, οὐδ' ἂν εὖ πάνυ [c]λέγῃ συνοίσειν ἡγήσατο τοῖς ἀκούουσι. τούτους [d]οὖν ἐξείργει [e]ἀπὸ τοῦ βήματος, τούτους ἀπαγορεύει μὴ δημηγορεῖν. ἐὰν δέ τις παρὰ ταῦτα μὴ μόνον λέγῃ ἀλλὰ καὶ συκοφαντῇ [f]καὶ ἀσελγαίνῃ καὶ μηκέτι [g]τὸν τοιοῦτον ἄνθρωπον δύνηται φέρειν ἡ πόλις, δοκιμασίαν μέν φησιν ἐπαγγειλάτω Ἀθηναίων ὁ βουλόμενος,

[o] ἢ] εἰ a. b. d. g. h. l. m. et correctus f.
[p] ἢ] ἢ h. ἦ ἢ m. εἶ ἢ g.
[q] τὸ ante ἑαυτοῦ om. d. f. g. h.
[r] τὰ post κοινὰ om. d. f. h.
[s] ἢ] εἰ d. ἢ ὁ a. b. l. m. εἰ ὁ h.
[t] διαθήσειν] διαθεῖναι g. m.
[u] καὶ παρὰ] κἂν παρὰ d. f.
[x] κἂν] καὶ d. f.
[y] κακῶς] καλῶς pr. m.
[z] καὶ a. b. d. f. h. l. vulg. κἄν.
[a] λόγος] Malim abesse.
[b] ἑαυτοῦ] om. d. f.
[c] λέγῃ g. h. l. m. vulg. λεχθῇ.
[d] οὖν] αὖ h.
[e] ἀπὸ] om. d. f. g. h. conf. p. 7, 20.
[f] καὶ ἀσελγαίνῃ] ἀσελγαίνει l.
[g] τὸν τοιοῦτον b. d. f. h. vulg. om. articulum,

οἷς ἔξεστιν, ὑμᾶς δ' ἤδη κελεύει περὶ τούτων ἐν τῷ δικαστηρίῳ διαγινώσκειν· καὶ νῦν ἐγὼ κατὰ ταῦτον τὸν νόμον ἥκω πρὸς ὑμᾶς.

33 Ταῦτα μὲν οὖν πάλαι νενομοθέτηται· ὑμεῖς [h] δ' ἔτι προσέθεσθε [i] καινὸν νόμον μετὰ τὸ καλὸν παγκράτιον ὃ οὗτος ἐπαγκρατίασεν ἐν τῇ ἐκκλησίᾳ. ὑπεραισχυνθέντες [k] γὰρ ἐπὶ τῷ πράγματι, καθ' ἑκάστην ἐκκλησίαν [l] νόμον ἐθήκατε καινὸν ἀποκληροῦν φυλὴν ἐπὶ τὸ βῆμα ἥτις προεδρεύσει. καὶ τί προσέταξεν ὁ τιθεὶς τὸν νόμον; καθῆσθαι κελεύει τοὺς φυλέτας βοηθοῦντας τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, ὡς, εἰ μὴ βοήθειαν [m] πόθεν μεταπεμψόμεθα ἐπὶ τοὺς οὕτω βεβιωκότας, οὐδὲ βουλεύεσθαι [n] δυνησομέν-

34 ους ἡμᾶς περὶ τῶν [o] σπουδαιοτάτων πραγμάτων. ἔστι δ' οὐδὲν ὄφελος, ὦ Ἀθηναῖοι, ζητεῖν τοὺς τοιούτους ἀνθρώπους [p] ἀπελαύνειν ἀπὸ τοῦ βήματος [q] ταῖς κραυγαῖς· οὐ γὰρ αἰσχύνονται· ἀλλὰ ταῖς τιμωρίαις τούτους ἀπεθίζειν χρή· μόνως γὰρ [r] ἂν οὕτως ἀνεκτοὶ [s] γένοιντο.

Ἀναγνώσεται οὖν ὑμῖν τοὺς νόμους τοὺς [t] περὶ τῆς εὐκοσμίας κειμένους τῶν ῥητόρων· [u] τὸν γὰρ περὶ τῆς προεδρείας τῶν φυλῶν [x] νόμον Τίμαρχος οὑτοσὶ καὶ [y] ἕτεροι τοιοῦτοι ῥήτορες συνελθόντες γεγραμμένοι εἰσὶ [z] μὴ ἐπιτήδειον [a] εἶναι, ἵν' ἐξῇ [b] πράττειν αὐτοῖς [c] καὶ λέγειν καὶ ζῆν ὡς αὐτοὶ βούλονται.

[h] δ' ἔτι a. b. d. f. g. h. δ' ὅτι l. vulg. δὲ τί.
[i] καινὸν] καὶ h. l.
[k] γὰρ] om. d. f.
[l] νόμον ἐθήκατε καινὸν] om. d. f.
[m] πόθεν] om. in lacuna b.
[n] δυνησομένους ὑμᾶς a. b. g. l. m. ὑμᾶς δυνησομένους: vulg. ἡμᾶς δυνησομένους.
[o] σπουδαιοτάτων] σπουδαιοτέρων l.
[p] ἀπελαύνειν] ἀπολαύειν l.
[q] ταῖς] om. g. l. m. et pr. a.
[r] ἂν] om. h. et pr. m.
[s] γένοιντο] γένονται l. m.
[t] περὶ] ἐπὶ b.
[u] τὸν γὰρ] καὶ τὸν a. b. d. l. m.
[x] νόμον] νόμων ὃν a. b. d. g. m. μόνον ὃν l.
[y] ἕτεροι] om. l.
[z] μὴ] μηδ' f.
[a] εἶναι] om. m.
[b] πράττειν] om. f.
[c] καὶ λέγειν καὶ ζῆν] καὶ ζῆν καὶ λέγειν f. h.

NOMOI.

35 [d] Τῶν ῥητόρων ἐάν τις λέγῃ ἐν βουλῇ ἢ ἐν δήμῳ περὶ τοῦ εἰσφερομένου μὴ [c]χωρὶς [f][ἢ περὶ ἑκάστου,] ἢ ὃς περὶ τοῦ αὐτοῦ ὁ αὐτὸς [g]τῆς αὐτῆς, [h][ὅτι] ἢ λοιδορῆται, ἢ κακῶς ἀγορεύῃ τινά, ἢ ὑποκρούῃ, [i]ἢ χρηματιζόντων μεταξὺ ἀνηκίστως λέγῃ [k]περὶ τοῦ μὴ ἐπὶ τοῦ βήματος, ἢ παρακελεύηται ἢ ἕλκῃ τὸν ἐπιστάτην ἀφει- 35
μένης τῆς ἐκκλησίας ἢ τῆς βουλῆς, κυριευέτωσαν οἱ πρόεδροι μέχρι πεντήκοντα δραχμῶν [l]καθ' ἕκαστον ἀδίκημα ἐπιγράφειν τοῖς πράκτορσιν. ἐὰν δὲ πλέονος ἄξιος [m]ᾖ ζημίας, [n]ἐπιβαλόντες μέχρι πεντήκοντα δραχμῶν εἰσφερέτωσαν εἰς τὴν βουλὴν ἢ εἰς τὴν πρώτην ἐκκλησίαν [o]ἐν τῷ βουλευτηρίῳ. [p]ὅταν διεξίωσι [q]κλήσεις, κρινάτωσαν· καὶ ἐὰν καταγνωσθῇ αὐτοῦ κρύβδην [r]ψηφιζομένων 40
τῶν βουλευτῶν, ἐγγραψάτωσαν οἱ πρόεδροι τοῖς πράκτορσι τῶν νόμων.

36 Τῶν μὲν οὖν νόμων ἀκηκόατε, ὦ Ἀθηναῖοι, καὶ εὖ οἶδ' ὅτι δοκοῦσιν ὑμῖν καλῶς ἔχειν. τούτους μέντοι τοὺς νόμους [s]εἶναι χρησίμους ἢ ἀχρήστους ἐφ' ὑμῖν ἐστίν· ἐὰν [t]μὲν γὰρ κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι, ἐὰν δ' [u]ἀφίητε, καλοὶ [x]μόνον, κύριοι δὲ οὐκέτι.

37 Βούλομαι δ', ὥσπερ [y]ὑπεθέμην ἀρχόμενος τοῦ λόγου, ἐπειδὴ περὶ τῶν νόμων εἴρηκα, πάλιν τὸ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς τρόπους [z]τοὺς Τιμάρχου, ἵν' εἰδῆτε ὅσον

[d] Τῶν ῥητόρων] om. pr. h.
[e] χωρὶς] χωρεῖ d. χωρῇ a. b.
[f] ἢ] ἢ g. m. om. a. b. h.
[g] τῆς αὐτῆς a. b. g. h. l. m. vulg. τοῖς αὐτοῖς.
[h] [ὅτι] δηλονότι Reiskius et fortasse f.
[i] ἢ ante χρηματιζόντων om. d.
[k] περὶ τοῦ] περὶ τῶν f. περί του a. b.
[l] καθ'] εἰ καθ' a. b. g. h. l. et pr. m. εἰς f. εἴθ' d.
[m] ᾖ f. ceteri ἐστι.
[n] ἐπιβαλόντες] ἐπιβάλλοντες l.
[o] ἐν] ἢ ἐν h.
[p] ὅταν] ὅταν δὲ h.
[q] κλήσεις] κρίσεις h. l.
[r] ψηφιζομένων Reiskius, cum f. ψηφίζων ἓν a. b. g. ψηφίζων ἓν d. et ω a secunda manu posito m. ψηφίζειν ἓν h. ἓν ψηφίζων l.
[s] εἶναι χρησίμους] χρησίμους εἶναι l.
[t] μὲν] om. b.
[u] ἀφίητε] ἀφῆτε d. f.
[x] μόνον] μὲν l.
[y] Verbum ὑπεθέμην post λόγου ponunt d. f. h.
[z] τοὺς Τιμάρχου] τοῦ τιμάρχου a. b. d. f. h. articulum om. g. m.

διαφέρουσι τῶν νόμων τῶν ὑμετέρων. δέομαι δ' ὑμῶν ὦ
'Αθηναῖοι συγγνώμην μοι ἔχειν, ἐὰν ἀναγκαζόμενος λέ-
γειν περὶ ἐπιτηδευμάτων φύσει [a]μὲν [b]μὴ καλῶν τούτῳ
δὲ πεπραγμένων [c]ἐξαχθῶ τι [d]ῥῆμα εἰπεῖν ὅ ἐστιν ὅμοιον
38 τοῖς ἔργοις [e]τοῖς Τιμάρχου. οὐδὲ γὰρ ἂν δικαίως ἐμοὶ
ἐπιτιμήσαιτε, εἴ τι σαφῶς εἴποιμι διδάσκειν [f]ὑμᾶς βου-
λόμενος, ἀλλὰ πολὺ μᾶλλον τούτῳ, [g]εἰ αἰσχρῶς οὕτω
τυγχάνει βεβιωκὼς ὥστε τὸν τὰ τούτῳ πεπραγμένα
διεξιόντα ἀδύνατον εἶναι εἰπεῖν ὡς αὐτὸς βούλεται, ἐὰν
μή τι καὶ τῶν τοιούτων [h]φθέγξηται ῥημάτων. εὐλαβήσο-
μαι δ' αὐτὸ ποιεῖν ὡς ἂν δύνωμαι [i]μάλιστα.

39 Σκέψασθε δὲ ὦ 'Αθηναῖοι ὡς μετρίως μέλλω προσφέ-
ρεσθαι Τιμάρχῳ [k]τουτωί. ἐγὼ γὰρ ὅσα μὲν παῖς [l]ὢν εἰς
τὸ σῶμα τὸ ἑαυτοῦ ἡμάρτηκεν ἀφίημι, καὶ ἔστω ταῦτα
ἄκυρα ὥσπερ [m]τὰ ἐπὶ τῶν τριάκοντα [n]καὶ τὰ πρὸ Εὐ-
κλείδου ἢ εἴ τις ἄλλη πώποτε τοιαύτη [o]ἐγένετο προθε-
σμία· ἃ δὲ ἤδη φρονῶν καὶ μειράκιον ὢν καὶ τοὺς νόμους
ἐπιστάμενος τοὺς τῆς πόλεως διαπέπραχται, περὶ τούτων
ἔγωγε τὰς κατηγορίας ποιήσομαι καὶ ὑμᾶς ἐπ' αὐτοῖς
ἀξιῶ σπουδάζειν.

40 Οὗτος γὰρ [p]πρῶτον μὲν πάντων, ἐπειδὴ ἀπηλλάγη ἐκ
παίδων, ἐκάθητο ἐν Πειραιεῖ ἐπὶ τοῦ Εὐθυδίκου ἰατρείου,
προφάσει μὲν τῆς τέχνης μαθητής, τῇ δ' ἀληθείᾳ πωλεῖν

[a] μὲν et δὲ om. l.
[b] μὴ] οὐ d.
[c] ἐξαχθῶ a. b. g. l. m. vulg. προεξαχθῶ.
[d] ῥῆμα] ἔργον a. b.
[e] τοῖς Τιμάρχου] τοῦ Τιμάρχου h. m.
[f] ὑμᾶς] om. a. b. g. l. m.
[g] εἰ αἰσχρῶς οὕτω a. b. g. l. m. vulg. οὕτω γὰρ αἰσχρῶς.
[h] φθέγξηται] φθέγγηται d. f.
[i] μάλιστα] om. d. f.
[k] τουτωΐ] om. d. f.
[l] ὢν εἰς τὸ σῶμα] εἰς τὸ σῶμα ὢν b.
[m] τὰ] om. pr. m.
[n] καὶ a. b. g. l. m. vulg. ἢ.
[o] ἐγένετο] γέγονε a. b. g. h.
[p] πρῶτον μὲν πάντων a. b. g. l. m. πάντων μὲν πρῶτον d. f. h. vulg. πρῶτον πάντων μέν.

[q]αὐτὸν προῃρημένος, ὡς [r]αὐτὸ ἔδειξεν. ὅσοι μὲν οὖν τῶν ἐμπόρων ἢ τῶν ἄλλων ξένων ἢ τῶν πολιτῶν τῶν ἡμετέρων κατ' ἐκείνους τοὺς χρόνους ἐχρήσαντο τῷ σώματι Τιμάρχου, ἐκὼν [s]καὶ τούτους ὑπερβήσομαι, ἵνα μή [t]μέ τις εἴπῃ ὡς ἄρα λίαν ἀκριβολογοῦμαι ἅπαντα· ὧν δ' ἐν ταῖς οἰκίαις γέγονε καταισχύνων τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὴν πόλιν, μισθαρνῶν ἐπ' αὐτῷ τούτῳ [u]ὃ ἀπαγορεύει ὁ νόμος [x]μὴ πράττειν ἢ μὴ δημηγορεῖν, περὶ τούτων ποιήσομαι
41 τοὺς λόγους. [y]Μισγόλας ἔστι [z]τις [a]Ναυκράτους, ὦ ἄνδρες Ἀθηναῖοι, [b]Κολυττεύς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς κἀγαθός, καὶ οὐδαμῇ ἄν τις αὐτὸν μέμψαιτο, περὶ δὲ τὸ πρᾶγμα τοῦτο δαιμονίως ἐσπουδακὼς καὶ ἀεί τινας [c]ἔχειν εἰωθὼς περὶ αὐτὸν [d]κιθαρῳδοὺς ἢ κιθαριστάς. [e]ταυτὶ δὲ [f]λέγω οὐ τοῦ φορτικοῦ ἕνεκα, ἀλλ' ἵν' [g]αὐτὸν γνωρίσητε ὅστις ἐστίν. οὗτος [h]αἰσθόμενος ὧν ἕνεκα τὰς διατριβὰς ἐποιεῖτο Τίμαρχος οὑτοσὶ [i]ἐπὶ τοῦ ἰατρείου, ἀργύριόν τι προαναλώσας ἀνέστησεν αὐτὸν καὶ ἔσχε παρ' ἑαυτῷ, εὔσαρκον ὄντα καὶ νέον καὶ βδελυρὸν καὶ ἐπιτήδειον πρὸς τὸ πρᾶγμα ὃ προῃρεῖτο ἐκεῖνος μὲν πράττειν οὗτος δὲ πά-
42 σχειν. καὶ ταῦτα [k]ποιεῖν οὐκ ὤκνησεν ἀλλ' ὑπέστη Τίμαρχος [l]οὑτοσὶ οὐδενὸς ὢν τῶν μετρίων ἐνδεής· πολλὴν γὰρ πάνυ κατέλιπεν ὁ πατὴρ αὐτῷ οὐσίαν, ἣν οὗτος

[q] αὐτὸν a. b. αὐτοὺς l. vulg. ἑαυτόν.

[r] αὐτὸ] αὐτὸ τοῦργον a. b. g. l. m. αὐτὸ τὸ πρᾶγμα d. f. h.

[s] καὶ] ἢ l.

[t] μέ] om. d. f. h.

[u] ὃ] ὅ l.

[x] μὴ ante πράττειν om. l.

[y] Μισγόλας ἔστι] ἔστι μισγόλας d. f. h.

[z] τις] om. d. f.

[a] Ναυκράτους] ναοκράτους g. m. infra (p. 8, 3.) Νικίου.

[b] Κολυττεύς] infra Πειραιεύς.

[c] ἔχειν εἰωθὼς] ἔχων d. f. h.

[d] κιθαρῳδοὺς] κιθαρῳδικοὺς l.

[e] ταυτὶ] ταῦτα d. f. h.

[f] λέγω] ἐγὼ h.

[g] αὐτὸν γνωρίσητε a. b. g. l. m. vulg. γνωρίσητε αὐτόν.

[h] αἰσθόμενος] αἰσθανόμενος d.

[i] ἐπὶ τοῦ ἰατρείου ἀργύριόν τι] ἀργύριόν τι ἐπὶ τοῦ ἰατρείου l.

[k] ποιεῖν] om. d. f.

[l] οὑτοσί] οὑτοσίν g. h.

κατεδήδοκεν, ὡς ἐγὼ προϊόντος ἐπιδείξω τοῦ λόγου· ἀλλ' ἔπραξε ταῦτα δουλεύων ταῖς αἰσχίσταις ἡδοναῖς, [m]ὀψοφαγίαις [n]καὶ πολυτελείαις [o]δείπνων καὶ αὐλητρίσι καὶ ἑταίραις [p]καὶ κύβοις καὶ τοῖς ἄλλοις, ὑφ' ὧν οὐδενὸς [q]δεῖ κρατεῖσθαι τὸν γενναῖον καὶ ἐλεύθερον. καὶ οὐκ 35
ἠσχύνθη ὁ μιαρὸς οὗτος ἐκλιπὼν μὲν τὴν πατρῴαν οἰκίαν, διαιτώμενος [r]δὲ παρὰ Μισγόλᾳ οὔτε πατριχῷ ὄντι φίλῳ οὔθ' ἡλικιώτῃ οὔτε παρ' ἐπιτρόπῳ, ἀλλὰ παρ' ἀλλοτρίῳ [s]καὶ πρεσβυτέρῳ ἑαυτοῦ, καὶ παρ' ἀκολάστῳ περὶ ταῦτα
43 ὡραῖος ὤν. πολλὰ μὲν οὖν καὶ ἄλλα καταγέλαστα πέπρακται Τιμάρχῳ κατ' ἐκείνους τοὺς χρόνους, ἓν δὲ ὃ καὶ διηγήσασθαι ὑμῖν βούλομαι. ἦν μὲν Διονυσίων τῶν 40
ἐν ἄστει πομπή, [t]ἐπόμπευον δ' ἐν τῷ αὐτῷ ὅ τε Μισγόλας ὁ τοῦτον ἀνειληφὼς καὶ Φαῖδρος ὁ Καλλίου Σφηττιος. συνθεμένου δ' αὐτοῖς [u]συμπομπεύειν Τιμάρχου τουτουὶ οἱ μὲν περὶ τὴν ἄλλην παρασκευὴν διέτριβον, οὗτος δὲ οὐκ ἐπανῆκε. [x]παρωξυμμένος δὲ [y]πρὸς τὸ πρᾶγμα ὁ Μισγόλας ζήτησιν αὐτοῦ ἐποιεῖτο μετὰ τοῦ Φαίδρου, ἐξαγγελθέντος δ' αὐτοῖς εὑρισκουσι τοῦτον ἐν συνοικίᾳ μετὰ ξένων [z]τινῶν συναριστῶντα. [a]διαπειλησαμένου δὲ 7
[b]τοῦ Μισγόλα καὶ τοῦ Φαίδρου [c]τοῖς ξένοις καὶ κελευόντων ἤδη ἀκολουθεῖν εἰς τὸ δεσμωτήριον, ὅτι μειράκιον ἐλεύθερον διέφθειραν, φοβηθέντες οἱ ξένοι [d]ᾤχοντο φεύγοντες,

[m] ὀψοφαγίαις καὶ πολυτελείαις] ὀψοφαγίᾳ καὶ πολυτελείᾳ d. f.
[n] καὶ] om. l.
[o] δείπνων] καὶ δείπνῳ f.
[p] καὶ κύβοις] om. g.
[q] δεῖ a. b. g. l. m. vulg. χρή.
[r] δὲ] om. m.
[s] καὶ] om. l. καὶ παρὰ d. f. h.
[t] ἐπόμπευον] ἐπόμπευεν d. f. πομπεύων g. m.
[u] συμπομπεύειν] πομπεύειν g. m.
[x] παρωξυμμένος] παρωξυμενος m. παροξυνάμενος l.
[y] πρὸς τὸ πρᾶγμα ὁ Μισγόλας] ὁ Μισγόλας πρὸς τὸ πρᾶγμα l.
[z] τινῶν] τινα l.
[a] διαπειλησαμένου] vulg. διαπειλησαμένων.
[b] τοῦ ante Μισγόλα om. h.
[c] τοῖς] καὶ τοῖς l.
[d] ᾤχοντο φεύγοντες a. b. g. l. m. vulg. φεύγοντες ᾤχοντο.

44 καταλιπόντες τὰ παρεσκευασμένα. καὶ ταῦθ' ὅτι [c]ἐγὼ ἀληθῆ λέγω, [f]ἅπαντες [g]ὅσοι κατ' ἐκείνους τοὺς χρόνους ἐγίνωσκον Μισγόλαν καὶ Τίμαρχον, ἴσασιν. [h]ἥ δὴ καὶ πάνυ χαίρω ὅτι μοι γέγονεν [i]ἡ δίκη πρὸς ἄνθρωπον οὐκ ἠγνοημένον ὑφ' ὑμῶν, οὐδ' ἀπ' ἄλλου γινωσκόμενον οὐδενὸς ἢ ἀπ' αὐτοῦ [k]τοῦ ἐπιτηδεύματος περὶ οὗ καὶ τὴν ψῆφον [l]μέλλετε φέρειν. περὶ μὲν [m]γὰρ τῶν ἀγνοουμένων [n]σαφεῖς [o]ἴσως προσήκει [p]τὰς ἀποδείξεις ποιεῖσθαι τὸν κατήγορον, περὶ δὲ τῶν ὁμολογουμένων οὐ λίαν ἔγωγε μέγα ἔργον εἶναι νομίζω [q]τὸ κατηγορεῖν· ἀναμνῆσαι γὰρ 45 μόνον προσήκει τοὺς ἀκούοντας. ἐγὼ τοίνυν καίπερ [r]ὁμολογουμένου τοῦ πράγματος, ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμέν, γέγραφα [s]μαρτυρίαν [t]Μισγόλᾳ ἀληθῆ μὲν οὐκ ἀπαίδευτον δέ, ὡς ἐγὼ ἐμαυτὸν πείθω. αὐτὸ μὲν γὰρ τοὔνομα τοῦ ἔργου ὃ ἔπραττε πρὸς τοῦτον οὐκ [u]ἐγγράφω, οὐδ' [x]ἄλλο γέγραφα· [y]οὐδὲν ὃ ἐπιζήμιόν ἐστιν ἐκ τῶν νόμων τῷ [z]τἀληθῆ μαρτυρήσαντι· ἃ δέ ἐστιν ὑμῖν [a]μὲν ἀκούουσι [b]γνώριμα, ἀκίνδυνα δὲ [c]τῷ μαρτυροῦντι καὶ μὴ αἰσχρά, 46 ταῦτα γέγραφα. ἐὰν [d]μὲν οὖν ἐθελήσῃ ὁ Μισγόλας δεῦρο παρελθὼν τἀληθῆ [e]μαρτυρῆσαι, τὰ δίκαια ποιήσει·

[c] ἐγὼ] om. d. f.
[f] ἅπαντες] πάντες d. f. h.
[g] ὅσοι—ἐγίνωσκον] οἳ—ὅσοι ἐγίνωσκον d. f. h.
[h] ᾗ δὴ a. b. h. ἤδη d. f. g. l. ἡ δὴ pr. m. vulg. ἐγὼ δέ.
[i] ἡ] om. a. b.
[k] τοῦ] om. d.
[l] μέλλετε] ἐμέλλετε d. f.
[m] γὰρ] om. l.
[n] σαφεῖς] σαφῶς h.
[o] ἴσως] ἴσθι l.
[p] τὰς ἀποδείξεις ποιεῖσθαι] ποιεῖσθαι τὰς ἀποδείξεις d. f. h.
[q] τὸ] om. d. f.
[r] ὁμολογουμένου] ὁμολογουμένου ἔντος d. f. h. m.
[s] μαρτυρίαν] μαρτυρίας h.
[t] Μισγόλᾳ] τῷ μισγόλᾳ d. f. h.
[u] ἐγγράφω] ἐγγράφων h. l.
[x] ἄλλο] ἄλλην l.
[y] οὐδὲν] οὐδενὶ l.
[z] τἀληθῆ] ἀληθῆ d. f.
[a] μὲν] τε d. f. ceteri carent particula ab H. Wolfio addita.
[b] γνώριμα] γνώρισμα h.
[c] τῷ μαρτυροῦντι καὶ μὴ] καὶ μὴ τῷ μαρτυροῦντι a. b. g. l. m.
[d] μὲν] om. g. m.
[e] μαρτυρῆσαι a. b. g. l. m. vulg. μαρτυρεῖν.

ἐὰν [f]δὲ προαιρῆται [g]ἐκκλητευθῆναι μᾶλλον ἢ τἀληθῆ μαρτυρεῖν, ὑμεῖς τὸ ὅλον πρᾶγμα [h]συνίδετε. εἰ γὰρ ὁ μὲν πράξας αἰσχυνεῖται καὶ προαιρήσεται χιλίας [i]μᾶλλον δραχμὰς ἀποτῖσαι τῷ δημοσίῳ, ὥστε μὴ δεῖξαι τὸ πρόσωπον τὸ ἑαυτοῦ ὑμῖν, ὁ δὲ πεποιθὼς δημηγορήσει, σοφὸς ὁ νομοθέτης ὁ τοὺς οὕτω βδελυροὺς ἐξείργων ἀπὸ
47 τοῦ βήματος. ἐὰν [k]δ' ἄρα ὑπακούσῃ μέν, τράπηται δὲ ἐπὶ τὸ ἀναιδέστατον, ἐπὶ τὸ ἐξόμνυσθαι τὰς ἀληθείας, ὡς Τιμάρχῳ μὲν χάριτας ἀποδιδούς, [l]ἑτέροις δ' ἐπιδείξων ποιούμενος ὡς εὖ ἐπίσταται τὰ τοιαῦτα συγκρύπτειν, πρῶτον μὲν εἰς ἑαυτὸν ἐξαμαρτήσεται [[m]ἐπιορκῶν,] [n]ἔπειτα οὐδὲν [o]αὐτῷ ἔσται πλέον. ἑτέραν γὰρ [p]ἐγὼ γέγραφα μαρτυρίαν τοῖς εἰδόσι Τίμαρχον τουτονὶ [q]ἐκλιπόντα τὴν πατρῴαν οἰκίαν καὶ διαιτώμενον παρὰ Μισγόλᾳ, πρᾶγμα (οἶμαι) χαλεπὸν [r]ἐξεργάζεσθαι [s]ἐπιχειρῶν· οὔτε γὰρ ἐμὲ [t]δεῖ τοὺς ἐμαυτοῦ φίλους μάρτυρας παρασχέσθαι οὔτε τοὺς τούτων [u]ἐχθροὺς οὔτε τοὺς μηδετέρους ἡμῶν γιγνώσκοντας, ἀλλὰ τοὺς τούτων φίλους.
48 ἂν δ' ἄρα καὶ τούτους πείσωσι μὴ μαρτυρεῖν (ὡς οὐκ οἶομαί [x]γε· εἰ δὲ μή, ἀλλ' οὐχ ἅπαντας,) [y]ἐκεῖνό γε [z]οὐδέποτε δυνήσονται, ἀφελέσθαι τὴν ἀλήθειαν οὐδὲ τὴν

[f] δὲ] om. l.
[g] ἐκκλητευθῆναι] ἐγκλητευθῆναι h.
[h] συνίδετε] συνείδετε d.f.h. συνίστετε l.
[i] μᾶλλον δραχμὰς a. b. g. l. m. vulg. δραχμὰς μᾶλλον.
[k] δ'] om. l.
[l] ἑτέροις] ἑταίροις a. b. m.
[m] ἐπιορκῶν] om. g. l. m. cum pr. a. f. ante ἁμαρτήσεται ponit h. ita enim legit, non ἐξαμαρτήσεται.
[n] ἔπειτα] ἐπεὶ b.
[o] αὐτῷ ἔσται] ἐστ' αὐτῷ d. f. h.
[p] ἐγὼ] ἔγωγε l.
[q] ἐκλιπόντα a. b. g. l. m. vulg. καταλιπόντα.
[r] ἐξεργάζεσθαι a. b. g. l. m. vulg. ἐξεργάσασθαι.
[s] ἐπιχειρῶν] ἐγχειρῶν d. f. h.
[t] δεῖ] δεῖν l.
[u] ἐχθροὺς οὔτε] ἐχθροὺς οὐδὲ a. b. g.
[x] γε] om. d. f. h.
[y] ἐκεῖνό γε] ἐκεῖνο δέ γε l.
[z] οὐδέποτε δυνήσονται a. b. g. l. m. οὐδεμήποτε δυνήσονται h. οὐδὲ μή ποτε δύνωνται d. f.

ἐν τῇ πόλει περὶ Τιμάρχου φήμην, ἣν οὐκ ἐγὼ [a] τούτῳ παρεσκεύασα ἀλλ' αὐτὸς [b] οὗτος ἑαυτῷ. οὕτω γὰρ [c] καθαρὸν χρὴ τὸν βίον εἶναι [d] τοῦ σώφρονος ἀνδρὸς ὥστε [e] μὴ ἐπιδέχεσθαι δόξαν αἰτίας πονηρᾶς.

49 Βούλομαι δὲ κἀκεῖνο προειπεῖν, ἐὰν [f] ἄρα ὑπακούσῃ ὁ Μισγόλας [g] τοῖς νόμοις καὶ ὑμῖν. εἰσὶ φύσεις ἀνθρώπων πολὺ διαφέρουσαι ὀφθῆναι ἀλλήλων τὰ περὶ τὴν ἡλικίαν· ἔνιοι μὲν γὰρ νέοι ὄντες προφερεῖς καὶ πρεσβύτεροι φαίνονται, ἕτεροι δὲ [h] πολὺν ἀριθμὸν χρόνου γεγονότες παντάπασι [i] νέοι. τούτων δ' ἐστὶ τῶν ἀνδρῶν [k] ὁ Μισγόλας. τυγχάνει [l] μὲν γὰρ ἡλικιώτης ὢν [m] ἐμὸς καὶ συνέφηβος, καὶ ἔστιν ἡμῖν τουτὶ πέμπτον καὶ [n] τετταρακοστὸν ἔτος· καὶ ἐγὼ μὲν τοσαυτασὶ πολιὰς ἔχω [o] ὅσας ὑμεῖς ὁρᾶτε, ἀλλ' οὐκ ἐκεῖνος. διὰ τί [p] οὖν ταῦτα προλέγω; ἵνα μὴ ἐξαίφνης αὐτὸν ἰδόντες θαυμάσητε καὶ τοιοῦτόν τι τῇ διανοίᾳ [q] ὑπολάβητε "ὦ Ἡράκλεις, ἀλλ' οὗτός γε τοῦ-" "του οὐ πολὺ διαφέρει." ἅμα μὲν γὰρ [r] ἡ φύσις ἐστὶ τοιαύτη τοῦ [s] ἀνθρώπου, ἅμα δὲ ἤδη μειρακίῳ ὄντι αὐτῷ ἐπλησίαζεν.

50 Ἵνα δὲ μὴ διατρίβω, [t] πρῶτον μὲν κάλει μοι τοὺς εἰ-

[a] τούτῳ παρεσκεύασα] παρεσκεύασα τούτῳ d. f. h.
[b] οὗτος] om. d. f. h.
[c] καθαρὸν χρὴ τὸν βίον εἶναι a. b. g. m. καθαρὸν εἶναι χρὴ τὸν βίον h. l. χρὴ καθαρὸν εἶναι τὸν βίον d. f.
[d] τοῦ] om. b.
[e] μὴ] μηδ' d. f.
[f] ἄρα] γὰρ g. l. m.
[g] τοῖς νόμοις a. b. g. l. m. vulg. τῷ νόμῳ.
[h] πολὺν] om. pr. m.
[i] νέοι] νέοι φαίνονται g. l. m. νέοι δοκοῦντες εἶναι f. νέοι δοκοῦσιν εἶναι d. h.
[k] ὁ Μισγόλας] Articulum om. f.
[l] μὲν] om. h.
[m] ἐμὸς] ἐμοὶ l.
[n] τετταρακοστὸν] τεσσαρακοστὸν b.
[o] ὅσας] ἃς a. b. g. l. m.
[p] οὖν a. b. g. l. m. vulg. δή.
[q] ὑπολάβητε] ὑπολάβοιτε d.
[r] ἡ φύσις ἐστὶ a. b. g. l. m. vulg. ἐστὶν ἡ φύσις.
[s] ἀνθρώπου] ἀνδρὸς d. f. h.
[t] πρῶτον μὲν κάλει μοι a. b. g. l. m. vulg. κάλει μοι πρῶτον μέν.

δότας Τίμαρχον τουτονὶ διαιτώμενον ἐν τῇ Μισγόλα οἰκίᾳ, ἔπειτα τὴν Φαίδρου μαρτυρίαν ἀναγίνωσκε. [u]τελευταίαν δέ μοι λάβε τὴν αὐτοῦ Μισγόλα μαρτυρίαν, [x]ἵνα 8
καὶ τοὺς θεοὺς δεδιὼς καὶ τοὺς συνειδότας [y]αἰσχυνόμενος καὶ τοὺς ἄλλους πολίτας καὶ [z]ὑμᾶς τοὺς δικαστὰς [a]ἐθελήσῃ ταληθῆ μαρτυρεῖν.

ΜΑΡΤΥΡΙΑ.

Μισγόλας Νικίου Πειραιεὺς μαρτυρεῖ. [b]ἐμοὶ ἐγένετο ἐν τῇ συνηθείᾳ Τίμαρχος ὁ ἐπὶ τοῦ [c]Εὐθυδίκου ἰατρείου ποτὲ [d]καθεζόμενος, [e]καὶ κατὰ τὴν [f]γνῶσίν μοι τὴν πρὸς αὐτὸν πολυωρῶν εἰς 5
τὴν νῦν οὐ [g]διέλιπεν.

51 Εἰ μὲν τοίνυν ὦ Ἀθηναῖοι Τίμαρχος οὑτοσὶ [h]διέμεινε παρὰ τῷ Μισγόλᾳ καὶ μηκέτι ὡς ἄλλον [i]ἦκε, [k]μετριώτερ' ἂν διεπέπρακτο, εἰ δή τι τῶν τοιούτων ἐστὶ [l]μέτριον, καὶ ἔγωγε οὐκ ἂν ὤκνησα αὐτὸν οὐδὲν αἰτιᾶσθαι [m]ἢ ὅπερ ὁ νομοθέτης παῤῥησιάζεται, ἡταιρηκέναι μόνον· ὁ γὰρ πρὸς
52 ἕνα τοῦτο πράττων, ἐπὶ μισθῷ δὲ τὴν πρᾶξιν ποιούμενος, αὐτῷ μοι δοκεῖ τούτῳ ἔνοχος εἶναι. ἐὰν δ' ὑμᾶς ἀναμ- 10
νήσας [n]ἐπιδείξω, [o]ὑπερβαίνων τούσδε τοὺς ἀγρίους ἄνδρας, Κηδωνίδην καὶ Αὐτοκλείδην καὶ Θέρσανδρον, [p]ἀλλ' ἐπιδείξω αὐτοὺς λέγων ὧν ἐν ταῖς οἰκίαις [q]ἀνειλημμένος γέγονε, καὶ μὴ μόνον παρὰ τῷ Μισγόλᾳ μεμισθαρνηκότα αὐτὸν ἐπὶ τῷ σώματι ἀλλὰ καὶ παρ' ἑτέρῳ καὶ πάλιν

[u] τελευταίαν δὲ] καὶ τελευταῖον δὲ g. l. m. καὶ τελευταίαν δὲ a. b.
[x] ἵνα καὶ] ἵνα εἰς l.
[y] αἰσχυνόμενος] αἰσχυνούμενος d.
[z] ὑμᾶς τοὺς] ὑμᾶς καὶ τοὺς h.
[a] ἐθελήσῃ a. b. g. h. l. m. vulg. ἐθέλῃ. Testimonium om. d. f.
[b] ἐμοὶ] ἐμοὶ δὲ l.
[c] Εὐθυδίκου] Εὐθυδικίου a. b.
[d] καθεζόμενος] δικαζόμενος g. l. m.
[e] καὶ om. l. τὴν om. h.
[f] γνῶσιν] γνώμην l.
[g] διέλιπεν] διέλιπον a. b. g. h. l. m.
[h] διέμεινε a. b. g. l. m. vulg. παρέμεινε.
[i] ἦκε] ἦλθε d. f. h.
[k] μετριώτερα] μετριώτερον l.
[l] μέτριον] μετριώτερον g. h. l. m.
[m] ἢ] om. l. m.
[n] ἐπιδείξω] ὑποδείξω g. m.
[o] ὑπερβαίνων] ὑπερβαίνοντα h.
[p] ἀλλ'] καὶ h.
[q] ἀνειλημμένος] ἀναλειμμένος d.

παρ' ἄλλῳ, καὶ παρὰ τούτου ὡς ἕτερον ἐληλιθότα, οὐκέτι δήπου [r]φαίνεται μόνον ἡταιρηκὼς ἀλλὰ [s]καί (μὰ τὸν Διόνυσον οὐκ οἶδ' ὅπως δυνήσομαι περιπλέκειν ὅλην τὴν ἡμέραν) καὶ πεπορνευμένος· ὁ γὰρ εἰκῇ τοῦτο καὶ πρὸς πολλοὺς πράττων καὶ μισθοῦ αὐτῷ μοι [t]τούτῳ δοκεῖ ἔνοχος εἶναι.

53 Ἐπειδὴ τοίνυν ὁ Μισγόλας τῇ τε δαπάνῃ ἀπεῖπε καὶ τοῦτον ἐξέπεμψε [u]παρ' ἑαυτοῦ, μετὰ τοῦτον ἀναλαμβάνει αὐτὸν Ἀντικλῆς Καλλίου Εὐωνυμεύς. οὗτος μὲν οὖν ἄπεστιν ἐν Σάμῳ μετὰ τῶν κληρούχων· ἀλλὰ τὰ μετὰ ταῦτα ἐρῶ. Ὡς γὰρ ἀπηλλάγη παρὰ τοῦ Ἀντικλέους καὶ τοῦ Μισγόλα [x]Τίμαρχος [y]οὗτος, οὐκ ἐνουθέτησεν ἑαυτὸν οὐδὲ βελτιόνων διατριβῶν ἥψατο, ἀλλὰ διημέρευεν ἐν τῷ κυβείῳ, οὗ ἡ τηλία τίθεται καὶ τοὺς ἀλεκτρυόνας [z]συμβάλλουσι καὶ κυβεύουσιν· ἤδη γὰρ οἶμαί [a]τινας ὑμῶν ἑωρα-
54 κέναι [b]ἃ λέγω, εἰ δὲ μή, ἀλλ' ἀκηκοέναι [c]γε. τῶν δὲ ἐκ τῆς διατριβῆς ταύτης ἔστι τις Πιττάλακος, ἄνθρωπος δημόσιος οἰκέτης τῆς πόλεως. οὗτος εὐπορῶν ἀργυρίου καὶ [d]ἰδὼν τοῦτον ἐν τῇ διατριβῇ [[e]ταύτῃ] ἀνέλαβεν αὐτὸν καὶ [f]εἶχε παρ' ἑαυτῷ. καὶ [g]ταῦτ' οὐκ ἐδυσχέραινεν ὁ μιαρὸς [h]οὑτοσί, μέλλων ἑαυτὸν καταισχύνειν πρὸς ἄνθρωπον δημόσιον οἰκέτην τῆς πόλεως· ἀλλ' εἰ λήψεται χορηγὸν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ, τοῦτο μόνον ἐσκέψατο,

[r] φαίνεται μόνον a. b. g. l. m. μόνον φαίνεται d. f. h. vulg. μόνον φανήσεται.
[s] καὶ] om. l.
[t] τούτῳ δοκεῖ a. b. g. m. vulg. δοκεῖ τούτῳ.
[u] παρ'] ἀφ' d. f. h.
[x] Τίμαρχος] ὁ Τίμαρχος l.
[y] οὗτος a. b. g. l. m. οὑτοσὶ d. vulg. οὑτοσίν.
[z] συμβάλλουσι] εἰσβάλλουσι g. m.
[a] τινας ὑμῶν a. b. g. l. m. vulg. ὑμῶν τινας.
[b] ἃ λέγω] om. d. f.
[c] γε] om. d. f.
[d] ἰδὼν a. b. g. l. m. vulg. ὁρῶν.
[e] [ταύτῃ] om. g. l. m.
[f] εἶχε] ἔσχε d. f. h.
[g] ταῦτ'] τοῦτ' d. f.
[h] οὑτοσί] οὗτος d.

[i]τῶν δὲ καλῶν ἢ τῶν [k]αἰσχρῶν οὐδεμίαν [l]πώποτε πρό-
νοιαν ἐποιήσατο. καὶ τοιαῦτα [m]ἁμαρτήματα καὶ τοιαύ-
τας ὕβρεις ἐγὼ ἀκήκοα γεγονέναι [n]ὑπὸ τοῦ ἀνθρώπου
τούτου εἰς τὸ σῶμα [o]τὸ Τιμάρχου, οἵας ἐγὼ μὰ τὸν Δία
τὸν Ὀλύμπιον οὐκ ἂν [p]τολμήσαιμι πρὸς ὑμᾶς εἰπεῖν· ἃ
γὰρ [q]οὗτος ἔργῳ πράττων οὐκ ἠσχύνετο, ταῦτ' ἐγὼ [r]λόγῳ
σαφῶς ἐν ὑμῖν εἰπὼν οὐκ ἂν ἐδεξάμην ζῆν. ὑπὸ δὲ τοὺς
αὐτοὺς χρόνους τούτους ἐν οἷς [s]οὗτος ἦν παρὰ τῷ Πιττα-
λάκῳ, καταπλεῖ δεῦρο ἐξ Ἑλλησπόντου Ἡγήσανδρος ὁ
τοῦτον ἀνειληφώς, περὶ οὗ πάλαι εὖ οἶδ' ὅτι θαυμάζετε
διότι οὐ μέμνημαι· οὕτως ἐναργές ἐστιν ὃ ἐρῶ. οὗτος ὁ
Ἡγήσανδρος ἀφικνεῖται, ὃν ὑμεῖς ἴστε κάλλιον ἢ ἐγώ.
ἔτυχε δὲ τότε [t]συμπλεύσας εἰς Ἑλλήσποντον [u]ταμίας
Τιμομάχῳ τῷ Ἀχαρνεῖ τῷ στρατηγήσαντι, καὶ ἦκε δεῦρο
ἀπολελαυκώς, ὡς λέγεται, τῆς ἐκείνου εὐηθείας, ἔχων οὐκ
ἐλάττους [x]ἢ ὀγδοήκοντα μνᾶς ἀργυρίου· καὶ τρόπον τινὰ
οὐχ ἥκιστα αἴτιος ἐγένετο [y]οὗτος Τιμομάχῳ τῆς συμφο-
ρᾶς. ὢν δ' ἐν [z]τοιαύτῃ [a]ἀφθονίᾳ καὶ [b]φοιτῶν [c]ὡς τὸν
Πιττάλακον συγκυβευτὴν ὄντα, καὶ τοῦτον [d]ἐκεῖ πρῶτον
ἰδών, ἤσθη τε καὶ ἐπεθύμησε καὶ ἐβουλήθη ὡς αὐτὸν ἀνα-
λαβεῖν, καί πως ἴσως [e]ἠγήσατο εἶναι αὐτὸν ἐγγὺς τῆς

[i] τῶν δὲ—ἐποιήσατο] om. l.
[k] αἰσχρῶν] αἰσχίστων d. f. h.
[l] πώποτε πρόνοιαν] πρόνοιαν πώποτε g. h. m.
[m] ἁμαρτήματα] πράγματα d.
[n] ὑπὸ] ἀπὸ h.
[o] τὸ Τιμάρχου] τοῦ τιμάρχου a. b. g. h. l. m.
[p] τολμήσαιμι] πολεμήσαιμι h.
[q] οὗτος a. b. g. l. m. οὑτοσὶ f. vulg. αὐτός.
[r] λόγῳ] om. g. l. et pr. a. λόγῳ μόνον ceteri, præter a. b. qui et μόνον om.
[s] οὗτος ἦν] ἦν οὗτος g. m.
[t] συμπλεύσας] πλεύσας l.
[u] ταμίας Τιμομάχῳ a. b. d. f. h. vulg. ταμίας ἅμα Τιμομάχῳ.
[x] ἢ] om. d.
[y] οὗτος] om. d. f. g. m.
[z] τοιαύτῃ] ταύτῃ τῇ d. f. h.
[a] ἀφθονίᾳ] ἀφωνίᾳ h.
[b] φοιτῶν] εἰσφοιτῶν d. f. h.
[c] ὡς] εἰς h.
[d] ἐκεῖ πρῶτον ἰδὼν a. b. g. l. m. vulg. ἰδὼν ἐκεῖ πρῶτον.
[e] ἠγήσατο εἶναι αὐτὸν ἐγγὺς a. b. g. l. m. vulg. αὐτὸν ἠγήσατο ἐγγὺς εἶναι.

αὐτοῦ φύσεως. πρῶτον μὲν οὖν τῷ Πιτταλάκῳ διελέχθη δεόμενος [f]παραδοῦναι τοῦτον· ὡς δ' οὐκ ἔπειθεν [g]αὐτόν, αὐτῷ [h]τούτῳ προσβάλλει, καὶ οὐ πολὺν [i]ἀνάλωσε [k]λόγον ἀλλ' εὐθὺς ἐπεπείκει· καὶ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα δεινὴ 9
[l]ἡ [m]κακία καὶ [n]ἀπιστία, ὥστε καὶ ἐξ αὐτῶν τούτων εἰ-
58 κότως ἂν μισοῖτο. ὡς δ' ἀπήλλακτο μὲν [o]ἀπὸ τοῦ Πιτταλάκου, ἀνείληπτο δὲ ὑπὸ τοῦ Ἡγησάνδρου, ὠδυνᾶτο (οἶμαι) ὁ Πιττάλακος [p]τοσοῦτον ἀργύριον μάτην, ὡς ᾤετο, [q]ἀνηλωκώς, καὶ ἐζηλοτύπει τὰ γινόμενα καὶ ἐφοίτα ἐπὶ τὴν οἰκίαν. ὅτι δὲ αὐτοῖς [r]ἠνώχλει, σκέψασθε μεγάλην 5
[s]ῥώμην Ἡγησάνδρου καὶ Τιμάρχου· μεθυσθέντες γάρ ποτε καὶ αὐτοὶ [t]καὶ τῶν [u]συγκυβευτῶν τινὲς καὶ ἄλλοι
59 ὧν οὐ βούλομαι τὰ ὀνόματα λέγειν, εἰσπηδήσαντες νύκτωρ εἰς τὴν οἰκίαν οὗ ᾤκει ὁ Πιττάλακος, πρῶτον μὲν συνέτριβον τὰ σκευάρια καὶ διερρίπτουν εἰς τὴν [x]ὁδόν, ἀστραγάλους [y]τέ τινας διασείστους καὶ φιμοὺς καὶ [z]κυβευτικὰ ἕτερα ὄργανα, καὶ τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας, 10
οὓς ἠγάπα ὁ τρισκακοδαίμων ἄνθρωπος, ἀπέκτειναν, τὸ δὲ τελευταῖον δήσαντες πρὸς τὸν κίονα αὐτὸν τὸν Πιττάλακον [a]ἐμαστίγουν τὰς ἐξ ἀνθρώπων πληγὰς οὕτω πολὺν χρόνον ὥστε καὶ τοὺς γείτονας [b]αἰσθέσθαι τῆς κραυγῆς.

[f] παραδοῦναι] παραβῆναι b.
[g] αὐτὸν] om. d. f. m.
[h] τούτῳ] om. d. f.
[i] ἀνάλωσε] ἀνήλωσε d. f.
[k] λόγον] χρόνον a. b. g. h.
[l] ἡ om. g. h.
[m] κακία d. f. l. κακία m. vulg. ἀκακία.
[n] ἀπιστία l. vulg. εὐπιστία. Reiskius εὐπειστία.
[o] ἀπὸ] παρὰ a. b. d. f.
[p] τοσοῦτον ἀργύριον μάτην ὡς ᾤετο] μάτην ὥς γε ᾤετο τὸ ἀργύριον d. f.
[q] ἀνηλωκὼς] ἀναλωκὼς l.
[r] ἠνώχλει] ἠνόχλει d.
[s] ῥώμην] γρ. γνώμην h.
[t] καὶ τῶν] καὶ ἄλλοι τινὲς τῶν h. καὶ ἄλλοι τινὲς d. f. omissis mox illis τινὲς καὶ ἄλλοι.
[u] συγκυβευτῶν] συγκυβευόντων g.
[x] ὁδὸν] ἡδὺν b.
[y] τε] om. d. f. h.
[z] κυβευτικὰ ἕτερα] κύβους καὶ ἕτερά τινα d. f. h.
[a] ἐμαστίγουν] ἐξεμαστίγουν h.
[b] αἰσθέσθαι] αἴσθεσθαι f.

60 τῇ δ' ὑστεραίᾳ ὑπεραγανακτήσας τῷ πράγματι ὁ Πιττάλακος ἔρχεται γυμνὸς εἰς τὴν ἀγορὰν καὶ καθίζει ἐπὶ τὸν βωμὸν [c]τὸν τῆς μητρὸς τῶν θεῶν. ὄχλου δὲ συνδραμόντος, [d]οἷον εἴωθε γίνεσθαι, φοβηθέντες [e]ὅ τε Ἡγήσανδρος καὶ ὁ Τίμαρχος μὴ ἀνακηρυχθῇ αὐτῶν ἡ βδελυρία εἰς πᾶσαν τὴν πόλιν (ἐπῆει δὲ ἐκκλησία,) θέουσι πρὸς
61 τὸν βωμὸν καὶ αὐτοὶ καὶ τῶν συγκυβευτῶν τινές, καὶ περιστάντες ἐδέοντο τοῦ Πιτταλάκου [f]ἀναστῆναι, λέγοντες ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονεν· καὶ αὐτὸς [g]δὲ οὗτος, [h]οὐδέπω μὰ Δία ὥσπερ νῦν ἀργαλέος ὢν τὴν ὄψιν ἀλλ' ἔτι [i]χρήσιμος, ὑπογενειάζων τὸν ἄνθρωπον καὶ πάντα φάσκων πράξειν ἃ ἂν ἐκείνῳ συνδοκῇ. πέρας πείθουσιν ἀναστῆναι [k]ἀπὸ τοῦ βωμοῦ τὸν ἄνθρωπον ὡς τευξόμενόν [l]τινος τῶν δικαίων. ὡς δ' ἀπῆλθεν ἐκ τῆς
62 ἀγορᾶς, οὐκέτι προσεῖχον αὐτῷ τὸν νοῦν. βαρέως δὲ φέρων τὴν ὕβριν αὐτῶν ὁ ἄνθρωπος δίκην ἑκατέρῳ αὐτῶν λαγχάνει. ὅτι δ' [m]ἐδικάζετο (σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου) ἄνθρωπον [n]οὐδὲν [o]αὐτὸν ἠδικηκότα ἀλλὰ τὸ ἐναντίον ἠδικημένον, [p]οὐδὲν προσήκοντα αὐτῷ ἀλλὰ δημόσιον οἰκέτην τῆς πόλεως, [q]ἦγεν εἰς δουλείαν φάσκων [r]ἑαυτοῦ εἶναι δοῦλον. ἐν παντὶ δὲ κακῷ γενόμενος ὁ Πιττάλακος προσπίπτει [s]πρὸς τὰ γόνατα] ἀν-

[c] τὸν ante τῆς om. a. b. g. l. m.
[d] οἷον] οὗ l.
[e] ὅ τε Ἡγήσανδρος καὶ ὁ Τίμαρχος] ὅ τε τίμαρχος καὶ ὁ ἡγήσανδρος h. ὁ τίμαρχος καὶ ὁ ἡγήσανδρος d. f.
[f] ἀναστῆναι] om. l.
[g] δὲ] om. d. f. h.
[h] οὐδέπω] οὔπω d. f. h.
[i] χρήσιμος] χρήσιμος ὢν g l. m.
[k] ἀπὸ τοῦ βωμοῦ τὸν ἄνθρωπον a. b. g. l. m. vulg. τὸν ἄνθρωπον ἀπὸ τοῦ βωμοῦ.
[l] τινὸς] om. h.
[m] ἐδικάζετο] a. b. g. l. m. vulg. ἐδικάσατο.
[n] οὐδὲν d. f. g. h. vulg. μηδέν.
[o] αὐτὸν] αὐτῷ d.
[p] οὐδὲν] οὐδὲ d. f. h.
[q] ἦγεν εἰς δουλείαν] εἰς δουλείαν ἦγεν h.
[r] ἑαυτοῦ] vulg. αὐτοῦ.
[s] [πρὸς τὰ γόνατα] om. b. g. l. m. et pr. a. post ἀνδρὶ ponit h.

δρὶ [t] καὶ μάλα χρηστῷ. ἔστι τις [u] Γλαύκων Χολαργεύς·
63 οὗτος αὐτὸν ἀφαιρεῖται εἰς ἐλευθερίαν. τὸ δὲ μετὰ τοῦτο
[x] δικῶν λήξεις ἐποιήσαντο. προϊόντος δὲ τοῦ χρόνου ἐπέ-
τρεψαν διαγνῶναι τὸ πρᾶγμα Διοπείθει τῷ Σουνιεῖ, δη-
μότῃ τε ὄντι τοῦ Ἡγησάνδρου καὶ ἤδη ποτὲ [y] καὶ χρησα-
μένῳ, ὅτ' ἦν ἐν ἡλικίᾳ· παραλαβὼν δὲ τὸ πρᾶγμα [z] ὁ
Διοπείθης [a] ἀνεβάλλετο χαριζόμενος τούτοις· χρόνους ἐκ
64 χρόνων. ὡς δὲ [b] παρῆλθεν ἐπὶ τὸ βῆμα τὸ [c] ὑμέτερον ὁ Ἡγη-
σανδρος, ὅτε καὶ προσεπολέμει Ἀριστοφῶντι τῷ [d] Ἀζηνιεῖ,
πρὶν αὐτῷ [e] τὴν αὐτὴν ταύτην [f] ἠπείλησεν ἐπαγγελίαν ἐν
τῷ δήμῳ ἥνπερ ἐγὼ Τιμάρχῳ [g] ἐπήγγειλα, καὶ ἐπειδὴ
[h] Κρώβυλος ὁ ἀδελφὸς [i] αὐτοῦ ἐδημηγόρει καὶ ὅλως ἀπε-
τόλμων [k] ὑμῖν [l] πρῶτοι οὗτοι περὶ τῶν Ἑλληνικῶν συμβουλεύειν, ἐνταῦθα [m] δὴ καταμεμψάμενος [n] ἑαυτὸν ὁ Πιττάλακος, καὶ ἐκλογισάμενος [o] ὅστις ὢν πρὸς οὕστινας ἐπο-
λέμει, εὖ ἐβουλεύσατο (δεῖ γὰρ [p] τἀληθῆ λέγειν·) ἡσυχίαν
[q] ἔσχε, καὶ ἠγάπησεν εἴ τι μὴ [r] προσλάβοι καινὸν κακόν.
ἐνταῦθα δὴ τὴν καλὴν [s] ταύτην νίκην νενικηκὼς ὁ Ἡγήσαν-
65 δρος ἀκονιτὶ εἶχε παρ' ἑαυτῷ Τίμαρχον [t] τουτονί. καὶ
ταῦτα [u] ὅτι ἀληθῆ λέγω, πάντες ἴστε· τίς γὰρ ὑμῶν

[t] καὶ] om. d. f.
[u] Γλαύκων] γλαῦκος d. f.
[x] δικῶν λήξεις a. b. g. l. m. vulg. λήξεις δικῶν.
[y] καὶ post. ποτὲ om. d.
[z] ὁ] om. g. l. m.
[a] ἀνεβάλλετο] ἀνεβάλετο h.
[b] παρῆλθεν g. l. m. ceteri παρῆν.
[c] ὑμέτερον] ἡμέτερον d. f. h. l.
[d] Ἀζηνιεῖ] ἀζηνεῖ h. ἀξηνιεῖ b. d. f.
[e] τὴν αὐτὴν—ἥνπερ ἐγὼ] τὴν ἐν τῷ δήμῳ ἀπειλήσαιεν ἐπαγγελίαν ἐπαγγέλλει ὥσπερ ἐγὼ d. f.
[f] ἠπείλησεν ἐπαγγελίαν ἐν τῷ δήμῳ] ἐν τῷ δήμῳ ἐπαγγελίαν ἠπείλησεν h.
[g] ἐπήγγειλα] om. d. f.
[h] Κρώβυλος] Κρωβύλος h. m. κρώβουλος d.
[i] αὐτοῦ] αὐτοῦ τοῦ ἡγησάνδρου h.
[k] ὑμῖν] ἐν ὑμῖν b. h. ἐν ἡμῖν d. f.
[l] πρῶτοι] om. h. m. et pr. a.
[m] δὴ a. b. h. m. vulg. ἤδη.
[n] ἑαυτὸν a. b. vulg. αὐτόν.
[o] ὅστις] τις a. b. h. l. m.
[p] τἀληθῆ] τἀληθὲς d. f. h.
[q] ἔσχε] ἔχειν a. b. d. f. g. h.
[r] προσλάβοι] προσλάβῃ m.
[s] ταύτην νίκην] vulg. νίκην ταύτην.
[t] τουτονί] τοῦτον d. f.
[u] ὅτι ἀληθῆ] ὅτι ἐγὼ ἀληθῆ d. f. h.

[x]ὃς οὐ πώποτε εἰς [y]τοὖψον ἀφῖκται καὶ τὰς δαπάνας τὰς τούτων οὐ τεθεώρηκεν; ἢ τίς [z]οὐ τοῖς τούτων κώμοις καὶ μοιχείαις περιτυχὼν οὐκ ἠχθέσθη ὑπὲρ τῆς πόλεως; ὅμως δ' [a]ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμέν, κάλει μοι Γλαύκωνα Χολαργέα τὸν ἀφελόμενον [b]εἰς ἐλευθερίαν τὸν Πιττάλα- 10
κον, καὶ τὰς [c]ἑτέρας μαρτυρίας ἀναγίνωσκε.

[d]ΜΑΡΤΥΡΙΑ.

66 Μαρτυρεῖ Γλαύκων Τιμαίου Χολαργεύς. ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν. χρόνῳ δ' ὕστερον ἐλθὼν [c]πρὸς ἐμὲ Πιττάλακος ἔφη βούλεσθαι διαλυθῆναι τὰ πρὸς [f]Ἡγήσανδρον, [g]καὶ [h]προπέμψαι αὐτῷ [i]ἄρασ- 5
σθαι ἅν τε αὐτὸς [k]ἐνεκαλέσατο Ἡγήσανδρον καὶ Τίμαρχον καὶ ἅν Ἡγήσανδρος τῆς δουλείας [l]αὐτόν· καὶ διελύθησαν [m]ὡσαύτως.

[n]ΜΑΡΤΥΡΙΑ.

Ἀμφισθένης μαρτυρεῖ. ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν, καὶ τὰ ἑξῆς.

67 Οὐκοῦν καὶ αὐτὸν ὑμῖν καλέσω τὸν Ἡγήσανδρον. γέγραφα δ' αὐτῷ μαρτυρίαν κοσμιωτέραν μὲν ἢ κατ' ἐκεῖ- 10
νον, μικρῷ δὲ σαφεστέραν ἢ τῷ Μισγόλᾳ. οὐκ ἀγνοῶ δ' ὅτι ἀπομεῖται καὶ ἐπιορκήσει. διὰ τί οὖν [o]αὐτὸν καλῶ ἐπὶ τὴν μαρτυρίαν; ἵν' ὑμῖν [p]ἐπιδείξω οἵους [q]ἀπεργάζε-

[x] ὃς] om. a. b. g. l. m. οὗτος ὃς d. f.
[y] τοὖψον] τοῦτον h.
[z] οὐ] ὁ h. om. b. expungit a. Reiskius ὅς.
[a] ἐπειδὴ] ἐπειδήπερ f. h.
[b] εἰς ἐλευθερίαν] εἰς τὴν ἐλευθερίαν f. h.
[c] ἑτέρας] ἑτέρων f. cui desunt testimonia.
[d] ΜΑΡΤΥΡΙΑ] μαρτυρίαι a. b.
[e] πρὸς ἐμὲ] εἰς ἐμὲ h. l.
[f] Ἡγήσανδρον — ἐνεκαλέσατο] om. l. in margine ponit h.
[g] καὶ] om. a. b. d. g.
[h] προπέμψαι] προπέμψας margo h. προσπέμψας Reiskius.
[i] ἄρασθαι a. b. d. g. et pr. m. ἄρασθαι τῆς δίκης margo h. διάλυσιν τῆς δίκης ἄρασθαι rec. m. Reiskius διάλυσιν τῆς δίκης εὔρασθαι.
[k] ἐνεκαλέσατο] ἀνεκαλέσατο g.
[l] αὐτὸν] αὐτῷ h.l.
[m] ὡσαύτως] Hoc malim poni post illud ἑξῆς (v. 9.)
[n] ΜΑΡΤΥΡΙΑ — ἑξῆς] om. h. μαρτυρίαι a. b.
[o] αὐτὸν καλῶ] καλῶ αὐτὸν f. h.
[p] ἐπιδείξω] ἀποδείξω h.
[q] ἀπεργάζεται] ἀπεργάσεται b.

ται ἀνθρώπους τὸ ἐπιτήδευμα [r]τοῦτο, ὡς καταφρονοῦντας μὲν τῶν θεῶν, ὑπερορῶντας δὲ τοὺς νόμους, ὀλιγώρως δὲ ἔχοντας πρὸς ἅπασαν αἰσχύνην. Κάλει μοι [s]τὸν Ἡγήσανδρον.

ΜΑΡΤΥΡΙΑ.

68 Ἡγήσανδρος [t]Διφίλου [u]Στειριεὺς μαρτυρεῖ. ὅτε κατέπλευσα ἐξ Ἑλλησπόντου, κατέλαβον παρὰ Πιτταλάκῳ τῷ κυβευτῇ διατρίβοντα [x]Τίμαρχον [y]τὸν Ἀριζήλου, καὶ ἐξ ἐκείνης τῆς γνώσεως ἐχρησάμην Τιμάρχῳ ὁμιλῶν τῇ [z]αὐτῇ [a]ἄρσει ᾗ καὶ τὸ πρότερον [b]Λεωδάμαντι.

69 Οὐκ ἠγνόουν ὅτι ὑπερόψεται τὸν ὅρκον ὦ Ἀθηναῖοι, ἀλλὰ καὶ προεῖπον ὑμῖν. κἀκεῖνο [c]δέ μοι πρόδηλόν ἐστιν, ὅτι ἐπειδὴ νῦν [d]οὐκ ἐθέλει μαρτυρεῖν, αὐτίκα πάρεισιν ἐν τῇ ἀπολογίᾳ. καὶ οὐδὲν μὰ Δία θαυμαστόν· ἀναβήσεται γὰρ ([e]οἶμαι) δεῦρο πιστεύων τῷ [f]ἑαυτοῦ βίῳ, ἀνὴρ καλὸς κἀγαθὸς καὶ μισοπόνηρος καὶ τὸν [g]Λεωδάμαντα ὅστις [h]ἦν οὐ γινώσκων, ἐφ' ᾧ ὑμεῖς [i]ἐθορυβήσατε τῆς μαρ-
70 τυρίας ἀναγινωσκομένης. ἆρά γε [k]προαχθήσομαί [l]τι σαφέστερον εἰπεῖν ἢ κατὰ τὴν ἐμαυτοῦ φύσιν; εἶπατέ μοι πρὸς [m]τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν, [n]ὦ Ἀθηναῖοι, ὅστις αὐτὸν [o]κατήσχυνε πρὸς Ἡγήσανδρον, οὐ δοκεῖ ὑμῖν πρὸς

[r] τοῦτο] om. f.

[s] τὸν] om. f. cui deest testimonium. Titulum om. a. b.

[t] Διφίλου] δὲ φίλου l.

[u] Στειριεὺς] σπειριεὺς a. b. d. g. l. m.

[x] Τίμαρχον Helmst. vulg. τὸν Τίμαρχον.

[y] τὸν Ἀριζήλου] τοῦ ἀριζήλου g.

[z] αὐτῇ] αὐτοῦ h.

[a] ἄρσει] Reiskius πράξει.

[b] Λεωδάμαντι d. h. vulg. λαοδάμαντι.

[c] δέ μοι] γε d. f. h.

[d] οὐκ ἐθέλει] οὐ θέλει m.

[e] (οἶμαι)] ὑμῖν a.b. g. h. l. m.

[f] ἑαυτοῦ a. b. ἐμαυτῷ pr. h. σαυτοῦ correctus: vulg. αὐτοῦ.

[g] Λεωδάμαντα] λαοδάμαντα l. m.

[h] ἦν] ὢν l.

[i] ἐθορυβήσατε] vulg. ἀνεθορυβήσατε.

[k] προαχθήσομαι] ἐξαχθήσομαι d. f.

[l] τι] ὅτι a. b. g. l. m.

[m] τοῦ] om. l.

[n] ὦ Ἀθηναῖοι] om. l.

[o] κατήσχυνε] καταισχύνει d. f.

τὸν πόρνον πεπορνεῦσθαι; ἢ τίνας [p]αὐτοὺς οὐκ οἰόμεθ' ὑπερβολὰς ποιεῖσθαι βδελυρίας παροινοῦντας καὶ [q]μονουμένους; οὐκ οἴεσθε τὸν [c]Ηγήσανδρον ἀπολογούμενον [r]τὰς πρὸς τὸν Λεωδάμαντα πράξεις τὰς περιβοήτους, ἃς ὑμεῖς [s]ἅπαντες σύνιστε, ὑπερήφανα [t]τὰ [u]ἐπιτάγματα ἐπιτάττειν, [x]ὡς ταῖς τούτου ὑπερβολαῖς αὐτὸν [y]δόξαντα μέτρια
71 διαπεπρᾶχθαι; ἀλλ' ὅμως ὄψεσθε [z]ὅτι καὶ [a]μάλα ἐπι- 30
στρεφῶς καὶ ῥητορικῶς αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ [b]Κρώβυλος αὐτίκα μάλα δεῦρο ἀναπηδήσαντες ταῦτα μὲν εἶναι πολλῆς [c]ἀβελτερίας φήσουσιν ἃ ἐγὼ λέγω, [d]ἀξιώσουσι δέ [e]με μάρτυρας [f]παρασχέσθαι διαῤῥήδην μαρτυροῦντας [g]ὅπου ἔπραττεν, ὅπως ἐποίει, ἢ τίς [h]εἶδεν, ἢ τίς
72 ἦν [i]ὁ τρόπος, πρᾶγμα ([k]οἶμαι) ἀναιδὲς λέγοντες. οὐ γὰρ [l]ἔγωγε ὑπολαμβάνω [m]οὕτως ὑμᾶς ἐπιλήσμονας εἶ- 35
ναι, ὥστε ἀμνημονεῖν [n]ὧν ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινωσκομένων τῶν νόμων, ἐν οἷς γέγραπται, ἐάν τις [o]μισθώσηταί τινα [p]Ἀθηναίων ἐπὶ ταύτην τὴν πρᾶξιν ἢ ἐάν τις [q]ἑαυτὸν μισθώσῃ, ἔνοχον εἶναι τοῖς μεγίστοις [r]καὶ

[p] αὐτοὺς οὐκ οἰόμεθα a. b. g. l. m. m quidem pronomine a rec. manu addito.
[q] μονουμένους] μεμανωμένους, γρ. μαινομένους, h.
[r] τὰς] om. l.
[s] ἅπαντες] om. l.
[t] τὰ] τε h.
[u] ἐπιτάγματα] τούτῳ ἐπιτάγματα d. f. h.
[x] ὡς] καὶ l.
[y] δόξαντα] Reiskius δόξοντα.
[z] ὅτι] om. h.
[a] μάλα] μᾶλλον d.
[b] Κρώβυλος] κρωβύλος a. b.
[c] ἀβελτερίας] ἀβελτηρίας a. b. d. h. m.
[d] ἀξιώσουσι] ἀξιοῦσι l. m.
[e] με] μοι l.
[f] παρασχέσθαι] παρέχεσθαι l.
[g] ὅπου] ὅπως l.
[h] εἶδεν] οἶδεν l.
[i] ὁ] om. l.
[k] (οἶμαι)] εἶναι h.
[l] ἔγωγε ὑπολαμβάνω a. b. g. l. m. οἶμαι ἔγωγε d. f. οἴομαι ἔγωγε h.
[m] οὕτως ὑμᾶς a. b. g. l. m. vulg. ὑμᾶς οὕτως.
[n] ὧν ὀλίγῳ πρότερον ἠκούσατε a. b. g. h. l. m. vulg. ὀλίγῳ πρότερον ἀκούσαντες.
[o] μισθώσηται] μισθώσῃ h.
[p] Ἀθηναίων a. b. d. g. vulg. Ἀθηναῖον.
[q] ἑαυτὸν a. b. vulg. αὐτόν.
[r] καὶ τοῖς ἴσοις] καὶ ἴσοις h.

τοῖς ἴσοις ἐπιτιμίοις. τίς οὖν οὕτω ταλαίπωρός ἐστιν ἄνθρωπος, ὅστις ἂν [s]ἐθελήσειε σαφῶς [t]τοιαύτην μαρτυρίαν μαρτυρῆσαι, ἐξ ἧς ὑπάρχει αὐτῷ, ἐὰν ταληθῆ [u]μαρτυρήσῃ, [x]ἐπιδεικνύναι ἕνοχον ὄντα [y]ἑαυτὸν τοῖς ἐσχάτοις ἐπιτι- 10
73 μίοις; οὐκοῦν [z]ὑπόλοιπόν ἐστι τὸν πεπονθότα ὁμολογεῖν. ἀλλὰ διὰ τοῦτο κρίνεται, ὅτι ταῦτα πράξας παρὰ τοὺς νόμους ἐδημηγόρει. βούλεσθε οὖν τὸ ὅλον πρᾶγμα ἀφῶμεν καὶ μὴ ζητῶμεν; νὴ τὸν [a]Ποσειδῶ [b]κακῶς ἄρα τὴν πόλιν οἰκήσομεν, εἰ ἃ αὐτοὶ ἔργῳ ἴσμεν γινόμενα, ταῦτα ἐὰν μή [c]τις δεῦρο παρελθὼν σαφῶς ἅμα [d]καὶ ἀναισχύντως [e]μαρτυρήσῃ, διὰ τοῦτο ἐπιλησόμεθα. 11

74 Σκέψασθε δὲ καὶ [f]ἐκ παραδειγμάτων· ἀνάγκη δ' ἴσως ἔσται παραπλήσια [g]τὰ παραδείγματα εἶναι τοῖς τρόποις [h]τοῖς Τιμάρχου. ὁρᾶτε τουτουσὶ τοὺς ἐπὶ τῶν οἰκημάτων [i]καθημένους, τοὺς ὁμολογουμένως τὴν [k]πρᾶξιν πράττοντας. οὗτοι μέντοι ὅταν πρὸς τῇ ἀνάγκῃ ταύτῃ γίνωνται, ὅμως πρό γε τῆς αἰσχύνης προβάλλονταί τι 15
καὶ συγκλείουσι τὰς [l]θύρας. εἰ δή τις [m]ὑμῶν ἔροιτο τοὺς ὁδῷ πορευομένους [n]τί νῦν [o]οὗτος ὁ ἄνθρωπος πράττει, εὐθὺς ἂν [p]εἴποιτε τοῦ ἔργου τοὔνομα, [q]οὐχ ὁρῶντες [r]τὸν εἰσ-

[s] ἐθελήσειε] ἐθελήσει b.
[t] τοιαύτην] vulg. τὴν τοιαύτην.
[u] μαρτυρήσῃ a. b. g. h. l. m. vulg. μαρτυρῇ.
[x] ἐπιδεικνύναι] ἐπιδεικνύειν g. l. m.
[y] ἑαυτὸν a. b. om. d. f. h. vulg. αὐτόν.
[z] ὑπόλοιπόν] τὸ λοιπόν d. f.
[a] Ποσειδᾶ] ποσειδῶνα g. m.
[b] κακῶς] καλῶς a.
[c] τις δεῦρο] τις ἡμῖν δεῦρο g. τις ὑμῖν δεῦρο f. h.
[d] καὶ] om. l.
[e] μαρτυρήσῃ] αὐτὸς μαρτυρήσῃ d. f. h.
[f] ἐκ] ἐπὶ h.
[g] τὰ] om. a. b. g. l. m.
[h] τοῖς Τιμάρχου] τοῦ τιμάρχου d. f. h.
[i] καθημένους d. f. g. h. vulg. καθεζομένους.
[k] πρᾶξιν] πρᾶξιν ταύτην d. f. h.
[l] θύρας] θυρίδας d.
[m] ὑμῶν] ὑμᾶς h.
[n] τί] ὅτι d. f.
[o] οὗτος ὁ ἄνθρωπος a. b. m. οὗτος ἄνθρωπος l. vulg. ὁ ἄνθρωπος οὗτος.
[p] εἴποιτε] λέγοιτε h. λέγοιτο d. f.
[q] οὐχ ὁρῶντες] οὐκ εἰδότες d. f. g. h.
[r] τὸν] καὶ τὸν d. f. h.

ελληλυθότα ὅστις ἦν, ἀλλὰ τὴν προαίρεσιν τῆς ἐργασίας τοῦ ἀνθρώπου [s]συνειδότες καὶ τὸ πρᾶγμα [t]γνωριζοντες.
75 οὐκοῦν τὸν αὐτὸν τρόπον προσήκει ὑμᾶς [u]περὶ [x]Τιμάρχου ἐξετάζειν, καὶ μὴ σκοπεῖν εἴ τις εἶδεν ἀλλ' εἰ πέπρακται τούτῳ ἡ πρᾶξις. ἐπεὶ πρὸς θεῶν τί [y]δεῖ λέγειν, [z]Τιμαρχε, [a]ἢ τί σὺ ἂν εἴποις αὐτὸς περὶ ἑτέρου ἀνθρώπου ἐπὶ τῇ [b]αἰτίᾳ ταύτῃ κρινομένου; ἢ τί χρὴ λέγειν ὅταν μειράκιον νέον καταλιπὸν τὴν πατρῴαν οἰκίαν [c]ἐν ἀλλοτρίαις οἰκίαις νυκτερεύῃ, τὴν ὄψιν [d]ἑτέρων διαφέρον, καὶ πολυτελῆ δεῖπνα δειπνῇ ἀσύμβολον, καὶ αὐλητρίδας ἔχῃ καὶ [e]ἑταίρας πολυτελεστάτας, καὶ κυβεύῃ, καὶ μηδεν ἑκτινῃ
76 αὐτὸς ἀλλ' ἕτερος ὑπὲρ [f]αὐτοῦ; [g]ἔτι ταῦτα μαντείας προσδεῖται; οὐκ εὔδηλον ὅτι πᾶσα ἀνάγκη τὸν [h]τὰ τηλικαῦτα ἐπιτάγματά τισιν ἐπιτάττοντα καὶ αὐτὸν ἀντὶ τούτων ἡδονάς [i]τινας παρασκευάζειν τοῖς τὸ ἀργύριον [k]προσαναλίσκουσιν; οὐ γὰρ ἔχω μὰ τὸν Δια τὸν Ὀλύμπιον τίνα τρόπον εὐφημότερον μνησθῶ τῶν σοὶ καταγελάστως πεπραγμένων ἔργων.
77 Θεωρήσατε δ', εἰ βούλεσθε, τὸ πρᾶγμα καὶ ἐκ πολιτικῶν τινῶν παραδειγμάτων, καὶ μάλιστα ἐκ τούτων ἃ [l]νυνὶ μετὰ χεῖρας ἔχετε. γεγόνασι διαψηφίσεις ἐν τοῖς δήμοις, καὶ ἕκαστος [m]ὑμῶν ψῆφον [n]δεδωκε περὶ τοῦ

[s] συνειδότες] εἰδότες d. f. h.
[t] γνωρίζοντες] γνωρίζετε f. h. γνωρίζεται d.
[u] περὶ] καὶ περὶ b. d. f. h.
[x] Τιμάρχου] τίμαρχον l.
[y] δεῖ] χρὴ d. f. h. δὴ b.
[z] Τίμαρχε] vulg. ante τί ponunt.
[a] ἢ τί σὺ] τί d. f. h.
[b] αἰτίᾳ ταύτῃ a. b. g. l. m. τοιαύτῃ αἰτίᾳ h. vulg. αὐτῇ αἰτίᾳ.
[c] ἐν ἀλλοτρίαις οἰκίαις νυκτερεύῃ a. b. g. l. m. vulg. νυκτερεύῃ ἐν ἀλλοτρίαις οἰκίαις.
[d] ἑτέρων] om. l.
[e] ἑταίρας] ἑτέρας d.
[f] αὐτοῦ] ἐκείνου d. f. h.
[g] ἔτι] τί d. f. h.
[h] τὰ] om. d.
[i] τινας] τισι a. b. m. om. g.
[k] προσαναλίσκουσιν] προαναλίσκουσι l. m. conf. p. 6, 28.
[l] νυνὶ] νῦν d. f. h.
[m] ὑμῶν] ἡμῶν d. f. h. m.
[n] δέδωκε] ἔδωκε l.

σώματος, ὁστις Ἀθηναῖος ὄντως ἐστὶ καὶ ὅστις μή. καὶ ἔγωγε, ἐπειδὰν [o] προσίω [p] πρὸς τὸ δικαστήριον καὶ ἀκροάσωμαι τῶν ἀγωνιζομένων, ὁρῶ ὅτι ἀεὶ τὸ αὐτὸ [q] παρ' 78 ὑμῖν ἰσχύει. ἐπειδὰν γὰρ εἴπῃ ὁ κατήγορος "ἄνδρες δι- 25
"κασταί, [r] τουτουὶ κατεψηφίσαντο οἱ δημόται [s] ὁμόσαν-
"τες, οὐδενὸς [t] ἀνθρώπων οὔτε κατηγορήσαντος οὔτε [u] μαρ-
"τυρήσαντος, ἀλλ' [x] αὐτοὶ [y] συνειδότες," εὐθὺς (οἶμαι) θορυβεῖτε [z] ὑμεῖς ὡς οὐ μετὸν τῷ κρινομένῳ τῆς πόλεως· [a] οὐδὲν γὰρ (οἶμαι) δοκεῖ προσδεῖσθαι ὑμῖν [b] λόγου οὐδὲ 79 μαρτυρίας ὅσα τις [c] σαφῶς οἶδεν αὐτός. φέρε δὴ [d] πρὸς τοῦ Διός, [e] εἰ ὥσπερ περὶ τοῦ γένους, οὕτω καὶ περὶ τοῦ ἐπιτηδεύματος τούτου ἐδεήσε δοῦναι ψῆφον [f] Τίμαρχον, 80
εἶτ' ἔνοχός [g] ἐστιν εἴτε μή, ἐκρίνετο δὲ τὸ πρᾶγμα ἐν τῷ δικαστηρίῳ, εἰσήγετο δ' εἰς ὑμᾶς ὥσπερ [h] νυνί, μὴ ἐξὴν δ' [i] ἐκ τοῦ νόμου [k] ἢ τοῦ ψηφίσματος μήτε ἐμοὶ κατηγορεῖν μήτε τούτῳ ἀπολογεῖσθαι, [l] ὁ δὲ κῆρυξ ὁ [m] νυνὶ παρεστηκὼς ἐμοὶ ἐπηρώτα ὑμᾶς τὸ ἐκ τοῦ νόμου κήρυγμα, "τῶν ψήφων ἡ [n] τετρυπημένη, ὅτῳ δοκεῖ πεπορνεῦσθαι "[o] Τίμαρχον, ἡ δὲ πλήρης, ὅτῳ μή," τί ἂν ἐψηφίσασθε;

[o] προσίω] προστῶ f. στῶ d.
[p] πρὸς] εἰς h.
[q] παρ' ὑμῖν ἰσχύει] a. b. g. l. m. vulg. ἰσχύει παρ' ὑμῖν.
[r] τουτουὶ] a. b. m. τουτὶ l. vulg. τούτου.
[s] ὁμόσαντες] ὁμόσαντος d.
[t] ἀνθρώπων] ἀνθρώπου d. f.
[u] μαρτυρήσαντος] καταμαρτυρήσαντος d. f. h.
[x] αὐτοὶ] αὐτὰ a. b.
[y] συνειδότες] εἰδότες d. f.
[z] ὑμεῖς post εὐθὺς ponunt d. f. g. h.
[a] οὐδὲν] οὐθὲν b. g. m. οὐδὲ d.
[b] λόγου] a. b. g. l. m. vulg. λόγων.
[c] σαφῶς οἶδεν αὐτὸς] αὐτὸς σαφῶς οἶδε d. h.
[d] πρὸς τοῦ Διός] πρὸς διὸς pr. m.
[e] εἰ] om. b.
[f] Τίμαρχον εἶτ' ἔνοχος] Τιμάρχῳ εἶτ' ἔναγχος m. τίμαρχον εἶτ' ἔναγχος a. b.
[g] ἐστιν] om. l.
[h] νυνί a. b. g. h. l. m. vulg. νῦν.
[i] ἐκ τοῦ] ἔκ του a.
[k] ἢ τοῦ] Articulum om. a. b. g. l. m.
[l] ὁ] οὗτοσὶ ὁ d. f. οὑτοσὶν ὁ h.
[m] νυνὶ παρεστηκὼς ἐμοὶ] νῦν ἐμοὶ παρεστηκὼς d. f. h.
[n] τετρυπημένη] τετρυπημένη ψῆφος h.
[o] Τίμαρχον a. b. g. h. l. m. vulg. Τίμαρχος.

80 [p] ἀκριβῶς οἶδ' ὅτι κατέγνωτ' ἂν αὐτοῦ. εἰ [q] δή τις με ἔροιτο ὑμῶν "[r] σὺ δὲ τί οἶσθα εἰ [s] ἡμεῖς ἂν τούτου κατε- "ψηφισάμεθα;" εἴποιμ' ἂν "διότι ἐπαῤῥησιάσασθέ μοι "καὶ διείλεχθε." καὶ ὁπότε καὶ [t] ὅπου ἕκαστος, ἐγὼ [u] ὑμᾶς ὑπομνήσω. ὅταν οὗτοσὶ [x] ἀναβῇ ἐπὶ τὸ βῆμα ἐν τῷ δήμῳ, καὶ ἡ βουλὴ ὅτε ἐβούλευσε [y] πέρυσιν, [z] ἢ ἐὰν μνησθῇ [a] τειχῶν [b] ἐπισκευῆς ἢ πύργου ἢ ὡς ἀπήγγελτό [c] πού τις, εὐθὺς [d] ἐβοᾶτε καὶ ἐγελᾶτε καὶ αὐτοὶ ἐλέγετε 81 τὴν ἐπωνυμίαν [e] τῶν ἔργων ὧν σύνιστε αὐτῷ. καὶ τὰ μὲν [f] παλαιὰ ἐάσω, τὰ δὲ ἐν αὐτῇ τῇ ἐκκλησίᾳ [g] γενόμενα, [h] ὅτε ἐγὼ τὴν ἐπαγγελίαν ταύτην Τιμάρχῳ [i] ἐπήγγειλα, ταῦθ' ὑμᾶς ἀναμνῆσαι βούλομαι. τῆς γὰρ βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ πρόσοδον ποιουμένης πρὸς τὸν δῆμον κατὰ τὸ ψήφισμα [k] τὸ τούτου, ὃ [l] οὗτος εἰρηκει περὶ τῶν εἰκη- σεων τῶν ἐν τῇ [m] Πυκνί, ἣν μὲν ὁ τὸν λόγον λέγων ἐκ τῶν Ἀρεοπαγιτῶν Αὐτόλυκος, καλῶς νὴ τὸν Δία [n] τὸν Ὀλύμ- 12 πιον καὶ τὸν Ἀπόλλω καὶ σεμνῶς [o] καὶ ἀξίως [p] ἐκείνου 82 τοῦ συνεδρίου βεβιωκώς· ἐπειδὴ δέ που προϊόντος τοῦ λόγου εἶπεν [q] ὅτι τὸ εἰσήγημα τὸ Τιμάρχου ἀποδοκιμά-

[p] ἀκριβῶς] ἀκριβῶς εὖ a. b. g. l. m.

[q] δή] δέ d. g. m.

[r] σὺ δὲ τί] a. b. g. h. l. m. vulg. τί δὲ σύ.

[s] ἡμεῖς] ὑμᾶς d.

[t] ὅπου] ποῦ a. b. g. l. m.

[u] ὑμᾶς ὑπομνήσω] ὑμῖν ἐρῶ d. f. h.

[x] ἀναβῇ ἐπὶ τὸ βῆμα ἐν τῷ δήμῳ a. b. g. l. m. vulg. ἐν τῷ δήμῳ ἀναβῇ ἐπὶ τὸ βῆμα.

[y] πέρυσιν] om. d. f.

[z] ἢ ἐὰν μνησθῇ] ὅταν μνησθῇ a. b. f. ὅταν ἐμνήσθη d. h.

[a] τειχῶν] τυχὼν l.

[b] ἐπισκευῆς] κατασκευῆς g. l. m. ἐπικατασκευῆς h.

[c] πού] Reiskius ποί.

[d] ἐβοᾶτε καὶ ἐγελᾶτε] vulg. ἐγελᾶτε καὶ ἐβοᾶτε.

[e] τῶν] τὴν h.

[f] παλαιὰ] πολλὰ καὶ παλαιὰ d. f. h.

[g] γενόμενα] λεγόμενα h.

[h] ὅτε] ὅταν].

[i] ἐπήγγειλα] ἀπήγγειλα g.

[k] τὸ τούτου] om. d.

[l] οὗτος εἰρήκει] εἰρήκει οὗτος h. εἰρήκει d. f.

[m] Πυκνί] πύκνι f. vulg. πυκνί.

[n] τὸν Ὀλύμπιον] om. d. f.

[o] καὶ post σεμνῶς om. h.

[p] ἐκείνου τοῦ συνεδρίου a. b. g. l. m. vulg. τοῦ συνεδρίου ἐκείνου.

[q] ὅτι τὸ a. b. g. m. ὅτι τότε h. ὅτι l. vulg. ὅτι τύγε.

ζει ἡ βουλή, "καὶ περὶ τῆς ἐρημίας ταύτης καὶ τοῦ "τόπου τοῦ ἐν τῇ Πυκνὶ μὴ θαυμάσητε, [r] ὦ Ἀθηναῖοι, εἰ "Τίμαρχος ἐμπειροτέρως ἔχει τῆς βουλῆς τῆς ἐξ Ἀρείου "πάγου," ἀνεθορυβήσατε ὑμεῖς ἐνταῦθα καὶ ἔφατε τὸν Αὐτόλυκον [s] ἀληθῆ λέγειν· [t] εἶναι γὰρ [u] ἔμπειρον.
83 ἀγνοήσας δ' ὑμῶν [x] τὸν θόρυβον [y] ὁ Αὐτόλυκος, μάλα σκυθρωπάσας καὶ διαλιπὼν εἶπεν "ἡμεῖς [z] τοι, ὦ Ἀθη- "ναῖοι, οἱ Ἀρεοπαγῖται οὔτε κατηγοροῦμεν Τιμάρχου "οὔτε ἀπολογούμεθα (οὐ γὰρ [a] ἡμῖν πάτριόν ἐστιν), "ἔχομεν δὲ τοιαύτην [b] τινὰ συγγνώμην Τιμάρχῳ· οὗτος "[c] ἴσως" ἔφη "ᾠήθη ἐν τῇ ἡσυχίᾳ ταύτῃ μικρὸν [d] ὑμῶν "ἑκάστῳ ἀνάλωμα γίνεσθαι·" [e] καὶ πάλιν ἐπὶ τῇ ἡσυ- χίᾳ καὶ τῷ μικρῷ ἀναλώματι μείζων ἀπήντα παρ' ὑμῶν μετὰ γέλωτος θόρυβος. ὡς δ' [f] ἐπεμνήσθη τῶν οἰκοπέδων καὶ τῶν [g] λάκκων, οὐδ' ἀναλαβεῖν αὐτοὺς [h] ἠδύνασθε.
84 [i] ἔνθα δὴ καὶ [k] παρέρχεται Πύῤῥανδρος ἐπιτιμήσων ὑμῖν, καὶ ἤρετο τὸν δῆμον εἰ οὐκ αἰσχύνοιντο γελῶντες παρού- σης τῆς βουλῆς τῆς [l] ἐξ Ἀρείου πάγου. ὑμεῖς δ' [m] ἐξεβά- λετε αὐτὸν [n] ὑπολαβόντες "[o] ἴσμεν, ὦ [p] Πύῤῥανδρε, ὅτι οὐ "δεῖ γελᾶν τούτων ἐναντίον· ἀλλ' οὕτως ἰσχυρόν ἐστιν ἡ "ἀλήθεια ὥστε πάντων [q] ἐπικρατεῖ τῶν ἀνθρωπίνων λο-

[r] ὦ Ἀθηναῖοι] ἔφη ὦ Ἀθηναῖοι b. f. h. ὦ ἀθηναῖοι ἔφη d.
[s] ἀληθῆ] τἀληθῆ b.
[t] αὐτὸν] αὐτὸν τούτων d. h. τούτων τοῦτον f.
[u] ἔμπειρον] ἔμπειρον τούτων a. b.
[x] τὸν] τὸ a. b.
[y] ὁ Αὐτόλυκος] Articulum om. d. f. h.
[z] τοι a.b.g.l.m. vulg. μέντοι ἔφη.
[a] ἡμῖν πάτριόν] ἴδιόν l.
[b] τινὰ] om. d. f.
[c] ἴσως ἔφη] ἔφη ἴσως g. m.
[d] ὑμῶν] ἡμῶν d.
[e] καὶ ante πάλιν om. a. b. g. l.
[f] ἐπεμνήσθη] ἐμνήσθη h.
[g] λάκκων] κολάκων l.
[h] ἠδύνασθε a. b. g. ἐδύνασθε l. vulg. ἐδυνήθητε.
[i] ἔνθα δὴ a. b. g. l. m. ἔνθα δὲ h. vulg. ἔνθεν.
[k] παρέρχεται] ἀπάρχεται g. m.
[l] ἐξ Ἀρείου πάγου] ἐν ἀρείῳ πάγῳ g. l. m. et pr. a.
[m] ἐξεβάλετε a. b. d. g. l. et correctus m. vulg. ἐξεβάλλετε.
[n] ὑπολαβόντες] ὑπολαμβάνοντες f.
[o] ἴσμεν] οἴδαμεν f. h.
[p] Πύῤῥανδρε] πύρανδρε d.
[q] ἐπικρατεῖ] ἐπικρατεῖν d.

85 "γισμῶν." ταύτην ἐγὼ [r] ὑπολαμβάνω τὴν μαρτυρίαν μεμαρτυρῆσθαι ὑμῖν ὑπὸ τοῦ δήμου [s] τοῦ Ἀθηναίων, [t] ἣν ἀλῶναι ψευδομαρτυριῶν οὐ καλῶς ἔχει. οὐκοῦν ἄτοπον [u] ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ [v] μηδὲν [x] μὲν ἐμοῦ λέγοντος αὐτοὶ βοᾶτε τὴν ἐπωνυμίαν τῶν ἔργων ὧν σύνιστε τούτῳ, ἐμοῦ δὲ λέγοντος ἐπιλέλησθε, καὶ μὴ γενομένης μὲν κρίσεως περὶ τοῦ πράγματος ἦλω ἄν, [y] γεγονότος δὲ ἐλέγχου [z] ἀποφεύξεται.

86 [a] Ἐπειδὴ δὲ [b] ἐμνήσθην τῶν διαψηφίσεων [c] καὶ τῶν [d] Δημοφίλου πολιτευμάτων, βούλομαι [e] καὶ ἄλλο τι παράδειγμα περὶ τούτων εἰπεῖν. ὁ γὰρ [f] αὐτὸς οὗτος ἀνὴρ καὶ πρότερόν τι [g] τοιοῦτο πολίτευμα ἐπολιτεύσατο. ἠτιάσατό τινας [h] εἶναι [i] οἵπερ ἄρα ἐνεχείρουν [k] συνδεκάζειν τὴν ἐκκλησίαν καὶ τἆλλα δικαστήρια, ὥσπερ καὶ [l] νυνὶ Νικόστρατος· καὶ περὶ τούτων κρίσεις αἱ μὲν [m] ἐγένοντο
87 πάλαι, αἱ δὲ [n] νῦν ἐνεστᾶσιν ἔτι. φέρε δὴ πρὸς τοῦ Διὸς καὶ [o] τῶν θεῶν, [p] εἰ ἐπὶ τὴν αὐτὴν ἐτράποντο ἀπολογίαν [q] ἥνπερ Τίμαρχος νυνὶ καὶ οἱ συναγορεύοντες αὐτῷ, καὶ ἠξίουν διαρρήδην [r] τινὰ μαρτυρεῖν περὶ τῆς αἰτίας ἢ τοὺς

[r] ὑπολαμβάνω τὴν μαρτυρίαν] τὴν μαρτυρίαν ὑπολαμβάνω g. ὑπολαμβάνω μαρτυρίαν f. h.

[s] τοῦ Ἀθηναίων f. vulg. τῶν Ἀθηναίων.

[t] ἣν] ἢ l.

[u] ἂν εἴη] om. d. f. h.

[v] μηδὲν] μηθὲν g.

[x] μὲν] om. l.

[y] γεγονότος δὲ ἐλέγχου] γενομένης δὲ l.

[z] ἀποφεύξεται] φεύξεται d.

[a] Ἐπειδὴ] ἐπεὶ a. b. l.

[b] ἐμνήσθην] ἐμνήσθη g. l. ἐμνησθη᾽ m.

[c] καὶ] om. d.

[d] Δημοφίλου] vulg. τοῦ Δημοφίλου.

[e] καὶ ἄλλο τι a. b. g. l. m. vulg. τι καὶ ἄλλο.

[f] αὐτὸς οὗτος] τοσοῦτος a. g. l. m.

[g] τοιοῦτο] τοιοῦτον d. l.

[h] εἶναι] om. l.

[i] οἵπερ] οἳ f.

[k] συνδεκάζειν] συνδικάζειν l.

[l] νυνὶ a. b. g. l. m. vulg. νῦν.

[m] ἐγένοντο πάλαι a. b. g. l. m. vulg. πάλαι γεγόνασιν.

[n] νῦν ἐνεστᾶσιν ἔτι] νεωστὶ νῦν ἔτ᾽ εἰσί a. b. g. l. m. unde Reiskius αἱ δὲ νεωστί, αἱ δὲ νῦν ἔτ᾽ εἰσίν.

[o] τῶν] om. f. h.

[p] εἰ] om. l.

[q] ἥνπερ] ὥσπερ h.

[r] τινὰ] om. a. b. g. l. m.

δικαστὰς μὴ πιστεύειν· [s]ἅπασα δή που ἀνάγκη ἦν ἐκ τοῦ λόγου τούτου μαρτυρεῖν τὸν μὲν ὡς ἐδίκαζε τὸν δὲ ὡς ἐδίκαζετο, προκειμένης [t]ἑκατέρῳ ζημίας ἐκ τοῦ νόμου θανάτου, ὥσπερ ἐνθάδ' [u]ἐάν τις μισθώσηταί τινα Ἀθηναίων ἐφ' ὕβρει, καὶ πάλιν ἐάν τις Ἀθηναίων ἐπὶ τῇ τοῦ 88 σώματος αἰσχύνῃ [x]ἑκὼν μισθαρνῇ. ἔστιν [y]οὖν ὅστις [z]ἐμαρτύρησεν, ἢ κατήγορος [a]ὃς ἐνεχείρησε τοιαύτην [b]ποιεῖσθαι τὴν ἀπόδειξιν τοῦ πράγματος; οὐ δῆτα. τί οὖν; ἀπέφυγον οἱ κρινόμενοι; μὰ τὸν Ἡρακλέα, [c]ἐπεὶ θανάτῳ ἐζημιώθησαν, πολὺ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω ἔλαττον ἁμάρτημα ἡμαρτηκότες [d]τουτουῒ τοῦ ἀνθρώπου. ἐκεῖνοι μέν [e]γε οἱ ταλαίπωροι [f]οὐ δυνάμενοι γῆρας ἅμα καὶ πενίαν [g]ὑπενεγκεῖν, τὰ μέγιστα τῶν ἐν ἀνθρώποις κακῶν, ταύταις ἐχρήσαντο ταῖς συμφοραῖς, οὗτος δ' οὐκ ἐθέλων τὴν ἑαυτοῦ βδελυρίαν κατέχειν.

89 Εἰ μὲν τοίνυν ἦν ὁ ἀγὼν [h]οὑτοσὶ ἐν πόλει ἐκκλήτῳ, ὑμᾶς ἂν ἔγωγε ἠξίωσα μάρτυράς μοι γενέσθαι, τοὺς ἄριστα εἰδότας ὅτι ἀληθῆ λέγω· εἰ δ' ὁ μὲν ἀγών ἐστιν Ἀθήνῃσιν, οἱ δ' αὐτοὶ [i]δικασταί μοι καὶ μάρτυρές ἐστε τῶν λόγων, ἐμοὶ μὲν [k]ἀναμιμνήσκειν προσήκει, ὑμᾶς δέ μοι μὴ ἀπιστεῖν. καὶ [l]γάρ μοι δοκεῖ [m]Τίμαρχος οὑτοσὶ

[s] ἅπασα] πᾶσα d. f. h.
[t] ἑκατέρῳ] ἑκατέρου l.
[u] ἐάν τις—πάλιν] om. b. g. l. m. et pr. a.
[x] ἑκὼν] ἥκων l.
[y] οὖν ὅστις] οὖν ἡ μάρτυς ἔστις H. Wolfius.
[z] ἐμαρτύρησεν] ἂν ἐμαρτύρησεν a. b. g. h. l. m.
[a] ὃς] om. d. f.
[b] ποιεῖσθαι τὴν ἀπόδειξιν] ἀπόδειξιν ποιεῖσθαι a. b. g. l. m.
[c] ἐπεί] om. g. l. m. et pr. a.
[d] τουτουῒ a. b. g. h. m. τουτὶ l. vulg. τούτου.
[e] γε] τοι d.
[f] οὐ] μὴ d.
[g] ὑπενεγκεῖν] ἀμύνεσθαι f.
[h] οὑτοσὶ a. b. g. l. m. vulg. οὗτος.
[i] δικασταί μοι] μοι δικασταὶ d. f.
[k] ἀναμιμνήσκειν] ἀναμνήσειν l.
[l] γάρ μοι a. b. g. l. m. vulg. γὰρ ἔμοιγε.
[m] Τίμαρχος οὑτοσὶ οὐχ—μόνον ὦ Ἀθηναῖοι a. b. g. l. m. vulg. Τίμαρχος ὦ Ἀθηναῖοι οὐχ—μόνον.

οὐχ ὑπὲρ αὐτοῦ μόνον, ὦ Ἀθηναῖοι, ἐσπουδακέναι, ἀλλὰ
καὶ περὶ τῶν ἄλλων τῶν ταὐτὰ διαπεπραγμένων αὐτῷ.
90 [n]εἰ γὰρ ἡ [o]μὲν πρᾶξις αὕτη ἔσται, ὥσπερ [p]εἴωθε γίνεσθαι,
λάθρᾳ καὶ ἐν [q]ἐρημίᾳ καὶ ἐν ἰδίαις οἰκίαις, ὁ δὲ ἄριστα 13
μὲν εἰδὼς [r]καταισχύνας [s]δέ [t]τινα τῶν πολιτῶν, ἐὰν τἀ-
ληθῆ [u]μαρτυρήσῃ, ἔνοχος ἔσται τοῖς μεγίστοις ἐπιτιμίοις,
ὁ δὲ κρινόμενος καταμεμαρτυρημένος ὑπὸ [x]τοῦ βίου τοῦ
ἑαυτοῦ καὶ τῆς ἀληθείας ἀξιώσει μὴ ἐξ ὧν γινώσκεται
ἀλλ' [y]ἐκ τῶν μαρτυριῶν κρίνεσθαι, [z]ἀνῄρηται ὁ νόμος καὶ 5
91 ἡ ἀλήθεια, καὶ δεδεικται φανερὰ ὁδὸς δι' ἧς οἱ τὰ μέ-
γιστα κακουργοῦντες ἀποφεύξονται. τίς γὰρ ἢ τῶν λω-
ποδυτῶν [a]ἢ τῶν κλεπτῶν ἢ τῶν μοιχῶν ἢ τῶν ἀνδροφόνων
ἢ τῶν τὰ μέγιστα [b]μὲν ἀδικούντων, λάθρᾳ δὲ τοῦτο
πραττόντων, δώσει δίκην; καὶ γὰρ τούτων οἱ μὲν ἐπ' αὐ-
τοφώρῳ ἁλόντες, [c]ἐὰν μὲν ὁμολογῶσι, παραχρῆμα [d]θα-
νάτῳ ζημιοῦνται, οἱ δὲ λαθόντες καὶ ἔξαρνοι [e]γινόμενοι
κρίνονται ἐν τοῖς δικαστηρίοις· εὑρίσκεται [f]γὰρ ἡ ἀλή- 10
θεια ἐκ τῶν εἰκότων.

92 Χρήσασθε [g]δὲ παραδείγματι τῇ βουλῇ [h]τῇ ἐξ Ἀρείου
πάγου, τῷ ἀκριβεστάτῳ συνεδρίῳ [i]τῶν ἐν τῇ πόλει. πολ-
λοὺς γὰρ [k]ἤδη ἔγωγ' [l]ἔναγχος τεθεώρηκα ἐν τῷ βουλευ-

[n] εἰ] εἰ μὲν b.
[o] μὲν] om. l.
[p] εἴωθε] εἰώθει l.
[q] ἐρημίᾳ a. b. g. h. l. m. vulg. ἐρημίαις.
[r] καταισχύνας] καταισχύνων d. f. h.
[s] δέ] Expunxit Reiskius.
[t] τινα] τινας a. b. g. h. l. m.
[u] μαρτυρήσῃ a. b. g. h. l. m. vulg. μαρτυρῇ.
[x] τοῦ βίου τοῦ ἑαυτοῦ a.b.g.l.m. vulg. τοῦ ἑαυτοῦ βίου.
[y] ἐκ τῶν μαρτυριῶν] ἐκ μαρτύρων d. f.
[z] ἀνῄρηται] ἀνήρητ' ἂν a. b. g. m.
[a] ἢ τῶν κλεπτῶν] om. a. b. l. m.
[b] μὲν] om. g. l. m.
[c] ἐὰν a. b. vulg. ἄν.
[d] θανάτῳ] τῷ θανάτῳ d. f.
[e] γινόμενοι] γενόμενοι a. b. g. m.
[f] γὰρ] δὲ d. f. h.
[g] δὲ] δὴ a. b. g. m.
[h] τοῦ ἐξ] τῇ ἐξ g. m.
[i] τῶν] om. d.
[k] ἤδη ἔγωγ' a. b. d. f. g. h. m. vulg. ἔγωγ' ἤδη.
[l] ἔναγχος] om. pr. d. f.

τηρίῳ τούτῳ εὖ πάνυ εἰπόντας καὶ μάρτυρας πορισαμένους ἁλόντας· [m] ἤδη δέ τινας [n] πάνυ κακῶς διαλεχθέντας [o] καὶ πρᾶγμα ἀμάρτυρον ἔχοντας οἶδα νικήσαντας. οὐ γὰρ ἐκ τοῦ λόγου μόνον οὐδ' ἐκ τῶν [p] μαρτύρων, ἀλλ' ἐξ ὧν αὐτοὶ [q] ἴσασι καὶ ἐξητάκασι, τὴν ψῆφον φέρουσι. τοιγάρτοι διατελεῖ τοῦτο τὸ συνέδριον εὐδοκιμοῦν ἐν τῇ
93 πόλει. τὸν αὐτὸν τοίνυν [r] τρόπον, ὦ Ἀθηναῖοι, καὶ ὑμεῖς τὴν κρίσιν ταύτην [s] ποιήσασθε, [t] καὶ πρῶτον μὲν [u] μηδὲν ὑμῖν ἔστω πιστότερον ὧν αὐτοὶ σύνιστε καὶ πέπεισθε περὶ Τιμάρχου τούτου, ἔπειτα [x] τὸ πρᾶγμα θεωρεῖτε μὴ ἐκ τοῦ παρόντος ἀλλ' ἐκ τοῦ παρεληλυθότος χρόνου. οἱ μὲν γὰρ ἐν τῷ παρεληλυθότι χρόνῳ [y] λόγοι λεγόμενοι περὶ Τιμάρχου καὶ τῶν τούτου ἐπιτηδευμάτων διὰ τὴν ἀλήθειαν ἐλέγοντο, οἱ δ' ἐν τῇδε τῇ ἡμέρᾳ [z] ῥηθησόμενοι διὰ τὴν κρίσιν τῆς ὑμετέρας [a] ἀπάτης [b] εἵνεκα. ἀπόδοτε οὖν τὴν ψῆφον τῷ πλείονι χρόνῳ καὶ τῇ ἀληθείᾳ καὶ οἷς [c] αὐτοὶ ὑμεῖς σύνιστε.

94 [d] Καίτοι λογογράφος γέ τίς φησιν, ὁ μηχανώμενος αὐτοῖς [e] τὴν ἀπολογίαν, ἐναντία με λέγειν ἐμαυτῷ. οὐ γὰρ [f] δὴ δοκεῖ εἶναι αὐτῷ δυνατὸν τὸν αὐτὸν ἄνθρωπον πεπορνεῦσθαι καὶ τὰ πατρῷα κατεδηδοκέναι· τὸ μὲν γὰρ ἡμαρτηκέναι τι περὶ τὸ σῶμα παιδὸς εἶναι φησί, τὸ δὲ

[m] ἤδη δέ τινας] ἤδη. τινὰς δὲ d. f. h. ἤδη τινὰς b.

[n] πάνυ κακῶς a. b. g. l. m. vulg. κακῶς πάνυ.

[o] καὶ πρ. ἀμ. ἔχοντας] om. g. l. m. et pr. a.

[p] μαρτυριῶν] μαρτύρων d. f.

[q] ἴσασι a. b. g. l. m. vulg. συνίσασι.

[r] τρόπον ὦ Ἀθηναῖοι] ὦ ἀθηναῖοι τρόπον l.

[s] ποιήσασθε] ποιήσεσθε f.

[t] καὶ] om. l. m.

[u] μηδὲν ὑμῖν a. b. g. l. m. vulg. ὑμῖν μηδέν.

[x] τὸ πρᾶγμα θεωρεῖτε] θεωρεῖτε τὸ πρᾶγμα l.

[y] λόγοι λεγόμενοι a. b. f. g. h. l. m. vulg. λόγοι λεγόμενοι.

[z] ῥηθησόμενοι] λόγοι ῥηθησόμενοι d. f.

[a] ἀπάτης] ἀγάπης l.

[b] εἵνεκα] ἕνεκα b. f.

[c] αὐτοὶ ὑμεῖς a. g. h. m. ὑμεῖς l. vulg. αὐτοί.

[d] Καίτοι] καίτοιγε l. m.

[e] τὴν] om. a. b.

[f] δὴ] om. b.

τὰ πατρῷα κατεδηδοκέναι ἀνδρός. ἔτι δὲ τοὺς καταισχύνοντας [g] αὐτοὺς μισθούς φησι πράττεσθαι τοῦ πράγματος· ἀποθαυμάζων οὖν περιέρχεται καὶ τερατευόμενος κατὰ τὴν ἀγοράν, εἰ [h] ὁ αὐτὸς [i] πεπόρνευταί τε καὶ τὰ 30
95 πατρῷα κατεδήδοκεν. εἰ δέ τις ἀγνοεῖ ταῦθ' ὅπως ἔχει, ἐγὼ σαφέστερον αὐτὰ πειράσομαι διορίσαι τῷ λόγῳ. ἕως μὲν [ii] γὰρ ἀντήρκει ἡ τῆς ἐπικλήρου οὐσία, ἣν [k] Ἡγήσανδρος ὁ τοῦτον ἔχων ἔγημε, καὶ τὸ ἀργύριον ὃ [l] ἦλθεν ἔχων ἐκ τῆς μετὰ [m] Τιμομάχου ἀποδημίας, [n] ἦσαν ἐπὶ πολλῆς ἀσελγείας καὶ ἀφθονίας· ἐπειδὴ [o] δὲ ταῦτα μὲν
[p] ἀπολώλει καὶ [q] κατακεκύβευτο καὶ κατωψοφάγητο, 35
οὐτοσὶ δ' ἔζωρος [r] ἐγίνετο, ἐδίδου δ' εἰκότως οὐδεὶς [s] ἔτι οὐδέν, ἡ δὲ βδελυρὰ φύσις καὶ ἀνόσιος [t] ἡ τούτου ἀεὶ τῶν αὐτῶν ἐπεθύμει καὶ καθ' ὑπερβολὴν ἀκρασίας ἕτερον ἐφ' ἑτέρῳ ἐπίταγμα ἐπέταττε καὶ ἀπεφέρετο εἰς τὸ καθ' ἡμέραν ἔθος, ἐνταῦθα [u] δὴ ἐτράπετο ἐπὶ τὸ καταφαγεῖν
96 τὴν πατρῴαν [x] οὐσίαν. καὶ οὐ μόνον [y] κατέφαγεν, ἀλλ' [z] εἰ οἷόν τ' [a] ἐστὶν εἰπεῖν, καὶ κατέπιεν. καὶ γὰρ οὐδὲ τῆς ἀξίας ἕκαστον τῶν κτημάτων [b] ἀπεδίδοτο, [c] οὐδ' ἐδύνατ' 40
ἀναμένειν τὸ πλέον οὐδὲ τὸ λυσιτελοῦν, ἀλλὰ τοῦ ἤδη [d] εὑρίσκοντος ἀπεδίδοτο· οὕτως [e] ἠπείγετο [f] σφόδρα πρὸς

[g] αὐτοὺς a. b. vulg. ἑαυτούς.
[h] ὁ αὐτὸς] οὗτος d.
[i] πεπόρνευται a.b.d.g.l.m. vulg. πεπόρνευκε.
[ii] γὰρ] οὖν h.
[k] Ἡγήσανδρος] ὁ ἡγήσανδρος a. b.
[l] ἦλθεν ἔχων a. b. g. l. m. vulg. ἔχων ἦλθεν.
[m] Τιμομάχου] Τιμάρχου g. m.
[n] ἦσαν] ἦσε l.
[o] δὲ] om. l. m.
[p] ἀπολώλει] ἀπωλώλει a. b. f. m.
[q] κατακεκύβευτο g. vulg. κατεκεκύβευτο.
[r] ἐγίνετο] ἐγένετο a. l. m.
[s] ἔτι] om. d. f.
[t] ἡ τούτου ἀεὶ a.b.g.h.l.m. ἀεὶ τοῦτου d. f. vulg. ἀεὶ ἡ τούτου.
[u] δὴ a. b. g. l. m. vulg. ἤδη.
[x] οὐσίαν] om. h.
[y] κατέφαγεν] κατέφαγε τὰ πατρῷα a. b. h. l. m.
[z] εἰ] om. d.
[a] ἐστὶν] vulg. om.
[b] ἀπεδίδοτο] ἀπέδοτο a. b. g. l. m.
[c] οὐδ'—ἀπεδίδοτο] om. l.
[d] εὑρίσκοντος] εὑρισκομένου a. b. d. f. h.
[e] ἠπείγετο] ἀπήγετο a. b. f.
[f] σφόδρα] om. d. f.

97 τὰς ἡδονάς. τούτῳ γὰρ κατέλιπεν ὁ πατὴρ οὐσίαν [g] ἀφ' ἧς ἕτερος [h] μὲν ἂν [i] καὶ ἐλειτούργει, οὗτος δὲ οὐδ' [k] αὐτῷ διαφυλάξαι ἐδυνήθη. οἰκίαν μὲν [l] γὰρ ὄπισθεν τῆς πόλεως, ἐσχατιὰν δὲ Σφηττοῖ, Ἀλωπεκῆσι δ' ἕτερον χωρίον, χωρὶς δὲ οἰκέτας δημιουργοὺς τῆς σκυτοτομικῆς τέχνης 14
ἐννέα ἢ δέκα, ὧν ἕκαστος [m] τούτῳ δύ' ὀβολοὺς [n] ἀποφορὰν ἔφερε τῆς ἡμέρας, ὁ δ' ἡγεμὼν τοῦ ἐργαστηρίου τριώβολον· ἔτι δὲ πρὸς τούτοις γυναῖκα ἀμόργινα ἐπισταμένην ἐργάζεσθαι καὶ ἔργα λεπτὰ εἰς τὴν ἀγορὰν ἐκφέρουσαν, καὶ ἄνδρα ποικιλτήν, καὶ ὀφειλοντάς τινας αὐτῷ ἀργύ-
98 ριον, καὶ ἔπιπλα. [o] ὅτι δὲ ταῦτ' ἀληθῆ λέγω, ἐνταῦθα 5
μέντοι [p] νὴ Δία σαφῶς πάνυ καὶ διαῤῥήδην [q] ἐγὼ μαρτυροῦντας ὑμῖν τοὺς μάρτυρας παρέξομαι· οὐδεὶς γὰρ κίνδυνος, ὥσπερ ἐκεῖ, οὐδ' αἰσχύνη [r] πρόσεστιν οὐδεμία τῷ [s] τἀληθῆ μαρτυροῦντι. τὴν μὲν γὰρ οἰκίαν τὴν ἐν ἄστει [t] ἀπέδοθ' οὗτος Ναυσικράτει τῷ κωμικῷ [u] ὑποκριτῇ, ὕστε-
99 ραν δ' αὐτὴν ἐπρίατο παρὰ τοῦ Ναυσικράτους εἴκοσι 10
μνῶν [v] Κλεαίνετος ὁ χοροδιδάσκαλος· τὴν δ' ἐσχατιὰν ἐπρίατο παρ' αὐτοῦ [w] Μνησίθεος ὁ Μυῤῥινούσιος, τόπον μὲν πολύν, δεινῶς δ' ἐξηγριωμένον ὑπὸ τούτου· τὸ δ' Ἀλωπεκῆσι χωρίον, ὃ ἦν [x] ἄποθεν τοῦ τείχους ἔνδεκα ἢ δώδεκα στάδια, ἱκετευούσης καὶ ἀντιβολούσης τῆς μητρός, ὡς ἐγὼ πυθάνομαι, ἐᾶσαι καὶ μὴ ἀποδόσθαι, ἀλλ' εἰ μή

[g] ἀφ'] ἐφ' d. f. g. l. m.
[h] μὲν] om. h.
[i] καὶ] om. d. f.
[k] αὐτῷ] αὐτὴν d. h.
[l] γὰρ] om. pr. f.
[m] τούτῳ] τούτων g. l. m.
[n] ἀποφορὰν ἔφερε a. b. g. l. m. vulg. ἀπέφερε.
[o] ὅτι δὲ] καὶ ὅτι f.
[p] νὴ Δία] νὴ τὸν δία l.
[q] ἐγὼ a. b. g. h. l. m. vulg. ἔργῳ.
[r] πρόσεστιν a. b. g. h. l. m. vulg. προσέσται.
[s] τἀληθῆ] ἀληθῆ a. b. g. l. m.
[t] ἀπέδοθ' a. b. vulg. ἀπέδοτο.
[u] ὑποκριτῇ] ποιητῇ d. f. h.
[v] Κλεαίνετος] κλεαινέτης b. m. κλεαίνέτης a.
[w] Μνησίθεος] μνησίθεος d.
[x] ἄποθεν] ἄπωθεν b. d.

τι ἄλλο, ἐνταφῆναι ὑπολιπεῖν [y] αὐτῇ, [z] οὐδὲ τούτου τοῦ χωρίου ἀπέσχετο, ἀλλὰ καὶ τοῦτ' ἀπέδοτο δισχιλίων δραχμῶν. καὶ τῶν θεραπαινῶν καὶ τῶν οἰκετῶν οὐδένα κατέλιπεν, [a] ἀλλ' ἅπαντας πέπρακε. καὶ ταῦθ' ὅτι οὐ ψεύδομαι, ἐγὼ μὲν ὡς κατέλιπεν αὐτῷ ὁ πατὴρ [b] μάρτυρας παρέξομαι· οὗτος δ' εἰ μή [c] φησι πεπρακέναι, τὰ σώ-
100 ματα τῶν οἰκετῶν ἐμφανῆ [d] παρασχέσθω. ὡς δὲ καὶ [e] ἀργύριόν [f] τισιν ἐδάνειζεν, ὃ [g] κομισάμενος οὗτος ἀπήλωκε, μάρτυρα παρέξομαι [h] Μεταγένη ὑμῖν τὸν Σφήττιον, ὃς ὠφείλησε μὲν ἐκείνῳ πλείους ἢ τριάκοντα μνᾶς, ὃ δ' ἦν ὑπόλοιπον τελευτήσαντος τοῦ πατρός, [i] τούτῳ ἀπέδωκεν ἑπτὰ μνᾶς Τιμάρχῳ. Καί μοι κάλει Μεταγένη τὸν Σφήττιον. πασῶν [k] δὲ [l] πρώτην ἀνάγνωθι τὴν Ναυσικράτους μαρτυρίαν τοῦ τὴν οἰκίαν πριαμένου· καὶ τὰς ἄλλας ἁπάσας λάβε περὶ ὧν ἐμνήσθην ἐν [m] τῷ αὐτῷ λόγῳ.

[n] ΜΑΡΤΥΡΙΑΙ.

101 Ὡς τοίνυν ἐκέκτητο ὁ πατὴρ αὐτοῦ ἀργύριον οὐκ ὀλίγον, ὃ οὗτος ἠφάνικε, τοῦθ' ὑμῖν ἐπιδείξω. φοβηθεὶς γὰρ τὰς λειτουργίας ἀπέδοτο ἃ ἦν αὐτῷ κτήματα, ἄνευ τῶν [o] ἀρτίως εἰρημένων [p] χωρίων Κηφισιᾶσιν ἕτερον, ἀγρὸν Ἀμφιτροπῆσιν, ἐργαστήρια δύο ἐν τοῖς [q] ἀργυρείοις, ἕν

[y] αὐτῇ] αὐτὴν a. b. g. m. αὐτῷ l.
[z] οὐδὲ τούτου τοῦ χωρίου] τοῦτο τὸ χωρίον οὐκ d. f. h.
[a] ἀλλ' ἅπαντας g. h. l. m. ἀλλ' ἅπαντα a. b. vulg. ἀλλὰ πάντας.
[b] μάρτυρας] μαρτυρίας a. b. l. m.
[c] φησι πεπρακέναι] φήσει πεπρακέναι a. b. g. πεπρακέναι φησὶ l.
[d] παρασχέσθω h. παρεσχέσθω l. παρεχέσθω a. b. g. m. vulg. παρασχέτω.
[e] ἀργύριον] τὸ ἀργύριον g. l. m.
[f] τισιν ἐδάνειζεν] τισιν ἐδάνεισεν a. b. g. m. ἐδάνεισέ τισι l.
[g] κομισάμενος] δανεισάμενος l.
[h] Μεταγένη ὑμῖν a. b. l. m. Μεταγένην ὑμῖν g. ὑμῖν Μεταγένην h. vulg. ὑμῖν Μεταγένη.
[i] τούτῳ] τούτου d. f.
[k] δὲ] δὴ h.
[l] πρώτην] πρῶτον pr. f.
[m] τῷ αὐτῷ] αὐτῷ τῷ h. τῷ f.
[n] ΜΑΡΤΥΡΙΑΙ] om. g. l. εἶπεν h.
[o] ἀρτίως] ἄντικρυς l.
[p] χωρίων] χωρίον a. b. g. l. m.
[q] ἀργυρείοις] ἀργυρίοις d.

μὲν ἐν Αὐλῶνι, ἕτερον δ' ἐπὶ [r] Θρασύλλῳ. ὅθεν [s] δὲ ταῦτ'
102 [t] ηὐπόρησεν, ἐγὼ ἐρῶ. ἦσαν οὗτοι τρεῖς ἀδελφοί, Εὐπό-
λεμός τε ὁ παιδοτρίβης [u] καὶ Ἀρίζηλος ὁ τούτου πατὴρ
καὶ Ἀριγνωτος, ὃς [x] ἔτι καὶ νῦν ἔστι, πρεσβύτης διεφθαρ- 30
μένος τοὺς ὀφθαλμούς. τούτων πρῶτος ἐτελεύτησεν [y] Εὐ-
πόλεμος, ἀνεμήτου τῆς οὐσίας οὔσης, [z] δεύτερος δ' Ἀρί-
ζηλος ὁ [a] Τιμάρχου πατήρ· ὅτε [b] δ' ἔζη, πᾶσαν τὴν
οὐσίαν [c] διεχείριζε διὰ τὴν [d] ἀσθένειαν καὶ τὴν συμφορὰν
τὴν περὶ τὰ ὄμματα τοῦ Ἀριγνώτου καὶ διὰ τὸ τετελευ-
τηκέναι τὸν Εὐπόλεμον, καί [e] τι καὶ εἰς τροφὴν συνταξά-
103 μενος ἐδίδου τῷ Ἀριγνώτῳ. [f] ἐπειδὴ δὲ καὶ ὁ Ἀρίζηλος
ἐτελεύτησεν [g] ὁ Τιμάρχου [h] τουτουὶ πατήρ, τοὺς μὲν πρώ- 35
τους χρόνους, ἕως παῖς ἦν οὗτος, [i] ἅπαντα τὰ μέτρια
[k] ἐγίνετο παρὰ τῶν ἐπιτρόπων τῷ Ἀριγνώτῳ· ἐπειδὴ δ'
ἐνεγράφη Τίμαρχος [l] οὗτος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ κύριος [m] ἐγένετο τῆς οὐσίας, παρωσάμενος ἄνδρα πρεσβύτην καὶ ἠτυχηκότα, [n] θεῖον ἑαυτοῦ, [o] τήν τε
οὐσίαν [p] ἠφάνισε καὶ τῶν ἐπιτηδείων οὐδὲν ἐδίδου τῷ 40
Ἀριγνώτῳ, ἀλλὰ περιεῖδεν ἐκ τοσαύτης οὐσίας ἐν τοῖς
104 ἀδυνάτοις μισθοφοροῦντα. καὶ τὸ τελευταῖον, ὃ καὶ δει-

[r] Θρασύλλῳ] θρασύλῳ d.l. θρασυλάφ h. et pr. f.
[s] δὲ] om. l.
[t] ηὐπόρησεν] εὐπόρησεν l.
[u] καὶ Ἀρίζηλος] κἀρίζηλος d.
[x] ἔτι καὶ νῦν ἐστὶ a. b. g. h. m. ἐστὶ καὶ νῦν ἐστὶ l. vulg. ἐστὶ καὶ νῦν.
[y] Εὐπόλεμος] post οὔσης ponunt d. f.
[z] δεύτερος] δεύτερον a. b. g. l. m.
[a] Τιμάρχου] Τιμάρχου τουτουὶ h.
[b] δ'] om. h.
[c] διεχείριζε] ἐνεχείριζε d.
[d] ἀσθένειαν a. b. g. l. m. vulg. νόσον.
[e] τι] τοι l.
[f] ἐπειδὴ] ἐπεὶ a. b. g. l. m.
[g] ὁ Τιμάρχου] ὁ τοῦ τιμάρχου d.
[h] τουτουὶ] τούτου d. f.
[i] ἅπαντα] πάντα d. f. h.
[k] ἐγίνετο παρὰ τῶν ἐπιτρόπων a. b. g. l. m. vulg. παρὰ τῶν ἐπιτρόπων ἐγίνετο.
[l] οὗτος] om. h.
[m] ἐγένετο] ἐγίνετο l.
[n] θεῖον] ῥᾷον l.
[o] τήν τε] μήτε l.
[p] ἠφάνισε] ἠφάνικε a. b. l. m.

νότατον, ἀπολειφθέντος τοῦ [q]πρεσβύτου τῆς γινομένης τοῖς ἀδυνάτοις δοκιμασίας, ἱκετηρίαν θέντος εἰς τὴν βουλὴν [r]ὑπὲρ τοῦ μισθοῦ, βουλευτὴς ὢν καὶ προεδρεύων ἐκείνην τὴν ἡμέραν οὐκ ἠξίωσεν [s]αὐτῷ συνειπεῖν, ἀλλὰ περιεῖδεν ἀπολέσαντα τὸν τῆς πρυτανείας μισθόν. ὅτι δ' ἀληθῆ λέγω, κάλει [t]μοι Ἀρίγνωτον [u]Σφήττιον καὶ τὴν μαρτυρίαν ἀναγίνωσκε.

ΜΑΡΤΥΡΙΑΙ. 15

105 Ἀλλ' ἴσως ἄν τις εἴποι ὡς ἀποδόμενος τὴν πατρῴαν οἰκίαν ἑτέραν ἄλλοθί που [x]τοῦ ἄστεος ἐκτήσατο, ἀντὶ δὲ τῆς ἐσχατιᾶς καὶ τοῦ χωρίου τοῦ Ἀλωπεκῆσι καὶ τῶν δημιουργῶν [y]καὶ τῶν ἄλλων εἰς [z]ταργυρεῖά τι [a]κατεσκευάσατο, ὥσπερ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον. ἀλλ' οὐκ ἔστι [b]τούτῳ λοιπὸν οὐδέν, οὐκ οἰκία, οὐ συνοικία, οὐ χωρίον, οὐκ οἰκέται, οὐ δάνεισμα, [c]οὐκ ἄλλ' [d]οὐδὲν ἀφ' ὧν ἄνθρωποι μὴ κακοῦργοι ζῶσιν. ἀλλὰ [e]τούτῳ ἀντὶ τῶν πατρῴων περίεστι βδελυρία, συκοφαντία, θράσος, τρυφή, δειλία, ἀναίδεια, τὸ μὴ ἐπίστασθαι ἐρυθριᾶν ἐπὶ τοῖς αἰσχροῖς· ἐξ ὧν ἂν ὁ κάκιστος καὶ ἀλυσιτελέστατος πολίτης [f]γένοιτο.

106 Οὐ [g]τοίνυν μόνον τὰ πατρῷα κατεδήδοκεν, ἀλλὰ καὶ τὰ κοινὰ τὰ [h]ὑμέτερα, ὅσων πώποτε κύριος γέγονεν. οὗτος γὰρ ταύτην τὴν ἡλικίαν ἔχων ἣν ὑμεῖς ὁρᾶτε, [i]οὐκ

[q] πρεσβύτου] πρεσβυτέρου g. h.
[r] ὑπὲρ] ὑπὸ l.
[s] αὐτῷ] αὐτὸν l.
[t] μοι] μοι καὶ a. b. g. l. m.
[u] Σφήττιον] τὸν σφήττιον a. b. g. h. l.
[x] τοῦ ἄστεος] τοῦ ἄστεως d. τῆς πόλεως l.
[y] καὶ τῶν ἄλλων] om. pr. f.
[z] ταργυρεῖά] ταργύριά d.
[a] κατεσκευάσατο] κατεσκευάσετε l.
[b] τούτῳ] τοῦτο ὡς d. f. h.
[c] οὐκ ἄλλ'] οὐδ' ἄλλ' h.
[d] οὐδὲν] οὐθὲν g. m. οὐδὲ ἓν h.
[e] ταύτῳ] τοῦτο l.
[f] γένοιτο] γενήσεται pr. f.
[g] τοίνυν μόνον] μόνον τοίνυν h.
[h] ὑμέτερα] ἡμέτερα f.
[i] οὐκ] om. l.

ἔστιν ἥντινα πώποτ' οὐκ [k] ἦρξεν ἀρχήν, οὐδεμίαν λαχὼν οὐδὲ χειροτονηθεὶς ἀλλὰ πάσας παρὰ τοὺς νόμους πριάμενος. [l] ὧν τὰς μὲν πλείστας παρήσω, [m] δυοῖν δ' ἢ τριῶν
107 [n] μόνων μνησθήσομαι. λογιστὴς [o] γὰρ γενόμενος πλεῖστα μὲν τὴν πόλιν ἔβλαψε δῶρα λαμβάνων παρὰ τῶν [p] οὐ δικαίως ἀρξάντων, μάλιστα δ' ἐσυκοφάντησε τῶν ὑπευθύνων τοὺς μηδὲν ἠδικηκότας. ἦρξε δ' ἐν [q] Ἀνδρῳ πριάμενος [r] τριάκοντα μνῶν τὴν ἀρχήν, δανεισάμενος [r] ἐπ' ἐννέα ὀβολοῖς τὴν μνᾶν, εὐπορίαν τῇ βδελυρίᾳ [s] τῇ ἑαυτοῦ τοὺς συμμάχους τοὺς ὑμετέρους ποιούμενος· καὶ τοσαύτην [t] ἀσέλγειαν ἐπεδείξατο εἰς ἐλευθέρων ἀνθρώπων γυναῖκας, ἡλίκην οὐδεὶς πώποθ' ἕτερος. ὧν [u] οὐδένα ἐγὼ [x] παρακαλῶ δεῦρο τὴν [y] ἑαυτοῦ συμφοράν, ἣν εἵλετο σιγᾷν, εἰς πολλοὺς [z] ἐκμαρτυρῆσαι· ἀλλ' ὑμῖν τοῦτο καταλείπω
108 σκοπεῖν. τί δὲ προσδοκᾶτε; τὸν Ἀθήνησιν ὑβριστὴν οὐκ εἰς τοὺς ἄλλους μόνον ἀλλὰ καὶ εἰς τὸ σῶμα τὸ ἑαυτοῦ, νόμων ὄντων, ὑμῶν ὁρώντων, ἐχθρῶν ἐφεστηκότων, [a] τοῦτον αὐτὸν λαβόντα ἄδειαν καὶ ἐξουσίαν καὶ ἀρχὴν τίς ἂν ἐλπίσειεν ἀπολελοιπέναι τι τῶν ἀσελγεστάτων ἔργων; ἤδη νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω [b] πολλάκις ἐνεθυμήθην τὴν εὐτυχίαν τὴν τῆς ὑμετέρας πόλεως κατὰ πολλὰ μὲν
[c] καὶ ἄλλα, οὐχ ἥκιστα δὲ καὶ κατὰ ταῦτα, ὅτι κατ'

[k] ἦρξεν] ἔσχεν g. m.
[l] ὧν] ὡς l.
[m] δυοῖν] δυεῖν a. b. f.
[n] μόνων] μόνον a. b. d. f. g. l.
[o] γὰρ] om. l.
[p] οὐ] om. a. b. l. m.
[q] τριάκοντα μνῶν τὴν ἀρχὴν a. b. g. l. m. vulg. τὴν ἀρχὴν τριάκοντα μνῶν.
[r] ἐπ'] δ' ἐπ' l.
[s] τῇ ἑαυτοῦ] om. d. f.
[t] ἀσέλγειαν ἐπεδείξατο] ἐπεδείξατο βδελυρίαν d. f. h.
[u] οὐδένα] om. pr. f.
[x] παρακαλῶ δεῦρο] δεῦρο παρακαλῶ f.
[y] ἑαυτοῦ a. b. vulg. αὐτοῦ.
[z] ἐκμαρτυρῆσαι] ἐκμαρτυρήσοντα f.
[a] τοῦτον] τούτων d. f.
[b] πολλάκις] πολλὰ καὶ l. m.
[c] καὶ] om. d.

ἐκείνους τοὺς χρόνους οὐδεὶς ἐγένετο τῆς Ἀνδρίων πόλεως ὠνητής.

109 Ἀλλ' [d]ἴσως καθ' αὑτὸν μὲν ἄρχων φαῦλος [e]ἦν, μετὰ πλειόνων δὲ ἐπιεικής. [f]πόθεν; οὗτος ὦ Ἀθηναῖοι βουλευτὴς ἐγένετο ἐπὶ ἄρχοντος Νικοφήμου. ἅπαντα μὲν οὖν διεξελθεῖν ἃ ἐν [g]τούτῳ τῷ ἐνιαυτῷ ἐκακούργησε, πρὸς μικρὸν μέρος [h]τῆς ἡμέρας οὐκ ἄξιον ἐπιχειρεῖν· ἃ δ' ἐστὶν ἐγγυτάτω τῆς αἰτίας καθ' ἣν ἡ παροῦσα κρίσις 30
110 ἐστί, ταῦτ' ἐρῶ διὰ βραχέων. ἐπὶ τοίνυν τοῦ αὐτοῦ ἄρχοντος ὅθ' [i]οὗτος ἐβούλευεν, ταμίας [j]ἦν τῶν τῆς θεοῦ Ἡγήσανδρος [k]οὗτος ὁ Κρωβύλου ἀδελφός, ἔκλεπτον δὲ τῆς πόλεως κοινῇ καὶ [l]μάλα φιλεταίρως χιλίας δραχμάς. αἰσθόμενος δὲ τὸ πρᾶγμα ἀνὴρ ἐπιεικὴς Πάμφιλος ὁ Ἀχερδούσιος, προσκρούσας τι τούτῳ καὶ παροξυνθείς, ἐκκλησίας οὔσης εἶπεν ἀναστὰς "ὦ Ἀθηναῖοι, κλέπτουσιν 35
"[m]ὑμῶν [n]ἀνὴρ καὶ γυνὴ κοινῇ [o]χιλίας δραχμάς." [p]θαυμασάντων δ' ὑμῶν πῶς ἀνὴρ καὶ γυνὴ καὶ τίς ὁ
111 λόγος, εἶπε μικρὸν διαλιπών "ἀγνοεῖτε" ἔφη "[q]ὅ τι "[r]λέγω; ὁ μὲν ἀνὴρ ἐστὶν Ἡγήσανδρος ἐκεῖνος [s]νυνί," ἔφη, "πρότερον δ' ἦν καὶ αὐτὸς Λεωδάμαντος γυνή· ἡ "δὲ γυνὴ Τίμαρχος [t]οὑτοσί. ὃν δὲ τρόπον κλέπτεται τὸ "ἀργύριον, ἐγὼ ἐρῶ." μετὰ ταῦτα ἤδη διεξῄει περὶ τοῦ πράγματος καὶ μάλα εἰδότως καὶ [u]σαφῶς. διδάξας 40

[d] ἴσως] om. f. g.
[e] ἦν] ἦν οὗτος d. f. g, h.
[f] πόθεν οὗτος] om. in litura f.
[g] τούτῳ] om. pr. f.
[h] τῆς] om. f.
[i] οὗτος ἐβούλευεν a. b. g. l. m. vulg. ἐβούλευεν οὗτος.
[k] οὗτος] om. d. f.
[l] μάλα] ἅμα d. f. ἅμα μάλα h.
[m] ὑμῶν] ἡμῶν d.
[n] ἀνὴρ καὶ γυνὴ κοινῇ] κοινῇ ἀνὴρ καὶ γυνὴ d. f.
[o] χιλίας δραχμὰς] om. d. ante ἀνὴρ ponit f.
[p] θαυμασάντων—γυνή] om. d. f.
[q] ὅ τι] ὅ h.
[r] λέγω] ἐγὼ λέγω l.
[s] νυνὶ] νῦν l.
[t] οὑτοσί] οὑτοσίν g.
[u] σαφῶς] σοφῶς pr. h.

[x] δὲ ταῦτα "τί οὖν ἐστίν," [y] ἔφη, "ὦ Ἀθηναῖοι, [z] ὃ συμ-
"βουλεύω ὑμῖν; ἐὰν [a] μὲν ἡ βουλὴ καταγνοῦσα τουτονὶ
"ἀδικεῖν καὶ [b] ἐκφυλλοφορήσασα δικαστηρίῳ παραδῷ,
"δότε τὴν δωρεὰν [c] αὐτοῖς, ἐὰν δὲ μὴ κολάσωσι, [d] μὴ
"δῶτε ἀλλ' εἰς ἐκείνην αὐτοῖς τὴν ἡμέραν ἀπομνημονεύ-
112 "σατε." μετὰ ταῦτα [e] ὡς ἐπανῆλθεν ἡ βουλὴ εἰς τὸ
βουλευτήριον, ἐξεφυλλοφόρησε [f] μὲν αὐτόν, ἐν δὲ τῇ ψήφῳ
κατεδέξατο. ὅτι δ' οὐ παρέδωκε δικαστηρίῳ οὐδ' ἐξήλα- 16
σεν ἐκ τοῦ βουλευτηρίου, ἄχθομαι μὲν λέγων, ἀνάγκη δ'
ἐστὶν εἰπεῖν ὅτι τῆς δωρεᾶς [g] ἀπετύγχανε. μὴ τοίνυν
φανῆτε ὦ Ἀθηναῖοι τῇ μὲν βουλῇ χαλεπήναντες καὶ πεν-
τακοσίους ἄνδρας τῶν πολιτῶν ἀστεφανώτους ποιήσαν-
τες, ὅτι τοῦτον οὐκ [h] ἐτιμωρήσαντο, αὐτοὶ δὲ ἀφῆτε, καὶ
τὸν τῇ βουλῇ μὴ συνενεγκόντα ῥήτορα, τοῦτον τῷ δήμῳ 5
[i] μὴ [k] περιποιήσητε.

113 Ἀλλὰ περὶ μὲν τὰς [l] κληρωτὰς ἀρχάς ἐστι τοιοῦτος,
περὶ δὲ τὰς χειροτονητὰς βελτίων. καὶ τίς ὑμῶν οὐκ
οἶδεν ὡς [m] περιβοήτως ἐξηλέγχθη κλέπτης ὤν; πεμφθεὶς
γὰρ ὑφ' [n] ὑμῶν ἐξεταστὴς [o] τῶν ἐν Ἐρετρίᾳ ξένων μόνος
τῶν ἐξεταστῶν ὡμολόγει λαβεῖν ἀργύριον, καὶ οὐ περὶ
τοῦ πράγματος ἀπελογεῖτο, ἀλλ' εὐθὺς περὶ τοῦ τιμή-
ματος [p] ἱκέτευεν ὁμολογῶν ἀδικεῖν. ὑμεῖς δὲ τοῖς μὲν

[x] δὲ a. b. l. m. vulg. δή.
[y] ἔφη] om. d. f. h. l.
[z] ὃ] ἃ d. f.
[a] μὲν] γὰρ l.
[b] ἐκφυλλοφορήσασα] ἐκφυλοφορήσασα h. ἐκφιλοφορήσασα l. ἐκφυλλοχωρήσασα a. b.
[c] αὐτοῖς] om. g.
[d] μὴ δῶτε] vulg. μὴ δότε.
[e] ὡς] om. g. m.
[f] μὲν] om. a. b. d. f. g. l. m.
[g] ἀπετύγχανε] οὐκ ἔτυχε d. f. h.
[h] ἐτιμωρήσαντο] ἐτιμωρήσατο a. b.
[i] μὴ] om. f. h.
[k] περιποιήσητε] περιποιήσετε d.
[l] κληρωτὰς] κλητὰς l.
[m] περιβοήτως] περὶ κρήτων l.
[n] ὑμῶν] ἡμῶν l.
[o] τῶν ἐν Ἐρετρίᾳ ξένων] τῶν ξένων ἐν ἐρετρίᾳ d. f.
[p] ἱκέτευεν] ἱκετεύομεν l.

ἐξάρνοις [q] ἐτιμήσατε ταλάντου ἑκάστῳ, τούτῳ δὲ τριά- 10
κοντα μνῶν. [r] οἱ δὲ νόμοι κελεύουσι τῶν κλεπτῶν τοὺς
μὲν ὁμολογοῦντας [s] θανάτῳ ζημιοῦσθαι, τοὺς δ' ἀρνουμένους
114 κρίνεσθαι. [t] τοιγάρτοι οὕτως ὑμῶν κατεφρόνησεν ὥστ' εὐ-
θὺς ἐπὶ ταῖς [u] ἐν τοῖς δήμοις διαψηφίσεσι δισχιλίας
[x] δραχμὰς ἔλαβε. φήσας γὰρ [y] Φιλωτάδην τὸν [z] Κυδα-
θηναιέα, ἕνα τῶν πολιτῶν, ἀπελεύθερον εἶναι [a] ἑαυτοῦ καὶ
πείσας ἀποψηφίσασθαι τοὺς δημότας, ἐπιστὰς τῇ κατ- 15
ηγορίᾳ ἐπὶ τοῦ δικαστηρίου καὶ λαβὼν εἰς τὴν ἑαυτοῦ
χεῖρα τὰ ἱερὰ καὶ ὀμόσας μὴ λαβεῖν δῶρα [b] μηδὲ λή-
ψεσθαι, καὶ ἐπομόσας τοὺς ὁρκίους θεοὺς καὶ τὴν ἐξώ-
115 λειαν [c] αὐτῷ ἐπαρασάμενος, εἰληφὼς ἠλέγχθη παρὰ
Λευκωνίδου τοῦ Φιλωτάδου [d] κηδεστοῦ διὰ Φιλήμονος τοῦ
ὑποκριτοῦ εἴκοσι μνᾶς, ἃς ἐν ὀλίγῳ χρόνῳ πρὸς Φιλοξένην
ἀνήλωσε τὴν ἑταίραν, καὶ προὔδωκε τὸν ἀγῶνα καὶ τὸν 20
ὅρκον ἐπιώρκησεν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι Φιλή-
μονα τὸν δόντα [e] Τιμάρχῳ τὸ ἀργύριον καὶ Λευκωνίδην
τὸν Φιλωτάδου κηδεστήν, καὶ τῶν συνθηκῶν ἀνάγνωθι τὰ
ἀντίγραφα, [f] καθ' ἃς τὴν [g] πρᾶσιν ἐποιήσατο τοῦ ἀγῶνος.

ΜΑΡΤΥΡΙΑΙ. ΣΥΝΘΗΚΑΙ.

116 Περὶ μὲν οὖν τοὺς πολίτας καὶ τοὺς οἰκείους οἷος γε-
γένηται, καὶ τὴν πατρῴαν οὐσίαν ὡς αἰσχρῶς ἀνήλωκε, 25

[q] ἐτιμήσατε] ἐπετιμήσατε d. f. g. h.

[r] οἱ δὲ νόμοι] οἱ νόμοι l.

[s] θανάτῳ ζημιοῦσθαι] ἀποθνήσκειν d. f. h.

[t] τοιγάρτοι a. b. g. l. m. vulg. τοιγαροῦν.

[u] ἐν τοῖς δήμοις d. f. vulg. δημοσίαις.

[x] δραχμὰς ἔλαβε a. b. g. l. m. vulg. ἔλαβε δραχμάς.

[y] Φιλωτάδην] φυλωτάδην d. f.

[z] Κυδαθηναια f. κυδαθηναῖον h. κυδαθηνέα b.

[a] ἑαυτοῦ] ὡς αὐτὸν l.

[b] μηδὲ a. b. g. l. m. vulg. μήτε.

[c] αὐτῷ ἐπαρασάμενος a. b. g. l. m. vulg. ἐπαρασάμενος ἑαυτῷ.

[d] κηδεστοῦ] τοῦ κηδεστοῦ a. b. g. l. m.

[e] Τιμάρχῳ τὸ ἀργύριον] τὸ ἀργύριον Τιμάρχῳ a. b. l. m.

[f] καθ' ἃς] καθὼς f. h. καθῶς d.

[g] πρᾶσιν] πράξιν f. h. πράξειν d.

καὶ τὴν ὕβριν τὴν εἰς τὸ ἑαυτοῦ σῶμα ὡς [b] ὑπερεώρακε, σύνιστε μὲν καὶ πρὶν ἐμὲ λέγειν, ἱκανῶς δ' ὑμᾶς [i] ὑπομιμνήσκει καὶ ὁ παρ' ἐμοῦ λόγος· δύο δέ μοι τῆς κατηγορίας εἴδη [k] λέλειπται, ἐφ' οἷς ἐμαυτόν τ' εἰπεῖν εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις ὑπὲρ τῆς πόλεως ὡς προήρημαι, ὑμᾶς τε βουλοίμην [l] ἄν, [m] οἷς ἐγὼ μέλλω λέγειν, [n] προσέχειν [o] τὸν νοῦν καὶ παρακολουθεῖν εὐμα-
117 θῶς. ἔστι δ' ὁ μὲν [p] πρῶτός μοι λόγος [q] προδιήγησις τῆς ἀπολογίας ἧς ἀκούω μέλλειν [r] γίνεσθαι, ἵνα μὴ τοῦτο [s] ἐμοῦ παραλιπόντος ὁ τὰς τῶν λόγων τέχνας κατεπαγγελλόμενος τοὺς νέους διδάσκειν ἀπάτῃ τινὶ παραλογισάμενος ὑμᾶς ἀφέληται [t] τὸ τῆς πόλεως συμφέρον. ὁ δὲ δεύτερός ἐστί μοι λόγος παράκλησις τῶν πολιτῶν πρὸς ἀρετήν. ὁρῶ δὲ πολλοὺς μὲν τῶν νεωτέρων [u] προσεστηκότας πρὸς τῷ δικαστηρίῳ, πολλοὺς δὲ τῶν [x] πρεσβυτέρων, οὐκ [y] ὀλίγους δὲ ἐκ τῆς ἄλλης Ἑλλάδος συνειλεγμένους
118 ἐπὶ τὴν ἀκρόασιν· οὓς μὴ [z] νομίσητ' ἐμὲ [a] θεωρήσοντας ἥκειν, ἀλλὰ πολὺ μᾶλλον ὑμᾶς εἰσομένους εἰ μὴ μόνον εὖ νομοθετεῖν ἐπίστασθε, ἀλλὰ καὶ κρίνειν τὰ καλὰ [b] καὶ τὰ μὴ καλὰ δύνασθε, καὶ εἰ τιμᾶν ἐπίστασθε [c] τοὺς ἄνδρας τοὺς ἀγαθούς, καὶ εἰ θέλετε κολάζειν τοὺς ὀνείδη

[h] ὑπερεώρακε] παρεώρακε h.
[i] ὑπομιμνήσκει] ἀπομιμνήσκει l.
[k] λέλειπται] λείπεται d. f. h.
[l] ἄν] ἂν ἀκοῦσαι a. b. g. h. l. m.
[m] οἷς] ἐφ' οἷς a. b. g. h. l. m.
[n] προσέχειν] καὶ προσέχειν a. b. g. h. l. m.
[o] τὸν νοῦν] τὴν γνώμην d. f. h.
[p] πρῶτος] πρότερος b. h.
[q] προδιήγησις] διήγησις l.
[r] γίνεσθαι] γενέσθαι b. g. m.
[s] ἐμοῦ a. b. g. h. l. vulg. μου.
[t] τὸ — συμφέρον] τὰ — συμφέροντα d. f. h.
[u] προσεστηκότας] προεστηκότας a. b. g.
[x] πρεσβυτέρων] συμπρεσβυτέρων l.
[y] ὀλίγους δὲ ἐκ a. b. g. l. ἐλαχίστους δὲ ἐκ m. vulg. ἐλαχίστους δὲ τῶν ἐκ.
[z] νομίσητ' a. b. g. h. m. νομήσητε l. vulg. νομίζετ'.
[a] θεωρήσοντας] θεωρήσαντας d. g. l. m.
[b] καὶ τὰ μὴ καλὰ] om. pr. f.
[c] τοὺς ἄνδρας τοὺς ἀγαθούς] τοὺς ἀγαθοὺς ἄνδρας a. b. g. l. m.

[d] τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας. λέξω δὲ πρῶτον πρὸς ὑμᾶς περὶ τῆς ἀπολογίας.

119 Ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης ἢ τοὺς νόμους [e] φησὶν ὑμᾶς ἐξαλείφειν δεῖν, ἢ τοῖς ἐμοῖς λόγοις οὐκ εἶναι προσεκτέον. [f] ἀποθαυμάζει γὰρ εἰ μὴ πάντες [g] μέμνησθ' ὅτι καθ' ἕκαστον ἐνιαυτὸν ἡ βουλὴ πωλεῖ τὸ πορνικὸν τέλος· καὶ τοὺς πριαμένους τὸ τέλος [h] [τοῦτο] οὐκ εἰκάζειν ἀλλ' ἀκριβῶς [i] εἰδέναι τοὺς ταύτῃ χρωμένους τῇ ἐργασίᾳ. ὁπότε [k] δὴ οὖν τετόλμηκα ἀντιγράψασθαι 17 πεπορνευμένῳ Τιμάρχῳ μὴ ἐξεῖναι δημηγορεῖν, ἀπαιτεῖν φησὶ τὴν πρᾶξιν αὐτὴν οὐκ αἰτίαν κατηγόρου ἀλλὰ μαρτυρίαν τελώνου τοῦ παρὰ Τιμάρχου τοῦτο ἐκλέξαντος τὸ
120 τέλος. ἐγὼ δὲ πρὸς ταῦτ' ὦ [j] Ἀθηναῖοι σκέψασθ' ἂν ἁπλοῦν καὶ ἐλευθέριον δόξω λόγον [l] ὑμῖν [m] εἰπεῖν. αἰσχύνομαι γὰρ ὑπὲρ τῆς πόλεως εἰ Τίμαρχος, [n] ὁ τοῦ δήμου σύμβουλος καὶ τὰς εἰς τὴν Ἑλλάδα τολμῶν πρεσβείας πρεσβεύειν, μὴ τὸ πρᾶγμα ὅλον ἀποτριψασθαι [o] ἐπιχειρήσει, ἀλλὰ τοὺς τόπους [p] ἐπερωτήσει ὅπου ἐκαθέζετο, καὶ τοὺς τελώνας, εἰ πώποτε παρ' αὐτοῦ [q] τὸ πορνικὸν τέλος
121 εἰλήφασιν. [r] ταύτης μὲν [s] οὖν τῆς ἀπολογίας ὑμῶν ἕνεκα παραχωρησάτω· ἕτερον δ' ἐγώ σοι [t] λόγον ὑποβαλῶ καλὸν καὶ [u] δίκαιον, ᾧ χρήσῃ, εἰ μηδὲν αἰσχρὸν [x] σαυτῷ [y] σύν-

[d] τὸν] τῶν l.
[e] φησὶν] om. l.
[f] ἀποθαυμάζει] ἀποθαυμάσει g. m.
[g] μέμνησθ'] μεμνήμεθα l. ἐμεμνήμεθα a. g. m.
[h] [τοῦτο] om. g. l. m. et pr. a.
[i] εἰδέναι] οἴεται ἐξετάζειν b. d. f. h. et correctus a.
[k] δὴ οὖν a. b. d. f. g. h. l. vulg. οὖν δή.
[l] ὑμῖν] Post ἁπλοῦν ponunt d. f. h.
[m] εἰπεῖν] λέγειν a. g.
[n] ὁ] om. g. l. m.
[o] ἐπιχειρήσει] ἐπιχειρήσῃ m. ἐπιχειρήσει l. ἐγχειρήσει d. f.
[p] ἐπερωτήσει] ἐπερωτῆσαι l.
[q] τὸ] om. d. f. h.
[r] ταύτης] ταῦτα b. l.
[s] οὖν] om. l.
[t] λόγον ὑποβαλῶ] ὑποβάλλω λόγον d. f. h. λόγον ἐπιβαλῶν l.
[u] δίκαιον] καίριον l.
[x] σαυτῷ] αὐτῷ d.
[y] σύνοισθα] σύνοισθας m.

οισθα. τόλμησον γὰρ εἰς τοὺς δικαστὰς βλέψας εἰπεῖν
ἃ προσήκει [z] λέγειν ἀνδρὶ σώφρονι τὰ περὶ τὴν ἡλικίαν,
" ἄνδρες Ἀθηναῖοι, τέθραμμαι μὲν ἐκ παιδὸς καὶ μειρα-
" κίου [a] παρ' ὑμῖν, οὐκ ἀφανεῖς δὲ διατριβὰς διατριβων,
122 " ἀλλ' ἐν ταῖς ἐκκλησίαις μεθ' ὑμῶν ὁρῶμαι. οἶμαι δ'
" ἄν, εἰ πρὸς ἄλλους τινὰς ἦν ὁ λόγος μοι περὶ τῆς αἰ-
" τίας ἧς κρίνομαι, ταῖς ὑμετέραις μαρτυρίαις ῥᾳδίως ἂν
" ἀπολύσασθαι τοὺς τοῦ κατήγορου λόγους. μὴ γὰρ [b] ὅτι
" εἰ πέπρακταί [c] μοί τι τούτων, ἀλλ' εἰ δοκῶ ὑμῖν πα-
" ραπλησίως βεβιωκέναι ταῖς λεγομέναις ὑπὸ τούτου αἰ-
" τίαις, ἀβίωτον [d] εἶναι ἡγούμενος ἐμαυτῷ τὸν λοιπὸν
" βίον, παραδίδωμι τὴν [e] εἰς ἐμαυτὸν τιμωρίαν [f] ἐναπολο-
" γήσασθαι τῇ πόλει πρὸς τοὺς Ἕλληνας, οὐδ' ἥκω
" [g] παραιτησόμενος ὑμᾶς, ἀλλὰ καταχρήσασθέ μοι, εἰ
123 " δοκῶ τοιοῦτος εἶναι." αὕτη μέν ἐστιν, ὦ Τίμαρχε, ἀν-
δρὸς ἀγαθοῦ καὶ σώφρονος [h] ἀπολογία καὶ πεπιστευκότος
τῷ βίῳ καὶ καταφρονοῦντος εἰκότως ἁπάσης βλασφη-
μίας· ἃ δὲ πείθει σε [i] Δημοσθένης λέγειν, οὐκ ἀνδρός
ἐστιν ἐλευθέρου, ἀλλὰ πόρνου περὶ τῶν τόπων διαφερο-
μένου. Ἐπειδὴ δ' εἰς τὰς ἐπωνυμίας τῶν οἰκήσεων κα-
ταφεύγεις, κατ' οἴκημα τὸ πρᾶγμα ἐξετάζεσθαι ἀξιῶν,
ὅπου ἐκαθέζου, ἃ μέλλω λέγειν ἀκούσας εἰσαῦθις οὐ
χρήσῃ τοιούτῳ λόγῳ, ἐὰν σωφρονῇς. οὐ γὰρ τὰ οἰκήματα
οὐδ' αἱ [k] οἰκήσεις τὰς ἐπωνυμίας τοῖς [l] ἐνοικήσασι παρέ-

[z] λέγειν] om. d. f. l.
[a] παρ' ὑμῖν] μεθ' ὑμῶν d. f. h.
[b] ὅτι εἰ] εἰ ὅτι g. m. ὅτι l.
[c] μοί τι] τι μοι d. f. h.
[d] εἶναι ἡγούμενος a. b. g. l. m. vulg. ἡγούμενος εἶναι.
[e] εἰς ἐμαυτὸν] ἐμαυτοῦ b. h. et correctus a.
[f] ἐναπολογήσασθαι] ἐναπολογίσασθαι d.
[g] παραιτησόμενος] παραιτησάμενος f.
[h] ἀπολογία] ante ἀνδρὸς ponunt d. f. h.
[i] Δημοσθένης] om. h. ante λέγειν ponunt a. b. g. l. m.
[k] οἰκήσεις] οἰκίσεις d.
[l] ἐνοικήσασι] ἐνοικίσασι d.

χουσιν, ἀλλ' οἱ ἐνοικήσαντες τὰς τῶν ἰδίων ἐπιτηδευμά-
124 των ἐπωνυμίας τοῖς τόποις παρασκευάζουσιν. [m]ὅπου
[n]μὲν γὰρ πολλοὶ μισθωσάμενοι μίαν οἴκησιν διελόμενοι
ἔχουσι, συνοικίαν καλοῦμεν, ὅπου δ' εἷς ἐνοικεῖ, οἰκίαν.
ἐὰν δ' εἰς ἓν δήπου τούτων τῶν ἐπὶ ταῖς ὁδοῖς ἐργαστηρίων
ἰατρὸς [o]εἰσοικίσηται, ἰατρεῖον καλεῖται· ἐὰν δ' ὁ μὲν ἐξ-
οικίσηται, εἰς δὲ τὸ [p]αὐτὸ τοῦτο ἐργαστήριον χαλκεὺς εἰσ-
οικίσηται, χαλκεῖον ἐκλήθη, ἐὰν [q]δὲ [r]γναφεύς, γναφεῖον,
[s]ἐὰν δὲ τέκτων, τεκτονεῖον· ἐὰν δὲ πορνοβοσκὸς καὶ πόρ-
ναι, ἀπὸ τῆς ἐργασίας [t]εὐθὺς ἐκλήθη πορνεῖον. ὥστε σὺ
πολλὰ πορνεῖα τῇ τῆς πράξεως εὐχερείᾳ πεποίηκας. μὴ
οὖν ὅπου ποτὲ ἔπραττες ἐρώτα, ἀλλ' ὡς [u]τοῦτο οὐ πε-
ποίηκας ἀπολογοῦ.

125 Ἦξει δ', ὡς ἔοικε, καὶ ἕτερος λόγος τις ὑπὸ τοῦ αὐ-
τοῦ [x]σοφιστοῦ συγκείμενος. λέγει γὰρ ὡς οὐδέν [y]ἐστιν
ἀδικώτερον φήμης, ἀγοραῖα τεκμήρια καὶ παντελῶς
[z]ἀκόλουθα τῷ αὐτοῦ βίῳ παρεχόμενος. πρῶτον μὲν [a]γὰρ
τὴν ἐν Κολωνῷ συνοικίαν τὴν Δήμωνος καλουμένην ψευδῆ
φησὶ τὴν ἐπωνυμίαν ἔχειν· οὐ γὰρ εἶναι Δήμωνος· ἔπειτα
τὸν Ἑρμῆν τὸν Ἀνδοκιδου καλούμενον οὐκ Ἀνδοκίδου ἀλλ'
126 Αἰγηίδος φυλῆς εἶναι ἀνάθημα. παραφέρει δ' αὐτὸν ἐν
σκώμματος μέρει, ὡς ἡδὺς ἀνὴρ καὶ περὶ τὰς [b]ἰδίας διατριβὰς γελοῖος· "εἰ μὴ [c]καὶ ἐμὲ δεῖ" φησὶν "ὑπακούειν

[m] ὅπου—οἰκίαν] Glossatori hæc dat Valckenar. ad Ammon. p. 102.
[n] μὲν] om. g.
[o] εἰσοικίσηται—ἐξοικίσηται Stephanus: codices enim εἰσοικήσηται—ἐξοικήσηται.
[p] αὐτὸ] αὐτοῖς l.
[q] δὲ om. h.
[r] γναφεύς, γναφεῖον] κναφεὺς κναφεῖον a. b. g. l. m.
[s] ἐὰν δὲ τέκτων] ἐὰν τέκτων h.
[t] εὐθὺς] αὐτῆς a. g. m. αὐτῶν l. ταύτης b.
[u] τοῦτο οὐ] οὐ τοῦτο l. m. τοῦτο g.
[x] σοφιστοῦ] om. b.
[y] ἐστιν ἀδικώτερον] ἀδικώτερόν ἐστι l.
[z] ἀκόλουθα] ἀνακόλουθα g. l. m.
[a] γὰρ] om. l. m.
[b] ἰδίας] om. l.
[c] καὶ] om. l.

" τοῖς ὄχλοις μὴ Δημοσθένην καλούμενον ἀλλὰ [d] Βάτα-
" λον, ὅτι ταύτην [e] ἐξ ὑποκορίσματός [[f] τινος] τίτθης τὴν
" ἐπωνυμίαν ἔχω." εἰ δὲ Τίμαρχος ὡραῖος ἐγένετο καὶ
σκώπτεται τῇ τοῦ πράγματος διαβολῇ καὶ μὴ τοῖς αὐ-
τοῦ ἔργοις, οὐ δή που διὰ τοῦτ' αὐτόν φησι δεῖν συμφορᾷ 18
127 περιπεσεῖν. ἐγὼ δὲ ὦ Δημόσθενες περὶ μὲν τῶν ἀναθη-
μάτων καὶ τῶν οἰκιῶν [g] καὶ τῶν κτημάτων καὶ [h] πάντων
ὅλως τῶν ἀφώνων πολλοὺς καὶ παντοδαποὺς καὶ [i] οὐδέ-
ποτε τοὺς αὐτοὺς ἀκούω λόγους λεγομένους· οὐ γάρ εἰσιν
ἐν αὐτοῖς οὔτε καλαὶ οὔτε αἰσχραὶ πράξεις, ἀλλ' ὁ προσ-
αψάμενος αὐτῶν καὶ παρατυχών, ὅστις ἂν ᾖ, κατὰ τὸ
μέγεθος τῆς [k] αὐτοῦ δόξης λόγον παρέχει· περὶ δὲ τὸν
τῶν ἀνθρώπων βίον [l] καὶ τὸν λόγον καὶ τὰς πράξεις
[m] ἀψευδής τις [n] ἀπὸ ταυτομάτου πλανᾶται φήμη κατὰ
τὴν πόλιν, καὶ διαγγέλλει τοῖς πολλοῖς τὰς ἰδίας πρά-
ξεις, πολλὰ δὲ καὶ μαντεύεται περὶ τῶν μελλόντων ἔσε-
128 σθαι. καὶ [o] οὕτως ἐναργές ἐστι καὶ οὐ [p] πεπλασμένον ὃ
[q] λέγω, ὥσθ' εὑρήσετε καὶ τὴν πόλιν [r] ἡμῶν καὶ τοὺς προ-
γόνους φήμης ὡς [s] θεοῦ μεγίστης βωμὸν ἱδρυμένους, καὶ
τὸν [t] Ὅμηρον πολλάκις ἐν τῇ Ἰλιάδι λέγοντα πρὸ τοῦ τι
τῶν μελλόντων γενέσθαι " φήμη δ' εἰς στρατὸν [t] ἦλθε,"
καὶ πάλιν τὸν Εὐριπίδην ἀποφαινόμενον τὴν θεὸν ταύτην
οὐ μόνον τοὺς ζῶντας ἐμφανίζειν δυναμένην, [u] ὁποῖοί τινες

[d] Βάταλον] βάτταλον l. καὶ βάταλαν b.
[e] ἐξ] ἐν h.
[f] [τινος] om. a. b. d. g. l. m.
[g] καὶ τῶν κτημάτων] καὶ περὶ τῶν κτημάτων d. f. h. l.
[h] πάντων ὅλως] ὅλως πάντων l.
[i] οὐδέποτε] οὔποτε h.
[k] αὐτοῦ] αὐτῆς b.
[l] καὶ τὸν λόγον] Hæc post πράξεις ponit l. articulum om. d. f. h.
[m] ἀψευδής] καὶ ἀψευδής d. f. h.
[n] ἀπὸ] ἐπὶ m. περὶ l.
[o] οὕτως] ὄντως l.
[p] πεπλασμένον] πεπλανημένον h.
[q] λέγω] ἐγὼ λέγω l.
[r] ἡμῶν] ὑμῶν b. d. g. m.
[s] θεοῦ] θεῶν g.
[t] ἦλθε] ἦκε l.
[u] ὁποῖοί] οἱ ποῖοί l.

ἂν τυγχάνωσιν ὄντες, ἀλλὰ καὶ τοὺς τετελευτηκότας, ὅταν λέγῃ

φήμη τὸν ἐσθλὸν κἀν μυχῷ δείκνυσι γῆς.

129 ὁ δ' Ἡσίοδος καὶ διαῤῥήδην θεὸν αὐτὴν ἀποδείκνυσι, πάνυ σαφῶς φράζων τοῖς βουλομένοις συνιέναι· [x]λέγει γὰρ

φήμη δ' [y]οὔτις πάμπαν ἀπόλλυται, ἥντινα [z]πολλοί
λαοὶ [a]φημίζωσι. θεός νύ τίς ἐστι καὶ αὐτή.

καὶ τούτων τῶν ποιημάτων τοὺς μὲν εὐσχημόνως βεβιωκότας εὑρήσετε ἐπαινέτας ὄντας· πάντες γὰρ οἱ δημοσίᾳ φιλότιμοι παρὰ τῆς ἀγαθῆς φήμης ἡγοῦνται τὴν δόξαν [b]κομιεῖσθαι· οἷς δ' αἰσχρός ἐστιν ὁ βιος, οὐ τιμῶσι τὴν θεὸν ταύτην· κατήγορον γὰρ αὐτὴν ἀθάνατον ἔχειν ἡγοῦνται. 130 ἀναμνήσθητε [c]οὖν, ὦ ἄνδρες, τίνι κέχρησθε φήμῃ περὶ Τιμάρχου. οὐχ ἅμα τοὔνομα λέγεται καὶ τὸ ἐρώτημα [d]εὐθὺς [e]ἐρωτᾶτε "ποῖος Τίμαρχος; ὁ πόρνος;" ἔπειτα εἰ μὲν μάρτυρας παρειχόμην περί τινος, ἐπιστεύετ' ἄν μοι· εἰ δὲ τὴν θεὸν μάρτυρα παρέχομαι, οὐ [f]πιστεύσετε; ἢ 131 οὐδὲ ψευδομαρτυριῶν θέμις ἐστὶν [g]ἐπισκήψασθαι. ἐπεὶ καὶ περὶ τῆς Δημοσθένους ἐπωνυμίας, οὐ κακῶς ὑπὸ τῆς φήμης ἀλλ' [h]οὐχ ὑπὸ τῆς τίτθης, [i]Βάταλος προσαγορεύεται, ἐξ [k]ἀνανδρίας καὶ κιναιδείας ἐνεγκάμενος τοὔνομα. εἰ γάρ τίς σου τὰ κομψὰ ταῦτα χλανίσκια περιελόμενος καὶ τοὺς μαλακοὺς χιτωνίσκους, ἐν οἷς τοὺς [l]κατὰ τῶν

[x] λέγει] λέγεται d.f.
[y] οὔτις] οὔτι d.
[z] πολλοὶ λαοὶ a.b.g.l.m. vulg. λαοὶ πολλοί.
[a] φημίζωσι d.l. φημίξωσι f.h. φημίξουσι a.m. vulg. φημίξουσι.
[b] κομιεῖσθαι] κομίσασθαι b.
[c] οὖν] om. l. γοῦν d.
[d] εὐθὺς] om. d.f.
[e] ἐρωτᾶτε] ἐρωτᾶται d.
[f] πιστεύσετε] πιστεύετε a.b.g. h.l.m.
[g] ἐπισκήψασθαι d.f.h. ἐπισκήψαισθε γρ. h. ἐπισκέψασθαι b. ceteri ἐπισκῆψαι.
[h] οὐχ] om. h.
[i] Βάταλος] ὁ Βάταλος a.b.g.l.m.
[k] ἀνανδρίας] ἀνδρίας l. et pr. m. ἀνανδρίας τινὸς d.f.
[l] κατὰ τῶν φίλων] κατὰ φίλων l.

φίλων λόγους γράφεις, περιενέγκας δοίη εἰς τὰς χεῖρας τῶν δικαστῶν, [m]οἶμαι ἂν [n]αὐτούς, εἴ τις μὴ προειπὼν τοῦτο [o]ποιήσειεν, ἀπορῆσαι εἴτε ἀνδρὸς εἴτε γυναικὸς εἰλήφασιν ἐσθῆτα.

132 Ἀναβήσεται δ' ἐν τῇ ἀπολογίᾳ καὶ [p]τῶν στρατηγῶν τις, ὡς ἀκούω, ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτόν, ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς· ὃς ἐπιχει- 35
ρήσει διασύρειν τὴν ὅλην ἔνστασιν τοῦ ἀγῶνος, οὐ κρίσιν ἐξευρηκέναι με [q]φάσκων ἀλλὰ δεινῆς ἀπαιδευσίας ἀρχήν, παραφέρων πρῶτον μὲν τοὺς εὐεργέτας τοὺς [r]ὑμετέρους, Ἁρμόδιον καὶ Ἀριστογείτονα, καὶ τὴν πρὸς ἀλλήλους πί-
133 στιν καὶ τὸ πρᾶγμα ὡς συνήνεγκε τῇ πόλει διεξιών· [s]οὐκ ἀφέξεται δ', ὥς φασιν, οὐδὲ τῶν Ὁμήρου ποιημάτων οὐδὲ 40
τῶν ὀνομάτων τῶν ἡρωϊκῶν, ἀλλὰ καὶ τὴν λεγομένην γενέσθαι φιλίαν δι' [t]ἔρωτα Πατρόκλου καὶ Ἀχιλλέως [u]ὑμνήσει, καὶ τὸ κάλλος, ὥσπερ οὐ πάλαι μακαριζόμενον, ἂν τύχῃ σωφροσύνης, [x]νῦν ἐγκωμιάσεται. εἰ γὰρ τὴν τοῦ σώματος εὐπρέπειαν ταύτην τινὲς διαβάλλοντες συμφο-
ρὰν τοῖς ἔχουσι καταστήσουσιν, οὐ ταὐτὰ [y]φήσει κοινῇ
134 ψηφιεῖσθαι ὑμᾶς [z]καὶ ἰδίᾳ εὔχεσθαι· ἄτοπον γὰρ εἶναι, 19
[a]ὡς δοκεῖν ἑαυτῷ, εἰ τοὺς μὲν [b]υἱεῖς τοὺς [c]μηδέπω γεγονότας ἅπαντες εὔχεσθε οἱ μέλλοντες [d]παιδοποιεῖσθαι

[m] οἶμαι] οἴομαι f.
[n] αὐτοὺς] αὐτόν.
[o] ποιήσειεν] πλήσειεν l.
[p] τῶν] om. h.
[q] φάσκων] λέγων h.
[r] ὑμετέρους] ἡμετέρους h.
[s] οὐκ] ὡς οὐκ m.
[t] ἔρωτα] ἔρωτας h.
[u] ὑμνήσει] om. g.
[x] νῦν] om. g. l. et in lacuna b.
[y] φήσει κοινῇ ψηφιεῖσθαι] φησὶ κοινῇ ψηφιεῖσθαι d. f. κοινῇ ψηφιεῖσθαί φησιν a. b. φήσουσι κοινῇ ψηφιεῖσθαι h. κοινῇ ψηφιεῖσθαι φήσουσι ceteri cum vulg.
[z] καὶ] ἃ καὶ g. l. m.
[a] ὡς δοκεῖν ἑαυτῷ] δοκεῖ αὐτῷ a. b. g. h. l. m.
[b] υἱεῖς] υἱεῖς αὐτοὺς d. f.
[c] μηδέπω] δὲ μήπω m.
[d] παιδοποιεῖσθαι] παιδοποιῆσειν g. m.

[e] καλοὺς κἀγαθοὺς τὰς ἰδέας φῦναι καὶ τῆς πόλεως ἀξίους, τοὺς δ' ἤδη γεγονότας, ἐφ' οἷς προσήκει σεμνύνεσθαι [f] τὴν πόλιν, ἐὰν κάλλει καὶ ὥρᾳ διενεγκόντες ἐκπλήξωσί τινας καὶ περιμάχητοι ἐξ ἔρωτος γένωνται, τούτους, ὡς
135 ἔοικεν [g] Αἰσχίνῃ [h] πεισθέντες ἀτιμώσετε. κἀνταῦθα δή τινα καταδρομήν, ὡς ἀκούω, μέλλει [i] ποιεῖσθαι περὶ ἐμοῦ, ἐπερωτῶν εἰ οὐκ [k] αἰσχύνομαι αὐτὸς μὲν ἐν τοῖς γυμνασίοις ὀχληρὸς ὢν καὶ πλείστων ἐραστὴς γεγονώς, τὸ δὲ πρᾶγμα εἰς ὄνειδος καὶ κινδύνους καθιστάς. καὶ τὸ τελευταῖον, ὡς ἀπαγγέλλουσί τινές μοι, εἰς γέλωτα καὶ λῆρόν τινα προτρεπόμενος ὑμᾶς, [l] ἐπιδείξεσθαί μού φησιν ὅσα πεποίηκα ἐρωτικὰ εἴς τινας ποιήματα, καὶ λοιδοριῶν [m] τινῶν
καὶ πληγῶν ἐκ τοῦ πράγματος, αἱ περὶ ἐμὲ γεγένηνται,
136 [n] μαρτυρίας φησὶ παρέξεσθαι. ἐγὼ δὲ οὔτε ἔρωτα δίκαιον ψέγω, οὔτε τοὺς κάλλει διαφέροντάς φημι πεπορνεῦσθαι, οὔτ' αὐτὸς ἐξαρνοῦμαι [o] μὴ οὐ γεγονέναι ἐρωτικὸς καὶ ἔτι
[p] καὶ νῦν εἶναι, τάς τε ἐκ τοῦ πράγματος γινομένας πρὸς
[q] ἑτέρους φιλονεικίας καὶ μάχας οὐκ ἀρνοῦμαι μὴ [r] οὐχὶ
[s] συμβεβηκέναι μοι. περὶ δὲ τῶν ποιημάτων ὧν φασὶν
οὗτοί με πεποιηκέναι, τὰ μὲν ὁμολογῶ, τὰ δὲ ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον ὃν οὗτοι διαφθείροντες [t] παρέ-
137 ξονται. ὁρίζομαι δ' εἶναι τὸ μὲν ἐρᾶν τῶν καλῶν καὶ σωφρόνων φιλανθρώπου [u] πάθος καὶ εὐγνώμονος ψυχῆς, τὸ

[e] καλοὺς] καλούς τε g.
[f] τὴν πόλιν] τοὺς τρόπους l.
[g] Αἰσχίνῃ] αἰσχύνῃ d.
[h] πεισθέντες] πεισθέντας m.
[i] ποιεῖσθαι περὶ ἐμοῦ] περὶ ἐμοῦ ποιεῖσθαι d. f. h.
[k] αἰσχύνομαι] αἰσχύνεσθαι l.
[l] ἐπιδείξεσθαι H. Wolfius: libri ἐπιδείξασθαι.
[m] τινῶν καὶ πληγῶν] καὶ πληγῶν τινῶν a. b. g. l. m.
[n] μαρτυρίας] μαρτυρίαν h.
[o] μὴ οὐ γεγονέναι ἐρωτικὸς] μὴ ἐρωτικὸς γεγονέναι l.
[p] καὶ ante νῦν om. g. m.
[q] ἑτέρους] ἑταίρους Reiskius e Lockerano.
[r] οὐχὶ] om. d. f. h.
[s] συμβεβηκέναι] γεγενῆσθαι d. f.
[t] παρέξονται a. b. g. h. l. m. vulg. παρέχονται.
[u] πάθος] πάθους b. g. h. m.

δὲ ἀσελγαίνειν ἀργυρίου [x]τινὰ μισθούμενον ὑβριστοῦ καὶ ἀπαιδεύτου ἀνδρὸς ἔργον εἶναι ἡγοῦμαι· καὶ τὸ μὲν [y]ἀδιαφθόρως ἐρᾶσθαι φημὶ καλὸν εἶναι, τὸ δ' ἐπαρθέντα μισθῷ πεπορνεῦσθαι αἰσχρόν. ὅσον δ' ἑκάτερον τούτων ἀπ' ἀλλήλων διέστηκε καὶ ὡς πολὺ διαφέρει, ἐν τοῖς ἑφεξῆς
138 ὑμᾶς πειράσομαι λόγοις διδάσκειν. οἱ γὰρ πατέρες [z]ἡμῶν ὀθ' ὑπὲρ τῶν ἐπιτηδευμάτων καὶ τῶν ἐκ φύσεως ἀναγκαίων [a]κακῶν καὶ ἀγαθῶν ἐνομοθέτουν, ἃ τοῖς ἐλευθέροις [b]ἡγοῦντο εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν. "δοῦλον" φησὶν ὁ νόμος "μὴ γυμνάζεσθαι "μηδὲ ξηραλοιφεῖν ἐν ταῖς παλαίστραις." καὶ οὐκ ἔτι προσέγραψε "τὸν δ' ἐλεύθερον [c]ἀλείφεσθαι καὶ γυμνά- "ζεσθαι·" ὁπότε γὰρ οἱ νομοθέται τὸ καλὸν τὸ ἐκ τῶν γυμνασίων κατιδόντες ἀπεῖπον τοῖς δούλοις [d]μὴ [e]μετέχειν, [f]τῷ αὐτῷ νόμῳ ἡγοῦντο, ᾧ ἐκείνους ἐκώλυον, τοὺς
139 ἐλευθέρους [g]προτρέπειν ἐπὶ τὰ γυμνάσια. πάλιν [h]ὁ αὐτὸς οὗτος εἶπε νομοθέτης "δοῦλον ἐλευθέρου παιδὸς [i]μήτ' ἐρᾶν [ii]μήτ' ἐπακολουθεῖν, ἢ τύπτεσθαι τῇ δημοσίᾳ μάστιγι "πεντηκόντα πληγάς." ἀλλ' οὐ τὸν ἐλεύθερον ἐκώλυσεν ἐρᾶν καὶ ὁμιλεῖν καὶ ἀκολουθεῖν, οὐδὲ βλάβην τῷ παιδὶ ἀλλὰ μαρτυρίαν σωφροσύνης ἡγήσατο συμβαίνειν. ἀκύρου δ' οἶμαι καὶ ἀδυνάτου ἔτι ὄντος κρῖναι τὸν [k]ὄντως εὖ νουν καὶ μὴ, τὸν ἐρῶντα σωφρονίζει, καὶ τοὺς [l]τῆς φιλίας λόγους εἰς τὴν φρονοῦσαν καὶ πρεσβυτέραν ἡλικίαν ἀνα-

[x] τινὰ] τινὰς d. f. h.
[y] ἀδιαφθόρως] ἀδιαφόρως l.
[z] ἡμῶν] ὑμῶν d. l.
[a] κακῶν καὶ ἀγαθῶν] om. d. f.
[b] ἡγοῦντο] ἡγοῦνται g. m.
[c] ἀλείφεσθαι καὶ] μὴ d.
[d] μὴ] om. f.
[e] μετέχειν] ἔχειν l.
[f] τῷ αὐτῷ νόμῳ] τούτῳ αὐτῷ λόγῳ a. b. g. l. m.
[g] προτρέπειν] ἐπιτρέπειν a. b. g. l. m.
[h] ὁ] ὃ ὁ d. f.
[i] μήτε ἐρᾶν a. b. g. l. m. vulg. μὴ ἐρᾶν.
[ii] μήτ' ἐπακολουθεῖν] μηδ' ἐπακολουθεῖν h.
[k] ὄντως] οὕτως l.
[l] τῆς] om. h.

βάλλεται· τὸ δ' ἐπακολουθεῖν καὶ ἐφορᾶν φρουρὰν καὶ
140 φυλακὴν [m]σωφροσύνης ἡγήσατο [n]εἶναι μεγίστην. τοιγάρτοι τοὺς τῆς πόλεως μὲν εὐεργέτας ταῖς δ' ἀρεταῖς [o]ὑπερενηνοχότας, Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὁ σώφρων καὶ ἔννομος, εἴτε ἔρωτα εἴτε τρόπον [p]αὐτὸν χρὴ προσειπεῖν, [q]τοιούτους ἐπαίδευσεν ὥστε τοὺς ἐπαινοῦντας τὰ ἐκείνων
141 ἔργα [r]καταδεεστέρους δοκεῖν εἶναι ἐν τοῖς ἐγκωμίοις τῶν ἐκείνοις πεπραγμένων.

Ἐπειδὴ δὲ Ἀχιλλέως καὶ Πατρόκλου μέμνησθε καὶ Ὁμήρου καὶ ἑτέρων ποιητῶν, ὡς τῶν μὲν [s]δικαστῶν ἀνηκόων παιδείας ὄντων, ὑμεῖς δὲ εὐσχήμονές τινες προσποιεῖσθε εἶναι καὶ [t]περιφρονοῦντες ἱστορίας τὸν δῆμον, ἵν' εἰδῆτε ὅτι καὶ ἡμεῖς τι ἤδη ἠκούσαμεν καὶ ἐμάθομεν, λέξομέν τι καὶ ἡμεῖς περὶ τούτων. ἐπειδὴ γὰρ ἐπιχειροῦσι φιλοσόφων ἀνδρῶν μεμνῆσθαι καὶ καταφεύγειν ἐπὶ τοὺς εἰρημένους ἐν τῷ μέτρῳ λόγους, θεωρήσατε ἀποβλέψαντες ὦ Ἀθηναῖοι εἰς τοὺς [u]ὁμολογουμένως ἀγαθοὺς καὶ χρηστοὺς ποιητάς, ὅσον κεχωρίσθαι ἐνόμισαν τοὺς σώφρονας καὶ τῶν ὁμοίων ἐρῶντας καὶ τοὺς ἀκρατεῖς ὧν οὐ χρὴ καὶ τοὺς ὑβριστάς.
142 λέξω δὲ πρῶτον μὲν περὶ Ὁμήρου, ὃν ἐν τοῖς πρεσβυτάτοις καὶ σοφωτάτοις τῶν ποιητῶν εἶναι τάττομεν. ἐκεῖνος γὰρ [x]πολλαχοῦ [y]μεμνημένος περὶ Πατρόκλου καὶ Ἀχιλλέως τὸν μὲν ἔρωτα καὶ τὴν ἐπωνυμίαν αὐτῶν τῆς φιλίας [z]ἀπο-

[m] σωφροσύνης] καὶ σωφροσύνην h.
[n] εἶναι μεγίστην] μεγίστην εἶναι l.
[o] ὑπερενηνοχότας] ἐπενηνοχότας l.
[p] αὐτὸν] om. d. f.
[q] τοιούτους] τούτους l.
[r] καταδεεστέρους δοκεῖν] καταδεέστερος δοκεῖ l.
[s] δικαστῶν ἀνηκόων παιδείας] ἀνηκόων παιδείας δικαστῶν l. παιδείας ἀνηκόων δικαστῶν m.
[t] περιφρονοῦντες a. b. g. m. περιφρονοῦντας l. vulg. ὑπερφρονοῦντες.
[u] ὁμολογουμένως] ὁμολογουμένους d. g.
[x] πολλαχοῦ] πολλὰ d. h.
[y] μεμνημένος] κεκτημένος h.
[z] ἀποκρύπτεται a. b. h. l. ἀποκέκρυπται d. f. vulg. ὑποκρίπτεται.

κρύπτεται, ἡγούμενος τὰς τῆς εὐνοίας ὑπερβολὰς καταφα-
143 νεῖς εἶναι τοῖς πεπαιδευμένοις τῶν ἀκροατῶν. λέγει γάρ που Ἀχιλλεὺς ὀδυρόμενος τὸν τοῦ Πατρόκλου θάνατον, [a]ὡς ἔν τι [b]τοῦτο τῶν λυπηροτάτων ἀναμιμνησκόμενος, ὅτι τὴν ὑπόσχεσιν τὴν πρὸς τὸν πατέρα [c]τὸν Πατρόκλου [d]τὸν Μενοίτιον ἄκων ἐψεύσατο· ἐπαγγειλασθαι γὰρ [e]αὐτὸν εἰς Ὀποῦντα [f]σῶν ἀπάξειν [g]τὸν Πάτροκλον (ἦν [h]γὰρ Ὀπούντιος,) εἰ συμπέμψειεν [i]αὐτὸν εἰς [k]τὴν Τροίαν καὶ [l]παρακαταθεῖτο αὐτῷ. ᾧ καταφανής ἐστιν ὡς δι' ἔρωτα
144 τὴν ἐπιμέλειαν αὐτοῦ παρέλαβεν. ἔστι δὲ τὰ ἔπη ἃ ἐγὼ [m]νυνὶ μέλλω λέγειν.

ὦ πόποι, ἦ ῥ' ἄλιον ἔπος ἔκβαλον ἤματι κείνῳ
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισιν.
[n]φῇν δέ οἱ [o]εἰς Ὀπόεντα περικλυτὸν υἷὸν ἀπάξειν,
[p]Ἴλιον ἐκπέρσαντα λαχόντα [p]τε λῆΐδος αἶσαν.
ἀλλ' οὐ Ζεὺς [q]ἀνδρεσσι νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ [r]πέπρωται ὁμοίην γαῖαν ἐρεύθειν.

145 οὐ τοίνυν [s]ἐνταῦθα μόνον σχετλιάζων φαίνεται, ἀλλ' οὕτως [t]αὐτὸν ἰσχυρῶς ἐπένθησεν, ὥστε παρὰ Θέτιδος τῆς αὐτοῦ μητρὸς προακούσας ὅτι μὴ μετελθὼν μὲν τοὺς ἐχθρούς, ἀλλ' ἐάσας ἀτιμώρητον τὸν τοῦ Πατρόκλου θάνατον, ἐπανελθὼν οἴκαδε γηραιὸς ἐν τῇ αὐτοῦ πατρίδι ἀποθανεῖται, τιμωρησάμενος δὲ διὰ ταχέων [u]μέλλει τὸν βίον

[a] ὡς] καὶ l.
[b] τοῦτο] τούτων l.
[c] τὸν Πατρόκλου] τοῦ πατρόκλου d.f.h.
[d] [τὸν] ante Μενοίτιον om. d.f.
[e] [αὐτὸν] om. d.f.
[f] σῶν] σῶον d.
[g] τὸν Πάτροκλον] om. d.f.
[h] (ἦν γὰρ Ὀπούντιος)] om .d.f.h.
[i] αὐτὸν] αὐτῷ a.b.f.g.h.l.m.
[k] τὴν] om. m.
[l] παρακαταθεῖτο b. et correctus a. vulg. παρακατάθειτο.
[m] νυνὶ μέλλω] μέλλω νυνὶ l. νῦν ὑμῖν μέλλω a.b.g.m.
[n] φῆν] φῆ l.
[o] εἰς] ὡς h.
[p] τε] τῆς l.
[q] ἄνδρεσσι] ἀνδρᾶσι l.
[r] πέπρωται] πέπρακται l.
[s] ἐνταῦθα μόνον] μόνον ἐνταῦθα l.
[t] αὐτὸν ἰσχυρῶς] ἰσχυρῶς αὐτὸν d.
[u] μέλλει] μέλλοι a.b.d.f.h.m.

τελευτᾶν, εἵλετο τὴν τοῦ τεθνεῶτος πίστιν μᾶλλον ἢ τὴν σωτηρίαν. οὕτω δὲ μεγαλοψύχως [x]ἠπείγετο τὸν φονέα τὸν ἐκείνου τιμωρήσασθαι, ὥστε πάντων αὐτὸν παραμυθουμένων, καὶ κελευόντων λούσασθαι καὶ σῖτον προσενέγκασθαι, ἀπόμνυσι [y]μηδὲν τούτων πράξειν πρὶν ἂν τὴν τοῦ Ἕκτορος κεφαλὴν ἐπὶ τὸν τοῦ Πατρόκλου τάφον [z]ἐνέγκῃ.
146 καθεύδοντος δ' αὐτοῦ ἐπὶ τῇ πυρᾷ, ὥς φησιν ὁ ποιητής, εἴδωλον ἐφίσταται [a]Πατρόκλου, καὶ τοιούτων ἐπεμνήσθη καὶ τοιαῦτα ἐπέσκηψε τῷ Ἀχιλλεῖ, ἐφ' οἷς καὶ δακρῦσαι καὶ ζηλῶσαι τὴν ἀρετὴν καὶ τὴν φιλίαν ἄξιον αὐτῶν ἐστίν. ἐπισκήπτει μὲν γὰρ αὐτῷ, προειπὼν ὅτι οὐδὲ ἐκεῖνος ἀπέχει μακρὰν τῆς τοῦ βίου τελευτῆς, εἴ πως εἴη δυνατόν, προδιοικήσασθαι [b]ὅπως τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ ἐτράφησαν καὶ ἐβίωσαν ἐν τῷ αὐτῷ, οὕτω καὶ τελευ-
147 τησάντων αὐτῶν τὰ ὀστᾶ ἐν τῇ αὐτῇ σορῷ κείσεται· ὀδυρόμενος δὲ καὶ τὰς διατριβὰς [c]διεξιὼν ἃς μετ' ἀλλήλων ζῶντες διέτριβον, λέγει ὅτι "οὐκέτι περὶ τῶν μεγίστων, "ὥσπερ [d]τὸ πρότερον, καθεζόμενοι μετ' ἀλλήλων μόνοι "[e]ἄποθεν τῶν ἄλλων φίλων [f]βουλευσόμεθα," τὴν πίστιν (οἶμαι) καὶ τὴν εὔνοιαν ποθεινοτάτην ἡγούμενος εἶναι. ἵνα δὲ καὶ διὰ τοῦ μέτρου τὰς γνώμας ἀκούσητε τοῦ ποιητοῦ, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὰ ἔπη τὰ περὶ τούτων,
148 ἃ Ὅμηρος πεποίηκε. λέγε πρῶτον [g]τὰ περὶ τῆς [h]Ἕκτορος τιμωρίας.

ἀλλ' ἐπεὶ οὖν, φίλ' ἑταῖρε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,

[x] ἠπείγετο] ὑπείγε vel ὑπείγη l.
[y] μηδὲν] μηδὲν ἂν d. f. g. h. l. m.
[z] ἐνέγκῃ] ἐνέγκοι h. l.
[a] Πατρόκλου] τοῦ πατρόκλοι d. f. h. Reiskius e Meadiano τὸ Πατρόκλευ.
[b] ὅπως] om. l.
[c] διεξιὼν] διεξελθὼν h.
[d] τὸ] καὶ d.
[e] ἄποθεν] ἄπωθεν b.
[f] βουλευσόμεθα] βουλευόμεθα a. b. g. h.
[g] τὰ post πρῶτον om. l.
[h] Ἕκτορος] τοῦ ἕκτορος d. f. h.

οὗ σε [i]πρίν κτεριῶ πρίν γ' Ἕκτορος ἐνθάδ' [k]ἐνείκω
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σεῖο φονῆος.

149 Ἀναγίνωσκε [l]δὴ [m]ἃ περὶ τοῦ ὁμοτάφους αὐτοὺς γενέσθαι λέγει ἐν τῷ ὕπνῳ [n]ὁ Πάτροκλος, καὶ περι τῶν διατριβῶν ἃς συνδιέτριβον ἀλλήλοις.

οὐ γὰρ ἔτι ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς [o]ἐξόμενοι βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν κὴρ
[p]ἀμφέχανε στυγερή, ἣπερ λάχε [q]γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
[r]τείχει ὕπο Τρώων [s]εὐηγενέων ἀπολέσθαι,
μαρνάμενον [t]δηΐοις Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
ἄλλο δέ [u]τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ [x]βάλλεο σῇσιν·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ' Ἀχιλλεῦ,
ἀλλ' [y]ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα [z]κεκεύθῃ,
χρυσέῳ ἐν [a]ἀμφιφορεῖ, τόν [b]τοι πόρε πότνια μήτηρ.
ὡς ὁμοῦ [c]ἐτράφεμέν [d]περ ἐν [c]ὑμετέροισι δόμοισιν,
[f]εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν [g]ὑμέτερόν δ', ἀνδροκτασίης [h]ὕπο λυγρῆς,
ἤματι τῷ ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος
[i]νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
ἔνθα με δεξάμενος [k]ἐν δώμασιν ἱππότα Πηλεὺς
ἔτρεφέ [l]τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶιν [m]ὁμὴ σορὸς [n]ἀμφικαλύπτοι.

[i] πρὶν κτεριῶ] πρὶνυκτερινῶ l.
[k] ἐνείκω] ἐνεῖκαι b.d.f.h. et correctus a.
[l] δὴ] δὲ b.g.m. malim δὲ καί.
[m] ἃ] τὰ d.f. qui mox ἃ λέγει.
[n] ὁ] om. l.
[o] ἐξόμενοι] ἑξόμενοι l.
[p] ἀμφέχανε] ἀμφέλαχε b. et γρ. a.
[q] γεινόμενόν] γινόμενόν a.b.g.h. m. γενόμενόν l.
[r] τείχει] τύχη d.
[s] εὐηγενέων] εὐγενέων h.
[t] δηΐοις] δίης h.
[u] τοι] τι m.
[x] βάλλεο] βάλεο l.
[y] ἵνα—μήτηρ] om. h.
[z] κεκεύθῃ] κεύθῃ d.f.
[a] ἀμφιφορεῖ] ἀμφορεῖ f.
[b] τοι] om. l.
[c] ἐτράφεμεν] ἐτράφημεν g.l.m. ὡς ἐτράφημεν h.
[d] περ] ἔν περ d. om. g.h.l.m.
[e] ὑμετέροισι] ἡμετέροισι b.d.f.g. h.l.m. et pr. a.
[f] εὖτε — ὀνόμηνεν] in margine habet f. a rec. manu addita.
[g] ὑμέτερόν δ'] ὑμέτερον δῶ a.b.h.
[h] ὑπὸ] ἀὸ d. om. g.
[i] νήπιος] νήπιον g.l.m. γνήσιον d. et margo f.
[k] ἐν δώμασιν] ἐν δόμοισιν d. om. h.
[l] τ'] om. h.l.
[m] ὁμὴ] ὁ μὲν l.
[n] ἀμφικαλύπτοι] ἀμφικαλύπτῃ d. Addit h. χρύσεος ἀμφιφορεὺς τόν τοι πόρε πότνια μήτηρ.

150 ὡς τοίνυν [o] ἐξῆν αὐτῷ σωθῆναι μὴ τιμωρησαμένῳ τὸν τοῦ Πατρόκλου θάνατον, ἀνάγνωθι ἃ λέγει ἡ Θέτις.

ὠκύμορος [p] δή μοι τέκος ἔσσεαι, οἷ' ἀγορεύεις·
αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.
τὴν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
κτεινομένῳ ἐπαμῦναι, ὅ μοι πολὺ [q] φίλτατος ἔσκεν.

151 Ὁ τοίνυν [r] οὐδενὸς [s] ἧττον σοφὸς τῶν ποιητῶν Εὐριπίδης, ἕν τι τῶν καλλίστων ὑπολαμβάνων εἶναι τὸ σωφρόνως ἐρᾷν, ἐν εὐχῆς μέρει τὸν ἔρωτα ποιούμενος λέγει που

ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
ζηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ.

152 Πάλιν τοίνυν ὁ [t] αὐτὸς ἐν τῷ Φοίνικι ἀποφαίνεται, ὑπὲρ τῆς γεγενημένης αὐτῷ [u] πρὸς τὸν πατέρα διαβολῆς [x] ἀπολογούμενος, καὶ ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας μηδ' ἐκ διαβολῆς ἀλλ' ἐκ τοῦ βίου τὰς κρίσεις ποιεῖσθαι.

ἤδη δὲ [y] πολλῶν [z] ᾑρέθην λόγων [a] κριτής,
καὶ πόλλ' ἀμιλληθέντα μαρτύρων [b] ὕπο
τἀναντί' [c] ἔγνων συμφορᾶς μιᾶς [d] πέρι.
[e] κἀγὼ μὲν οὕτω, [f] χὥστις [g] ἔστ' ἀνὴρ σοφός,
λογίζομαι [h] τἀληθὲς εἰς ἀνδρὸς φύσιν,
σκοπῶν δίαιταν [i] ἥντιν' ἐμπορεύεται.
ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,

[o] ἐξῆν] ἐξῆν ἂν a. g. l. m.
[p] δή] δέ d.
[q] φίλτατος] φίλτατον l.
ἤτοι οὐδενὸς
[r] οὐδενὸς b. l. οὐθενὸς h. vulg. οὐθενός.
[s] ἧττον] ἥττων b. f. g. h. l. m. et pr. a.
[t] αὐτὸς] αὐτὸς ποιητὴς d. f. h.
[u] πρὸς] καὶ h.
[x] ἀπολογούμενος] om. h.
[y] πολλῶν—π ρ] om. f.
[z] ᾑρέθην] ἠρέθη d. m.
[a] κριτὴς] om. l.
[b] ὕπο τἀναντί'] ὑπέναντι l. ὕπο ἐναντί' Valckenar. diatrib. p. 241. et 269. coll. ad. Phœn. 534.
[c] ἔγνων] ἔγνωσται d.
[d] πέρι] πάρα Reiskius. ὕπερ Valckenarius.
[e] κἀγὼ] καὶ ἐγὼ a. b. d. f. h. l. m.
[f] χὥστις] Reiskius cum Valckenario: libri καὶ ὅστις.
[g] ἔστ'] ἔσται l.
[h] τἀληθὲς] δὲ τἀληθὲς a. b. d. g. l. m.
[i] ἥντιν'] ἥντ' l.

οὐ πώποτ' ἠρώτησα, γινώσκων ὅτι
τοιοῦτός [k]ἐστιν οἷσπερ [l]ἥδεται ξυνών.

153 σκέψασθε δ' ὦ Ἀθηναῖοι τὰς γνώμας ἃς ἀποφαίνεται ὁ ποιητής. [m]ἤδη δὲ πολλῶν πραγμάτων φησὶ γεγενῆσθαι κριτής, ὥσπερ νῦν ὑμεῖς δικασταί· καὶ τὰς κρίσεις οὐκ ἐκ τῶν μαρτυριῶν ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων καὶ τῶν 22
ὁμιλιῶν φησὶ ποιεῖσθαι, [n]ἐκεῖσε ἀποβλέπων, πῶς τὸν καθ' ἡμέραν βίον ζῇ ὁ κρινόμενος καὶ ὁντινα τρόπον διοικεῖ τὴν ἑαυτοῦ οἰκίαν, [o]ὡς [p]παραπλησίως αὐτὸν καὶ τὰ τῆς πόλεως διοικήσοντα, καὶ τίσι χαίρει πλησιάζων· καὶ τε-
λευτῶν οὐκ ὤκνησεν ἀποφήνασθαι τοιοῦτον [q]αὐτὸν εἶναι 5
[r]οἵοισπερ ἥδεται ξυνών. οὐκοῦν δίκαιον καὶ περὶ Τιμάρ-
χου τοῖς αὐτοῖς ὑμᾶς Εὐριπίδῃ χρήσασθαι λογισμοῖς.

154 πῶς [s]διῴκηκε τὴν ἑαυτοῦ οὐσίαν; κατεδήδοκε τὰ πατρῷα καὶ [t]τὰ τῶν φίλων, μεμισθαρνηκὼς τῷ σώματι καὶ δωρο-
δοκῶν δημοσίᾳ πάντ' ἠφάνικεν, ὥστε μηδὲν [u]ἄλλ' ἢ τὰς αἰσχύνας αὐτῷ περιεῖναι. χαίρει δὲ τῷ συνών; Ἡγησάν-
δρῳ. ὁ δ' Ἡγησάνδρος ἐκ τίνων ἐστὶν ἐπιτηδευμάτων; ἐκ τούτων [x]ἐξ ὧν αὐτὸν πράξαντα οἱ νόμοι ἀπαγορεύουσι [y]μὴ 10
δημηγορεῖν. ἐγὼ δὲ τί λέγω κατὰ Τιμάρχου, καὶ τίνα ποτ' ἐστὶν [z]ἃ ἀντιγέγραμμαι; μὴ δημηγορεῖν Τίμαρχον πεπορ-
νευμένον καὶ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότα. ὑμεῖς δὲ [a]τί ὀμωμόκατε; [b]ὑπὲρ αὐτῶν ψηφιεῖσθαι ὧν ἂν ἡ διῳξις [c]ᾖ.

[k] ἔσθ' οἷοισπερ H. Wolfius. ἐστὶν οἷσπερ f. h. ἐστὶν ἕκαστος οἷσπερ a. b. d. g. m. ἐστὶν ἕκαστος ἥσπερ l.
[l] ἥδεται] ἥδε l.
[m] ἤδη] ἤιδει d. f.
[n] ἐκεῖσε] ἐκεῖσε καὶ l.
[o] ὡς] καὶ ὡς l.
[p] παραπλησίως] πολλαπλασίως g. l. m.
[q] αὐτὸν] om. d. h.
[r] οἵοισπερ Taylorus: libri οἷσπερ.
[s] διῴκηκε] διῴκησε d. g.
[t] τὰ] om. l.
[u] ἄλλ'] ἀλλ' b.
[x] ἐξ ἂν αὐτὸν] ἃ τὸν b. d. f. h.
[y] μὴ] om. f. g. l. m.
[z] ἃ] ἃ ἂν h.
[a] τί] ὅτι g. m. om. d. f. h.
[b] ὑπὲρ αὐτῶν ψηφιεῖσθαι ὧν] περὶ αὐτῶν ψηφίσασθαι περὶ ἃν d. h.
[c] ᾖ] om. h.

155 Ἵνα δὲ μὴ [d] μακρολογῶ περὶ τῶν ποιητῶν διεξιών, ἀνδρῶν ἐρῶ πρεσβυτέρων καὶ γνωρίμων ὑμῖν ὀνόματα καὶ μειρακίων καὶ παίδων, ὧν τοῖς μὲν διὰ τὴν εὐπρέπειαν πολλοὶ γεγόνασιν ἐρασταί, ἐνίοις δὲ τῶν ἐν ἡλικίᾳ ἔτι καὶ νῦν εἰσίν, ὧν οὐδεὶς πώποτ' εἰς τὰς αὐτὰς αἰτίας ἀφῖκται Τιμάρχῳ· καὶ πάλιν ὑμῖν ἀντιδιέξειμι ἀνθρώπων πεπορνευμένων αἰσχρῶς καὶ φανερῶς ὀνόματα, ἵνα ὑμεῖς ἀναμνησθέντες κατανείμητε εἰς τὴν προσήκουσαν τάξιν Τιμαρ-
156 χον. πρῶτον δὲ λέξω τὰ τῶν ἐλευθέρων καὶ καλῶς βεβιωκότων ὀνόματα. γινώσκετε ὦ [e] ἄνδρες Ἀθηναῖοι Κρίτωνα τὸν Ἀστυόχου καὶ Περικλειδην τὸν [f] Περιθοίδην καὶ [g] Πολεμαγένη καὶ [h] Πανταλέοντα τὸν [i] Κλεαγόρου καὶ Τιμησίθεον τὸν δρομέα, [k] καλλιστους οὐ μόνον τῶν πολιτῶν [l] ἀλλὰ καὶ τῶν Ἑλλήνων γεγενημένους καὶ πλείστων καὶ σωφρονεστάτων τυχόντας ἐραστῶν· ἀλλ' ὅμως οὐδεὶς πώ-
157 ποτε αὐτοὺς ἔψεξε. πάλιν ἐκ τῶν μειρακίων καὶ τῶν ἐν παισὶν [m] ἔτι καὶ νῦν ὄντων πρῶτον μὲν τὸν ἀδελφιδοῦν [n] τὸν Ἰφικράτους, υἱὸν [o] δὲ Τισίου τοῦ [p] Ῥαμνουσίου, ὁμώνυμον δὲ τοῦ [q] νυνὶ χρινομένου Τιμάρχου· ὃς εὐπρεπὴς ὢν ἰδεῖν τοσοῦτον ἀπέχει [r] τῶν αἰσχρῶν, ὥστε πρώην ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις κωμῳδῶν ὄντων ἐν [s] Κολυττῷ, καὶ [t] Παρμένοντος τοῦ κωμικοῦ ὑποκριτοῦ εἰπόντος τι πρὸς τὸν

[d] μακρολογῶ] μακρῷ λόγῳ d.
[e] ἄνδρες] Addidi sumptum ab. h.
[f] Περιθοίδην a. g. l. m. περιθώδου h. vulg. Περιθοίδου.
[g] Πολεμαγένη] πολεμαγένην a. b. g. m.
[h] Πανταλέοντα f. h. παντλέοντα d. vulg. παντολέοντα.
[i] Κλεαγόρου] κλεαγίνου l.
[k] καλλίστους] καὶ καλλίστους l.
[l] ἀλλὰ καὶ τῶν] ἀλλὰ τῶν m.
[m] ἔτι καὶ νῦν] ἔτι νῦν l.
[n] τὸν Ἰφικράτους b. g. l. m. τὸν τοῦ Ἰφικράτους d. f. h. vulg. τοῦ Ἰφικράτους.
[o] δὲ Τισίου] δὲ σιτίου g. δὲ τοῦ Τισίου l.
[p] Ῥαμνουσίου] ῥαμνησίου f.
[q] νυνὶ] νῦν d.
[r] τῶν αἰσχρῶν] om. l.
[s] Κολυττῷ] κωλυτῶ b. h. κολλυτῷ a.
[t] Παρμένοντος] παραμένοντος d. f. g. h. m.

χορὸν ἀνάπαιστον ἐν ᾧ ἦν εἶναί τινας πόρνους μεγάλους Τιμαρχώδεις, οὐδεὶς ὑπελάμβανεν εἰς τὸ μειράκιον, ἀλλ' εἰς σὲ πάντες· οὕτω κληρονόμος εἶ τοῦ ἐπιτηδεύματος. πάλιν Ἀντικλέα τὸν σταδιοδρόμον καὶ Φειδίαν τὸν ἀδελ- 30
φὸν [u]τοῦ Μιλησίου. ἔτι δὲ εἰπεῖν ἔχων πολλοὺς παύσομαι, ἵνα μὴ δοκῶ τὸν ἔπαινον θεραπείᾳ τινὶ κατ' αὐτῶν
158 ποιεῖσθαι. περὶ δὲ τῶν ὁμοτρόπων [x]τῶν Τιμάρχου, φεύγων τὰς ἀπεχθείας, ὧν ἥκιστά μοι μέλει μνησθήσομαι. τίς γὰρ ὑμῶν τὸν ὀρφανὸν καλούμενον Διόφαντον οὐκ [y]οἶδεν, ὃς τὸν ξένον πρὸς τὸν ἄρχοντα ἀπήγαγεν ᾧ παρήδρευεν Ἀριστοφῶν ὁ Ἀζηνιεύς, [z]ἐπαιτιασάμενος [a]τέτταρας δραχμὰς αὐτὸν ὑπὲρ τῆς πράξεως ταύτης ἀπεστερηκέναι, καὶ 35
τοὺς νόμους [b]λέγων οἱ κελεύουσι τὸν ἄρχοντα τῶν ὀρφανῶν ἐπιμελεῖσθαι, τοὺς ὑπὲρ τῆς σωφροσύνης [c]κειμένους [d]ὑπερβεβηκώς; ἢ τίς τῶν πολιτῶν οὐκ ἐδυσχέραινε Κηφισόδωρον τὸν τοῦ Μόλωνος καλούμενον, καλλίστην ὥραν ὄψεως ἀκλεέστατα διεφθαρκότα; ἢ Μνησίθεον τὸν τοῦ μαγείρου καλούμενον; ἢ πολλοὺς [e]ἑτέρους, ὧν ἐκὼν ἐπιλανθάνομαι;
159 οὐ γὰρ ἐπεξελθεῖν [f]αὐτῶν ἕκαστον κατ' ὄνομα πικρῶς 40
βούλομαι, [g]ἀλλὰ μᾶλλον τῶν τοιούτων ἔργων ἀπορεῖν ἂν εὐξαίμην ἐν τῷ λόγῳ διὰ τὴν πρὸς τὴν πόλιν εὔνοιαν. ἐπειδὴ δὲ ἑκατέρων [h]προελόμενοί τινας διεξεληλύθαμεν, χωρὶς μὲν τοὺς διὰ [i]σωφροσύνην ἐρωμένους, χωρὶς δὲ τοὺς εἰς ἑαυτοὺς ἐξαμαρτάνοντας, ὑμεῖς ἤδη τοῦτ' ἐρωτηθέντες

[u] τοῦ] om. l. præstat τόν.
[x] τῶν Τιμάρχου a. b. g. h. l. m. ceteri om. articulum.
[y] οἶδεν] ἤδεν a. b.
[z] ἐπαιτιασάμενος] ἀπαιτησάμενος l.
[a] τέτταρας] τέσσαρας l.
[b] λέγων] λέγω h.
[c] κειμένους] κειμένους αὐτοὺς a. b. g. l. m. ut malim κειμένους αὐτός.
[d] ὑπερβεβηκὼς] ὑπερβεβηκὼς ἐμίσει d. f. h. ὑπερβεβηκὼς τοῦτον δὴ τίς οὐκ ἐμίσει g.
[e] ἑτέρους] ἑταίρους h.
[f] αὐτῶν] αὐτὸν d.
[g] ἀλλὰ] om. pr. f.
[h] προελόμενοι] περιελόμενοι b. προελόμενος d. f. h. qui et mox διεξελήλυθα.
[i] σωφροσύνην] σωφροσύνης l.

ἀποκρίνασθε πρὸς [k]ἐμέ, εἰς ὁποτέραν τάξιν [l]Τίμαρχον κατανέμετε, [m]πότερα εἰς τοὺς ἐρωμένους ἢ εἰς τοὺς πε- 23
πορνευμένους. οὐκοῦν [n]μὴ καταλιπὼν ἣν εἵλου συμμοριαν, [o]αὐτομολήσῃς εἰς τὰς τῶν ἐλευθέρων διατριβάς.

160 Ἐὰν δ' ἐπιχειρῶσι λέγειν ὡς οὐχ ἡταιρηκεν ὅστις μὴ κατὰ συγγραφὰς ἐμισθώθη, καὶ γραμματεῖον καὶ μάρτυρας [p]ἀξιῶσί με τούτων παρασχέσθαι, πρῶτον μὲν τοὺς περὶ τῆς ἑταιρήσεως νόμους μέμνησθε, ἐν οἷς οὐδαμοῦ 5
μνείαν ὁ νομοθέτης περὶ συνθηκῶν πεποίηται. οὐ γὰρ εἰ κατὰ γραμματεῖόν τις ἑαυτὸν κατήσχυνε, τοῦτ' ἐζήτασεν, ἀλλὰ παντελῶς, ὅπως ἂν ἡ πρᾶξις γένηται, τὸν πράξαντα κελεύει μὴ μετέχειν τῶν τῆς πόλεως κοινῶν. [q]εἰκότως· ὅστις γὰρ νέος ὢν ἀπέστη δι' αἰσχρὰς ἡδονὰς τῆς [r]εἰς τὰ καλὰ φιλοτιμίας, τοῦτον οὐκ ὠήθη δεῖν πρεσβύτερον [s]γεν-
161 όμενον ὁ τοὺς νόμους εἰσφέρων ἐπίτιμον εἶναι. ἔπειτα καὶ 10
τὴν εὐήθειαν τοῦ λόγου τούτου ῥᾴδιόν ἐστιν ἐξετάσαι. [t]πάντες γὰρ [u]ἂν τοῦθ' ὁμολογήσαιμεν, ὅτι τὰς συνθηκας [x]τὰς πρὸς ἀλλήλους ἀπιστίας ἕνεκα ποιούμεθα, ἵνα ὁ μὴ παραβὰς τὰ γεγραμμένα δίκην [y]λάβῃ τῇ ψήφῳ παρὰ τοῦ παραβάντος. οὐκοῦν εἴπερ τὸ πρᾶγμα δίκης προσ-
δεῖται, τοῖς κατὰ γραμματεῖον ἡταιρηκόσιν, ἂν ἀδικῶνται, ἡ τῶν νόμων [z]ὧν οὗτοί φασιν ἐπικουρία καταλειπεται. καὶ τίς ἂν [a]ὁ λόγος ἑκατέρου φανείη; μὴ γὰρ ὑπ' 15

[k] ἐμὲ] με d.
[l] Τίμαρχον a. b. g. l. vulg. τὸν Τίμαρχον.
[m] πότερα a. b. g. l. m. vulg. πότερον.
[n] μὴ] om. b.
[o] αὐτομολήσῃς] αὐτομολήσεις m. αὐτομολήσας d.
[p] ἀξιῶσι] ἀξιώσει f. g. h. m. ἀξίως d.
[q] εἰκότως] om. h.
[r] εἰς τὰ καλὰ] om. d. f.
[s] γενόμενον] γινόμενον m.
[t] πάντες] πάντως a.
[u] ἄν] om. l.
[x] τὰς πρὸς] τῆς πρὸς d. f.
[y] λάβῃ τῇ] λάβητε d.
[z] ὧν] ἣν l. ἐξ ὧν Reiskius.
[a] ὁ] om. d. f. h.

ἐμοῦ λεγόμενον ἀλλὰ γινόμενον τὸ πρᾶγμα [b]νομίσαθ' ὁρᾶν. ἔστω γὰρ ὁ [c]μὲν μισθωσάμενος δίκαιος εἰς τὸ πρᾶγμα, ὁ δὲ μισθωθεὶς ἄδικος καὶ μὴ βέβαιος, [d]ἢ πάλιν τοὐναντίον ὁ μὲν μισθωθεὶς [e]μέτριος καὶ ποιῶν τὰ ὡμολογημένα, ὁ δὲ τὴν ἡλικίαν προλαβὼν καὶ μισθωσάμενος [f]ἐψεύσθω· καὶ δικαστὰς ὑμᾶς αὐτοὺς [g]ὑπολάβετε καθῆσθαι. οὐκοῦν ὁ πρεσβύτερος, ἀποδοθέντος τοῦ ὕδατος αὐτῷ καὶ λόγου, [h]κατηγορίαν μετὰ σπουδῆς, βλέπων δηλονότι πρὸς ὑμᾶς, [i]λέξει "ἐμισθωσάμην ὦ Ἀθηναῖοι "Τίμαρχον ἑταιρεῖν ἐμαυτῷ κατὰ τὸ [k]γραμματεῖον τὸ "παρὰ Δημοσθένει κείμενον" ([l]οὐδὲν γὰρ κωλύει οὕτως εἰρῆσθαι) "[m]ὁ δ' οὐ ποιεῖ μοι τὰ ὡμολογημένα." καὶ ταῦτ' [n]ἤδη διέξεισι δηλονότι πρὸς τοὺς δικαστὰς [o]λέγων ἃ χρὴ τὸν τοιοῦτον ποιεῖν. ἔπειτα οὐ καταλευσθήσεται ὁ μισθούμενος τὸν Ἀθηναῖον [p]παρὰ τοὺς νόμους, καὶ προσόφλων ἄπεισιν ἐκ τοῦ δικαστηρίου οὐ τὴν ἐπωβελίαν μόνον ἀλλὰ καὶ ἄλλην ὕβριν; ἀλλ' οὐχ οὗτος [q]ἀλλ' ὁ μισθωθεὶς δικάζεται. λεγέτω δὴ παρελθὼν ὁ σοφὸς Βάταλος ὑπὲρ αὐτοῦ, ἵν' εἰδῶμεν τί ποτ' ἐρεῖ. "ἄνδρες δικασταί, "ἐμισθώσατό με ἑταιρεῖν [r]αὐτῷ [s]ἀργυρίου [t]ὁστισδηποτοῦν" (οὐδὲν γὰρ διαφέρει οὕτως εἰρῆσθαι) "κἀγὼ μὲν ἅπαντα "καὶ πεποίηκα καὶ ἔτι καὶ νῦν ποιῶ κατὰ τὸ [u]γραμ-

[b] νομίσαθ'] μὴ νομίσατε h. vulg. νομίσηθ'.
[c] μὲν] om. l.
[d] ἢ] καὶ h.
[e] μέτριος] δίκαιος b. d. f. h.
[f] ἐψεύσθω] ἐψεύσω l.
[g] ὑπολάβετε] vulg. νομίσατε.
[h] κατηγορίαν] κατηγορίας b. g. m. κατηγοριῶν d. f. h. unde Reiskius κατηγορῶν.
[i] λέξει a. b. l. m. vulg. ἐρεῖ.
[k] γραμματεῖον] γραμμάτιον pr. a. qui ita solet. Solet et m.
[l] (οὐδὲν] οὐθὲν d. g. m.
[m] ὁ δ' οὐ a. b. g. h. l. m. vulg. ὦ δή.
[n] ἤδη] om. l.
[o] λέγων] om. l.
[p] παρὰ] ἐπὶ b.
[q] ἀλλ' ὁ] ἀλλὰ l.
[r] αὐτῷ] ἐμαυτῷ l.
[s] ἀργυρίου] ἐπὶ ἀργυρίου d. h.
[t] ὁστισδηποτοῦν] ὁσδηποτοῦν g.
[u] γραμματεῖον] γραμμάτιον l.

" ματεῖον, ἃ χρὴ ποιεῖν τὸν ἑταιροῦντα· οὗτος δὲ ὑπερ- 30
" βαίνει τὰς συνθήκας." ἔπειτ' οὐ πολλὴ κραυγὴ παρὰ
τῶν δικαστῶν [x]αὐτῷ ἀπαντήσεται; τίς γὰρ οὐκ ἐρεῖ
" [y]ἔπειτα [z]ἐμβάλλεις εἰς τὴν ἀγορὰν ἢ στεφανοῖ ἢ
" [a]πράττεις τι τῶν αὐτῶν [b]ἡμῖν;" οὐκοῦν οὐδὲν ὄφελος
165 τῆς συγγραφῆς. πόθεν οὖν ἴσχυκε καὶ σύνηθες γεγένηται
λέγειν ὡς κατὰ γραμματεῖον ἤδη τινὲς ἡταίρησαν, ἤδη
ἐρῶ. ἀνὴρ εἷς τῶν πολιτῶν ([c]τὸ δ' ὄνομα οὐ λέξω· τὰς
γὰρ ἀπεχθείας φεύγω) οὐδὲν [d]προειδόμενος ὢν [e]ὀλίγῳ 35
πρότερον ἐγὼ διεξῆλθον [f]πρὸς ὑμᾶς, λέγεται [g]κατὰ συν-
θήκας ἡταιρηκέναι τὰς παρ' Ἀντικλεῖ κειμένας, [h]οὐκ ὢν
ἰδιώτης ἀλλὰ πρὸς τὰ κοινὰ προσιών· καὶ λοιδοριαις
περιπίπτων εἰς συνήθειαν [i]ἐποίησε τοῦ λόγου τούτου τὴν
πόλιν καταστῆναι, καὶ διὰ τοῦτο ἐρωτῶσί τινες εἰ κατὰ
γραμματεῖον ἡ πρᾶξις γεγένηται. ὁ δὲ νομοθέτης οὐχ
ὅπως τὸ πρᾶγμα γεγενῆται ἐφρόντισεν, ἀλλ' ἐὰν ὁπωσ- 40
οὖν μίσθωσις [k]γένηται, κατέγνωκε τοῦ πράξαντος αἰ-
σχύνην.

166 Ἀλλ' ὅμως οὕτω [l]σαφῶς [m]τούτων διωρισμένων πολ-
λαὶ [n]παρεμβολαὶ λόγων ὑπὸ Δημοσθένους εὑρεθήσονται.
καὶ ταῖς μὲν [o]ὑπὲρ τοῦ πράγματος κακοηθείαις λεγο-
μέναις ἧττον ἄν τις ἀγαναχτήσειεν· ἃ δὲ ἔξωθεν ἐπεισά-
ξεται λυμαινόμενος τὰ τῆς πόλεως δίκαια, ἐπὶ τούτοις

[x] αὐτῷ] αὐτῶν d. ἂν
[y] ἔπειτα] ἐπὴν g. m. ἐπᾶν l. ἐπὴν a. ἐπὰν b. ἐπειδὰν h.
[z] ἐμβάλλεις] ἐμβαλεῖς d. f. ἐμβάλλει g. ἐμβάλλῃ a. b. m. ἐμβάλῃ h. l. vulg. ἐκβάλλῃ.
[a] πράττεις] πράττῃ a. b. g. h. m. πράττοι l.
[b] ἡμῖν] ὑμῖν h.
[c] τὸ δ'] om. d. f.
[d] προειδόμενος] προϊδόμενος pr. a.
[e] ὀλίγῳ] ὀ λέγω h.
[f] πρὸς a.b d.f.g.h.l.m. vulg. ὡς.
[g] κατὰ] παρὰ τὰς d. f. h.
[h] οὐκ ὤν] Fortasse leg. οὐκ ὢν δ'.
[i] ἐποίησε] om. l.
[k] γένηται b. et correctus a. vulg. γεγένηται.
[l] σαφῶς] σοφῶς h.
[m] τούτων] om. l.
[n] παρεμβολαὶ] παρεκβολαὶ pr. a.
[o] ὑπὲρ H. Wolfius: libri ὑπό.

ἄξιόν [p] ἐστιν ὀργισθῆναι. πολὺς μὲν γὰρ ὁ Φίλιππος
ἔσται, ἀναμιχθήσεται δὲ καὶ τὸ τοῦ παιδὸς ὄνομα Ἀλε- 24
ξάνδρου. καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς ἄμουσός τις
167 [q] οὗτος καὶ ἀπαίδευτος ἄνθρωπός ἐστι. τὸ μὲν γὰρ εἰς
τὸν Φίλιππον τῷ λόγῳ πλημμελεῖν ἀμαθὲς μὲν καὶ
ἄκαιρον, ἔλαττον δ' οὖ μέλλω λέγειν ἁμάρτημα· ὁμολο-
γουμένως γὰρ εἰς [r] ἄνδρα, καίπερ οὐκ ὢν αὐτὸς ἀνήρ,
τὰς βλασφημίας ποιήσεται· ὅταν δὲ ταῖς εἰς τὸν παῖδα 5
[s] πεπραγματευμέναις [t] μεταφοραῖς ὀνομάτων αἰσχρὰς
ὑποψίας [u] παρεμβάλλῃ, καταγέλαστον τὴν πόλιν ποιεῖ.
168 ὡς γὰρ τὰς ἐμὰς εὐθύνας [x] βλάπτων, ἃς ὑπὲρ τῆς πρεσ-
βείας μέλλω [y] διδόναι, [z] φησί με, ὅτ' αὐτὸς [a] πρώην
[b] πρὸς τὴν βουλὴν ὑπὲρ τοῦ παιδὸς Ἀλεξάνδρου [c] διεξῇει,
ὡς ἐν τῷ [d] πότῳ ἡμῶν κιθαρίζοι καὶ λέγοι ῥήσεις τινας
καὶ [e] ἀντικρούσεις πρὸς ἕτερον παῖδα, καὶ περὶ τούτων ἃ 10
δή ποτε αὐτὸς ἐτύγχανε γινώσκων πρὸς τὴν βουλὴν ἀπε-
φήνατο, οὐχ ὡς συμπρεσβευτὴν ἀλλ' ὡς συγγενῆ τοῖς εἰς
169 τὸν παῖδα σκώμμασιν ἀγανακτῆσαι. ἐγὼ δ' [f] Ἀλεξάν-
δρῳ μὲν εἰκότως διὰ τὴν [g] ἡλικίαν οὐ διείλεγμαι, Φίλιπ-
που δὲ νῦν μὲν διὰ τὴν τῶν λόγων εὐφημίαν ἐπαινῶ· ἐὰν
δ' [h] ὁ αὐτὸς ἐν τοῖς πρὸς [i] ὑμᾶς [k] ἔργοις [l] γένηται οἷος νῦν

[p] ἐστιν] om. h.
[q] οὗτος καὶ ἀπαίδευτος] καὶ ἀπαίδευτος οὗτος l.
[r] ἄνδρα] ἄνδρας l.
[s] πεπραγματευμέναις] πεπραγμέναις b. et γρ. a.
[t] μεταφοραῖς] διαφοραῖς d.
[u] παρεμβάλλῃ] παρεμβάλῃ a. d. f. g. m.
[x] βλάπτων] βλέπων h.
[y] διδόναι] δοῦναι l.
[z] φησί] φᾶσι d. φήσει f. l.
[a] πρώην] πρώτην h.
[b] πρὸς τὴν βουλὴν] εἰς τὴν βουλὴν h. om. d. f.
[c] διεξῇει] διεξίη d.
[d] πότῳ] πρότῳ l.
[e] ἀντικρούσεις] ἀντιθέσεις d. h.
[f] Ἀλεξάνδρῳ] ἀλέξανδρον h.
[g] ἡλικίαν] ἀγγελίαν l. omisso οὐ.
[h] ὁ αὐτὸς] Articulum addidi sumptum ab a. b. l. m.
[i] ὑμᾶς] ἡμᾶς a. b. g. l. m.
[k] ἔργοις] τοῖς ἔργοις a. b. g. l. m.
[l] γένηται] γεγένηται m.

ἐστὶν ἐν τοῖς ἐπαγγέλμασιν, [m] ἀσφαλῆ καὶ ῥᾴδιον τὸν καθ' αὑτοῦ ποιήσεται ἔπαινον. ἐπετίμησα δ' ἐν τῷ βουλευτηρίῳ Δημοσθένει οὐ τὸν παῖδα ἐκθεραπεύων, ἀλλ', ἐὰν [n] τὰ τοιαῦτα ἀποδέχησθε, [o] ὁμοίαν [p] νομίζων τὴν πόλιν φανήσεσθαι τῇ τοῦ λέγοντος ἀκοσμίᾳ.

170 Ὅλως δ' ὦ Ἀθηναῖοι τὰς ἔξωθεν τοῦ πράγματος ἀπολογίας μὴ [q] προσδέχεσθε, πρῶτον μὲν τῶν ὅρκων ἕνεκεν οὓς ὠμόσατε, δεύτερον δὲ ὑπὲρ τοῦ μὴ παρακρουσθῆναι ὑπὸ [r] ἀνθρώπου τεχνίτου λόγων. [s] μικρὸν δ' ἄνωθεν ἄρξομαι [t] διδάσκειν ὑμᾶς. Δημοσθένης γὰρ ἐπειδὴ τὴν πατρῴαν [u] οὐσίαν ἀνάλωσε, περιῆει περὶ τὴν πόλιν θηρεύων νέους πλουσίους ὀρφανούς, ὧν οἱ μὲν πατέρες [x] τετελευτήκεσαν, αἱ δὲ μητέρες διῴκουν [y] τὰς οὐσίας. πολλοὺς δ' ὑπερβὰς ἑνὸς τῶν δεινὰ [z] πεπονθότων ὑπὸ

171 τούτου μνησθήσομαι. κατιδὼν γὰρ οἰκίαν πλουσίαν καὶ οὐκ εὐνομουμένην, ἧς ἡγεμὼν μὲν ἦν γυνὴ μέγα φρονοῦσα καὶ νοῦν οὐκ ἔχουσα, νεανίσκος δὲ ὀρφανὸς ἡμιμανὴς διεχείριζε τὴν οὐσίαν, Ἀρίσταρχος ὁ τοῦ Μόσχου, τούτου προσποιησάμενος ἐραστὴς εἶναι καὶ τὸ μειράκιον εἰς τὴν [a] φιλίαν ταύτην προσκαλεσάμενος, ἐλπίδων κενῶν ἐμπλήσας ὡς αὐτίκα δὴ μάλα [b] τῶν ῥητόρων [c] πρωτεύ-

172 σοντα, [d] κατάλογον ἀποφαίνων, τοιούτων εἰσηγητὴς αὐτῷ

[m] ἀσφαλῆ] ἀσφαλῶς l.
[n] τὰ] om. l.
[o] ὁμοίαν] ὁμόνοιαν d. f.
[p] νομίζων] νομίζω b. g. h. l.
[q] προσδέχεσθε a.b.h. vulg. προσδέχησθε.
[r] ἀνθρώπου] om. d.
[s] μικρὸν] " Quis non videt hic " in lacuna multa esse inter- " cepta?" TAYLORUS.
[t] διδάσκειν a. b. d. f. m. vulg. διδάσκων.
[u] οὐσίαν] om. g. l. m. et pr. a.
[x] τετελευτήκεσαν l. et pr. a. ἐτελεύτησαν b. vulg. τετελευτήκεισαν.
[y] τὰς οὐσίας] τὴν οὐσίαν a. b. g. l. m.
[z] πεπονθότων] παθόντων pr. d.
[a] φιλίαν] φιλανθρωπίαν a. b. d. f. g. l.
[b] τῶν] om. h.
[c] πρωτεύσαντα] πρωτεύσαντα f. πρωτεύοντα l.
[d] κατάλογον ἀποφαίνων] κατὰ λό-

καὶ διδάσκαλος ἔργων ἐγένετο, ἐξ ὧν ἐκεῖνος μὲν φεύγει
τὴν πατρίδα, οὗτος δ' αὐτοῦ τὰ τῆς φυγῆς ἐφόδια προ- 30
λαβὼν τρία τάλαντα [e]ἀπεστέρηκε, Νικοδημος δ' ὁ Ἀ-
φιδναῖος ὑπ' [f]Ἀριστάρχου τετελεύτηκε βιαίῳ θανάτῳ,
ἐκκοπεὶς ὁ δείλαιος ἀμφοτέρους τοὺς ὀφθαλμοὺς καὶ τὴν
γλῶτταν ἀποτμηθεὶς ἢ ἐπαρρησιάζετο πιστεύων τοῖς νό-
173 μοις καὶ ὑμῖν. ἔπειθ' ὑμεῖς ὦ Ἀθηναῖοι Σωκράτην μὲν
τὸν σοφιστὴν ἀπεκτείνατε, ὅτι Κριτίαν ἐφάνη πεπαι-
δευκώς, ἕνα τῶν τριάκοντα τῶν τὸν δῆμον καταλυσάντων·
Δημοσθένης δ' ὑμῖν ἑταίρους ἐξαιτήσεται ὁ τηλικαύτας 35
τιμωρίας [g]λαμβάνων παρὰ τῶν ἰδιωτῶν καὶ δημοτικῶν
ἀνθρώπων ὑπὲρ τῆς ἰσηγορίας; ὦ παρακεκλημένοι τινὲς
τῶν μαθητῶν ἤκουσιν ἐπὶ τὴν ἀκρόασιν· [h]κατεπαγγέλ-
λεται γὰρ πρὸς αὐτοὺς ἐργολαβῶν ἐφ' ὑμᾶς, ὡς ἐγὼ
πυνθάνομαι, [i]λήσειν μεταλλάξας τὸν ἀγῶνα καὶ τὴν
174 ὑμετέραν ἀκρόασιν, καὶ [k]περιστήσειν τῷ μὲν φυγόντι
θαρρεῖν, ὅταν αὐτὸς δεῦρο παρέλθῃ, ἐκπεπλῆχθαι δὲ [l]τῷ 40
κατηγόρῳ καὶ [m]πεφοβῆσθαι περὶ αὐτοῦ, τοσούτους δὲ
καὶ τηλικούτους [n]ἐκκαλέσεσθαι παρὰ τῶν δικαστῶν θο-
ρύβους [o]παρεμβάλλων τὰς ἐμὰς δημηγορίας καὶ ψέγων
τὴν εἰρήνην τὴν δι' ἐμοῦ καὶ Φιλοκράτους γεγενημένην,
ὥστ' [p]οὐδὲ ἀπαντήσεσθαί με [q]ἐπὶ τὸ δικαστήριον [r]ἀπο-

γον ἀποφαίνων l. κατάλογον ἀποφαίνων ῥητόρων ὑπ' αὐτοῦ γεγενημένων h. κατάλογον ῥητόρων ὑπ' αὐτοῦ γεγενημένων ἀποφαίνων rec. a.

[e] ἀπεστέρηκε] ἀπεστέρησε m.

[f] Ἀριστάρχου] ἀριστάρχῳ d. f.

[g] λαμβάνων—ἰσηγορίας] om. l.

[h] κατεπαγγέλλεται — ἀκρόασιν] om. h.

[i] λήσειν] λύσειν d.

[k] περιστήσειν h. παρασχεῖν Suidas v. δεῦρο: vulg. παραστήσειν.

[l] τῷ κατηγόρῳ] τῶν κατηγόρων h.

[m] πεφοβῆσθαι] φοβεῖσθαι l.

[n] ἐκκαλέσεσθαι] ἐκκαλέσασθαι b. d. f. g. h. l. m.

[o] παρεμβάλλων] παρεκβάλλων b. d. f. et γρ. a.

[p] οὐδὲ] οὐκ d. f.

[q] ἐπὶ] εἰς f. h.

[r] ἀπολογησόμενον] ἀπολογησάμενον f.

λογησόμενον ὅταν [s]τὰς τῆς πρεσβείας εὐθύνας διδῶ, ἀλλ' ἀγαπήσειν ἐὰν μετρίῳ τιμήματι περιπέσω καὶ μὴ θανάτῳ
175 ζημιῶμαι. μηδενὶ δὴ τρόπῳ καθ' ὑμῶν αὐτῶν γέλωτα 25
[t]τῷ σοφιστῇ καὶ διατριβὴν παράσχητε, ἀλλ' [u]ὑπολάβεθ' ὁρᾶν εἰσεληλυθότα ἀπὸ τοῦ δικαστηρίου οἴκαδε, [x]καὶ σεμνυνόμενον [y]ἐν τῇ τῶν μειρακίων διατριβῇ, καὶ διεξιόντα ὡς εὖ τὸ πρᾶγμα ὑφείλετο τῶν δικαστῶν· "ἀπα-
" γαγὼν γὰρ αὐτοὺς ἀπὸ τῶν [z]περὶ Τιμαρχον αἰτιῶν
" [a]ἐπέστησα φέρων ἐπὶ [b]τὸν κατήγορον καὶ Φιλιππον 5
" καὶ Φωκέας, [c]καὶ φόβους [d]ἐπήρτησα τοῖς ἀκροω-
" μένοις, ὥσθ' ὁ μὲν φεύγων [e]κατηγόρει, ὁ δὲ κατηγορῶν
" ἐκρίνετο, οἱ δὲ δικασταί, ὧν μὲν ἦσαν δικασταί, ἐπε-
" λάθοντο, ὧν δ' οὐκ ἦσαν κριταί, περὶ τούτων ἤκουον."
176 ὑμέτερον δ' [f]ἔργον ἐστὶ πρὸς ταῦτα ἀντιτετάχθαι, [g]καὶ πανταχῇ παρακολουθοῦντας [h]μηδαμῇ [i]παρεκκλινειν αὐτὸν ἐᾶν, μηδὲ τοῖς ἔξω τοῦ ἀγῶνος λόγοις διισχυριζεσθαι· ἀλλ' ὥσπερ ἐν [k]ταῖς ἱπποδρομίαις εἰς τὸν τοῦ πράγμα- 10
τος [l]αὐτὸν [m]δρόμον εἰσελαύνετε. κἂν ταῦτα ποιῆτε, οὐ [n]καταφρονηθήσεσθε, [o]ἀλλὰ τὴν αὐτὴν ἕξετε γνώμην νομοθετοῦντες καὶ δικάζοντες· εἰ δὲ μη, δόξετε μελλόντων μὲν [p]γινεσθαι τῶν ἀδικημάτων προαισθάνεσθαι καὶ ὀργίζεσθαι, γεγονότων δὲ οὐκέτι φροντίζειν.

[s] τὰς τῆς πρεσβείας] τῆς πρεσβείας τὰς d. f. h.
[t] τῷ σοφιστῇ] τῶν σοφιστῶν l.
[u] ὑπολάβεθ'] ὑπολαμβάνεθ' d. f.
[x] καὶ] om. pr. f.
[y] ἐν a. b. d. f. g. m. vulg. ἐπί.
[z] περὶ] om. l.
[a] ἐπέστησα] ἐπέστησε l.
[b] τὸν κατήγορον] τὴν κατηγορίαν h.
[c] καὶ φόβους] om. l.
[d] ἐπήρτησα] ἀπήρτησα d. ἐτήρησε l.
[e] κατηγόρει] ἐκατηγόρει l.
[f] ἔργον ἐστὶ a. b. g. l. vulg. ἐστὶν ἔργον.
[g] καὶ] om. d. f.
[h] μηδαμῇ] μηδαμοῦ l. μηδαμῇ μηδαμῶς a.
[i] παρεκκλίνειν] παρακλίνειν d.
[k] ταῖς ἱπποδρομίαις] ταῖς ἱπποδρόμοις d.
[l] αὐτὸν] αὐτοῦ a. b. om. d. f.
[m] δρόμον] λόγον b. et γρ. a.
[n] καταφρονηθήσεσθε] καταφθονηθήσεσθε l.
[o] ἀλλὰ] καὶ pr. f. ἀλλὰ καὶ d.
[p] γίνεσθαι] κρίνεσθαι l. m.

177 Ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, ἐὰν μὲν κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι, ἐὰν δ' [q] ἀφῆτε, καλοὶ μέν, κύριοι δ' οὐκέτι. ὧν δ' ἕνεκα ταῦτα λέγω, οὐκ ὀκνήσω [r] πρὸς ὑμᾶς παῤῥησιάσασθαι. ἔσται δ' ὁ λόγος ἐπὶ [s] παραδείγματος. διὰ τί οἴεσθε, ὦ [t] ἄνδρες [u] Ἀθηναῖοι, τοὺς νόμους μὲν καλῶς κεῖσθαι, τὰ δὲ ψηφίσματα [x] εἶναι τῆς πόλεως καταδεέστερα καὶ τὰς κρίσεις ἐνίοτε τὰς ἐν [y] τοῖς δικαστηρίοις ἔχειν ἐπι-
178 πλήξεις; [z] ἐγὼ τὰς τούτων αἰτίας ἐπιδείξω. ὅτι τοὺς [a] μὲν νόμους [b] τίθεσθε ἐπὶ πᾶσι τοῖς δικαίοις, οὔτε κέρδους ἕνεκ' [c] ἀδίκου [d] οὔτε χάριτος οὔτ' ἔχθρας, ἀλλὰ πρὸς αὐτὸ μόνον τὸ δίκαιον καὶ τὸ συμφέρον ἀποβλέποντες· ἐπιδέξιοι δ' οἶμαι φύντες ἑτέρων μᾶλλον εἰκότως καλλίστους νόμους [e] τίθεσθε. ἐν δὲ ταῖς ἐκκλησίαις καὶ τοῖς δικαστηρίοις πολλάκις ἀφέμενοι τῶν εἰς αὐτὸ τὸ πρᾶγμα λόγων ὑπὸ τῆς ἀπάτης καὶ τῶν ἀλαζονευμάτων [f] ἄγεσθε, καὶ πάντων ἀδικώτατον ἔθος [g] εἰς τοὺς ἀγῶνας παραδέχεσθε· ἐᾶτε γὰρ τοὺς ἀπολογουμένους ἀντικατη-
179 γορεῖν τῶν κατηγορούντων. ἐπειδὰν δ' [h] ἀπὸ τῆς ἀπολογίας ἀποσπασθῆτε καὶ τὰς ψυχὰς ἐφ' ἑτέρων γένησθε, εἰς λήθην ἐκπεσόντες [i] τῆς κατηγορίας, ἐξέρχεσθ' ἐκ τῶν δικαστηρίων [k] οὐδὲ παρ' ἑτέρου δίκην εἰληφότες, οὔτε παρὰ

[q] ἀφῆτε] ἄφητε a. b. l. m.
[r] πρὸς] καὶ πρὸς h.
[s] παραδείγματος] τοῦ παραδείγματος l.
[t] ἄνδρες] om. b.
[u] ἀθηναῖοι] om. d.
[x] εἶναι τῆς πόλεως] vulg. τῆς πόλεως εἶναι.
[y] τοῖς] om. h.
[z] ἐγὼ τὰς] ἐγὼ δὲ τὰς h.
[a] μὲν] om. h.
[b] τίθεσθε] τίθετε b. et, correctus fortasse, a.
[c] ἀδίκου] ἄδικοι g. l. m.
[d] οὔτε χάριτος] om. d. f.
[e] τίθεσθε] τίθετε b. h. et correctus a.
[f] ἄγεσθε a. b. g. l. m. vulg. ὑπάγεσθε.
[g] εἰς] ἐς a.
[h] ἀπὸ τῆς ἀπολογίας ἀποσπασθῆτε a. b. g. l. m. vulg. ἀποσπασθῆτ' ἀπὸ τῆς ἀπολογίας.
[i] τῆς] om. a. b. l. m.
[k] οὐδὲ] οὔτε g. m.

τοῦ κατηγόρου (ψῆφος γὰρ κατ' αὐτοῦ οὐ δίδοται) οὔτε παρὰ τοῦ ἀπολογουμένου (ταῖς γὰρ ἀλλοτρίαις αἰτίαις ἀποτριψάμενος τὰ ὑπάρχοντα αὐτῷ ἐγκλήματα [l] ἐκπέφευγεν ἐκ τοῦ δικαστηρίου). οἱ δὲ νόμοι καταλύονται, καὶ ἡ δημοκρατία [m] διαφθείρεται, καὶ τὸ ἔθος ἐπὶ πολὺ προβαίνει· εὐχερῶς γὰρ ἐνίοτε λόγον ἄνευ χρηστοῦ βίου προσδέχεσθε.

180 Ἀλλ' οὐ Λακεδαιμόνιοι· καλὸν δ' ἐστὶ καὶ τὰς ξενικὰς ἀρετὰς μιμεῖσθαι. δημηγοροῦντος γάρ τινος ἐν τῇ τῶν Λακεδαιμονίων ἐκκλησίᾳ, ἀνδρὸς βεβιωκότος μὲν αἰσχρῶς λέγειν δ' εἰς ὑπερβολὴν δυνατοῦ, καὶ τῶν Λακεδαιμονίων (ὡς φασι) κατὰ τὴν ἐκείνου γνώμην ψηφίζεσθαι μελλόντων, παρελθών τις [n] τῶν γερόντων, οὓς ἐκεῖνοι [o] καὶ αἰσχύνονται καὶ [p] δεδίασι, καὶ τὴν τῆς ἡλικίας αὐτῶν ἐπωνυμίαν ἀρχὴν μεγίστην εἶναι νομίζουσι, καθιστᾶσι δ' αὐτοὺς ἐκ τῶν ἐκ [q] παιδὸς εἰς γῆρας σωφρόνων, τούτων εἷς, ὡς λέγεται, παρελθὼν ἰσχυρῶς ἐπέπληξε τοῖς Λακεδαιμονίοις, καί τι τοιοῦτο κατ' αὐτῶν ἐβλασφήμησεν, ὡς οὐ πολὺν χρόνον τὴν Σπάρτην [r] ἀπόρθητον οἰκήσουσι τοιούτοις ἐν ταῖς ἐκκλησίαις συμβούλοις
181 χρώμενοι. ἅμα δὲ [s] παρακαλέσας ἄλλον τινὰ τῶν Λακεδαιμονίων, ἄνδρα λέγειν μὲν οὐκ [t] εὐφυᾶ, τὰ δὲ κατὰ πόλεμον λαμπρὸν καὶ [u] πρὸς δικαιοσύνην καὶ ἐγκράτειαν διαφέροντα, ἐπέταξεν αὐτῷ τὰς αὐτὰς εἰπεῖν γνώμας οὕτως ὅπως ἂν δύνηται, ἃς εἶπεν ὁ πρότερος ῥήτωρ, "ἵν" ἔφη "οἱ Λακεδαιμόνιοι ἀνδρὸς ἀγαθοῦ φθεγξαμένου ψη-

[l] ἐκπέφευγεν] οὐκ ἐκπέφευγεν l.
[m] διαφθείρεται] καταφθείρεται l.
[n] τῶν] om. d.
[o] καὶ ante αἰσχύνονται om. d.f.h.
[p] δεδίασι] δεδίκασι l.
[q] παιδὸς] ποδὸς l.
[r] ἀπόρθητον οἰκήσουσιν] οἰκίσουσιν ἀπόρθητον d.
[s] παρακαλέσας] παρακελεύσας a. b. d. f. g. h. m.
[t] εὐφυᾶ] εὐφυῆ d. f.
[u] πρὸς] om. h.

" φίσωνται, τὰς δὲ [x] τῶν ὑποδεδειλιακότων καὶ πονη- 26
" ρῶν ἀνθρώπων φωνὰς μηδὲ τοῖς ὠσὶ προσδέχωνται."
ταῦθ' ὁ γέρων ὁ ἐκ παιδὸς σεσωφρονηκὼς παρήνεσε τοῖς
ἑαυτοῦ πολίταις. [y] ταχύ γ' ἂν Τίμαρχον ἢ τὸν κίναιδον
Δημοσθένην εἴασε πολιτεύεσθαι.

182 Ἵνα δὲ μὴ δοκῶ Λακεδαιμονίους θεραπεύειν, καὶ τῶν
ἡμετέρων [z] προγόνων μνησθήσομαι. οὕτω γὰρ ἦσαν πρὸς 5
τὰς αἰσχύνας χαλεποὶ καὶ [a] περὶ [b] πλείστου τῶν τέκνων
τὴν σωφροσύνην ἐποιοῦντο, ὥστ' ἀνὴρ εἷς τῶν πολιτῶν,
εὑρὼν τὴν ἑαυτοῦ θυγατέρα διεφθαρμένην καὶ τὴν ἡλικίαν
οὐ καλῶς διαφυλάξασαν μέχρι γάμου, ἐγκατῳκοδόμη-
σεν αὐτὴν μεθ' ἵππου εἰς ἔρημον οἰκίαν, [c] ὑφ' οὗ προδήλως
ἔμελλεν ἀπολεῖσθαι διὰ λιμὸν συγκαθειργμένη. καὶ ἔτι
καὶ νῦν τῆς οἰκίας ταύτης ἕστηκε τὰ οἰκόπεδα ἐν τῷ 10
[d] ὑμετέρῳ ἄστει, καὶ ὁ τόπος οὗτος καλεῖται παρ' ἵππον
183 καὶ [e] κόραν. ὁ δὲ Σόλων ὁ τῶν νομοθετῶν ἐνδοξότατος
γέγραφεν ἀρχαίως καὶ σεμνῶς περὶ τῆς τῶν γυναικῶν
εὐκοσμίας. τὴν γὰρ γυναῖκα ἐφ' ᾗ ἂν [f] ἀλῷ μοιχὸς οὐκ
ἐᾷ κοσμεῖσθαι οὐδὲ εἰς τὰ δημοτελῆ ἱερὰ εἰσιέναι, ἵνα μὴ
τὰς ἀναμαρτήτους τῶν γυναικῶν [g] ἀναμιγνυμένη διա-
φθείρῃ· ἐὰν δ' εἰσίῃ ἢ κοσμῆται, τὸν ἐντυχόντα κελεύει
[h] καταῤῥηγνύναι [i] τὰ ἱμάτια καὶ τὸν κόσμον ἀφαιρεῖσθαι 15
καὶ τύπτειν, εἰργόμενον θανάτου καὶ τοῦ ἀνάπηρον [k] ποι-
ῆσαι, ἀτιμῶν τὴν τοιαύτην γυναῖκα καὶ τὸν βίον ἀβίωτον

[x] τῶν ὑποδεδειλιακότων] ὑπὸ τῶν δεδειλιακότων d.
[y] ταχύ γ' ἄν] Libri scripti ταχὺ γάρ, editi post H. Wolfium ταχὺ γὰρ ἄν.
[z] προγόνων] γονέων a.
[a] περὶ] ὑπὲρ d.
[b] πλείστου] πλείονος d. f. h.
[c] ὑφ'] ἀφ' g. m.
[d] ὑμετέρῳ] ἡμετέρῳ d. g. h. l.
[e] κόραν a. b. g. l. m. vulg. κόρην.
[f] Verbi ἁλῷ loco lacunam habet b.
[g] ἀναμιγνυμένη] μιγνυμένη d. f. h.
[h] καταῤῥηγνύναι] διαῤῥηγνύναι b. et γρ. a.
[i] τὰ] καὶ τὰ l.
[k] ποιῆσαι] ποεῖσθαι h.

184 [l]αὐτῇ [m]παρασκευάζων. καὶ [n]τοὺς προαγωγοὺς γράφεσθαι κελεύει, κἂν ἁλῶσι, θανάτῳ ζημιοῦν, ὅτι τῶν ἐξαμαρτάνειν ἐπιθυμούντων ὀκνούντων καὶ αἰσχυνομένων ἀλλήλοις ἐντυγχάνειν αὐτοὶ τὴν αὐτῶν ἀναίδειαν παρασχόντες ἐπὶ μισθῷ τὸ πρᾶγμα εἰς διάπειραν καὶ λόγον κατέστησαν.

185 Ἔπειθ' οἱ μὲν πατέρες [o]ὑμῶν οὕτω περὶ τῶν αἰσχρῶν καὶ καλῶν διεγίνωσκον, ὑμεῖς δὲ Τίμαρχον [p]τὸν τοῖς αἰσχίστοις ἐπιτηδεύμασιν ἔνοχον ἀφήσετε; τὸν ἄνδρα μὲν καὶ ἄῤῥενα τὸ σῶμα, γυναικεῖα δὲ ἁμαρτήματα ἡμαρτηκότα; τίς οὖν [q]ὑμῶν γυναῖκα λαβὼν ἀδικοῦσαν τιμωρήσεται; ἢ τίς οὐκ ἀπαίδευτος εἶναι δόξει τῇ μὲν κατὰ φύσιν ἁμαρτανούσῃ χαλεπαίνων, τῷ δὲ παρὰ φύ-
186 σιν ἑαυτὸν ὑβρίσαντι συμβούλῳ χρώμενος; τίνα δ' [r]ἔχων ἕκαστος ὑμῶν γνώμην ἐπάνεισιν οἴκαδε ἐκ τοῦ δικαστηρίου; οὔτε γὰρ ὁ κρινόμενος ἀφανὴς ἀλλὰ γνώριμος, οὔθ' ὁ νόμος ὁ περὶ τῆς τῶν ῥητόρων δοκιμασίας φαῦλος ἀλλὰ κάλλιστος, τό τ' [s]ἐρέσθαι τοῖς παισὶ καὶ τοῖς μειρακίοις τοὺς ἑαυτῶν οἰκείους ὅπως τὸ πρᾶγμα κέκρι-
187 ται πρόχειρον. τί οὖν δὴ λέξετε οἱ τῆς ψήφου [t]νυνὶ γεγονότες κύριοι, ὅταν οἱ ὑμέτεροι παῖδες [u]ὑμᾶς ἔρωνται εἰ κατεδικάσατε ἢ ἀπεψηφίσασθε; οὐχ ἅμα Τίμαρχον ἀπολῦσαι ὁμολογήσετε καὶ τὴν κοινὴν παιδείαν ἀνατρέψετε; τί [x]δ' ὄφελος παιδαγωγοὺς τρέφειν ἢ παιδοτρί-

[l] αὐτῇ] om. l.
[m] παρασκευάζων] κατασκευάζων l.
[n] τοὺς προαγωγοὺς] τὰς προαγωγοὺς d. m. τοὺς προαγωγοὺς καὶ τοὺς προαγωγοὺς b. τὰς προαγωγοὺς καὶ τὰς προαγωγοὺς h. τοὺς προαγωγοὺς καὶ τὰς προαγωγὰς l. τὰς προαγωγοὺς καὶ τοὺς προαγωγοὺς a. d. f. g.
[o] ὑμῶν] ἡμῶν d. l.
[p] τὸν a.b.m. vulg. ὄντα: om. l.
[q] ὑμῶν γυναῖκα] γυναῖκα ὑμῶν m.
[r] ἔχων ἕκαστος ὑμῶν] ἕκαστος ὑμῶν ἔχων h.
[s] ἐρέσθαι b. vulg. ἔρεσθαι.
[t] νυνὶ] om. d. f. h.
[u] ὑμᾶς] ὑμῶν l.
[x] δ'] δαὶ m. καὶ a.

βας [y] καὶ διδασκάλους τοῖς παισὶν [z] ἐφιστάναι, ὅταν οἱ τὴν τῶν νόμων παρακαταθήκην ἔχοντες πρὸς τὰς αἰσχύνας κατακάμπτωνται;

188 Θαυμάζω δ' ὑμῶν ὦ Ἀθηναῖοι κἀκεῖνο, εἰ τοὺς μὲν πορνοβοσκοὺς μισεῖτε, τοὺς δ' [a] ἑκόντας πεπορνευμένους ἀφήσετε· καὶ (ὡς ἔοικεν) ὁ αὐτὸς οὗτος ἀνὴρ ἱερωσύνην [b] μὲν [c] οὐδενὸς θεῶν κληρώσεται, ὡς οὐκ ὢν ἐκ τῶν νόμων καθαρὸς τὸ σῶμα, [d] γράψει δ' [e] ἐν τοῖς ψηφίσμασιν εὐχὰς ὑπὲρ τῆς πόλεως [f] ταῖς σεμναῖς θεαῖς. εἶτα τί θαυμάζομεν τὴν κοινὴν ἀπραξίαν, τοιούτων ῥητόρων ἐπὶ τὰς τοῦ δήμου γνώμας ἐπιγραφομένων; καὶ τὸν αἰσχρῶς [g] οἴκοι βεβιωκότα ἔξω τῆς πόλεως πρεσβευτὴν πέμψομεν, καὶ τούτῳ περὶ τῶν μεγίστων διαπιστεύσομεν; τί δ' οὐκ ἂν [h] ἀποδοῖτο ὁ τὴν τοῦ σώματος ὕβριν πεπρακώς; τίνα δ' [i] ἂν οὗτος ἐλεήσειεν ὁ αὐτὸν οὐκ ἐλεήσας;

189 Τίνι δ' ὑμῶν οὐκ [k] εὔγνωστός ἐστιν ἡ Τιμάρχου βδελυρία; ὥσπερ γὰρ τοὺς γυμναζομένους, κἂν μὴ παρῶμεν ἐν τοῖς [l] γυμνασίοις, εἰς τὰς εὐεξίας αὐτῶν [m] ἀποβλέποντες γινώσκομεν, οὕτω τοὺς πεπορνευμένους, κἂν μὴ [n] παρῶμεν [o] τοῖς αὐτῶν ἔργοις, ἐκ τῆς ἀναιδείας καὶ τοῦ θράσους καὶ τῶν ἐπιτηδευμάτων γινώσκομεν. ὁ γὰρ [p] περὶ τῶν μεγίστων τοὺς νόμους καὶ τὴν σωφροσύνην ὑπεριδὼν ἔχει τινὰ ἕξιν τῆς ψυχῆς, ἣ διάδηλος ἐκ τῆς ἀκοσμίας τοῦ [q] τρόπου γίνεται.

[y] καὶ] ἢ d. f. h.
[z] ἐφιστάναι] ἐφεστάναι d.
[a] ἑκόντας] ἔχοντας d. f.
[b] μὲν] om. h.
[c] οὐδενὸς b. et correctus a. vulg. οὐθενός.
[d] γράψει] γράφει l. m.
[e] ἐν] om. d. f. h.
[f] ταῖς] om. d.
[g] οἴκοι] οὕτω h.
[h] ἀποδοῖτο a. b. h. l. m. vulg. ἀπόδοιτο.
[i] ἄν] ἄρ' m.
[k] εὔγνωστος] εὔγνωτος b.
[l] γυμνασίοις—τοῖς] om. m.
[m] ἀποβλέποντες] βλέποντες l.
[n] παρῶμεν] παρῶμεν ἐν g. l.
[o] τοῖς αὐτῶν] αὐτῶν τοῖς d. f. h.
[p] περὶ] ἐπὶ g. l.
[q] τρόπου] ἔργου pr. m.

190 Πλείστους [r] δ' ἂν εὕροιτ' ἐκ τῶν τοιούτων ἀνθρώπων πόλεις [s] ἀνατετραφότας καὶ ταῖς μεγίσταις συμφοραῖς αὐτοὺς [t] περιπεπτωκότας. μὴ γὰρ οἴεσθε ὦ ἄνδρες Ἀθηναῖοι τὰς τῶν [u] ἀδικημάτων ἀρχὰς ἀπὸ θεῶν ἀλλ' οὐχ ὑπ' ἀνθρώπων ἀσελγείας γίνεσθαι, μηδὲ τοὺς ἠσεβηκότας (καθάπερ [x] ἐν ταῖς τραγῳδίαις) Ποινὰς ἐλαύνειν καὶ κολάζειν δᾳ-
191 σὶν ἡμέναις· ἀλλ' αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ καὶ τὸ μηδὲν ἱκανὸν ἡγεῖσθαι, ταῦτα πληροῖ τὰ λῃστήρια, ταῦτ' εἰς τὸν [y] ἐπακτροκέλητα ἐμβιβάζει, ταῦτά [z] ἐστιν ἑκάστῳ ποινή, ταῦτα παρακελεύεται σφάττειν [a] τοὺς πολίτας, ὑπηρετεῖν τοῖς τυράννοις, συγκαταλύειν τὸν δῆμον. οὐ γὰρ τὴν αἰσχύνην οὐδ' ἃ πείσονται λογίζονται, ἀλλ' ἐφ' οἷς κατορθώσαντες εὐφρανθήσονται, τούτοις [b] κεκήληνται. ἐξαιρεῖτ' οὖν ὦ ἄνδρες Ἀθηναῖοι τὰς [c] τοιαύτας φύσεις, καὶ τὰ τῶν νέων [d] ζηλώματα ἐπ' ἀρετὴν προτρέψασθε.

192 [e] Εὖ δ' ἐπίστασθε (καί μοι σφόδρα τὸ μέλλον ῥηθήσεσθαι διαμνημονεύετε) εἰ μὲν δώσει τῶν ἐπιτηδευμάτων Τίμαρχος δίκην, ἀρχὴν εὐκοσμίας ἐν τῇ πόλει [f] κατασκευάσετε· εἰ δ' ἀποφεύξεται, κρείττων ἦν ὁ ἀγὼν μὴ γεγενημένος. [g] πρὶν [h] μὲν γὰρ εἰς κρίσιν Τίμαρχον καταστῆναι φόβον τισὶ παρεῖχεν ὁ νόμος καὶ τὸ τῶν δικαστηρίων ὄνομα· εἰ δ' ὁ πρωτεύων βδελυρίᾳ καὶ γνωριμώτα-

[r] δ' ἂν] γὰρ l.

[s] ἀνατετραφότας d. f. g. l. vulg. ἀνατετροφότας.

[t] περιπεπτωκότας] πεπτωκότας h.

[u] ἀδικημάτων] ἀτυχημάτων g.

[x] ἐν ταῖς τραγῳδίαις] ἐν τραγῳδίᾳ d. f. h.

[y] ἐπακτροκέλητα] ἐπακτοκέλητα l.

[z] ἐστιν] om. g. m.—Quæ vulgo post παρακελεύεται adduntur, τοῖς νέοις, omisi cum a. b. g. l. m.

[a] τοὺς] om. f.

[b] κεκήληνται] κέκληνται d. f.

[c] τοιαύτας] αὐτὰς l.

[d] ζηλώματα] ζητήματα l.

[e] Εὖ δ' a. b. g. m. vulg. ἐν δὲ εὖ, quæ cum ipso ἐπίστασθε om. l.

[f] κατασκευάσετε] vulg. κατασκευάζετε.

[g] πρὶν—ὁ νόμος] om. l.

[h] μὲν] om. m.

τος εἰσελθὼν περιγενήσεται, πολλοὺς ἁμαρτάνειν ἐπαρεῖ, καὶ τελευτῶν οὐχ ὁ λόγος ἀλλ' ὁ καιρὸς ὑμᾶς [i] ἐξοργιεῖ.

193 μὴ οὖν εἰς ἀθρόους ἀλλ' εἰς ἕνα ἀποσκήψατε, καὶ τὴν παρασκευὴν καὶ τοὺς συνηγόρους αὐτῶν παρατηρεῖτε· ὧν οὐδενὸς ἐγὼ [k] ὀνομαστὶ μνησθήσομαι, ἵνα μὴ ταύτην ἀρχὴν τοῦ λόγου ποιήσωνται, ὡς οὐκ ἂν παρῆλθον εἰ μή τις αὐτῶν ὀνομαστὶ ἐμνήσθη. ἀλλ' ἐκεῖνο ποιήσω· ἀφελὼν τὰ ὀνόματα, διεξιὼν δὲ τὰ ἐπιτηδεύματα [l] αὐτῶν καὶ τὰ σώματα γνώριμα καταστήσω. ἔσται δ' αὐτὸς ἑαυτῷ

194 [m] ἕκαστος αἴτιος, ἐὰν δεῦρο ἀναβῇ καὶ ἀναισχυντῇ. τούτῳ γὰρ [n] πάρεισιν ἐκ τριῶν εἰδῶν [o] συνήγοροι, οἱ μὲν ταῖς καθ' ἡμέραν δαπάναις ἀνηλωκότες τὰς πατρῴας οὐσίας, οἱ δὲ ταῖς ἡλικίαις [p] καὶ τοῖς ἑαυτῶν σώμασιν οὐ καλῶς κεχρημένοι καὶ δεδιότες οὐ περὶ Τιμάρχου ἀλλὰ περὶ ἑαυτῶν καὶ τῶν ἐπιτηδευμάτων, μή ποτε εἰς κρίσιν [q] καταστῶσιν· ἕτεροι δ' ἐκ τῶν ἀκολάστων καὶ τῶν [r] τοῖς τοιούτοις κεχρημένων ἀφθόνως, ἵνα ταῖς βοηθείαις αὐτῶν

195 πιστεύοντες [s] ῥᾴον τινες ἐξαμαρτάνωσιν. ὧν πρὶν [t] τῆς συνηγορίας ἀκοῦσαι τοὺς βίους ἀναμιμνήσκεσθε, καὶ τοὺς μὲν εἰς τὰ σώματα ἡμαρτηκότας μὴ ὑμῖν [u] ἐνοχλεῖν ἀλλὰ [x] παύσασθαι δημηγοροῦντας κελεύετε (οὐδὲ γὰρ ὁ νόμος τοὺς ἰδιωτεύοντας ἀλλὰ τοὺς πολιτευομένους ἐξετάζει·) τοὺς [y] δὲ τὰ πατρῷα κατεδηδοκότας ἐργάζεσθαι καὶ ἐτέρωθεν κτᾶσθαι τὸν βίον κελεύετε· τοὺς δὲ τῶν νέων,

[i] ἐξοργιεῖ] ἐξοριεῖ l.
[k] ὀνομαστὶ] ὀνόματι d. f.
[l] αὐτῶν καὶ τὰ σώματα] καὶ τὰ σώματα αὐτῶν d. f. h.
[m] ἕκαστος αἴτιος] αἴτιος ἕκαστος h.
[n] πάρεισιν] παρίασιν b. d. f. h. et γρ a.
[o] συνήγοροι] κατήγοροι h.
[p] καὶ] om. d. f.
[q] καταστῶσιν] παραστῶσιν h. l.
[r] τοῖς] om. d. m. et pr. a.
[s] ῥᾴον] ῥᾴδιον d. f. h.
[t] τῆς συνηγορίας] τὴν συνηγορίαν d. f. συνηγορίας h.
[u] ἐνοχλεῖν] ὀχλεῖν g. m.
[x] παύσασθαι] παύεσθαι l.
[y] δὲ] om. m.

ὅσοι ῥᾳδίως ἁλίσκονται, θηρευτὰς ὄντας εἰς τοὺς ξένους καὶ τοὺς μετοίκους τρέπεσθαι κελεύετε, ἵνα μὴτ' ἐκεῖνοι τῆς προαιρέσεως [z] ἀποστέρωνται μήθ' ὑμεῖς βλάπτησθε. 35

196 Τὰ μὲν οὖν παρ' ἐμοῦ δίκαια πάντα ἀπειλήφατε· ἐδίδαξα τοὺς νόμους, ἐξήτασα τὸν βίον τοῦ κρινομένου. νῦν μὲν οὖν ὑμεῖς ἐστὲ τῶν ἐμῶν λόγων κριταί, αὐτίκα δ' ὑμέτερος ἐγὼ θεατής· ἐν γὰρ ταῖς ὑμετέραις γνώμαις ἡ πρᾶξις [a] καταλείπεται.

[a] ΠΕΡΙ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ. 28

Β.

ΥΠΟΘΕΣΙΣ.

Ἀθηναῖοι Φιλίππῳ πολεμήσαντες ὕστερον ἐπείσθησαν ὑπὸ Ἀριστοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος εἰρήνην πρὸς αὐτὸν ποιήσασθαι, καὶ ἔπεμψαν δύο πρεσβείας, τὴν μὲν προτέραν περὶ τῆς εἰρήνης, τὴν δευτέραν δὲ ἀπολῃψομένην τοὺς ὅρκους, ἐν αἷς ἀμφοτέραις ἦσαν πρεσβευταὶ Δημοσθένης καὶ Αἰσχίνης. ὡς οὖν ἐπανῆκον ἐκ τῆς [b] ὑστέρας πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, ἐγράψαντο παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε καὶ Τίμαρχος. τὸν μὲν οὖν Τίμαρχον πρὸ τοῦ τῆς παραπρεσβείας ἀγῶνος γραψάμενος Αἰσχίνης [c] ἑταιρήσεως ἠτίμωσε, πρὸς δὲ Δημοσθένην ἀπολογεῖται. ἔνιοι μὲν οὖν φασι γεγραφέναι μὲν τοὺς λόγους ἀμφοτέρους, οὐ μέντοι γε εἰρῆσθαι· οἱ δὲ καὶ εἰρῆσθαί φασι, καὶ κεκινδυνευκέναι τὸν Αἰσχίνην τριάκοντα ψήφοις ἁλῶναι, ὅμως μέντοι ἀποφυγεῖν Εὐβούλου αὐτῷ τοῦ δημαγωγοῦ συναγωνισαμένου, οὐ μέντοι παρὰ πᾶσιν ἀπογνωσθῆναι αὐτοῦ τὸ φιλιππίζειν, ὡς αὐτὸς ἐν τῷ προοιμίῳ παραδηλοῖ καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου. ἐν μὲν οὖν τῷ πρώ-

[z] ἀποστέρωνται b. l. m. vulg. ἀποστερῶνται.

[a] καταλείπεται] καταλείπεται. εἰ οὖν βουλήσεσθε, τὰ δίκαια καὶ τὰ συμφέροντα ὑμῶν ποιησάντων, φιλοτιμότερον ἡμεῖς ἕξομεν τοὺς παρανομοῦντας ἐξετάζειν d. f. h.

[a] ΠΕΡΙ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ] αἰσχίνου ῥήτορος λόγος περὶ τῆς παραπρεσβείας a. αἰσχίνου ῥήτορος ὁ λόγος ὑπὲρ τῆς παραπρεσβείας e.

[b] ὑστέρας] ὑστερέας d.

[c] ἑταιρήσεως] om. d.

τῳ προοιμίῳ κατ' ἀρχὴν εἰς εὔνοιαν παρακαλεῖ τοὺς δικαστάς, τὸν ἀντίδικον καὶ τὴν κατηγορίαν διαβάλλων, καὶ τοῦ κινδύνου τὸ μέγεθος, καὶ ὡς ψεῦδος συκοφαντοῦντα· ἐν δὲ τῷ δευτέρῳ νοήματι πρᾶγμα εἰρημένον ἐν τῇ κατηγορίᾳ διαβάλλει, καὶ πιστοῦται ἀξιοπίστως, ὡς καὶ αὐτῶν εἰδότων ὅτι ψεῦδός ἐστι. καὶ τοῦτο δὲ εἰς διαβολὴν τοῦ ἀντιδίκου· καὶ τὰ ἑξῆς ὁμοίως εἰς εὔνοιαν ἑαυτοῦ καὶ διαβολὴν τοῦ ἀντιδίκου.

ΔΕΟΜΑΙ ὑμῶν, ὦ [d] ἄνδρες Ἀθηναῖοι, ἐθελῆσαί [e] μου μετ' εὐνοίας ἀκοῦσαι λέγοντος, ὑπολογιζομένους τό τε μέγεθος τοῦ κινδύνου καὶ [f] τὸ πλῆθος τῶν αἰτιῶν πρὸς [g] ἃς ἀπολογήσασθαί με δεῖ, καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς τοῦ κατηγόρου καὶ τὴν ὠμότητα, ὃς ἐτόλμησε παρακελεύσασθαι πρὸς ἄνδρας ὁμωμοκότας τῶν ἀντιδίκων ὁμοίως ἀμφοτέρων ἀκούσεσθαι [h] τὴν τοῦ κιν- 2 δυνεύοντος φωνὴν μὴ ὑπομένειν. καὶ ταῦτ' εἶπεν οὐ δι' ὀργήν· οὐδεὶς γὰρ τῶν ψευδομένων τοῖς ἀδίκως διαβαλλομένοις ὀργίζεται, οὐδ' οἱ τἀληθῆ λέγοντες κωλύουσι λόγου τυχεῖν τὸν φεύγοντα· οὐ γὰρ πρότερον [i] ἡ κατηγορία [k] παρὰ τοῖς ἀκούουσιν ἰσχύει, πρὶν [l] ἂν ὁ φεύγων ἀπολογίας [m] τυχὼν ἀδυνατήσῃ τὰς προειρημένας αἰτίας [n] ἀπο- 3 λύσασθαι. ἀλλ' οἶμαι Δημοσθένης οὐ χαίρει δικαίοις λόγοις, οὐδ' οὕτω παρεσκεύασται, ἀλλὰ τὴν ὑμετέραν ὀργὴν ἐκκαλέσασθαι [o] βούλεται καὶ κατηγόρηκε δωροδοκίας, ἀπίθανος ὢν πρὸς τὴν [p] ὑποψίαν ταύτην· τὸν γὰρ ἐπὶ ταῖς δωροδοκίαις [q] προτρεπόμενον τοὺς δικαστὰς ὀρ-

[d] ἄνδρες] Addidi ex e. i. k.
[e] μου μετ' εὐνοίας ἀκοῦσαι e. i. k. l. vulg. μετ' εὐνοίας ἀκοῦσαί μου.
[f] τὸ πλῆθος] τοῦ πλήθους h.
[g] ἃς] om. d.
[h] τὴν] om. e. k. l. καὶ τὴν i.
[i] ἡ κατηγορία e. i. k. l. κατήγορος a. d. g. m. vulg. κατηγορία.
[k] παρὰ τοῖς ἀκούουσιν ἰσχύει a. e. g. i. k. l. m. vulg. ἰσχύει παρὰ τοῖς ἀκούουσι.
[l] ἂν] om. i.
[m] τυχὼν] τυχὸν i.
[n] ἀπολύσασθαι] λύειν e. i. k. l.
[o] βούλεται e. i. k. l. vulg. βεβούληται.
[p] ὑποψίαν] ὑπόληψιν i. k. l.
[q] προτρεπόμενον τοὺς δικαστὰς a. g. m. τοὺς δικαστὰς προτρέποντα e. k. l. τὸν δικαστὴν προτρεπόμενον i. vulg. τοὺς δικαστὰς προτρεπόμενον.

γίζεσθαι αὐτὸν [r] χρὴ τῶν τοιούτων ἔργων [s] πολὺ [t] ἀφε-
στάναι. ἐμοὶ δ' ὦ [u] ἄνδρες [x] Ἀθηναῖοι συμβέβηκε τῆς
Δημοσθένους ἀκούοντι κατηγορίας μήτε δεῖσαι πώποθ' οὕτως [y] ὡς ἐν τῇδε τῇ ἡμέρᾳ, μήτ' ἀγανακτῆσαι μᾶλλον ἢ νῦν, μήτ' [z] εἰς ὑπερβολὴν ὁμοίως ἠσθῆναι. ἐφοβήθην μὲν γάρ, καὶ ἔτι καὶ νῦν τεθερύβημαι, μή τινες ὑμῶν [a] ἀγνοήσωσί με ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις· ἐξέστην δ' ἐμαυτοῦ καὶ τὴν αἰτίαν βαρέως [b] ἤνεγκα, [c] ὅθ' ὕβριν καὶ παροινίαν εἰς γυναῖκα ἐλευθέραν καὶ τὸ γένος Ὀλυνθίαν [d] κατηγόρει [e] μου. ἤσθην δὲ [f] ὅτ' [g] αὐτὸν ἐπὶ [h] τῆς αἰτίας ὄντα ταύτης [i] ἐξεβάλλετε, καὶ τῶν σεσωφρονημένων ἐν τῷ βίῳ μοι χάριν ἀπειληφέναι νομίζω. ὑμᾶς μὲν οὖν ἐπαινῶ καὶ διαφερόντως ἀγαπῶ, ὅτι τῷ βίῳ μᾶλλον [k] τῷ τῶν κρινομένων πιστεύετε ἢ ταῖς παρὰ τῶν ἐχθρῶν αἰτίαις· αὐτὸς δ' οὐκ ἂν ἀποσταίην τῆς πρὸς ταῦτ' ἀπολογίας. εἰ γάρ τις [l] ἢ τῶν ἔξωθεν [m] περιεστηκότων πέπεισται (σχεδὸν δ' οἱ πλεῖστοι τῶν πολιτῶν πάρεισιν) ἢ τῶν [n] δικαζόντων [o] ὑμῶν, ὡς ἐγὼ [p] τοιοῦτόν τι διαπέπραγμαι μὴ μόνον εἰς [q] ἐλεύθερον σῶμα ἀλλὰ καὶ εἰς τὸ τυχόν, ἀβίωτον εἶναί μοι τὸν λοιπὸν βίον νομίζω· κἂν μὴ προϊούσης τῆς ἀπο-

[r] χρὴ] δεῖ g.
[s] πολὺ] ante τῶν ponunt i. k. om. e. l.
[t] ἀφεστάναι] ἀπέχεσθαι e. i. k. l.
[u] ἄνδρες] om. a. g.
[x] ἀθηναῖοι] om. d. f. h.
[y] ὡς ἐν τῇδε τῇ ἡμέρᾳ] ὡς τῇδε τῇ ἡμέρᾳ i. ἢ νῦν f. h.
[z] εἰς] om. e. k. l.
[a] ἀγνοήσωσί] ἀγνοοῦσι e. k. l.
[b] ἤνεγκα] ἔνεκα l.
[c] ὅθ'] ὅτι k.
[d] κατηγόρει] κατηγορεῖ k. l.
[e] μου] om. e. k. l.
[f] ὅτ'] ὅτι i.
[g] αὐτὸν] ἐκ τῶν l.
[h] τῆς αἰτίας] ταῖς αἰτίαις e. l.
[i] ἐξεβάλλετε d. f. h. i. m. vulg. ἐξεβάλετε.
[k] τῷ] om. l.
[l] ἢ] om. pr. f.
[m] περιεστηκότων] παρεστηκότων pr. d.
[n] δικαζόντων] δικαζομένων h.
[o] ὑμῶν] om. e. k. l.
[p] τοιοῦτόν τι a. d. e. τι τοιοῦτο i. vulg. τοιοῦτό τι.
[q] ἐλεύθερον] ἐλευθερίαν l.

λογίας [r] ἐξελέγξω καὶ τὴν αἰτίαν οὖσαν ψευδῆ καὶ τὸν τολμήσαντ' εἰπεῖν ἀνόσιον καὶ συκοφάντην, κἂν τἆλλα 29
6 πάντα μηδὲν ἀδικῶν φαίνωμαι, θανάτου τιμῶμαι. παράδοξος δέ μοι κἀκεῖνος [s] ὁ λόγος [t] ἐφάνη καὶ δεινῶς ἄδικος, [u] ὅθ' ὑμᾶς ἐπηρώτα εἰ οἷόν τ' ἐστὶν ἐν τῇ [x] αὐτῇ πόλει Φιλοκράτους μὲν θάνατον καταψηφίσασθαι, ὅτι καταγνοὺς [y] ἀδικεῖν ἑαυτοῦ τὴν κρίσιν οὐχ ὑπέμεινεν, ἐμοῦ δ' ἀπογνῶναι. ἐγὼ δ' ἐπ' αὐτῷ τούτῳ δικαίως [z] ἂν 5
ὑπολαμβάνω μάλιστα [a] σώζεσθαι· εἰ γὰρ ὁ καταγνοὺς ἑαυτοῦ καὶ μὴ παρὼν ἀδικεῖ, [b] ὅ γε ἀπογνοὺς καὶ τὸ σῶμα τοῖς νόμοις καὶ τοῖς πολίταις παραδοὺς οὐκ ἀδικεῖ.

7 Περὶ δὲ τῆς ἄλλης κατηγορίας δέομαι ὑμῶν, ὦ ἄνδρες [c] Ἀθηναῖοι, ἐάν τι [d] παραλείπω καὶ μὴ μνησθῶ, ἐπερωτᾶν με καὶ δηλοῦν [e] ὃ ἂν ποθῆτέ [f] μου ἀκοῦσαι, [g] μηδὲν [h] προκατεγνωκότας ὡς ἀδικῶ, ἀλλ' ἴσῃ τῇ εὐνοίᾳ 10
ἀκούοντας. ἀπορῶ δ' ὁπόθεν χρὴ πρῶτον ἄρξασθαι διὰ τὴν ἀνωμαλίαν τῆς κατηγορίας. σκέψασθε [i] δ' [k] ἐὰν
8 ὑμῖν εἰκός τι πρᾶγμα [l] δόξω πάσχειν. εἰμὶ μὲν γὰρ ὁ κινδυνεύων ἐγὼ [m] νυνὶ περὶ τοῦ σώματος, τῆς δὲ κατηγο-

[r] ἐξελέγξω e. i. k. l. vulg. ἐλέγξω.
[s] ὁ λόγος] om. pr. f.
[t] ἐφάνη] om. e. l.
[u] ὅθ'] ὃς e. i. k. l.
[x] αὐτῇ] om. e. k. l. ante τῇ ponit i.
[y] ἀδικεῖν] post ἑαυτοῦ ponunt e. l. om. g. m.
[z] ἂν] μὲν l. om. pr. d.
[a] σώζεσθαι e. i. k. l. vulg. σωθήσεσθαι.
[b] ὅ γε e. i. k. l. ὁ δὲ m. vulg. ὁ δή.
[c] Ἀθηναῖοι] Addidi sumptum ab e. k. l.
[d] παραλείπω d. e. g. h. i. l. e quidem etiam ordine mutato, μὴ μνησθῶ καὶ παραλείπω: vulg. παραλίπω.
[e] ὃ ἂν i. k. l. ὃ ἐὰν e. vulg. ὅ τι ἐάν.
[f] μου] om. a. h. m. et pr. f.
[g] μηδὲν a. e. g. i. k. l. m. vulg. μηθέν.
[h] προκατεγνωκότας — ἀκούοντας] προκατεγνωκότες—ἀκούοντες e. i. k. l.
[i] δὲ] om. pr. f.
[k] ἐὰν e. vulg. ἄν.
[l] δόξω πάσχειν e. i. k. l. vulg. πάσχειν δόξω.
[m] νυνὶ] om. l.

ρίας τὴν πλείστην πεποίηται Φιλοκράτους καὶ Φρύνωνος καὶ τῶν ἄλλων [n] συμπρέσβεων καὶ Φιλίππου καὶ τῆς εἰρήνης καὶ τῶν Εὐβούλου πολιτευμάτων, ἐν ἅπασι δὲ τούτοις ἐγὼ τέταγμαι. μόνος δ' ἐν τῷ λόγῳ φαίνεται κηδεμὼν τῆς πόλεως Δημοσθένης, οἱ δ' ἄλλοι προδόται· διατετέλεκε [o] γὰρ εἰς [p] ἡμᾶς ὑβρίζων, καὶ λοιδορίας [q] ψευδεῖς οὐκ ἐμοὶ μόνον λοιδορούμενος ἀλλὰ καὶ τοῖς [r] ἄλλοις. ὃν δ' [s] οὕτως ἀτιμάζει, πάλιν [t] ἐκ μεταβολῆς, ὅπου [u] τύχῃ, ὥσπερ Ἀλκιβιάδην ἢ [x] Θεμιστοκλέα κρίνων, οἳ πλεῖστον τῶν Ἑλλήνων δόξῃ διήνεγκαν, ἀνηρηκέναι μὲν αἰτιᾶταί με τὰς ἐν Φωκεῦσι πόλεις, ἀπηλλοτριωκέναι δ' [y] ἀφ' ὑμῶν τὸν ἐπὶ Θράκης τόπον, ἐκβεβληκέναι [z] δὲ τῆς ἀρχῆς [a] Κερσοβλέπτην, ἄνδρα [b] φίλον καὶ σύμμαχον [c] τῆς πόλεως. [d] ἐνεχείρησε δ' ἀπεικάζειν με Διονυσίῳ τῷ [e] γενομένῳ [f] Σικελίας τυράννῳ, καὶ μετὰ σπουδῆς καὶ κραυγῆς [g] πολλῆς [h] παρεκελεύσαθ' ὑμῖν [[i] τὸ θηρίον] [k] φυλάξασθαι, καὶ τὸ τῆς ἱερείας ἐνύπνιον τῆς ἐν Σικελίᾳ διηγήσατο. οὕτω δ' ἄνω τὸ πρᾶγμα ἐξάρας, ἐφθόνησέ μου ταῖς διαβολαῖς τὰς αἰτίας ἀνατιθεὶς τῶν πεπραγμένων οὐ τοῖς ἐμοῖς λόγοις ἀλλὰ τοῖς ὅπλοις

[n] συμπρέσβεων] πρέσβεων h.
[o] γὰρ] δὲ e. k. l. δὲ i.
[p] ἡμᾶς] ὑμᾶς a. d. f. g. h. i.
[q] ψευδεῖς] om. g.
[r] ἄλλοις] ἐμοῖς f. h. et correctus a.
[s] οὕτως] οὗτος a. d. h. i.
[t] ἐκ] ὡς ἐκ h.
[u] τύχῃ] τύχοι e. h. k. l. et correctus a. Deesse videtur ἄν.
[x] Θεμιστοκλέα d. f. h. i. k. l. Θεμιστοκλῆν g. vulg. Θεμιστοκλῆ.
[y] ἀφ'] om. e. i. k. l.
[z] δὲ τῆς e. k. l. vulg. δὲ καὶ τῆς.
[a] Κερσοβλέπτην] τὸν κερσοβλέπτην e. h. i. k.
[b] φίλον καὶ] om. i. k. l.
[c] τῆς πόλεως] om. k. l. supra versum ponit i.
[d] ἐνεχείρησε] ἐνεχείρισε d. h. ἐνεχείριζε l.
[e] γενομένῳ] om. a. g. i. m.
[f] Σικελίας] vulg. τῆς Σικελίας.
[g] πολλῆς] om. e. k. l.
[h] παρεκελεύσαθ'] διεκελεύσαθ' e. i. k.
[i] [τὸ θηρίον] om. e. k. l.
[k] φυλάξασθαι] φυλάττειν i.

11 [l] τοῖς Φιλίππου. πρὸς [m] δὴ τοσαύτην τόλμαν καὶ τερατείαν ἀνθρώπου χαλεπὸν καὶ [n] διαμνημονεῦσαι τὰ λεχθέντα καθ' [o] ἕκαστα καὶ λέγειν μετὰ [p] κινδύνου πρὸς ἀπροσδοκήτους διαβολάς. [q] ὅθεν [r] δ' [s] ἡγοῦμαι σαφεστάτους [t] μοι τοὺς λόγους ἔσεσθαι καὶ γνωρίμους ὑμῖν καὶ δικαίους, ἐντεῦθεν ἄρξομαι, ἀπὸ τῶν περὶ τῆς εἰρήνης λόγων [u] καὶ τῆς αἱρέσεως τῆς πρεσβείας· οὕτω [x] γὰρ μάλιστα [y] καὶ μεμνήσομαι καὶ [z] δυνήσομαι εἰπεῖν, καὶ ὑμεῖς [a] μαθήσεσθε.

12 Ἅπαντας γὰρ [b] ἂν ὑμᾶς [c] οἶομαι τοῦτό [d] γε αὐτὸ μνημονεύειν, [e] ὅθ' οἱ πρέσβεις [f] οἱ παρὰ τῶν Εὐβοέων, [g] ἐπειδὴ περὶ τῆς πρὸς αὐτοὺς εἰρήνης τῷ δήμῳ [h] διελέχθησαν, [i] εἶπον ὅτι καὶ Φίλιππος [k] αὐτοὺς κελεύσειεν ὑμῖν [l] ἀπαγγεῖλαι ὅτι βούλεται διαλύσασθαι πρὸς ὑμᾶς καὶ τὴν εἰρήνην ἄγειν. οὐ πολλῷ δ' ὕστερον χρόνῳ Φρύνων ὁ Ῥαμνούσιος [m] ἑάλω ὑπὸ ληστῶν ἐν ταῖς σπονδαῖς ταῖς [n] Ὀλυμπιακαῖς, ὡς αὐτὸς ἠτιᾶτο· ἐπειδὴ δ' ἐπανῆλθε

[l] τοῖς] om. e. k. l. τοῖς τοῦ i. τοῦ d.

[m] δὴ e. i. k. vulg. δέ.

[n] διαμνημονεῦσαι τὰ λεχθέντα] τὰ λεχθέντα διαμνημονεῦσαι i. τὰ λεχθέντα μνημονεῦσαι e. k. l.

[o] ἕκαστα] ἕκαστον d. h.

[p] κινδύνου] κινδύνων e. l.

[q] ὅθεν e. i. k. l. vulg. ᾗ.

[r] δ'] θ' l.

[s] ἡγοῦμαι a. e. g. i. k. l. m. οἶμαι d. f. vulg. οἴομαι.

[t] μοι] τέ μοι e. l.

[u] καὶ τῆς] καὶ περὶ τῆς e. h. k. l.

[x] γὰρ μάλιστα e. i. k. l. et correctus a. vulg. γὰρ ἂν μάλιστα.

[y] καὶ post μάλιστα om. i.

[z] δυνήσομαι εἰπεῖν] εἰπεῖν δυνήσομαι a. m.

[a] μαθήσεσθε] μεμνήσεσθε k.

[b] [ἂν] om. i. k. l.

[c] οἶομαι] om. e. l. οἶμαι, idque ante ὑμᾶς, i. k.

[d] γε] τε g. m.

[e] ὅθ'] ὅτι e. i. k. l.

[f] οἱ παρὰ τῶν a. παρὰ τῶν h. οἱ περὶ τῶν e. g. i. l. m. vulg. οἱ τῶν.

[g] ἐπειδὴ] om. e. k. l.

[h] διελέχθησαν] διειλέχθησαν d. f. h. i. διειλέχθησαν k.

[i] εἶπον] εἶπόν τε g. i. m. εἰπόντες e. k. l.

[k] αὐτοὺς κελεύσειεν] αὐτὸς κελεύσειεν g. αὐτοὺς κελεύσοι e. k. l. κελεύειν αὐτοὺς i.

[l] ἀπαγγεῖλαι] ἐπαγγεῖλαι e. k. l.

[m] ἑάλω] ἥλω e. k. l. quod est p. 30, 9.

[n] Ὀλυμπιακαῖς] ὀλυμπικαῖς f. h. k. l.

[o] πάλιν δεῦρο λυτρωθείς, ἐδεῖτο [p] ὑμῶν [q] πρεσβευτὴν [r] ἑαυτῷ πρὸς Φίλιππον ἐλέσθαι, ἵν' εἴ πως δύναιτο [s] ἀπολάβοι τὰ λύτρα. πεισθέντες δ' ὑμεῖς [t] προσείλεσθ' αὐτῷ Κτησι-
13 φῶντα πρεσβευτήν. ἐπειδὴ δὲ [u] ἐπανῆκε δεῦρ' ἀπὸ τῆς πρεσβείας ὁ Κτησιφῶν, ἀπήγγειλε πρὸς [x] ὑμᾶς ὑπὲρ ὧν ἐπέμφθη, καὶ πρὸς τούτοις ὅτι φαίη Φίλιππος ἄκων μὲν πολεμῆσαι πρὸς [y] ὑμᾶς, βούλεσθαι δὲ καὶ νῦν ἀπαλλαγῆναι τοῦ πολέμου. εἰπόντος [z] δὲ ταῦτα τοῦ Κτησιφῶντος καὶ πολλήν τινα ἐξαγγείλαντος πρὸς τούτοις φιλανθρωπίαν, καὶ τοῦ [a] δήμου σφόδρα ἀποδεξαμένου καὶ τὸν Κτησιφῶντα [b] ἐπαινέσαντος, [c] ἀντειπόντος δ' οὐδενός, ἐνταῦθα [d] δὴ δίδωσι [e] ψήφισμα Φιλοκράτης ὁ Ἀγνούσιος, [f] καὶ [g] ὁ δῆμος ἅπας [h] ὁμογνωμονῶν ἐχειροτόνησεν, ἐξεῖναι [i] Φιλίππῳ δεῦρο [k] κήρυκα καὶ πρέσβεις πέμπειν ὑπὲρ
30 εἰρήνης. πρότερον μὲν γὰρ καὶ αὐτὸ ταῦτ' ἐκωλύετο ὑπό τινων, οἷς ἦν τοῦτ' ἐπιμελές, ὡς αὐτὸ τὸ πρᾶγμα ἔδειξεν.
14 γράφονται [l] γὰρ οὗτοι παρανόμων τὸ ψήφισμα, Λυκῖνον ἐπὶ τὴν γραφὴν [m] ἐπιγραψάμενοι, καὶ [n] τίμημα ἑκατὸν τάλαντα. καὶ μετὰ ταῦτ' εἰσήγει [o] ἡ γραφὴ εἰς τὸ δικα-
5

[o] πάλιν δεῦρο e. k. l. δεῦρο πάλιν i. vulg. om. πάλιν.
[p] ὑμῶν] ὑμῖν h.
[q] πρεσβευτὴν] πρεσβεύειν τὴν l.
[r] ἑαυτῷ i. ἑαυτῷ καὶ e. k. l. αὐτῶ a. d. f. h. m. vulg. αὐτόν.
[s] ἀπολάβοι] ἀπολάβῃ e. h. ἀπολάβῃ i. ἀπολαίοι d.
[t] προσείλεσθ'] εἵλεσθε e. k. l. προσείλεσθε i. προείλεσθε a. f. g. h. m.
[u] ἐπανῆκε] ἐπανῆλθε a. g. m.
[x] ὑμᾶς] ἡμᾶς k.
[y] ὑμᾶς] ἡμᾶς k. l.
[z] δὲ ταῦτα τοῦ Κτησιφῶντος] om. pr. f.
[a] δήμου] δημοσθένους i.
[b] ἐπαινέσαντος] σφόδρα ἐπαινέσαντος e. i. l.
[c] ἀντειπόντος e. i. k. l.
[d] δὴ e. i. k. l. vulg. ἤδη.
[e] ψήφισμα] τὸ ψήφισμα i.
[f] καὶ] om. e. l.
[g] ὁ] om. i.
[h] ὁμογνωμονῶν] ὁμογνώμων d. m.
[i] Φιλίππῳ δεῦρο a. e. g. i. k. l. vulg. δεῦρο Φιλίππῳ.
[k] κήρυκα] Libri κήρυκας.
[l] γὰρ e. k. l. ceteri δ'.
[m] ἐπιγραψάμενοι] ἐγγραψάμενοι d. f. h.
[n] τίμημα ἑκατὸν e. k. l. τίμημα ἐπέθηκεν ἑκατὸν h. vulg. τίμημα ἐπέθηκαν ἑκατόν.
[o] ἡ] om. e.

στήριον, ἀρρώστως δ' [p] ἔχων ὁ Φιλοκράτης ἐκάλεσεν [q] αὐτῷ συνήγορον [r] τὸν Δημοσθένην, ἀλλ' οὐκ ἐμέ. παρελθὼν δ' ὁ μισοφίλιππος Δημοσθένης κατέτριψε τὴν ἡμέραν [s] ὅλην ἀπολογούμενος· καὶ τὸ τελευταῖον [t] ἀποφεύγει ὁ Φιλοκράτης, ὁ δὲ γραψάμενος τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαμβάνει. καὶ ταῦθ' ὑμεῖς ἅπαντες ἴστε.

15 [u] ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς [v] Ὀλυνθος ἥλω, καὶ πολλοὶ τῶν ἡμετέρων [v] ἐγκατελήφθησαν πολιτῶν, ὧν ἦν [x] Ἰατροκλῆς ὁ [y] Ἐργοχάρους ἀδελφὸς καὶ [z] Εὔκρατος ὁ [a] Στρομβίχου υἱός. ὑπὲρ [b] δὴ τούτων [c] ἱκετηρίας θέντες [d] ἐν τῷ δήμῳ οἱ οἰκεῖοι ἐδέοντο ὑμῶν ἐπιμέλειαν ποιήσασθαι. παρελθόντες δ' [e] αὐτοῖς συνηγόρουν [f] Φιλοκράτης καὶ Δημοσθένης, ἀλλ' οὐκ Αἰσχίνης. καὶ πέμπουσι πρεσβευτὴν Ἀριστόδημον τὸν ὑποκριτὴν πρὸς Φίλιππον, διὰ τὴν γνῶσιν

16 καὶ [g] φιλανθρωπίαν τῆς τέχνης. ὡς δ' [h] ἐπανήκων [i] δεῦρ' ἀπὸ τῆς πρεσβείας [k] ὁ Ἀριστόδημος διά τινας ἀσχολίας 15 οὐ [l] προσήει πρὸς τὴν βουλήν, ἀλλ' ἔφθασεν αὐτὸν [m] Ἰατροκλῆς ἐλθὼν [n] ἐκ Μακεδονίας ἀφεθεὶς ὑπὸ Φιλίππου ἄνευ λύτρων, γενόμενος αἰχμάλωτος, ἐνταῦθ' ἠγανάκτουν πολλοὶ ὅτι τὴν πρεσβείαν οὐκ ἀπήγγειλεν ὁ Ἀριστόδημος,

[p] ἔχων] om. i.
[q] αὐτῷ] ἑαυτῷ e.
[r] τὸν] om. d.
[s] ὅλην] om. e. g. k. l.
[t] ἀποφεύγει] ἀποφεύγει κεφάλαιον e. κεφάλαιον ἀποφεύγει l.
[u] ὑπὸ] ὑπὲρ m.
[v] ἐγκατελήφθησαν] ἐγκατελείφθησαν f. κατελήφθησαν a. e. h. i. k. l.
[x] Ἰατροκλῆς e. k. l. vulg. Στρατοκλῆς.
[y] Ἐργοχάρους] ἐργοχείρους d. ἐρχογάνους m. ἑρμοχάρους e. h.
[z] Εὔκρατος] εὐήρατος d. f.
[a] Στρομβίχου] στροβιχου g. στρομμίχου m.
[b] δὴ e. k. vulg. δέ.
[c] ἱκετηρίας] ἱκετηρίαν a.
[d] ἐν τῷ δήμῳ] om. a. d. f. g. m.
[e] αὐτοῖς] αὐτοὶ d.
[f] Φιλοκρ. καὶ Δημοσθ.] δημοσθ. καὶ φιλοκρ. i.
[g] φιλανθρωπίαν] φιλίαν d. et γρ. a. e. i.
[h] ἐπανήκων] ἐπανῆκεν e. g. i. l. ἐπανῆκον d.
[i] δεῦρο] Addidi inventum in e. i. k. l.
[k] ὁ] om. e. k. l.
[l] προσήει] προσήκει d. l.
[m] Ἰατροκλῆς] vulg. Στρατοκλῆς. Similiter v. 18.
[n] ἐκ] ἀπὸ e. i. k. l.

τοὺς αὐτοὺς λόγους ἀκούοντες [o]τοῦ Ἰατροκλέους [p]περὶ
17 [q]τοῦ Φιλίππου. τελευταῖον δ' [r]εἰς τὴν βουλὴν εἰσελθὼν
[s]Δημοκράτης ὁ [t]Ἀφιδναῖος ἔπεισε τὴν βουλὴν ἀνακαλέ-
σασθαι τὸν Ἀριστόδημον· εἷς δὲ τῶν [u]βουλευτῶν ἦν Δη- 20
μοσθένης ὁ ἐμὸς κατήγορος. παρελθὼν δ' [x]ὁ Ἀριστόδη-
μος πολλήν τινα εὔνοιαν ἀπήγγειλε τοῦ Φιλίππου πρὸς
τὴν πόλιν, καὶ προσέθηκεν ὅτι καὶ σύμμαχος βούλοιτο
τῇ πόλει γενέσθαι. καὶ ταῦτ' οὐκ ἐν τῇ βουλῇ [y]μόνον εἶ-
πεν, ἀλλὰ καὶ ἐν τῷ δήμῳ. κἀνταῦθ' οὐδὲν ἀντεῖπε Δη-
μοσθένης, ἀλλὰ καὶ στεφανῶσαι τὸν Ἀριστόδημον ἔγρα-
18 ψε. [z]ῥηθέντων δὲ τούτων [a]ἐν τῷ δήμῳ [b]ψήφισμα ἔγρα- 25
ψεν ὁ Φιλοκράτης ἑλέσθαι πρέσβεις [c]ὑμᾶς πρὸς Φίλιπ-
πον, ἄνδρας δέκα, οἵτινες διαλέξονται Φιλίππῳ [d]περὶ εἰ-
ρήνης καὶ τῶν κοινῇ [e]ξυμφερόντων Ἀθηναίοις καὶ Φιλίπ-
πῳ. χειροτονουμένων δὲ τῶν δέκα πρέσβεων ἐγὼ μὲν
προεβλήθην ὑπὸ Ναυσικλέους, Δημοσθένης δ' [f]ὑπ' αὐτοῦ
19 Φιλοκράτους, ὁ νυνὶ [g]Φιλοκράτους κατηγορῶν. οὕτω δ' 30
ἦν πρόθυμος εἰς τὰ πράγματα, ὥστε ἐν τῇ βουλῇ γρά-
φει, ἵνα ἀζήμιος ὢν [h]ἡμῖν [i]ὁ Ἀριστόδημος συμπρε-
σβεύῃ, ἑλέσθαι [k]πρέσβεις ἐπὶ τὰς πόλεις ἐν αἷς ἔδει τὸν
Ἀριστόδημον ἀγωνίζεσθαι, οἵτινες ὑπὲρ αὐτοῦ παραιτή-

[o] τοῦ] om. d.
[p] περὶ e. i. k. l. vulg. παρά.
[q] τοῦ ante Φιλίππου om. k.
[r] εἰς τὴν βουλὴν εἰσελθὼν] εἰσελθὼν εἰς τὴν βουλὴν i. k. l.
[s] Δημοκράτης] φιλοκράτης i.
[t] Ἀφιδναῖος] ἀφνιδαῖος e. h. l. m.
[u] βουλευτῶν] βουλευόντων f. h. et γρ. a.
[x] ὁ] Recepi ex e. i. k. l.
[y] μόνον] μόνῃ i. k.
[z] ῥηθέντων] λεχθέντων e. i. k. l.
[a] ἐν τῷ δήμῳ] om. e. i. k. l.
[b] ψήφισμα] ψήφισμά τι e. k. l.
[c] ὑμᾶς] om. e. k. l.
[d] περὶ εἰρήνης] περὶ τῆς εἰρήνης e. i. k. l.
[e] ξυμφερόντων] συμφερόντων i. k. l.
[f] ὑπ' αὐτοῦ] ὑπὸ d.
[g] Φιλοκράτους] om. e. k. l.
[h] ἡμῖν] ὑμῖν a.
[i] ὁ Ἀριστόδημος συμπρεσβεύῃ e. i. k. l. vulg. συμπρεσβεύῃ ὁ Ἀριστόδημος.
[k] πρέσβεις] πρεσβευτὴν a. g. m.

σονται [l]τὰς ζημίας. καὶ ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, λάβε μοι τὰ ψηφίσματα, καὶ τὴν ἐκμαρτυρίαν ἀνάγνωθι [m]τὴν Ἀριστοδήμου, καὶ κάλει πρὸς οὓς [n]ἐξεμαρτύρησεν, ἵν' εἰδῶσιν οἱ δικασταὶ τίς [o]ἦν [p]ὁ [q]τοῦ Φιλοκράτους ἑταῖρος καὶ τίς ὁ τὰς δωρεὰς Ἀριστοδήμῳ φάσκων πείσειν δοῦναι τὸν δῆμον.

[r]ΨΗΦΙΣΜΑΤΑ. [s]ΕΚΜΑΡΤΥΡΙΑ.

20 Ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων ἐγένετο οὐ δι' ἐμοῦ, ἀλλὰ [t]διὰ Δημοσθένους καὶ Φιλοκράτους· ἐν [u]δὲ τῇ πρεσβείᾳ συσσιτεῖν [x]ἡμᾶς ἐσπούδασεν, οὐκ ἐμὲ πείσας ἀλλὰ τοὺς μετ' ἐμοῦ, [y]Ἀγλαοκρέοντα τὸν Τενέδιον, ὃν ἐκ τῶν συμμάχων εἵλεσθε, καὶ Ἰατροκλέα. ἐν δὲ τῇ πορείᾳ παρακελεύεσθαί μέ φησιν [z]αὐτῷ ὅπως τὸ θηρίον κοινῇ [a]φυλάξομεν, τὸν Φιλοκράτην, 40
21 πρᾶγμα λέγων [b]πεπλασμένον· πῶς γὰρ ἂν ἐγὼ Δημοσθένην ἐπὶ Φιλοκράτην παρεκάλουν, ὃν ἤδειν συνειπόντα μὲν Φιλοκράτει [c]ὅτ' ἦν ἡ τῶν παρανόμων γραφή, [d]προβληθέντα δ' εἰς τὴν πρεσβείαν ὑπὸ Φιλοκράτους; πρὸς δὲ τούτοις οὐκ ἐν τοιούτοις [e]ἦμεν λόγοις οἱ συμπρέσβεις, ἀλλ' ὅλην τὴν πορείαν [f]ἠναγκαζόμεθα [g]Δημοσθένην ὑπομέν-

[l] τὰς] om. h.
[m] τὴν] τοῦ i.
[n] ἐξεμαρτύρησεν] ἐξεμαρτύρησαν d.
[o] ἦν] om. e. k. l.
[p] ὁ] om. a. d. f. g. h. m.
[q] τοῦ] om. a. d. f. m.
[r] ΨΗΦΙΣΜΑΤΑ Marklandus. ψήφισμα a. d. i. k. l. m. om. e. g. h.
[s] ΕΚΜΑΡΤΥΡΙΑ] ἐκμαρτυρίαι a. d. ἐκμαρτυρίας m. μαρτυρία i. k. l.
[t] διὰ] om. i.
[u] δὲ] om. g. m.
[x] ἡμᾶς e. i. k. l. vulg. ἡμῖν.
[y] Ἀγλαοκρέοντα] ἀγλαοκρέοντα e.
[z] αὐτῷ] αὐτὸ d.
[a] φυλάξομεν] φυλάξωμεν e. h. i. k. l.
[b] πεπλασμένον] πεπερασμένον e. l.
[c] ὅτ' ἦν ἡ—γραφή] ἐν τῇ—γραφῇ e. k. l.
[d] προβληθέντα] προκληθέντα h.
[e] ἦμεν] οἶμαι e. g. l. m. ἡμῶν d.
[f] ἠναγκαζόμεθα] ἠναγκαζόμεθα οἱ συμπρέσβεις k. l.
[g] Δημοσθένην ὑπομένειν e. i. k. l. vulg. ὑπομένειν Δημοσθένην.

22 εἰν ἀφόρητον [h] ὄντα καὶ βαρὺν ἄνθρωπον· ὃς διασκοπούντων 31
[i] ἡμῶν ὅ τι χρὴ λέγειν [k] ἡμᾶς, τῶν συμπρέσβεων, καὶ Κι-
μωνος εἰπόντος ὅτι φοβοῖτο μὴ δικαιολογούμενος περιγέ-
νοιτο ἡμῶν ὁ Φίλιππος, πηγὰς [l] δὴ λόγων [m] ἔχειν ἀφθό-
νους [n] ἐπηγγέλλετο, καὶ περὶ τῶν δικαίων [o] τῶν ὑπὲρ
Ἀμφιπόλεως καὶ τῆς ἀρχῆς τοῦ πολέμου τοιαῦτα ἐρεῖν
ἔφη ὥστε ἀπορράψειν [p] τὸ Φιλίππου στόμα [q] ὁλοσχοίνῳ 5
ἀβρόχῳ, καὶ πείσειν Ἀθηναίους [r] μὲν καταδέξασθαι
[s] Λεωσθένην, Φίλιππον δ' Ἀθηναίοις Ἀμφιπολιν ἀποδοῦ-
23 ναι. ἵνα δὲ μὴ μακρολογῶ τὴν [t] τούτου διεξιὼν ὑπερηφα-
νίαν, ὡς τάχιστα ἤκομεν [u] εἰς Μακεδονίαν, [x] συνετάξα-
μεν [y] ἡμᾶς αὐτούς, [z] ὅταν προσίωμεν Φιλίππῳ, τοὺς
πρεσβυτάτους πρώτους λέγειν καὶ τοὺς λοιποὺς καθ' ἡλι-
κίαν· ἐτύγχανε δ' [a] ἡμῶν νεώτατος ὤν, ὡς ἔφη, Δημο- 10
24 σθένης. ἐπειδὴ δὲ εἰσεκλήθημεν,—καὶ τούτοις ἤδη [b] μοι
σφόδρα προσέχετε τὸν νοῦν· ἐντεῦθεν γὰρ [c] κατόψεσθε ἀν-
θρώπου φθόνον ὑπερβάλλοντα καὶ δεινὴν δειλίαν ἅμα καὶ
[d] κακοήθειαν, καὶ τοιαύτας ἐπιβουλὰς κατ' ἀνδρῶν συσ-
σίτων καὶ συμπρέσβεων, ἃς οὐδ' [e] ἂν κατὰ τῶν ἐχθίστων
τις εἰκῇ ποιήσαιτο. τοὺς γὰρ τῆς πόλεως ἄλας καὶ τὴν

[h] ὄντα] om. d. f.
[i] ἡμῶν] om. e. k. l.
[k] ἡμᾶς τῶν συμπρέσβεων] Hæc merito suspecta sunt Tayloro et Reiskio. Pro συμπρέσβεων in h. est πρέσβεων.
[l] δὴ] δὲ e. l. δὲ δὴ d. f. g. m. in a lacuna est ante δή: Reiskius τε δή.
[m] ἔχειν ἀφθόνους e. k. l. vulg. ἀφθόνους ἔχειν. Infinitivum om d.
[n] ἐπηγγέλλετο] ἀπηγγέλλετο h.
[o] τῶν] om. e. k. l.
[p] τὸ] τὸ τοῦ e. h. i. k. l.
[q] ὁλοσχοίνῳ] ὅλῳ σχοίνῳ e. k. ὁλωσχοίνῳ l.
[r] μὲν] om. e. k. l.
[s] Λεωσθένην a. d. e. g. h. i. k. l. m. vulg. λεωσθένη.
[t] τούτου] τούτων e.
[u] εἰς] ὡς m.
[x] συνετάξαμεν] συνέταξεν e.
[y] ἡμᾶς] Reiskius πρὸς ἡμᾶς.
[z] ὅταν—πρεσβυτάτους] om. e. k. l.
[a] ἡμῶν] ἡμῖν e. l.
[b] μοι σφόδρα a. d. e. g. h. i. k. l. m. vulg. σφόδρα μοι.
[c] κατόψεσθε] ἄψεσθε a. g. m.
[d] κακοήθειαν καὶ] κακοήθειαν δὲ καὶ i.
[e] ἂν] om. a. d. f. g. h. l.

δημοσίαν τράπεζαν περὶ πλείστου [f] δή φησι ποιεῖσθαι,
25 οὐκ ὢν ἐπιχώριος (εἰρήσεται γάρ) οὐδ' [g] ἐγγενής. ἡμεῖς 15
δέ, οἷς ἱερὰ καὶ τάφοι προγόνων ὑπάρχουσιν ἐν τῇ πατρίδι καὶ διατριβαὶ καὶ συνήθειαι μεθ' [h] ὑμῶν [i] ἐλευθέριοι καὶ γάμοι κατὰ τοὺς νόμους καὶ κηδεσταὶ καὶ τέκνα, Ἀθήνησι μὲν [k] ἦμεν ἄξιοι τῆς [l] ὑμετέρας πίστεως (οὐ γὰρ ἄν ποτε ἡμᾶς εἵλεσθε), ἐλθόντες δ' εἰς Μακεδονίαν [m] ἐξαίφνης ἐγενόμεθα προδόται. Ὁ δὲ οὐδὲν [n] ἔχων ἄπρατον μέρος τοῦ σώματος, [o] οὐδ' ὅθεν τὴν φωνὴν προΐεται, ὡς 20
[p] ὢν Ἀριστείδης [q] ὁ [r] τοὺς φόρους τάξας τοῖς Ἕλλησιν, ὁ δίκαιος ἐπικαλούμενος, δυσχεραίνει καὶ καταπτύει δω-
26 ροδοκίας. [s] ἀκούσατε [t] δὴ τούς τε ἡμετέρους λόγους, οὓς εἴπομεν ὑπὲρ ὑμῶν, καὶ πάλιν [u] οὓς τὸ μέγα ὄφελος τῆς πόλεως εἵρηκε Δημοσθένης, ἵν' ἐφεξῆς καὶ κατὰ μικρὸν πρὸς ἕκαστα τῶν [x] κατηγορημένων ἀπολογήσωμαι. ἐπαινῶ δ' εἰς [y] ὑπερβολὴν ὑμᾶς, ὦ ἄνδρες [z] δικασταί, ὅτι σιγῇ καὶ δικαίως ἡμῶν ἀκούετε· ὥστε ἐάν τι μὴ λύσω 25
τῶν [a] κατηγορημένων, οὐχ ὑμᾶς ἀλλ' ἐμαυτὸν αἰτιάσομαι.

27 Ἐπειδὴ γὰρ οἱ πρεσβύτεροι ταῖς ἡλικίαις ὑπὲρ τῆς πρεσβείας εἰρήκεσαν καὶ καθῆκεν εἰς ἡμᾶς ὁ λόγος,

[f] δή] om. e. i. k. l.
[g] ἐγγενής] εὐγενὴς i. ἐγγεγὼς l. ἐγγενὴς ἡμῖν d. ἐγγενὴς ὑμῖν f.
[h] ὑμῶν] ἡμῶν a. g.
[i] ἐλευθέριοι] ἐλεύθεροι a. e. g. i. k. l. m.
[k] ἦμεν ἄξιοι] ἄξιοι ἦμεν e. l.
[l] ὑμετέρας πίστεως] ἡμετέρας πόλεως ἢ πίστεως i.
[m] ἐξαίφνης ἐγενόμεθα] ἐγενόμεθα ἐξαίφνης e. i. k. l.
[n] ἔχων ἄπρατον e. i. k. l. vulg. ἄπρατον ἔχων. d. f. ἄπρακτον ἔχων.
[o] οὐδ'] οὔθ' f. Totum hoc οὐδ' —προΐεται om. e. k. l.
[p] ὢν] ἂν g.
[q] ὁ] καὶ i.
[r] τοὺς φόρους τάξας] τάξας φόρους a. g. m.
[s] ἀκούσατε] ἀκούσετε i.
[t] δή] δὲ e. k. l. om. f.
[u] οὓς] οἷς καὶ h.
[x] κατηγορημένων] κατηγορουμένων g. l. m. κατηγορημάτων h.
[y] ὑπερβολὴν ὑμᾶς e. i. k. l. vulg. ὑπερβολὴν πάντας ὑμᾶς.
[z] δικασταί] Addidi sumptum ab e. h. i. k. l.
[a] κατηγορημένων] κατηγορουμένων g. l. m.

[b] τὰ μὲν καθ' ἕκαστα τῶν ἐκεῖ ῥηθέντων ὑπ' ἐμοῦ καὶ τοὺς πρὸς ταῦτα [c] λεχθέντας ὑπὸ Φιλίππου λόγους ἐν τῷ δήμῳ σαφῶς ἀπήγγειλα πρὸς ἅπαντας Ἀθηναίους, [d] νυνὶ δὲ πειράσομαι διὰ [e] κεφαλαίων ὑμᾶς ὑπομιμνήσκειν. 30
28 πρῶτον μὲν γὰρ [f] πρὸς αὐτὸν διεξῆλθον τὴν πατρικὴν εὔνοιαν καὶ τὰς εὐεργεσίας ἃς ὑμεῖς ὑπῆρξατε Ἀμύντᾳ τῷ Φιλίππου πατρί, οὐδὲν [g] παραλείπων ἀλλ' ἐφεξῆς ἅπαντα ὑπομιμνήσκων, δεύτερον δὲ ὧν αὐτὸς ἦν μάρτυς εὖ παθών. Ἀμύντου γὰρ [h] νεωστὶ τετελευτηκότος καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν, [i] Περδίκκου δὲ καὶ Φιλίππου παίδων ὄντων, Εὐρυδίκης δὲ τῆς μητρὸς αὐτῶν 35
[k] προδιδομένης ὑπὸ τῶν δοκούντων [l] αὐτοῖς εἶναι φίλων,
29 Παυσανίου δ' ἐπὶ τὴν ἀρχὴν [m] αὐτῶν κατιόντος, φυγάδος μὲν ὄντος, τῷ καιρῷ δ' ἰσχύοντος, πολλῶν δ' αὐτῷ συμπραττόντων, [n] ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφότος δὲ Ἀνθεμοῦντα καὶ [o] Θέρμην καὶ Στρέψαν καὶ [p] ἄλλ' ἄττα χωρία, Μακεδόνων [q] δὲ οὐχ ὁμονοούντων ἀλλὰ τῶν πλείστων τὰ Παυσανίου φρονούντων, ἐπὶ τῶν καιρῶν τούτων ἐχειροτόνησαν [r] Ἀθηναῖοι στρατηγὸν [s] ἐπ' Ἀμφί- 40
πολιν [t] Ἰφικράτην, Ἀμφιπολιτῶν [u] αὐτῶν ἐχόντων [x] τότε
30 τὴν πόλιν καὶ τὴν χώραν καρπουμένων. ἀφικομένου δ' [y] Ἰφι-

[b] τὰ] καὶ τὰ m.
[c] λεχθέντας] ῥηθέντας e.i.k.l.m.
[d] νυνὶ] νῦν e. i. k. l.
[e] κεφαλαίων] κεφαλαίου i.
[f] πρὸς αὐτὸν] om. k.
[g] παραλείπων] παραλιπὼν e. h. i. k. l.
[h] νεωστὶ τετελευτηκότος] τετελευτηκότος νεωστὶ e.
[i] Περδίκκου] περδίκου d. e.
[k] προδιδομένης] προδεδομένης a. d. f. g. h. i. m.
[l] αὐτοῖς] αὐτῆς e. i. k. l.
[m] αὐτῶν] αὐτὸν e.
[n] ἔχοντος δὲ] ἔχοντός τε e.
[o] Θέρμην e. i. k. vulg. Θέρμαν.
[p] ἄλλ' ἄττα] ἄλλα τα i.
[q] δὲ] om. e. k. l.
[r] Ἀθηναῖοι στρατηγὸν a.e.g.k.m. οἱ ἀθηναῖοι στρατηγὸν i. vulg. στρατηγὸν Ἀθηναῖοι.
[s] ἐπ'] εἰς e. i. k. l.
[t] Ἰφικράτην] Φιλοκράτην e.
[u] αὐτῶν] om. k. l.
[x] τότε post χώραν ponunt a. b. f. g. h. m.
[y] Ἰφικράτους εἰς τοὺς τόπους e. i. k.l. vulg. εἰς τοὺς τόπους Ἰφικράτους.

κράτους εἰς τοὺς τόπους μετ' ὀλίγων τὸ πρῶτον νεῶν, ἐπὶ [z] κατασκοπῇ μᾶλλον τῶν πραγμάτων ἢ πολιορκίᾳ τῆς πόλεως, [a] ἐνταῦθ', ἔφην ἐγώ, μετεπέμψατο αὐτὸν Εὐρυδίκη [b] ἡ μήτηρ ἡ σή, καὶ ὥς γε δὴ λέγουσιν οἱ παρόντες πάντες, [c] Περδίκκαν μὲν [d] τὸν ἀδελφὸν τὸν σὸν 32
καταστήσασα [e] εἰς τὰς χεῖρας [f] τὰς Ἰφικράτους, σὲ δὲ εἰς τὰ [g] γόνατα τὰ ἐκείνου θεῖσα παιδίον ὄντα, [h] εἶπεν ὅτι "Ἀμύντας ὁ πατὴρ τῶν [i] παίδων τούτων ὅτ' ἔζη υἱὸν
" ἐποιήσατό σε, τῇ δὲ Ἀθηναίων πόλει οἰκείως ἐχρήσατο,
31 " ὥστε [k] συμβαίνει σοι καὶ [l] ἰδίᾳ τῶν [m] παιδίων τούτων
" γεγενῆσθαι [n] ἀδελφῷ καὶ δημοσίᾳ [o] φίλῳ [p] ἡμῖν εἶναι." 5
καὶ μετὰ ταῦτα [q] ἤδη δέησιν ἰσχυρὰν [r] ἐποιεῖτο καὶ [s] ὑπὲρ αὐτῆς καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῆς ἀρχῆς καὶ ὅλως ὑπὲρ τῆς σωτηρίας. ἀκούσας δὲ ταῦτα Ἰφικράτης ἐξήλασε [t] Παυσανίαν ἐκ Μακεδονίας καὶ τὴν δυναστείαν
32 ὑμῖν ἔσωσε. [u] καὶ μετὰ ταῦτα [x] εἶπον περὶ Πτολεμαίου, ὃς ἦν ἐπίτροπος καθεστηκὼς τῶν πραγμάτων, ὡς ἀχάριστον καὶ δεινὸν [y] ἔργον διεπράξατο, διδάσκων ὅτι πρῶτον μὲν ὑπὲρ Ἀμφιπόλεως ἀντέπραττε τῇ πόλει καὶ 10
πρὸς Θηβαίους διαφερομένων Ἀθηναίων συμμαχίαν ἐποι-

[z] κατασκοπῇ] κατασκοπὴν k.
[a] ἐνταῦθ'] ἐντεῦθεν g.
[b] ἡ μήτηρ ἡ σὴ] ἡ σὴ μήτηρ e.k.l.
[c] Περδίκκαν] Περδίκαν e. i. m. qui sic plerumque.
[d] τὸν ἀδελφὸν τὸν σὸν] τὸν σὸν ἀδελφὸν e.
[e] εἰς τὰς χεῖρας] εἰς χεῖρας i.
[f] τὰς Ἰφικράτους] τοῦ ἰφικράτους d. e. l.
[g] γόνατα τὰ ἐκείνου] γόνατα ἐκείνου e. g. i. k. l.
[h] εἶπεν] εἰπεῖν e. h. k. l.
[i] παίδων] παιδίων e. i. k.
[k] συμβαίνει] συμβαίνειν e. k. l.
[l] ἰδίᾳ] διὰ d.
[m] παιδίων] παίδων a. e. g. k. m.
[n] ἀδελφῷ] ἀδελφὸς m.
[o] φίλῳ] φίλον e. φίλων d. l.
[p] ἡμῖν] ἡμῶν e.
[q] ἤδη] ἡμῖν f.
[r] ἐποιεῖτο] ἐποιήσατο d. f. h.
[s] ὑπὲρ αὐτῆς καὶ ὑπὲρ ὑμῶν e. i. k.l. vulg. ὑπὲρ ὑμῶν καὶ ὑπὲρ αὐτῆς.
[t] Παυσανίαν] τὸν παυσανίαν i.
[u] καὶ μετὰ] om. g. μετὰ m. μετὰ δὲ γρ. m.
[x] εἶπον] εἶπε g. i. m.
[y] ἔργον] πρᾶγμα h.

ήσατο, καὶ πάλιν [z] ὡς Περδίκκας εἰς τὴν ἀρχὴν κατα-
33 στὰς ὑπὲρ Ἀμφιπόλεως ἐπολέμησε τῇ πόλει. καὶ τὴν
[a] ὑμετέραν [b] ἠδικημένων [c] ὅμως φιλανθρωπίαν [d] διεξῇειν,
λέγων ὅτι κρατοῦντες τῷ πολέμῳ [e] Περδίκκαν Καλ-
λισθένους [f] ἡγουμένου Ἀθηναίων ἀνοχὰς [g] πρὸς αὐτὸν ἐποι-
ήσασθε, ἀεί τινος προσδοκῶντες [h] τῶν δικαίων τεύξεσθαι. καὶ τὴν διαβολὴν ταύτην ἐπειρώμην [i] λύειν, διδάσκων ὅτι Καλλισθένην ὁ δῆμος ἀπέκτεινεν οὐ διὰ τὰς πρὸς [k] Περδίκκαν ἀνοχὰς ἀλλὰ δι' ἑτέρας [l] ἁμαρτίας. καὶ πάλιν οὐκ ὤκνουν κατ' αὐτοῦ λέγειν [m] Φιλίππου, ἐπιτιμῶν ὅτι
34 τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου. καὶ πάντων [n] ὧν εἴποιμι, [o] μάρτυράς τὰς ἐκείνων ἐπιστολὰς παρειχόμην καὶ τὰ ψηφίσματα τοῦ δήμου καὶ τὰς Καλλισθένους [p] ἀνοχάς. περὶ μὲν οὖν τῆς ἐξ ἀρχῆς κτή-
σεως τῆς χώρας καὶ τῶν καλουμένων ἐννέα ὁδῶν καὶ περὶ τῶν Θησέως παίδων, ὧν Ἀκάμας [q] λέγεται φερνὴν ἐπὶ τῇ γυναικὶ λαβεῖν τὴν χώραν [r] ταύτην, τότε μὲν [s] ἥρμοττέ τε λέγειν καὶ [t] ἐρρήθη ὡς ἐνδεχέτο ἀκριβέστατα, [u] νυνὶ δὲ ἴσως [x] ἀνάγκη συντέμνειν τοὺς λόγους· ἃ δὲ ἦν τῶν σή-

[z] ὡς] ὁ e. k. l.
[a] ὑμετέραν] ἡμετέραν e. i. l.
[b] ἠδικημένων] ἠδικημένην e.
[c] ὅμως] ante participium ponit i. ὅλως f.
[d] διεξῇειν] διεξῇει g.
[e] Περδίκκαν] περδίκα e.
[f] ἡγουμένου Ἀθηναίων e.i.k.l. Ἀθηναίου ἡγουμένου h. vulg. Ἀθηναίων ἡγουμένου.
[g] πρὸς αὐτὸν ἐποιήσασθε] ἐποιήσασθε πρὸς αὐτὸν i.
[h] τῶν δικαίων] τῶ δικαίω e.
[i] λύειν e. i. k. l. vulg. διαλύειν.
[k] Περδίκκαν] τὸν περδίκκαν h.
[l] ἁμαρτίας] αἰτίας a. f. g. h. m. et γρ. i.
[m] Φιλίππου] φιλίππῳ a.d.f.g.h.m.
[n] ὧν εἴποιμι e. k. l. vulg. ὧν ἂν εἴποιμι.
[o] μάρτυρας] μαρτυρίας e. h. l.
[p] ἀνοχὰς] ἐνοχὰς d.
[q] λέγεται φερνὴν] φερνὴν λέγεται i. λέγεται φέρνην m. qui in margine γρ. φερνὴν ἀξυτόνως.
[r] ταύτην] αὐτὴν d. f.
[s] ἥρμοττέ τε] ἁρμόττετε i. vulg. ἥρμοττε.
[t] ἐρρήθη a. e. g. i. k. l. m. et correctus d. vulg. ἐῤῥέθη.
[u] νυνὶ] νῦν e. l.
[x] ἀνάγκη συντέμνειν] συντέμνειν ἀνάγκη g. m.

μείων οὐκ ἐν τοῖς ἀρχαίοις μύθοις ἀλλ' ἐφ' [y] ἡμῶν γε- 25
35 γενημένα, τούτων [z] ἐπεμνήσθην. [a] συμμαχίας γὰρ Λακε-
δαιμονίων καὶ τῶν ἄλλων Ἑλλήνων [b] συνελθούσης, εἷς ὢν
[c] τούτων Ἀμύντας [d] ὁ Φιλίππου πατὴρ καὶ πέμπων [e] σύν-
εδρον καὶ τῆς [f] καθ' αὑτὸν ψήφου κύριος ὢν ἐψηφίσατο
Ἀμφίπολιν [g] τὴν Ἀθηναίων [h] συνεξαιρεῖν μετὰ τῶν ἄλλων
Ἑλλήνων Ἀθηναίοις. καὶ [i] τούτων τὸ κοινὸν δόγμα τῶν
Ἑλλήνων καὶ τοὺς ψηφισαμένους ἐκ τῶν δημοσίων
36 [k] γραμμάτων μάρτυρας [l] παρειχόμην. ὧν δὲ Ἀμύντας 30
[m] ἀπέστη ὁ Φιλίππου πατὴρ ἐναντίον τῶν Ἑλλήνων ἁπάν-
των οὐ μόνον [n] λόγοις ἀλλὰ καὶ ψήφῳ, τούτων, ἔφην
ἐγώ, σὲ τὸν ἐξ ἐκείνου [o] γεγενημένον οὐκ ἔστι δίκαιον
ἀντιποιεῖσθαι. εἰ δ' ἀντιποιῇ κατὰ πόλεμον λαβὼν εἰ-
κότως ἔχειν, εἰ μὲν πρὸς ἡμᾶς πολεμήσας [p] τὴν πόλιν
δορυάλωτον εἶλες, κυρίως ἔχεις τῷ τοῦ πολέμου νόμῳ
κτησάμενος· εἰ δ' Ἀμφιπολίτας [q] ἀφείλου τὴν Ἀθηναίων 35
πόλιν, [r] οὐ [s] τἀκείνων ἔχεις ἀλλὰ τὴν Ἀθηναίων χώραν.
37 Ῥηθέντων [t] δὲ καὶ τούτων καὶ ἑτέρων λόγων ἤδη καθῆ-
κεν εἰς Δημοσθένην τὸ τῆς πρεσβείας μέρος, καὶ πάντες

[y] ἡμῶν] ὑμῶν e.

[z] ἐπεμνήσθην] ἐπιμνησθήσομαι H. Wolfius.

[a] συμμαχίας] εἰς συμμαχίας k. l. συμμαχίαν addita a rec. manu præpositione e.

[b] συνελθούσης] συνελθόντων e. k. l.

[c] τούτων] ἐκ τούτων e. l.

[d] ὁ Φιλίππου πατὴρ] ὁ πατὴρ Φιλίππου e. i. k. l.

[e] σύνεδρον] συνέδριον e.

[f] καθ' αὑτὸν] καθ' αὐτὸν l. κατ' αὐτοῦ i.

[g] τὴν] τῶν i. l.

[h] συνεξαιρεῖν] συνεξαίρειν h. k. l.

[i] τούτων] τοῦτο a. d. g. i.

[k] γραμμάτων] πραγμάτων i.

[l] παρειχόμην d. e. f. i. k. l. vulg. παρεσχόμην.

[m] ἀπέστη] ἐτέστη d.

[n] λόγοις] ἐν λόγοις g. m. λόγῳ k. τῷ λόγῳ e. i. l.

[o] γεγενημένον] γεγεννημένον d.

[p] τὴν πόλιν δορυάλωτον e. i. k. l. δοριάλωτον τὴν πόλιν m. δωριάλωτον τὴν πόλιν f. vulg. δορυάλωτον τὴν πόλιν.

[q] ἀφείλου] ἀφείλω f.

[r] οὐ] οὐχὶ k. l.

[s] τἀκείνων] τὰ κείνων e. vulg. τὰ ἐκείνων.

[t] δὲ καὶ τούτων] δὲ τούτων a. d. g. h. m.

προσεῖχον ὡς ὑπερβολάς τινας [u]δυνάμεως ἀκουσόμενοι λόγων· καὶ γὰρ πρὸς αὐτὸν τὸν Φίλιππον, ὡς ἦν ὕστερον [x]ἀκούειν, καὶ πρὸς τοὺς ἑταίρους [y]ἐξηγγέλθη αὐτοῦ ἡ τῶν ἐπαγγελιῶν ὑπερβολή. οὕτω δὲ ἁπάντων διακειμένων πρὸς τὴν ἀκρόασιν φθέγγεται τὸ θηρίον τοῦτο [z]προοίμιόν τι σκοτεινόν τε καὶ τεθνηκὸς δειλίᾳ, καὶ μικρὸν προαγαγὼν ἄνω τῶν πραγμάτων ἐξαίφνης ἐσίγησε καὶ διηπορήθη, [a]τελευτῶν δὲ ἐκπίπτει [b]ἐκ τοῦ λόγου. ἰδὼν δὲ αὐτὸν ὁ Φίλιππος ὡς διέκειτο, θαῤῥεῖν [c]τε [d]παρεκελεύετο καὶ μὴ νομίζειν, ὥσπερ ἐν τοῖς θεάτροις, διὰ τοῦτο [e]οἴεσθαί τι πεπονθέναι, ἀλλ' ἡσυχῇ καὶ κατὰ μικρὸν ἀναμιμνήσκεσθαι καὶ λέγειν ὡς προείλετο. ὁ δ' [f]ὡς ἅπαξ ἐταράχθη καὶ τῶν γεγραμμένων [g]διεσφάλη, οὐδ' ἀναλαβεῖν [h]ἔτι αὐτὸν ἠδυνήθη, ἀλλὰ καὶ [i]πάλιν [k]ἐπιχειρήσας λέγειν ταὐτὸν ἔπαθεν. ὡς δ' ἦν σιωπή, μεταστῆναι ἡμᾶς ὁ κῆρυξ [l]ἐκέλευσεν.

39 Ἐπειδὴ δ' ἐφ' ἡμῶν αὐτῶν οἱ [m]συμπρέσβεις ἐγενόμεθα, σφόδρα πάνυ σκυθρωπάσας ὁ χρηστὸς [n]οὑτοσὶ Δημοσθένης ἀπολωλεκέναι [o]με ἔφη τὴν πόλιν καὶ τοὺς συμμάχους. ἐκπλαγέντος δὲ οὐκ ἐμοῦ [p]μόνον ἀλλὰ [q]καὶ

[u] δυνάμεως] om. pr. i. post ἀκουσόμενοι ponit h.

[x] ἀκούειν] ἀκοῦσαι e. k. l.

[y] ἐξηγγέλθη αὐτοῦ] ἐξηγγέλλετο αὐτοῦ e. ἐξηγγέλλετο αὐτοῦ k. l. vulg. αὐτοῦ ἐξηγγέλθη. Malim ἐξήγγελτο.

[z] προοίμιόν τι σκοτεινόν τε καὶ τεθνηκὸς] προοίμιον σκοτεινὸν καὶ τεθνηκὸς a. g. h. m. προοίμιον σκοτεινόν τι καὶ τεθνηκὸς d. f. προοίμιόν τε τεθνηκός τι καὶ σκοτεινὸν e. k. l. vulg. προοίμιον σκοτεινόν τε καὶ τεθνηκός.

[a] τελευτῶν] τελευταῖον i.

[b] ἐκ] om. a.

[c] τε] om. g. m.

[d] παρεκελεύετο] ἐκελεύετο d.

[e] οἴεσθαι] ἔσεσθαι correctus a.

[f] ὡς ἅπαξ] εἰσάπαξ d.

[g] διεσφάλη] παρεσφάλη i.

[h] ἔτι] om. a. d. f. g. h. m. post αὐτὸν ponit i.

[i] πάλιν] πάλαι i.

[k] ἐπιχειρήσας λέγειν e. i. k. l. vulg. λέγειν ἐπιχειρήσας.

[l] ἐκέλευσεν e. i. k. l. vulg. ἐκέλευεν.

[m] συμπρέσβεις] πρέσβεις i.

[n] οὑτοσὶ] οὗτος a. f. g. m.

[o] με] μὲν i.

[p] μόνον] μόνου a. d.

[q] καὶ] om. l.

τῶν συμπρέσβεων [r] ἁπάντων, καὶ τὴν αἰτίαν πυνθανομένων δι' ἣν ταῦτ' εἶπεν, ἤρετό με εἰ τῶν Ἀθήνησι πραγμάτων ἐπιλέλησμαι, καὶ τὸν δῆμον καταπεπονημένον
40 καὶ σφόδρα ἐπιθυμοῦντα [s] εἰρήνης [t] εἰ μὴ μέμνημαι. "ἡ "μέγα φρονεῖς" [u] ἔφη "ἐπὶ ταῖς ἐψηφισμέναις [x] μὲν "πεντήκοντα ναυσίν, [y] οὐδέποτε δὲ πληρωθησομέναις; "οὕτω γὰρ [z] ἠρέθικας Φίλιππον καὶ τοιαῦτα εἴρηκας, ἐξ "ὧν οὐκ εἰρήνη γένοιτ' ἂν ἐκ πολέμου, ἀλλ' ἐξ εἰρήνης "πόλεμος ἀκήρυκτος." ἀρχομένου [a] δ' ἐμοῦ πρὸς ταῦτα ἀντιλέγειν ἐκάλουν ἡμᾶς οἱ ὑπηρέται [b] οἱ τοῦ Φιλίππου.
41 ὡς δ' [c] εἰσήλθομεν καὶ [d] ἐκαθεζόμεθα, ἐξ ἀρχῆς πρὸς ἕκαστον τῶν εἰρημένων [e] ἐνεχείρει τι λέγειν ὁ Φίλιππος, πλείστην δὲ [f] εἰκότως ἐποιήσατο διατριβὴν πρὸς τοὺς ἐμοὺς λόγους (ἴσως γὰρ οὐδὲν τῶν ἐνόντων εἰπεῖν, ὥς γε οἶμαι, [g] παρέλιπον) καὶ πολλάκις μου τοὔνομα ἐν τοῖς λόγοις [h] ὠνόμαζε· πρὸς δὲ [i] Δημοσθένη τὸν οὕτω καταγελάστως ἀπαλλάξαντα οὐδ' ὑπὲρ ἑνὸς οἶμαι διελέχθη.
42 τοῦτο [k] δ' ἄρ' ἦν ἀγχόνη καὶ λύπη τούτῳ. ἐπειδὴ δὲ κατέστρεψεν εἰς φιλανθρωπίαν τοὺς [l] λόγους Φίλιππος, καὶ τὸ συκοφάντημα ὃ προειρήκει κατ' ἐμοῦ πρὸς τοὺς συμπρέσβεις οὗτος, ὡς [m] ἐσομένου πολέμου καὶ [n] διαφορᾶς [o] αἰτίου, διέπιπτεν αὐτῷ, ἐνταῦθα ἤδη καὶ παντελῶς

[r] ἁπάντων] πάντων i.
[s] εἰρήνης d. e. f. h. k. l. vulg. τῆς εἰρήνης.
[t] εἰ μὴ] οὐ e. k. l.
[u] ἔφη] om. i.
[x] μὲν] om. e. k. l.
[y] οὐδέποτε δὲ] οὐδεπώποτε e. k. l.
[z] ἠρέθικας] ἠρέθηκας h.
[a] δ' ἐμοῦ e. k. l. vulg. δέ μου.
[b] οἱ ante τοῦ om. i.
[c] εἰσήλθομεν e. i. k. l. vulg. ἦλθομεν.
[d] ἐκαθεζόμεθα] ἐκαθιζόμεθα e. l.
[e] ἐνεχείρει] ἐπεχείρει i.
[f] εἰκότως] εἰκότος d.
[g] παρέλιπον] παρέλειπον d.i. παρέλιπε e.
[h] ὠνόμαζε] ὠνομάζετο e. i. k. l.
[i] Δημοσθένη] Δημοσθένην a. e. l.
[k] δ' ἄρ' ἦν e. δὲ ἦν ἄρα a. g. i. m. vulg. δὲ ἄρα ἦν.
[l] λόγους Φίλιππος] λόγους· εἶπε γὰρ εἰρήνην ποιῆσαι φίλιππος i. Ipsum Φίλιππος om. k. l.
[m] ἐσομένου] ἐπομένου l.
[n] διαφορᾶς] διαφορὰ h.
[o] αἰτίου] ἐκ τοῦ ἐναντίου e. h. i. k. l. m. ἀντὶ εἰρήνης ἐκ τοῦ ἐναντίου g.

ἐξιστάμενος αὑτοῦ καταφανὴς ἦν, ὥστε [p] καὶ κληθέντων ἡμῶν ἐπὶ [q] ξένια δεινῶς ἀσχημονεῖν.

43 Ἀφορμώντων δ' ἡμῶν [r] ἐκ τῆς πρεσβείας οἴκαδε, ἐξαίφνης κατὰ τὴν ὁδὸν παραδόξως καὶ φιλανθρώπως πρὸς ἕκαστον διελέγετο. ὅ τι μὲν [s] οὖν ἦν ποθ' ὁ κέρκωψ ἢ τὸ καλούμενον παιπάλημα ἢ τὸ παλίμβολον ἢ τὰ τοιαῦτα ῥήματα, οὐκ ἤδειν πρότερον· [t] νυνὶ δ' ἐξηγητὴν 44 τοῦτον λαβὼν τῆς [u] πάσης κακοηθείας μεμάθηκα. διαλαμβάνων γὰρ ἕκαστον ἡμῶν ἐν μέρει τῷ μὲν ἔρανον συστήσειν [x] ἐπηγγέλλετο καὶ βοηθήσειν τοῖς ἰδίοις, τὸν δὲ εἰς [y] στρατηγίαν καταστήσειν· ἐμοὶ δὲ παρακολουθῶν, καὶ τὴν [z] φύσιν μακαρίζων [a] καὶ τοὺς λόγους οὓς εἶπον ἐγκωμιάζων, πολὺς ἦν [b] τοῖς ἐπαίνοις καὶ ἐπαχθής. συνδειπνούντων δ' ἡμῶν ἁπάντων ἐν [c] Λαρίσσῃ [d] εἰς αὐτὸν μὲν ἔσκωπτε καὶ τὴν ἀπορίαν τὴν ἐν τῷ λόγῳ συμβᾶσαν [e] ἑαυτῷ, τὸν δὲ Φίλιππον τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων 45 [f] ἔφη [g] πάντων εἶναι δεινότατον. συναποφηναμένου [h] δὲ κἀμοῦ τι τοιοῦτον, [i] ὡς μνημονικῶς εἴποι πρὸς τὰ παρ' ἡμῶν ῥηθέντα, Κτησιφῶντος δέ, [k] ὅσπερ ἦν ἡμῶν [l] πρεσβύτατος, ὑπερβολήν τινα [m] ἑαυτοῦ παλαιότητος καὶ [n] πλήθους ἐτῶν εἰπόντος, καὶ προσθέντος ὡς ἐν τοσούτῳ χρόνῳ

[p] καὶ post ὥστε om. e. k. l.
[q] ξένια] ξενίᾳ e. f. ξενίαν d.
[r] ἐκ τῆς πρεσβείας οἴκαδε e.i.k.l. vulg. οἴκαδε ἐκ τῆς πρεσβείας.
[s] οὖν ἦν ποθ' ὁ a. g. h. m. οὖν ποτ' ἦν ὁ d. f. i. οὖν τί ποτ' ἦν ὁ e. k. vulg. οὖν δήποτ' ἦν ὁ.
[t] νυνὶ d. e. ceteri νῦν.
[u] πάσης] ἁπάσης a. g. i. m.
[x] ἐπηγγέλλετο] ἐπηγγείλατο e. ἐπηγγείλατο i.
[y] στρατηγίαν] στρατηγίας e. k.
[z] φύσιν] φύσιν μου i.
[a] καὶ τοὺς λ. οὓς εἶπον ἐγκ.] om. e. h. k. m.
[b] τοῖς] ἐν τοῖς i.
[c] Λαρίσσῃ] λαρίσῃ pr. a.
[d] εἰς] om. d. e. f. h. k. m.
[e] ἑαυτῷ] αὐτῷ e.
[f] ἔφη ante τῶν ponit e.
[g] πάντων ante ἀνθρώπων ponit i.
[h] δὲ] om. e. k.
[i] ὡς] ὡς καὶ a. g.
[k] ὅσπερ] ὥσπερ i. l. m.
[l] πρεσβύτερος] πρεσβύτατος pr. h.
[m] ἑαυτοῦ] ἑαυτῷ h.
[n] πλήθους] πλῆθος e. h.

καὶ βίῳ οὐ πώποθ' οὕτως ἡδὺν οὐδ' ἐπαφρόδιτον ἄνθρωπον ἑωρακὼς εἴη, ἀναχρτήσας ὁ Σίσυφος ὅδε τὰς χεῖρας
46 "ταῦτα μέντοι" [o]ἔφη "ὦ Κτησιφῶν οὔτ' ἂν σὺ πρὸς τὸν "δῆμον εἴποις, οὔτ' [p]ἂν οὗτος" ἐμὲ δὴ λέγων "τολμή- "σειεν εἰπεῖν πρὸς Ἀθηναίους [q]ὡς ὁ Φίλιππος δεινὸς εἰ- "πεῖν καὶ μνημονικός." ἀναισθήτως δὲ ἡμῶν ἐχόντων καὶ τὴν [r]ἐπιβουλὴν οὐ [s]προορωμένων ἣν αὐτίκα ἀκούσεσθε, εἰς συνθήκην τινὰ ἡμᾶς [t]κατέκλεισεν ὑπὲρ τοῦ 40
ταῦτ' ἐρεῖν πρὸς ὑμᾶς. ἐμοῦ δὲ καὶ δέησίν [u]τινα ἰσχυρὰν ἐδεήθη μὴ παραλιπεῖν, ἀλλ' εἰπεῖν ὡς ὑπὲρ Ἀμφιπόλεώς τι καὶ Δημοσθένης [x]εἴποι.
47 Μέχρι μὲν οὖν τούτων οἱ [y]συμπρέσβεις εἰσί μοι μάρτυρες, οὓς προπηλακίζων [z]οὗτος καὶ διαβάλλων ἐν τῇ κατηγορίᾳ διατετέλεκε· τῶν δ' ἐπὶ τοῦ βήματος παρ' ὑμῖν λόγων ὑμεῖς ἀκηκόατε, ὥστε οὐκ ἐνέσται μοι ψεύδεσθαι. δέομαι δὲ ὑμῶν [a]προσεπιπονῆσαι [b]ἀκούοντας 34
καὶ τὴν λοιπὴν διήγησιν. ὅτι μὲν γὰρ ἕκαστος ὑμῶν ποθεῖ τὰ περὶ Κερσοβλέπτην ἀκούειν καὶ τὰς περὶ Φωκέων [c]αἰτίας, σαφῶς οἶδα, καὶ πρὸς ταῦτα σπεύδω· ἀλλ' ἐὰν μὴ τὰ πρὸ τούτων ἀκούσητε, οὐδ' ἐκείνοις ὁμοίως παρακολουθήσετε. ἐὰν [d]δ' ἐμοὶ τῷ κινδυνεύοντι [e]εἰπεῖν δῶτε ὡς βούλομαι, καὶ σῶσαί με, [f]εἰ μηδὲν 5
ἀδικῶ, δυνήσεσθε, ἱκανὰς [g]εἰληφότες ἀφορμάς, καὶ [h]θε-

[o] ἔφη] om. g. post Κτησιφῶν ponit e.
[p] ἂν ante οὗτος om.
[q] ὡς ὁ d. e. f. h. k. l. vulg. ὡς ἦν ὁ. Articulum om. a. g. i.
[r] ἐπιβουλὴν] βουλὴν e. l. m.
[s] προορωμένων] προορωμένων ἡμῶν i.
[t] κατέκλεισεν] κατέκλησεν d.
[u] τινὰ] om. a. g. i. m.
[x] εἴποι] εἰπεῖ i.
[y] συμπρέσβεις] πρέσβεις pr. m.
[z] οὗτος] om. e. k. l.
[a] προσεπιπονῆσαι] προσεπινοῆσαι i. et pr. d.
[b] ἀκούοντας καὶ τὴν λοιπὴν] καὶ τὴν λοιπὴν ἀκούοντας i.
[c] αἰτίας] κατηγορίας i.
[d] δ' ἐμοὶ] δέ μοι i.
[e] εἰπεῖν δῶτε] δῶτε εἰπεῖν i.
[f] εἰ] ἢν e. l. ὡς i.
[g] εἰληφότες ἀφορμὰς] ἀφορμὰς εἰληφότες i.
[h] θεάσασθαι] θεάσασθε e. f. h. θεάσασθε[αι] k.

ἀσασθαι ἐκ τῶν ὁμολογουμένων [i] καὶ [k] τὰ ἀντιλεγόμενα.

48 Ὡς γὰρ δεῦρ' ἤλθομεν καὶ πρὸς τὴν βουλὴν ἐπὶ κεφαλαίων τὴν πρεσβείαν ἀπηγγείλαμεν καὶ τὴν ἐπιστολὴν ἀπέδομεν τὴν παρὰ Φιλίππου, ἐπαινέτης ἦν ἡμῶν Δημοσθένης πρὸς τοὺς [l] βουλεύοντας, καὶ τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν συγχαίρειν τῇ πόλει ὅτι τοιούτους ἄνδρας [m] ἐπὶ τὴν [n] πρεσβείαν [o] ἐξέπεμψεν, οἳ καὶ τοῖς λόγοις καὶ τῇ πίστει λέγοντες [p] ἦσαν ἄξιοι τῆς πόλεως.

49 ὑπὲρ ἐμοῦ δὲ εἰπέ τι τοιοῦτον, ὡς οὐ [q] ψευσαίμην τὰς τῶν ἐλομένων με ἐπὶ τὴν πρεσβείαν ἐλπίδας. τέλος δὲ πάντων [r] ἔγραψεν ἡμᾶς [s] στεφανῶσαι [t] θαλλοῦ [u] ἕκαστον εὐνοίας ἕνεκα τῆς εἰς τὸν δῆμον καὶ καλέσαι ἐπὶ δεῖπνον [x] εἰς τὸ πρυτανεῖον εἰς αὔριον. ὅτι δ' [y] οὐδὲν ψεῦδος εἴρηκα πρὸς ὑμᾶς, λαβέτω μοι τὸ ψήφισμα ὁ γραμματεὺς καὶ τὰς τῶν συμπρέσβεων μαρτυρίας ἀναγνώτω.

[z] ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ.

50 Ἐπειδὴ τοίνυν [a] ἀπηγγέλλομεν τὴν πρεσβείαν ἐν τῷ δήμῳ, εἶπε παρελθὼν [b] πρῶτος ἡμῶν διὰ τὴν ἡλικίαν Κτησιφῶν ἄλλους τέ τινας λόγους καὶ τοὺς πρὸς Δημο-

[i] καὶ] om. e. k. l.

[k] τὰ ἀντιλεγόμενα] τἀναντία λεγόμενα a. m. ταυτὶ λεγόμενα e. l. τἀναντία γρ. h. Scribendum τἀντιλεγόμενα.

[l] βουλεύοντας] αὐτοὺς συμβουλευτὰς i.

[m] ἐπὶ] ὑπὲρ e. l.

γρ. κρισβιείαν

[n] πρεσβείαν] βουλαίαν i.

[o] ἐξέπεμψεν] ἔπεμψεν e. k. l.

[p] ἦσαν ἄξιοι] vulg. ἄξιοι ἦσαν.

[q] ψευσαίμην] ψευσάίμην m.

[r] ἔγραψεν] ἔγραψε γὰρ e. f. k. l.

[s] στεφανῶσαι] στεφανοῦσθαι e. g. l.

[t] θαλλοῦ] θαλλοῦ στεφάνῳ a. d. f. g. h. i. m.

[u] ἕκαστον] ἑκάστου l.

[x] εἰς τὸ πρ. εἰς] ἐς τὸ πρ. ἐς e.

[y] οὐδὲν] οὐδὲ h.

[z] ΨΗΦΙΣΜΑ ΜΑΡΤΥΡΙΑΙ margo a. ψήφισμα καὶ μαρτυρία συμπρέσβεων h. om. e. g. m. et pr. a. vulg. ψήφισμα βουλῆς ὃ Δημοσθένης εἶπε. μαρτυρίαι τῶν συμπρέσβεων περὶ τῶν εἰρημένων.

[a] ἀπηγγέλλομεν] ἀπηγγέλομεν e.

[b] πρῶτος ἡμῶν] post ἡλικίαν ponit i.

σθένην αὐτῷ συγκειμένους [c] ἡμῖν ἐρεῖν, περί τε τῆς ἐντεύ-
ξεως [d] τῆς Φιλίππου καὶ τῆς ἰδέας αὐτοῦ καὶ τῆς [e] ἐν τοῖς
[f] πότοις [g] ἐπιδεξιότητος. καὶ μετὰ τοῦτον Φιλοκράτους εἰ-
51 πόντος [h] μικρὰ καὶ [i] Δερκύλλου παρῆλθον ἐγώ. ἐπειδὴ δὲ
τὴν ἄλλην διεξῆλθον πρεσβείαν, ἀπήντησα καὶ πρὸς τὸν
λόγον ὃν ἐν τοῖς [k] συμπρέσβεσι διωμολογησάμην, εἰπὼν
ὅτι [l] μνημονικῶς καὶ δυνατῶς ὁ Φίλιππος εἴποι· [m] καὶ
τὴν δέησιν [n] οὐκ [o] ἐπελαθόμην [p] τὴν Δημοσθένους, ὅτι τα-
χθείη λέγειν, ἐάν τι [q] παραλίπωμεν ἡμεῖς, ὑπὲρ Ἀμφι-
52 πόλεως. ἐφ' ἅπασι [r] δ' ἡμῖν ἀνίσταται [s] τελευταῖος
Δημοσθένης, καὶ τερατευσάμενος ὥσπερ [t] εἰώθει τῷ σχή-
ματι καὶ τρίψας τὴν κεφαλήν, ὁρῶν ἐπισημαινόμενον τὸν
δῆμον καὶ δεδεγμένον τοὺς παρ' ἐμοῦ λόγους, [u] ἀμφοτέ-
ρων ἔφη θαυμάζειν, καὶ τῶν ἀκουόντων καὶ τῶν πρεσβευ-
σάντων, ὅταν παρέντες τὸν χρόνον, οἱ μὲν τὸν τοῦ [x] βουλεύ-
σασθαι οἱ δὲ τὸν τοῦ συμβουλεύειν, ἀποδιατρίβωσι τὴν
ὑπερόριον λαλιὰν ἀγαπῶντες ἐν τοῖς [y] οἰκείοις πράγμα-
σιν. οὐδὲν [z] γὰρ εἶναι [a] ῥᾷον [b] ἢ πρεσβείαν ἀπαγγεῖλαι.
53 " Βούλομαι δ' ὑμῖν" ἔφη " καὶ [c] ἐπιδεῖξαι ὡς δεῖ τὸ

[c] ἡμῖν a. d. f. g. i. k. m. om. e. l. vulg. ὑμῖν.
[d] τῆς Φιλίππου] τοῦ Φιλίππου e. h. l.
[e] ἐν τοῖς] om. d.
[f] πότοις] τόποις a.
[g] ἐπιδεξιότητος] δεξιότητος e. l.
[h] μικρὰ] ante Φιλοκράτους ponit i.
[i] Δερκύλλου] κερδύλλου g. m.
[k] συμπρέσβεσι] συμπρέσβευσιν l.
[l] μνημονικῶς καὶ δυνατῶς] καὶ μνημονικῶς καὶ δυνατῶς a. m. καὶ δυνατῶς καὶ μνημονικῶς g. i. μνημονικὸς καὶ δυνατὸς e. l.
[m] καὶ ante τὴν om. i.
[n] οὐκ] om. pr. e.
[o] ἐπελαθόμην] ἀπελαθόμην i.
[p] τὴν Δημοσθένους] τοῦ Δημοσθένους e. l.
[q] παραλίπωμεν] παραλείπωμεν g. παραλείπομεν d.
[r] δ'] om. e. l. γε i.
[s] τελευταῖος] τελευταῖον e. l.
[t] εἴωθε] εἰώθει a. g. i. m.
[u] ἀμφοτέρων] ἀμφοτέρωθεν h.
[x] βουλεύσασθαι] βουλεύεσθαι i.
[y] οἰκείοις πράγμασιν] πράγμασιν οἰκείοις a.
[z] γὰρ εἶναι] παρεῖναι k. l.
[a] ῥᾷον] ῥᾶον γίνεσθαι i.
[b] ἢ] om. e. k. l. et pr. f.
[c] ἐπιδεῖξαι] ἐπιδείξασθαι i.

" πρᾶγμα [d]γίνεσθαι." ἅμα δ' [e]ἐκέλευσεν ἀναγνωσθῆναι
τὸ ψήφισμα τοῦ δήμου· ἀναγνωσθέντος δὲ εἶπεν ὅτι
" κατὰ τοῦτο ἐξεπέμφθημεν, καὶ ταῦτα [f]ἐπράττομεν ἃ
" [g]ἐνταυθοῖ γέγραπται. λάβε δή [h]μοι καὶ τὴν ἐπιστο-
" λὴν ἣν ἤκομεν παρὰ Φιλίππου φέροντες." ἐπειδὴ δὲ
ἀνεγνώσθη, " ἀπέχετε" ἔφη " τὴν [i]ἀπόκρισιν, καὶ λοι- 35
54 " πὸν [k]ὑμῖν ἐστὶ βουλεύσασθαι." θορυβησάντων δ' ἐπ'
αὐτῷ τῶν μὲν ὡς δεινός τις εἴη καὶ σύντομος, τῶν δὲ
πλειόνων ὡς [l]πονηρὸς καὶ φθονερός, " [m]καὶ σκέψασθε
" δέ" ἔφη " ὡς συντόμως καὶ τἆλλα [n]πάντα ἀπαγ-
" γελῶ. ἐδόκει μνημονικὸς [o]καὶ δεινὸς εἶναι λέγειν Αἰ-
" σχίνῃ Φίλιππος, ἀλλ' οὐκ ἐμοί· ἀλλ' εἴ τις αὐτοῦ τὴν
" τύχην περιελὼν ἑτέρῳ [p]περιθείη, οὐκ ἂν πολύ τι κατα-
55 " δεὴς εἴη. ἐδόκει Κτησιφῶντι τὴν ὄψιν [q]λαμπρὸς εἶναι, 40
" ἐμοὶ δ' οὐ [r]χείρων Ἀριστόδημος ὁ ὑποκριτής ([s]παρῆν
" δ' ἡμῖν καὶ συνεπρέσβευε.) μνημονικόν τις [t]αὐτὸν φη-
" σιν εἶναι· καὶ γὰρ [u]ἕτεροι. συμπιεῖν δεινὸς ἦν· [x]ἀλ-
" λὰ] Φιλοκράτης ὁ μεθ' ἡμῶν [y]δεινότερος. λόγον τίς
" φησιν ἐμοὶ καταλιπεῖν ὑπὲρ Ἀμφιπόλεως· ἀλλ' οὔτ'
" ἂν ὑμῖν ὁ ῥήτωρ οὗτος οὔτ' ἂν ἐμοὶ λόγου μεταδοίη.
56 " [z]ταῦτα μὲν οὖν λῆρός ἐστιν," ἔφη· " ἐγὼ δὲ ψήφισμα

[d] γίνεσθαι] γενέσθαι a.
[e] ἐκέλευσεν] ἐκέλευεν a. d. m.
[f] ἐπράττομεν] ἐξεπράττομεν d. e. f. h. k. l.
[g] ἐνταυθοῖ] ἐνταῦθα i.
[h] μοι] μοι ἔφη i.
[i] ἀπόκρισιν] ἀκρόασιν l.
[k] ὑμῖν ἐστὶ] ἐστιν ὑμῖν i.
[l] πονηρὸς καὶ φθονερὸς] φθονερὸς καὶ πονηρὸς i.
[m] καὶ ante σκέψασθε om. i.
[n] πάντα] om. d. e. k. l.
[o] καὶ δεινὸς εἶναι] εἶναι καὶ δεινὸς i. δεινός τε εἶναι e. δεινὸς εἶναι k. l.
[p] περιθείη] περιθεὶς m.
[q] λαμπρὸς] θαυμαστὸς i. λαμπρῶς d.
[r] χείρων] χεῖρον h.
[s] παρῆν δ' e.f.k.l. vulg. ὃς παρῆν.
[t] αὐτὸν φησιν] φησὶν αὐτὸν i.
[u] ἕτεροι συμπιεῖν] συμπιεῖν ἑτέροις e. ἑτέροις συμπιεῖν f. g. k. l. ἑτέροις συμποιεῖν i.
[x] [ἀλλὰ] om. a. e. f. h. k. l.
[y] δεινότερος] δεινόμενος h.
[z] ταῦτα μὲν οὖν λῆρός ἐστιν ἔφη] ταυτὶ μὲν οὖν ἔφη λῆρός ἐστιν i.

" [a]γράψω καὶ τῷ κήρυκι [b]σπείσασθαι τῷ παρὰ Φι- 35
" λίππου ἥκοντι καὶ τοῖς μέλλουσι παρ' αὐτοῦ δεῦρο
" ἰέναι πρέσβεσι, καὶ τοὺς πρυτάνεις, ἐπειδὰν ἥκωσιν οἱ
" πρέσβεις, [c]ἐκκλησίαν ἐπὶ δύο [d]ἡμέρας ποιεῖν μὴ μόνον
" ὑπὲρ εἰρήνης ἀλλὰ καὶ περὶ συμμαχίας· καὶ τοὺς
" πρέσβεις [e]ἡμᾶς, εἰ δοκοῦμεν ἄξιοι εἶναι, ἐπαινέσαι
" καὶ καλέσαι [f]ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον [g]εἰς αὔ- 5
57 " ριον." Ὅτι δ' ἀληθῆ λέγω, λάβε μοι τὰ ψηφίσματα,
ἵνα εἰδῆτε ὦ [h]ἄνδρες [i]καὶ τὴν ἀνωμαλίαν αὐτοῦ καὶ τὸν
φθόνον καὶ τὴν τῶν πραγμάτων μετὰ Φιλοκράτους κοι-
νωνίαν καὶ τὸ ἦθος, ὡς ἐπίβουλον καὶ ἄπιστον. κάλει
[k]δέ μοι καὶ τοὺς συμπρέσβεις, καὶ τὰς μαρτυρίας αὐτῶν
ἀνάγνωθι καὶ τὰ ψηφίσματα [l]τὰ Δημοσθένους.

[m]ΨΗΦΙΣΜΑΤΑ.

58 Οὐ τοίνυν [n]ταῦτα μόνον ἔγραψεν, ἀλλὰ καὶ μετὰ 10
ταῦτα ἐν τῇ βουλῇ [o]εἶπε] θέαν εἰς τὰ Διονύσια [p]κατα-
νεῖμαι τοῖς πρέσβεσιν, ἐπειδὰν ἥκωσι, τοῖς Φιλίππου.
Λέγε [q]καὶ τοῦτο τὸ ψήφισμα.

[r]ΨΗΦΙΣΜΑ.

Ἀνάγνωθι [s]δὴ καὶ τὴν τῶν [t]συμπρέσβεων μαρτυρίαν,
ἵν' εἰδῆτε ὦ [u]ἄνδρες Ἀθηναῖοι ὅτι Δημοσθένης οὐχ ὑπὲρ

[a] γράψω] γράψας h.
[b] σπείσασθαι τῷ] vulg. σπείσασθαι βούλομαι τῷ.
[c] ἐκκλησίαν ante ποιεῖν ponit i.
[d] ἡμέρας] ἡμέραις e.
[e] ἡμᾶς] ὑμᾶς k.
[f] ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον] εἰς τὸ πρυτανεῖον ἐπὶ δεῖπνον i.
[g] εἰς ante αὔριον om. i.
[h] ἄνδρες] ἄνδρες δικασταὶ i.
[i] καὶ ante τὴν om. d.
[k] δέ] δή g.
[l] τὰ Δημοσθένους] τὰ τοῦ Δημοσθένους a. g. m. Δημοσθένους a. d. f. h. k. l.
[m] Titulum om. g. i. et pr. a.m.
[n] ταῦτα μόνον e. h. l. vulg. μόνον ταῦτα.
[o] [εἶπε] om. a. e. f. k. l. post θέαν ponit h.
[p] κατανεῖμαι] κατένειμε e. f. k. l. et correctus a.
[q] καὶ] om. l.
[r] Titulum om. a. g. l. cui quod vulg. addunt Δημοσθένους, om. i.
[s] δὴ] δὲ g. l.
[t] συμπρέσβεων] πρέσβεων e. l.
[u] ἄνδρες] Sumpsi ab i.

τῆς πόλεως εἰπεῖν δύναται, ἀλλ' ἐπὶ τοὺς συσσίτους καὶ ὁμοσπόνδους μελετᾷ.

[x] ΜΑΡΤΥΡΙΑ.

59 Τὴν μὲν τοίνυν κοινωνίαν [y] τῶν [z] περὶ τῆς εἰρήνης πράξεων οὐκ ἐμὴν καὶ Φιλοκράτους ἀλλὰ Δημοσθένους καὶ Φιλοκράτους [a] εὑρίσκετε· καὶ τὰς πίστεις τῶν εἰρημένων ἱκανὰς ὑμῖν [b] οἶμαι [c] παρεσχῆσθαι. τῶν μὲν γὰρ ἀπηγγελμένων ὑμεῖς ἐστέ μοι μάρτυρες, τῶν δ' [d] ἐν Μακεδονίᾳ ῥηθέντων καὶ τῶν κατὰ τὴν πορείαν ἡμῖν συμβάντων τοὺς [e] συμπρέσβεις ὑμῖν μάρτυρας παρεσχόμην. τῆς δὲ ὑπὸ Δημοσθένους ἀρτίως εἰρημένης κατηγορίας ἠκούσατε καὶ 60 μέμνησθε, ἧς τὴν ἀρχὴν ἐποιήσατο [f] ἀπὸ τῆς δημηγορίας [g] ἣν [h] εἶπον περὶ τῆς [i] εἰρήνης. πάντα δὲ ἐν τῷ μέρει τούτῳ τῆς κατηγορίας [k] ἐψευσμένος ἐπὶ [l] τῷ καιρῷ τούτῳ δεινῶς ἐσχετλίασε. τοὺς γὰρ λόγους τούτους ἐναντίον φησὶ τῶν πρέσβεων λέγεσθαι, οὓς ἔπεμψαν πρὸς [m] ὑμᾶς [n] οἱ Ἕλληνες [o] μεταπεμφθέντες ὑπὸ τοῦ δήμου, ἵνα κοινῇ καὶ πολεμοῖεν, εἰ δέοι, Φιλίππῳ μετὰ Ἀθηναίων, καὶ τῆς εἰρήνης, εἰ τοῦτο [p] εἶναι [q] δοκοίη [r] σύμφορον, μετέχοιεν. σκέψασθε δὴ πράγματος [s] μεγάλου [t] κλοπὴν καὶ δεινὴν

[x] ΜΑΡΤΥΡΙΑ] om. a. g. h.
[y] τῶν] τὴν l.
[z] περὶ] vulg. ὑπέρ.
[a] εὑρίσκετε a.d.e.f.h.i.k.l. vulg. εὑρήσετε.
[b] οἶμαι a. e. apud Reiskium οἴομαι.
[c] παρεσχῆσθαι a. g. h. i. m. vulg. παρασχέσθαι.
[d] ἐν τῇ Μακεδονίᾳ i. ἐν λακεδαιμονίᾳ l.
[e] συμπρέσβεις] πρέσβεις h.
[f] ἀπὸ] ὑπὲρ e. f. h. k. l.
[g] ἣν] ἧς g. m.
[h] εἶπον] εἶπον ἐγὼ a. g. m.
[i] εἰρήνης] εἰρήνης ἐγὼ i.
[k] ἐψευσμένος] ψευσάμενος i.
[l] τῷ καιρῷ τούτῳ] τῶν καιρῶν τούτων h.
[m] ὑμᾶς d. e. i. k. l.
[n] οἱ Ἕλληνες] ante πρὸς ponit i.
[o] μεταπεμφθέντες] μεταπεμφθέντας e.
[p] εἶναι] post δοκ. ponit i.
[q] δοκοίη] δοκεῖ e. i. k. l. δοκοίη post συμφέρον ponit g.
[r] συμφέρον] σύμφορον d. f. k. l.
[s] μεγάλου] μεγάλῃ a. μεγάλην g. h. i. m.
[t] κλοπὴν] βουλὴν i.

61 ἀναισχυντίαν ἀνθρώπου. τῶν γὰρ πρέσβεων οὓς [u]ἐξεπέμ-
ψατε εἰς τὴν Ἑλλάδα [x]ἔτι τοῦ πολέμου πρὸς Φίλιππον
[y]ὑμῖν [z]ἐνεστηκότος, οἱ μὲν χρόνοι [a]τῆς αἱρέσεως ὅτε ἐξε-
πέμφθησαν καὶ τὰ τῶν πρεσβευσάντων ὀνόματα ἐν τοῖς
δημοσίοις ἀναγέγραπται γράμμασι, τὰ δὲ σώματα
[b]αὐτῶν ἐστὶν οὐκ ἐν Μακεδονίᾳ ἀλλ' [c]Ἀθήνησι· ταῖς δὲ 30
ξενικαῖς πρεσβείαις ἡ βουλὴ τὰς εἰς τὸν δῆμον προσόδους
προβουλεύει· οὗτος δ' [d]ἐφεστάναι τὰς [e]παρὰ τῶν Ἑλ-
62 λήνων [f]φησὶ πρεσβείας. παρελθὼν τοίνυν Δημόσθενες ἐπὶ
τὸ βῆμα τοῦτο ἐν τῷ ἐμῷ λόγῳ εἰπὲ [g]πόλεως [h]ἧς τινος
βούλει [i]τῶν Ἑλληνίδων τοὔνομα, ἐξ ἧς [k]ἀφῖχθαι τότε
φὴς τοὺς πρέσβεις· καὶ τὰ προβουλεύματα αὐτῶν ἐκ
τοῦ βουλευτηρίου δ'ος ἀναγνῶναι, καὶ τοὺς Ἀθηναίων κά- 35
λει πρέσβεις, οὓς [l]ἐξέπεμψαν ἐπὶ τὰς πόλεις, μάρτυρας.
κἂν παρεῖναι καὶ μὴ ἀποδημεῖν, ὅτε ἡ πόλις [m]τὴν εἰρήνην
ἐποιεῖτο, μαρτυρήσωσιν, ἢ τὰς πρὸς τὴν βουλὴν [n]αὐτῶν
προσόδους καὶ τὰ [o]ψηφίσματα [p]ἂν παράσχῃ [q]ἐν ᾧ σὺ
φὴς [r]ὄντα χρόνῳ, [s]καταβαίνω καὶ [t]θανάτου τιμῶμαι.
63 Ἀνάγνωθι [u]δὴ καὶ τὸ τῶν συμμάχων δόγμα, τί λέγει,

[u] ἐξεπέμψατε] ἐξεπέμψασθε e. ἐξεπέμψατο k.
[x] ἔτι] om. h.
[y] ὑμῖν d. vulg. ἡμῖν.
[z] ἐνεστηκότος] ἑστηκότος e.
[a] τῆς αἱρέσεως] γρ. τῆς χειροτονίας i.
[b] αὐτῶν ἐστὶν] ἐστὶν αὐτῶν i.
[c] Ἀθήνησι] ἐν Ἀθήναις e. k. l.
[d] ἐφεστάναι] ἀπεστάλθαι g.i.m.
[e] παρὰ] ἀπὸ a. g. m.
[f] φησὶ] post δὲ ponunt a.g.i.m.
[g] πόλεως] τῶν πόλεων d. e. f. k. l.
[h] ἧς] εἴ e.
[i] τῶν Ἑλληνίδων] Ἑλληνίδος a. g. i. m.
[k] ἀφῖχθαι τότε φὴς τοὺς πρ.] τότε ἀφ. τοὺς πρ. φῆς i.
[l] ἐξέπεμψαν] ἐξέπεμψεν d. e. l.
[m] τὴν εἰρήνην ἐποιεῖτο] ἐποιεῖτο τὴν εἰρήνην e. l.
[n] αὐτῶν προσόδους] προσόδους αὐτῶν i.
ψηφίσματα
[o] βουλεύματα i.
[p] ἂν] om. e. k. l.
[q] ἐν] om. e. et, qui ὡς habent pro ᾧ, f. k. l.
[r] ὄντα χρόνῳ] χρόνῳ ὄντα i. ὄντα χρόνου f. ὄντ' ἄχρονον k. οὔτ' ἄχρονον l.
[s] καταβαίνω] κατακαίνω d.
[t] θανάτου] θανάτῳ k. l.
[u] δὴ] om. g. m. et pr. a.

ἐν ᾧ διαῤῥήδην γέγραπται, ἐπειδὴ [x]βουλεύεται ὁ δῆμος ὁ
Ἀθηναίων [y]ὑπὲρ εἰρήνης πρὸς Φίλιππον, οἱ δὲ πρέσβεις 40
οὔπω πάρεισιν οὓς [z]ἐξέπεμψεν ὁ δῆμος εἰς [a]τὴν Ἑλλάδα
[b]παρακαλοῦντας τὰς πόλεις ὑπὲρ τῆς ἐλευθερίας τῶν
Ἑλλήνων, [c]δεδόχθαι τοῖς συμμάχοις, ἐπειδὰν ἐπισθμή-
σωσιν οἱ πρέσβεις καὶ τὰς πρεσβείας ἀπαγγείλωσιν
Ἀθηναίοις καὶ τοῖς συμμάχοις, [d]προγράψαι [e]τοὺς πρυ-
τάνεις ἐκκλησίας δύο κατὰ [f]τοὺς νόμους, [g]ἐν δὲ ταύταις
[h]βουλεύσασθαι περὶ τῆς εἰρήνης Ἀθηναίους· [i]ὅ τι δ' ἂν
[k]βουλεύσηται ὁ δῆμος, τοῦτ' εἶναι [l]κοινὸν δόγμα τῶν 36
συμμάχων. ἀνάγνωθι δή μοι τὸ τῶν συνέδρων δόγμα.

[m]ΔΟΓΜΑ ΣΥΝΕΔΡΩΝ.

64 Παρανάγνωθι δή [n]μοι καὶ [o]τὸ Δημοσθένους ψήφισμα,
ἐν ᾧ κελεύει τοὺς πρυτάνεις μετὰ τὰ Διονύσια τὰ ἐν
ἄστει καὶ τὴν ἐν [p]Διονύσου ἐκκλησίαν [q]προγράψαι δύο
ἐκκλησίας, τὴν μὲν τῇ ὀγδόῃ ἐπὶ δέκα, τὴν δὲ τῇ [r]ἐνάτῃ 5
ἐπὶ δέκα, ὁρίζων τὸν χρόνον καὶ [s]προϋφαιρῶν τὰς ἐκκλη-
σίας πρὶν [t]ἐπισθμῆσαι τοὺς [u]ἀπὸ τῶν Ἑλλήνων πρέσ-
βεις. καὶ τὸ μὲν τῶν συμμάχων δόγμα κελεύει, [x]ᾧ

[x] βουλεύεται] βούλεται pr. d.
[y] ὑπὲρ] ὑπὲρ τῆς d.
[z] ἐξέπεμψεν ὁ δῆμος] ὁ δῆμος ἐξέπεμψεν e. l.
[a] τὴν] om. g.
[b] παρακαλοῦντας] παρακαλοῦντες e. παρακαλῶν a. παρακαλεῖν g.h.m.
[c] δεδόχθαι] δεδόχθω g.
[d] προγράψαι] προσγράψαι e. h.
[e] τοὺς πρυτάνεις] τοῖς πρυτάνεσι d.
[f] τοὺς νόμους] τὸν νόμον a. f. l. νόμον e.
[g] ἐν δὲ] καὶ ἐν i.
[h] βουλεύσασθαι] συμβουλεύσασθαι g. h. m.
ὅ, τι
[i] ὅ τι] ὅπως i. Totum hoc ὅ τι —συμμάχων om. e. l.
[k] βουλεύσηται] βουλεύηται k.
[l] κοινὸν] om. i. qui mox τὸ κοινὸν τῶν.
[m] δόγμα συνέδρων] om. g. i. m. et pr. a. δόγματα omisso συνέδρων h.
[n] μοι] om. i.
[o] τὸ Δημοσθένους d. i. k. l. vulg. τὸ τοῦ Δημοσθένους.
[p] Διονύσου] διονύσῳ g. m.
[q] προγράψαι] προσγράψαι e. l. ἐπιγράψαι i.
[r] ἐνάτῃ] ἐνάτη d. e. et pr. a.
[s] προϋφαιρῶν] προσυφαιρῶν l.
[t] ἐπισθμῆσαι] ἐπιτιμῆσαι e. l.
[u] ἀπὸ] παρὰ i.
[x] ᾧ] ᾗ h. om. e. k. l.

συνειπεῖν καὶ ἐγὼ ὁμολογῶ, ὑπὲρ [y] τῆς εἰρήνης μόνον [z] ὑμᾶς βουλεύσασθαι, Δημοσθένης δὲ καὶ περὶ συμμαχίας κελεύει. [a] Λέγε [b] αὐτοῖς τὸ ψήφισμα.

[c] ΨΗΦΙΣΜΑ.

65 Τῶν μὲν ψηφισμάτων ἀμφοτέρων [d] ὦ ἄνδρες Ἀθηναῖοι ἠκούσατε, ὑφ' ὧν ἐξελέγχεται Δημοσθένης τὰς [e] ἀποδημούσας πρεσβείας [f] ἐπιδημεῖν φάσκων, καὶ βουλομένων [g] ὑμῶν [h] ἀκροάσασθαι τὸ τῶν συμμάχων ἄκυρον [i] πεποιηκὼς [k] δόγμα. οἱ μὲν γὰρ ἀπεφήναντο ἀναμεῖναι [l] τὴν πόλιν [m] τὰς Ἑλληνικὰς πρεσβείας, Δημοσθένης δὲ [n] οὐ [o] λόγῳ μόνον κεκώλυκε περιμεῖναι, ὁ πάντων αἴσχιστα καὶ τάχιστα μεταθέμενος, ἀλλ' ἔργῳ [p] καὶ ψηφίσματι, προστάξας ἤδη [q] βουλεύεσθαι.

66 Εἴρηκε δὲ ὡς [r] ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγορήσαντος [s] Φιλοκράτους ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην ἣν [t] εἰσηγεῖτο ἐκεῖνος εἰρήνην, αἰσχρὰν καὶ [u] τῆς πόλεως ἀναξίαν εἶναι φάσκων, τῇ δ' ὑστεραίᾳ πάλιν ἡμέρᾳ ὡς [x] συναγορεύοιμι τῷ Φιλοκράτει, καὶ τὴν ἐκκλησίαν εὐημερήσας [y] ᾠχόμην φέρων, [z] πείθων ὑμᾶς [a] μὴ προσέχειν

[y] τῆς] om. d. e. f. h. k.
[z] ὑμᾶς] ἡμᾶς f. k.
[a] Λέγε] λέγε δὲ a. g. i. m.
[b] αὐτοῖς] αὐτῶν i.
[c] Titulum om. g. m. et pr. a. additum vulgo Δημοσθένους omisi cum i.
[d] ὦ ἄνδρες Ἀθηναῖοι ἠκούσατε] ἠκούσατε ὦ ἀθηναῖοι a. g. m. ἀκηκόατε ὦ ἀθηναῖοι i.
[e] ἀποδημούσας] ἀποδήμους h.
[f] ἐπιδημεῖν] ante πρεσβείας ponit i. post φάσκων e.
[g] ὑμῶν] ἡμῶν d.
[h] ἀκροάσασθαι] ἀκροᾶσθαι i.
[i] πεποιηκὼς] ποιεῖ k.
[k] δόγμα] om. e.
[l] τὴν πόλιν] τῇ πόλει e.
[m] τὰς] om. i.
[n] οὐ] οὐδὲ k. l.
[o] λόγῳ μόνον] μόνον λόγῳ i. λόγῳ μόνῳ g. l. m.
[p] καὶ ante ψηφ. om. pr. f.
[q] βουλεύεσθαι] βεβουλεῦσθαι a. g. h. i. m.
[r] ἐν] Nonne ἐν μέν?
[s] Φιλοκρ.] τοῦ φιλοκρ. i.
[t] εἰσηγεῖτο ἐκεῖνος] ἐκεῖνος εἰσηγεῖτο e. k. l.
[u] τῆς π. ἀναξίαν] ἀναξίαν τῆς π. i.
[x] συναγορεύοιμι] συναγορεύει μοι i.
[y] ᾠχόμην φέρων] φέρων ᾠχόμην i.
[z] πείθων] πείθειν m.
[a] μὴ προσέχειν om. e. k. l.

τοῖς τὰς μάχας [b]καὶ τὰ τῶν προγόνων λέγουσι τρό-
67 παια, μηδὲ τοῖς [c]Ἕλλησι βοηθεῖν. [c]ὅτι δ' οὐ ψευδῆ μό- 20
νον κατηγόρηκεν ἀλλὰ καὶ ἀδύνατα γενέσθαι, μίαν μὲν
αὐτὸς καθ' [d]αὑτοῦ [e]Δημοσθένης μαρτυρίαν μαρτυρήσει,
ἑτέραν δὲ [f]πάντες Ἀθηναῖοι καὶ ὑμεῖς ἀναμιμνησκόμενοι,
τρίτην δὲ [g]ἡ τῆς αἰτίας ἀπιθανότης, τετάρτην δὲ ἀνὴρ
ἀξιόλογος, εἷς τῶν [h]πολιτευομένων, Ἀμύντωρ, ᾧ τὸ ψή-
φισμα [i]ἐπεδείξατο Δημοσθένης καὶ ἀνεκοινοῦτο [k]εἰ δῷ τῷ
γραμματεῖ, οὐχ [l]ὑπεναντίον ἀλλὰ ταὐτὸν [m]γεγραφὼς 25
68 Φιλοκράτει. Καί μοι λάβε τὸ ψήφισμα καὶ ἀνάγνωθι
[n]τὸ Δημοσθένους, ἐν ᾧ φαίνεται γεγραφὼς τῇ μὲν προτέρᾳ
τῶν ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, τῇ δ' [o]ὑστε-
ραίᾳ τοὺς προέδρους [p]ἐπιψηφίζειν τὰς γνώμας, λόγον δὲ
μὴ [q]προτιθέναι· [r]ἐν ᾧ με φησὶν αὐτὸς [s]Φιλοκράτει συν-
ειπεῖν.

[t]ΨΗΦΙΣΜΑ.

69 Οὐκοῦν τὰ μὲν ψηφίσματα, ὡς [u]ἐξ ἀρχῆς ἐγράφη, 30
μένει, οἱ δὲ τῶν συκοφαντῶν λόγοι πρὸς τοὺς [x]ἐφ' ἡμέ-
ραν καιροὺς λέγονται. ποιεῖ δέ μου τὴν [y]δημηγορίαν ὁ
μὲν κατήγορος [z]διαιρετήν, [a]τὸ δὲ ψήφισμα καὶ τἀληθὲς

[b] καὶ τὰ] κατὰ e. l.
[c] ὅτι δ' οὐ ψευδῆ μόνον] ὅτι οὐ μόνον ψευδῆ i.
[d] αὑτοῦ] ἑαυτοῦ e.
[e] Δημοσθ.] ante καθ' ponit i. post μαρτυρίαν f. h. k. l.
[f] πάντες] ἅπαντες i.
[g] ἡ τῆς αἰτίας] τῆς αἰτίας ἡ i.
[h] πολιτευομένων] πεπολιτευμένων i.
[i] ἐπεδείξατο] ἀπεδείξατο l.
[k] εἰ δῷ] εἰδὼς pr. f.
[l] ὑπεναντίαν e. l.
[m] γεγραφὼς Φιλοκρ.] φιλοκρ. γεγραφὼς i.
[n] τὸ] τοῦ h.
[o] ὑστεραίᾳ] Concinnius scripseris ὑστέρᾳ.
[p] ἐπιψηφ. τὰς γνώμας] τὰς γνώμας ἐπιψηφ. i.
[q] προτιθέναι] προθεῖναι e. l.
[r] ἐν ᾧ] Immo ἐν ᾗ.
[s] Φιλοκράτει] φιλοκράτης g. m.
[t] ΨΗΦΙΣΜΑ om. g. i. et pr. a. m. quod addi solet Δημοσθένους, om. e. h.
[u] ἐξ ἀρχῆς ἐγράφη] ἐγράφη ἐξ ἀρχῆς i.
[x] ἐφ' ἡμέραν] ἐφημέρους i.
[y] δημηγορίαν] κατηγορίαν d. i.
[z] διαιρετήν] δι' ἀρετὴν l.
[a] τὸ δὲ ψήφισμα i. ceteri τὸ ψήφισμα δέ.

μίαν· λόγων γὰρ μὴ προτεθέντων εἰς τὴν [b]ὑστέραν ἐκκλησίαν, τῶν [c]δὲ προέδρων κωλυόντων, οὐκ ἐνῆν εἰπεῖν. τί δὲ [d]καὶ βουλόμενος, εἴπερ ταὐτὰ Φιλοκράτει προειλόμην, [e]κατηγόρουν μὲν πρὸς [f]τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτε- 35
ραίᾳ, μίαν δὲ νύκτα διαλιπὼν συνηγόρουν; πότερα ὡς αὐτὸς εὐδοξήσων ἢ ὡς ἐκεῖνον ὠφελήσων; ἀλλ' οὐκ ἐνῆν ἀμφότερα ἐξενέγκασθαι, ἀλλ' ὑπὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν.

70 Κάλει [g]δέ μοι καὶ Ἀμύντορα [h]Ἐρχιέα, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι. ὃν δὲ τρόπον γέγραπται, [i]προδιελθεῖν ὑμῖν βούλομαι. [k]μαρτυρεῖ Ἀμύντωρ Αἰσχίνῃ, ὅτε [l]ἐβουλεύετο ὁ δῆμος περὶ [m]συμμαχίας τῆς πρὸς Φίλιππον 40
κατὰ [n]τὸ Δημοσθένους ψήφισμα ἐν τῇ [o]ὑστέρᾳ [p]τῶν [q]δυεῖν ἐκκλησιῶν, [r]ὅτε οὐκ [s]ἐξῆν δημηγορεῖν ἀλλὰ [t]τὰ περὶ τῆς εἰρήνης καὶ συμμαχίας ψηφίσματα ἐπεψηφί-
71 ζετο, ἐν ταύτῃ τῇ ἐκκλησίᾳ Δημοσθένην ἐπιδείξασθαι παρακαθήμενον ψήφισμα γεγραμμένον [u]ἑαυτῷ, ἐφ' ᾧ ἐπεγέγραπτο Δημοσθένους ὄνομα, καὶ ἀνακοινοῦσθαι αὐτὸν [x]αὐτῷ εἰ δῷ τῷ γραμματεῖ ἐπιψηφίσασθαι τοῖς προέ- 37
δροις, καὶ εἶναι, ἐφ' οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι, ἐπὶ τοῖς αὐτοῖς [y]ἐφ' οἷσπερ καὶ Φι-

[b] ὑστέραν] ὑστεραίαν h. i. om. l.
[c] δὲ om. pr. a. m. δ' ἂν g. i. et rec. m.
[d] καὶ om. e. l.
[e] κατηγόρουν] κατηγορούντων f.
[f] τοὺς om. pr. f.
[g] δέ μοι] μοι δὲ i.
[h] Ἐρχιέα] ἀρχιέα e.
[i] προδιελθεῖν] προδιεξελθεῖν i.
[k] μαρτυρεῖ] μαρτυρία. μαρτυρεῖ h.
[l] ἐβουλεύετο] ἐβούλετο e. l.
[m] συμμαχίας i. ceteri τῆς συμμαχίας.
[n] τὸ Δημ.] τὸ τοῦ δημ. e.
[o] ὑστέρᾳ] Libri ὑστεραίᾳ.
[p] τῶν] αὖ τῶν e. αὐτῶν l.
[q] δυεῖν a. f. g. h. k. m. δύο i. ceteri δυοῖν.
[r] ὅτε] ὅτι i.
[s] ἐξῆν] ἐνῆν g.
[t] τὰ delet i.
[u] ἑαυτῷ] ἑαυτοῦ e. k. l.
[x] αὐτῷ] αὐτῷ l.
[y] ἐφ' οἷς] om. e. l.

λοκράτης ἐγεγράφει. Κάλει δέ μοι Ἀμύντορα [z]Ἐρχιέα· καὶ ἐκκλήτευε, ἐὰν μὴ θέλῃ [a]δευρὶ [b]παρεῖναι.

[c]ΜΑΡΤΥΡΙΑ.

72 Τῆς μὲν μαρτυρίας ἀκηκόατε [d]ὦ ἄνδρες [e]Ἀθηναῖοι· σκοπεῖτε [f]δὲ [g]πότερα ὑμῖν δοκεῖ [h]Δημοσθένης [i]ἐμοῦ κατ- 5
ηγορηκέναι ἢ τοὐναντίον αὐτὸς [k]αὐτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. ἐπειδὴ δὲ καὶ τὴν δημηγορίαν μου διαβάλλει καὶ τοὺς εἰρημένους λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ' ἂν [l]ἀποδραίην οὔτ' ἂν τῶν τότ' εἰρημένων οὐδὲν ἀρνησαίμην, οὔτ' αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ [m]καὶ φιλοτιμοῦμαι.
73 Βούλομαι δ' [n]ὑμᾶς καὶ τοὺς καιροὺς ὑπομνῆσαι [o]ἐν οἷς ἐβουλεύεσθε. τὴν μὲν [p]γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ παλε- 10
μου ὑπὲρ Ἀμφιπόλεως, [q]συνέβαινε δ' ἡμῶν τὸν [r]στρατηγὸν ἐν τῷ πολέμῳ [s]ἑβδομήκοντα μὲν καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι, ἃς ἐκτήσατο Τιμόθεος ὁ [t]Κόνωνος καὶ [u]κατέστησεν εἰς τὸ συνέδριον (προήρημαι γὰρ παῤῥησιάσασθαι [x]καὶ ἐλευθέρως ἅμα καὶ ταληθῆ εἰπὼν σώζεσθαι· ἐὰν δὲ ἄλλως [y]πως γινώσκητε, [z]κατα-

[z] Ἐρχιέα] ἀρχιέα e. f. ἐραρχιέα h.
[a] δευρὶ] δεῦρο i.
[b] παριέναι] ἀπιέναι i.
[c] ΜΑΡΤΥΡΙΑ] om. a. g. m. ψήφισμα e. Additum vulgo Ἀμύντορος om. etiam h.
[d] ὦ om. d.
[e] Ἀθηναῖοι] accessit ex i.
[f] δὲ e. l. ceteri δή.
[g] πότερα] πότερον i.
[h] Δημοσθένης] δημοσθένεις i.
[i] ἐμοῦ κατηγορηκέναι] κατηγορηκέναι μοῦ d. f. h.
[k] αὐτοῦ a. e. vulgo ἑαυτοῦ.
[l] ἀποδραίην] ἀποδρῶν h. et fortasse f.
[m] καὶ φιλοτιμοῦμαι d. e. f. k. l. et pr. a. μᾶλλον καὶ φιλοτιμοῦμαι h. ceteri καὶ μᾶλλον φιλοτιμοῦμαι.
[n] ὑμᾶς καὶ τοὺς κ. ὑπομνῆσαι] ὑμᾶς ὑπομνῆσαι τοὺς κ. i.
[o] ἐν] ἐφ' pr. a.
[p] γὰρ] om. e. h. l.
[q] συνέβαινε] συμβέβηκε i.
χάριτα
[r] στρατηγὸν] στρατηγὸν i. στρατηγὸν χάριτα h.
[s] ἑβδομήκοντα μὲν] μὲν ἑβδομήκοντα g. m.
[t] Κόνωνος] κόνωνος h.
[u] κατέστησεν] συνέστησεν i.
[x] καὶ post παῤῥησ. om. e. k. l.
[y] πως γινώσκητε] πως γινώσκηται h. ἐπιγινώσκητε l.
[z] καταχρήσασθε] καταχρήσασθαί e. καταχρήσεσθέ d.

74 χρήσασθέ [a]μοι· οὐ γὰρ ἂν ὑποστειλαίμην,) ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν νεωρίων μὴ κατακεκομικέναι (καὶ ταῦτα ὑμῖν ἐν τοῖς ἀγῶσιν [b]ἀεὶ [c]τοῖς Χάρητος οἱ κατήγοροι δεικνύουσι,) χίλια δὲ καὶ [d]πεντακόσια [e]τάλαντα οὐκ [f]εἰς στρατιώτας ἀλλ' εἰς [g]ἡγεμόνων ἀλαζονείας ἀνηλωκέναι, [h]Δηϊάρην [i]τε καὶ [k]Δηΐπυρον καὶ [l]Πολυφόντην, [m]δραπέτας ἀνθρώπους, ἐκ τῆς Ἑλλάδος συνειλεγμένους, καὶ χωρὶς εἰς τοὺς [n]περὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν μισθοφόρους, οἳ τοὺς μὲν ταλαιπώρους [o]νησιώτας καθ' ἕκαστον ἐνιαυτὸν [p]ἑξήκοντα τάλαντα εἰσέπραττον σύνταξιν, κατῆγον δὲ τὰ πλοῖα καὶ τοὺς Ἕλ-
75 ληνας ἐκ τῆς κοινῆς [q]θαλάττης. ἀντὶ δὲ ἀξιώματος καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἡ πόλις [r]ἡμῶν [s]Μυοννήσου καὶ τῆς τῶν [t]ληστῶν δόξης [u]ἀνεπίμπλατο· Φίλιππος δὲ ὁρμηθεὶς ἐκ Μακεδονίας [x]οὐκεθ' ὑπὲρ Ἀμφιπόλεως [y]πρὸς [z]ἡμᾶς ἠγωνίζετο, ἀλλ' ἤδη περὶ Λήμνου καὶ [v]Ἴμβρου καὶ Σκύρου, τῶν [a]ἡμετέρων κτημάτων· ἐξέλιπον δὲ [b]Χερρόνησον [c]ἡμῶν οἱ πολῖται, [d]τὴν οὖσαν [e]ὁμολογουμένως Ἀθη-

[a] μοι] με h.
[b] ἀεὶ] om. g. m. et pr. a.
[c] τοῖς] om. e. k. l.
[d] πεντακόσια] πεντήκοντα h.
[e] τάλαντα om. h.
[f] εἰς om. pr. a.
[g] ἡγεμ. ἀλαζ. ἀνηλ.] om. e. l.
[h] Δηϊάρην] εἰς δηϊάρην h.
[i] τε] δὲ a. d. h.
[k] Δηΐπυρον] δηΐπυλον i.
[l] Πολυφόντην] πολυσφόντην e. l. πολυφῶντα a. g. i. m.
[m] δραπ. ἄνθρ.] ἄνδρας δραπ. ἀνθρ. h.
[n] περὶ] παρὰ h.
[o] νησιώτας] στρατιῶτας pr. d.
[p] ἑξήκοντα] ἑπτὰ i.
[q] θαλάττης] θαλάσσης e.
[r] ἡμῶν] om. h.
[s] Μυοννήσου] μυονήσου d. g. h. k. λιπστῶν
[t] ληστῶν] ἑλλήνων m. ἑλλήνων g. i.
[u] ἀνεπίμπλατο a. g. h. k. et correctus m. ἐνεπίμπλατο i. ceteri ἀνεπίπλατο.
[x] ἔθ' om. i.
[y] πρὸς] εὐθὺς πρὸς i.
[z] ἡμᾶς] ὑμᾶς e. i. k. l.
[a] ἡμετέρων] ὑμετέρων e.
[b] Χερρόνησον] d. f. k. vulg. χερρόννησον.
[c] ἡμῶν] ζῇν ἡμῶν i.
[d] τὴν] καὶ τὴν e. l.
[e] ὁμολογουμένως] ὡμολογημένως f. k. ὡμολογημένους a. ὡμολογημένην e.

ναίων· πλείους δὲ ἐκκλησίας συγκλήτους [f]ἠναγκάζεσθε
ἐκκλησιάζειν μετὰ φόβου καὶ θορύβου [g]ἢ [h]τὰς τετα-
76 γμένας ἐκ τῶν νόμων· οὕτω δ' [i]ἦν σφαλερὰ καὶ ἐπικίν-
δυνα τὰ πράγματα, ὥστε [k]ἠναγκάσθη γράψαι [l]ψήφισμα
[m]Κηφισοφῶν ὁ Παιανιεύς, [n]εἷς τῶν φίλων καὶ ἑταίρων
[o]τῶν Χάρητος, ἐκπλεῖν τὴν ταχίστην Ἀντίοχον [p]τὸν [q]ἐπὶ
τῶν ὑπηρετικῶν καὶ ζητεῖν τὸν στρατηγὸν τὸν ἐπὶ τῇ δυ-
νάμει τεταγμένον, [r]κἂν ἐντύχῃ που, φράζειν ὅτι θαυμάζει
ὁ δῆμος [s]ὁ [t]τῶν Ἀθηναίων εἰ Φιλιππος μὲν [u]ἐπὶ Χερ-
ρόνησον τὴν Ἀθηναίων πορεύεται, Ἀθηναῖοι δὲ οὐδὲ τὸν στρα-
τηγὸν ἴσασιν οὐδὲ τὴν δύναμιν ἣν [x]ἐξέπεμψαν, ὅπου ἔστιν.
Ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τοῦ ψηφίσματος καὶ
ἀναμνήσθητε τοῦ πολέμου, καὶ τὴν εἰρήνην [y]τοὺς τῶν [z]πο-
λέμων ἡγεμόνας ἀλλὰ μὴ τοὺς πρέσβεις ἀπαιτεῖτε.

[a]ΨΗΦΙΣΜΑ.

77 Οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι [b]ἦσαν, ἐν οἷς οἱ περὶ
τῆς εἰρήνης [c]ἐγένοντο λόγοι· ἀνιστάμενοι δὲ οἱ συντετα-
γμένοι ῥήτορες περὶ μὲν τῆς σωτηρίας τῆς πόλεως [d]οὐδὲν
ἐνεχείρουν λέγειν, ἀποβλέπειν δὲ εἰς τὰ προπύλαια τῆς
ἀκροπόλεως ἐκέλευον [e]ἡμᾶς καὶ τῆς ἐν Σαλαμῖνι [f]πρὸς

[f] ἠναγκάζεσθε] ἠνάγκασθε f.
[g] ἢ] καὶ e. l.
[h] τὰς τεταγμ. ἐκ τῶν νόμων] τὰς ἐκ τῶν ν. τεταγμ. l.
[i] σφαλ.] ἤδη σφαλ. i.
[k] ἠναγκάσθη] ἠναγκάσθην h.
[l] ψήφισμα] ψηφίσματα g. h. i.
[m] Κηφισοφῶν] κτησιφῶν d.
[n] εἷς τῶν φίλων καὶ ἑταίρων] εἰς τὸν φίλων καὶ τὸν ἑταῖρων e. k. l.
[o] τῶν Χάρητος a. f. g. h. i. m. τὸν χάρητος k. τῆς χάριτος l. ceteri τοῦ χάρητος.
[p] τὸν post Ἀντίοχον om. e.
[q] ἐπὶ τῶν om. h.
[r] κἂν ἐντύχῃ] καὶ ἢν τύχῃ e. k. l.
[s] Alterum ὁ om. a. g. i. m.
[t] τῶν om. i. et pr. m.
[u] ἐπὶ Χερρ.] ἐπὶ τὴν χερρ. a.
[x] ἐξέπεμψαν] ἔπεμψαν i.
[y] τοὺς τῶν] τούς τε d.
[z] πολέμων] πίλεων l. ἔπλων i.
[a] ΨΗΦΙΣΜΑ] om. a. g. m. addit e δημοσθένους. a. δήμου ὁ κτησιφῶν εἶπεν. ceteri δήμου ὁ κηφισοφῶν εἶπεν.
[b] ἦσαν] om. i.
[c] ἐγένοντο] ἐγίνοντο i.
[d] οὐδὲν] οὐδ' d. e. h. k. l.
[e] ἡμᾶς] ὑμᾶς i.
[f] πρὸς τὴν Π. ναυμ.] ναυμ. πρὸς τὸν Π. i.

τὸν Πέρσην ναυμαχίας μεμνῆσθαι καὶ τῶν τάφων [g] καὶ
78 τῶν προγόνων καὶ τῶν τροπαίων. ἐγὼ δὲ [h] ἁπάντων μὲν
τούτων ἔφην [i] δεῖν μεμνῆσθαι, μιμεῖσθαι μέντοι τὰς τῶν
προγόνων εὐβουλίας, τὰ δὲ ἁμαρτήματα αὐτῶν καὶ τὴν
ἄκαιρον φιλονεικίαν φυλάττεσθαι, τὴν μὲν [k] ἐν Πλαταιαῖς
πρὸς [l] τοὺς Πέρσας πεζομαχίαν καὶ τοὺς ἀγῶνας τοὺς
περὶ Σαλαμῖνα καὶ τὴν ἐν Μαραθῶνι μάχην καὶ τὴν ἐπ' 38
[m] Ἀρτεμισίῳ ναυμαχίαν καὶ τὴν Τολμίδου [n] ζηλοῦν στρα-
τηγίαν κελεύων, ὃς χιλίους [o] ἔχων ἐπιλέκτους Ἀθηναίων
διὰ μέσης Πελοποννήσου πολεμίας οὔσης [p] ἀδεῶς διεξῆλθε,
79 τὴν δ' [q] εἰς Σικελίαν στρατείαν φυλάττεσθαι, [r] ἣν ἐξέπεμ-
ψαν Λεοντίνοις βοηθήσοντες τῶν πολεμίων ἐμβεβληκότων
εἰς τὴν χώραν ἡμῶν καὶ Δεκελείας ἐπιτετειχισμένης, 5
καὶ [s] τὴν τελευταίαν ἀβουλίαν φυλάξασθαι, ὅθ' ἡττημένοι
τῷ πολέμῳ, [t] προκαλουμένων [u] αὐτοὺς Λακεδαιμονίων εἰ-
ρήνην ἄγειν ἔχοντας πρὸς τῇ Ἀττικῇ Λῆμνον καὶ [v] Ἴμβρον
80 καὶ Σκῦρον καὶ δημοκρατουμένους κατὰ τοὺς νόμους, τού-
των μὲν οὐδὲν [x] ἤθελον ποιεῖν, πολεμεῖν δὲ [y] προῃροῦντο οὐ
δυνάμενοι, [z] Κλεοφῶν δὲ ὁ [a] λυροποιός, ὃν [b] πολλοὶ δεδε-
μένον ἐν πέδαις ἐμνημόνευον, [c] παρεγγραφεὶς [d] αἰσχρῶς 10
πολίτης καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον, ἀπο-

[g] καὶ post τάφων om. e. k. l.
[h] ἁπάντων μὲν τούτων] τούτων μὲν ἁπάντων i.
[i] δεῖν] δεῖ d.
[k] ἐν Πλ.] ἐν ταῖς πλ. h.
[l] τοὺς Πέρσας] τὸν πέρσην i.
[m] Ἀρτεμισίῳ] ἀρτεμισίων i. ἀρτεμισίοῦ m. ἀρτεμισίου a. g.
[n] ζηλοῦν στρατ.] στρατ. ζηλοῦν i.
[o] ἔχων ἐπιλέκτους e. l. vulg. ἐπιλέκτους ἔχων.
[p] ἀδεῶς] ἀφειδῶς i.
[q] εἰς] ἐς l.
[r] ἣν] λέγων ἣν e. k. l.
[s] τὴν post καὶ om. e.
[t] προκαλ.] προκαλ. τε a. g. h. m. καὶ προκαλ. i.
[u] αὐτοὺς Λακ.] λακ. αὐτοὺς i.
[x] ἤθελον] ἔθελον d. e.
[y] προῃροῦντο οὐ] οὐ προῃροῦντο e. k. l.
[z] Κλεοφῶν] λεοφῶν d.
[a] λυροποιὸς] τυροποιὸς Toup. ad Suid. 3, p. 95.
[b] πολλοὶ] πολλὰ e. οἱ πολλοὶ i.
[c] παρεγγραφεὶς] παραγραφεὶς h.
[d] αἰσχρῶς] αἰσχρὸς d.

κόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις [c]εἰρήνης μνησθήσεται· τελευτῶντες δὲ εἰς τοῦτο [f]τὴν πόλιν προή-
81 γαγον, ὥστε ἀγαπητῶς τὴν εἰρήνην ποιήσασθαι [g]ἀποστάντας [h]πάντων καὶ τὰ τείχη καθελόντας καὶ παραδεξαμένους φρουρὰν καὶ [i]Λακεδαιμόνιον ἁρμοστὴν καὶ τῆς δημοκρατίας [k]τοῖς τριάκοντα ἀφεμένους, οἳ χιλίους καὶ πενταχοσίους [l]τῶν πολιτῶν [m]ἀκρίτους ἀπέκτειναν. τὴν μὲν τοιαύτην ἀβουλίαν ὁμολογῶ [n]παραγγέλλειν φυλάττεσθαι, τὰ δ' ὀλίγῳ πρότερον εἰρημένα μιμεῖσθαι. οὐ γὰρ παρὰ τῶν ἀλλοτρίων ἀλλὰ [o]παρὰ τοῦ πάντων οἰκει-
82 στάτου ταῦτα ἐπυνθανόμην. Ἀτρόμητος γὰρ [p]ὁ πατὴρ ὁ ἡμέτερος (ὃν σὺ λοιδορεῖς οὔτ' εἰδὼς οὔτ' ἐπιδὼν τῆς ἑαυτοῦ ἡλικίας ὅστις ἦν, καὶ ταῦτα ὦ Δημόσθενες ἐκ τῶν νομάδων Σκυθῶν τὸ πρὸς [q]μητρὸς [r]γένος ὤν) ἔφυγε μὲν ἐπὶ τῶν τριάκοντα, συγκατήγαγε δὲ τὸν δῆμον· καὶ ὁ τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφός, [s]θεῖος δὲ ἡμέτερος, Κλεόβουλος ὁ Γλαύκου τοῦ Ἀχαρνέως υἱὸς μετὰ [t]Δημαινέτου τοῦ Βουζύγου συγκατεναυμάχησε [u]Χίλωνα [x]τὸν Λακεδαιμονίων ναύαρχον· ὥστε [y]οἰκεῖά μοι καὶ συνήθη τὰ τῆς πόλεως [z]ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν.
83 Ἐπιτιμᾷς δέ μοι καὶ τὴν ἐν τοῖς μυρίοις ἐν Ἀρκαδίᾳ δημηγορίαν καὶ πρεσβείαν, καὶ μεταβεβλῆσθαί με φῂς

[c] εἰρήνης] τῆς εἰρήνης a. g. i. m.
[f] τὴν πόλιν] τῇ πόλει i.
[g] ἀποστάντας] ἀποστάτας l.
[h] πάντων] πάντας m. πάντας g.
[i] λακεδαιμόνιον e. l. m. ceteri λακεδαιμονίων.
[k] τοῖς] τοὺς a. d. g. h. m.
[l] τῶν πολιτῶν] post ἀκρ. ponunt a. g. m.
[m] ἀκρίτους] ἀκρίτως e. l.
[n] παραγγέλλειν] παραγγέλλειν τῇ πόλει i.
[o] παρὰ τοῦ] τοῦ παρὰ l. περὶ τοῦ i.
[p] ὁ post γὰρ om. d.
[q] μητρὸς] πατρὸς i.
γρ. ὦ
[r] γένος ὤν] γένος ἔχων i. ὢν γένος e. k. l.
[s] θεῖος δὲ ἡμέτερος] ἐμὸς δὲ θεῖος i.
[t] Δημαινέτου] ζημενέτου h.
[u] Χίλωνα a. d. g. h. i. m. et correctus f. ceteri χείλωνα.
[x] τὸν] τῶν d. g. m.
[y] οἰκεῖά μοι] μοι οἰκεῖα l.
[z] ἀτυχήματα] εὐτυχήματα i.

αὐτὸς ὢν ἀνδραποδώδης καὶ μονονοὺχ ἐστιγμένος αὐτόμολος. ἐγὼ δ' ἐν μὲν τῷ πολέμῳ συνίστην, καθ' ὅσον ἦν [a]δυνατός, Ἀρκάδας καὶ τοὺς ἄλλους Ἕλληνας ἐπὶ Φί-
84 λιππον· οὐδενὸς δ' [b]ἀνθρώπων [c]ἐπικουροῦντος τῇ πόλει, [d]ἀλλὰ τῶν [e]μὲν [f]περιορώντων [g]ὅ τι συμβήσεται, τῶν δὲ [h]συνεπιστρατευόντων, τῶν δ' ἐν τῇ πόλει ῥητόρων χορηγὸν
30 [i]ταῖς [k]καθ' ἡμέραν δαπάναις τὸν πόλεμον ποιουμένων, ὁμολογῶ [l]συμβουλεῦσαι τῷ δήμῳ [m]διαλύσασθαι πρὸς Φίλιππον καὶ τὴν [n]εἰρήνην συνθέσθαι, ἣν σὺ [o]νῦν αἰσχρὰν νομίζεις οὐδεπώποθ' ἁψάμενος ὅπλων, ἐγὼ δὲ [p]ταύτην
85 εἶναι [q]πολλῷ φημὶ [r]καλλίω τοῦ πολέμου. χρὴ δὲ ὦ [s]ἄνδρες Ἀθηναῖοι τοὺς μὲν πρέσβεις θεωρεῖν πρὸς τὸν καιρὸν καθ' ὃν ἐπρέσβευον, τοὺς δὲ στρατηγοὺς πρὸς τὰς δυ-
35 νάμεις ὧν ἡγοῦντο. καὶ γὰρ τὰς εἰκόνας [t]ἵστατε καὶ τὰς προεδρίας καὶ τοὺς στεφάνους καὶ τὰς [u]ἐν πρυτανείῳ σιτήσεις δίδοτε οὐ τοῖς τὴν εἰρήνην ἀπαγγείλασιν, ἀλλὰ τοῖς [x]τὴν μάχην νικήσασιν. εἰ δ' ἔσονται [y]τῶν πολέμων αἱ μὲν εὐθῦναι τῶν πρέσβεων αἱ δὲ δωρεαὶ τῶν στρατηγῶν, ἀσπόνδους καὶ ἀκηρύκτους τοὺς πολέμους ποιήσετε· οὐδεὶς γὰρ [z]ἐθελήσει πρεσβεύειν.

[a] δυνατὸς a. d. e. f. h. i. k. vulg. δυνατόν.
[b] ἀνθρώπων a. h. vulg. ἀνθρώπου.
[c] ἐπικουροῦντος] ἐπικυροῦντος i.
[d] ἀλλὰ—πόλει] om. e. k. l.
[e] μὲν] μὲν διαπειθούντων τῶν δὲ i.
[f] περιορώντων] ἐπιορώντων i.
[g] ὅ τι] εἴτι g.
[h] συνεπιστρατευόντων] ἐπιστρατευομένων h.
[i] ταῖς] ἐν ταῖς i.
[k] καθ'] μεθ' h.
[l] συμβουλεῦσαι τῷ δήμῳ] συμβουλεύσασθαι τῇ πόλει e. k. l.
[m] διαλ. πρὸς Φιλ.] πρὸς Φίλ. διαλ. i.
[n] εἰρήνην] εἰρημένην h.
[o] νῦν αἰσχρὰν νομίζεις] αἰσχρὰν νῦν νομίζεις i. νομίζεις νῦν αἰσχρὰν a. g. m.
[p] ταύτην] αὐτὴν i.
[q] πολλῷ φημὶ] φημὶ πολλῷ a. g. m.
[r] καλλίω] καλλίονα i.
[s] ἄνδρες] Addidi sumptum ab i.
[t] ἵστατε a. vulg. ἱστᾶτε.
[u] ἐν πρυτανείῳ a. g. h. m. vulg. ἐν τῷ πρυτανείῳ.
[x] τὴν μάχην] μάχην l. μάχη e. τὰς μάχας i.
[y] τῶν πολέμων] τῶν μὲν πολέμων h. τῶ πολέμω e. l.
[z] ἐθελήσει a. g. i. m. ceteri θελήσει.

86 Περὶ δὲ Κερσοβλέπτου καὶ Φωκέων καὶ [a]τῶν ἄλλων 40
ἃ πρὸς τούτοις διαβέβλημαι, ὑπόλοιπον εἰπεῖν. ἐγὼ
[b]γὰρ ὧ Ἀθηναῖοι καὶ ἐν τῇ προτέρᾳ [c]καὶ ἐν τῇ ὑστέρᾳ
πρεσβείᾳ, ἃ μὲν εἶδον, ὡς εἶδον, ὑμῖν [d]ἀπήγγειλα, [e]ἃ δ'
ἤκουσα, [f]ὡς ἤκουσα. τίνα οὖν [g]ἦν ἑκάτερα τούτων, ἄ τε
εἶδον ἃ τε ἤκουσα περὶ Κερσοβλέπτου; [h]εἶδον μὲν ἐγὼ
[i]καὶ οἱ [k]συμπρέσβεις ἅπαντες ὁμηρεύοντα τὸν υἱὸν τὸν
Κερσοβλέπτου παρὰ [l]Φιλίππῳ· καὶ ἔτι καὶ [m]νῦν [n]ταῦθ' 39
87 οὕτως ἔχει. συνέβαινε δ' [o]ὅτε τὴν προτέραν [p]ἐπρεσβεύο-
μεν πρεσβείαν ἐμοὶ μὲν μετὰ τῶν συμπρέσβεων ἀπιέναι
δεῦρο, Φιλίππῳ δ' ἐπὶ Θράκην ἐξιέναι, πρὸς δ' [q]ἡμᾶς
ὡμολογηκέναι, ἕως ἂν [r]ὑμεῖς περὶ τῆς εἰρήνης βουλεύσησθε,
μὴ ἐπιβήσεσθαι μεθ' ὅπλων Χερρονήσου. [s]ἐν ἐκείνῃ μὲν
[t]οὖν τῇ ἡμέρᾳ [u]ᾗ ὑμεῖς ἐψηφισασθε τὴν εἰρήνην, οὐδεμία 5
88 μνεία [x]ἐγένετο περὶ Κερσοβλέπτου· ἤδη δὲ [y]ἡμῶν κεχειι-
ροτονημένων ἐπὶ τοὺς ὅρκους, οὔπω [z]δὲ [a]ἀπηρκότων ἐπὶ τὴν
[b]ὑστέραν πρεσβείαν, ἐκκλησια γίνεται, ἐν ᾗ [c]Δημοσθένης
ὁ [d]νυνὶ κατηγορῶν ἐμοῦ λαγχάνει πρεσβεύειν. ἐν δὲ ταύτῃ
τῇ ἐκκλησίᾳ [e]Κριτόβουλος ὁ Λαμψακηνὸς εἶπε παρελ-
θὼν ὅτι [f]πέμψειε μὲν αὐτὸν Κερσοβλέπτης, ἀξιοῖ δὲ ἀπο-

[a] τῶν om. h.
[b] γὰρ] μὲν h.
[c] καὶ ἐν τῇ ὑστέρᾳ] καὶ ὑστέρᾳ i.
[d] ἀπήγγειλα] ἀπήγγελλον a. g. k. l. m. ἀπήγγελον d. e. h.
[e] ἃ δ' ἤκουσα i. ceteri ἃ δ' ἤκουον.
[f] ὡς] εἶπον ὡς i.
[g] ἦν] om. i. k. l.
[h] εἶδον μὲν] εἴδομεν e. f. l.
[i] καὶ οἱ om. d.
[k] συμπρέσβεις] πρέσβεις l.
[l] Φιλίππῳ] φιλίππου i.
[m] νῦν] νυνὶ e.
[n] ταῦθ'] ταῦτ' i.
[o] ὅτε] ὅταν d.
[p] ἐπρεσβεύομεν] ἐπρέσβευον i.
[q] ἡμᾶς] ὑμᾶς e. i. l.
[r] ὑμεῖς περὶ τῆς εἰρ.] περὶ τῆς εἰρ. ὑμεῖς e.
[s] ἐν om. i.
[t] οὖν om. g. et pr. a. in margine ponit m.
[u] ᾗ] ἐν ᾗ i.
[x] ἐγένετο d. l.
[y] ἡμῶν] ὑμῶν d. l.
[z] δὲ om. d. f.
[a] ἀπηρκότων] ἀπηρκότων m. ἀπειρηκότων e. i. l. ἀπηρτηκότων d.
[b] ὑστέραν] ὑμετέραν i.
[c] Δημοσθ.] ὁ δημοσθ. i.
[d] νυνὶ] νῦν e. k. l.
[e] Κριτόβουλος] δημόκριτος i.
[f] πέμψειε] πέμψει i.

δοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου πρέσβεσιν καὶ [g]συνα- 10
ναγραφῆναι Κερσοβλέπτην [h]ἐν τοῖς [i]ὑμετέροις συμμάχοις.
89 ῥηθέντων δὲ τῶν λόγων τούτων Ἀλεξίμαχος ὁ Πήληξ δί-
δωσιν ἀναγνῶναι [k]ψήφισμα τοῖς προέδροις, [l]ἐν [m]ᾧ ἐγέ-
γραπτο ἀποδοῦναι τοὺς ὅρκους Φιλίππῳ μετὰ τῶν ἄλλων
συμμάχων τὸν ἥκοντα παρὰ Κερσοβλέπτου. ἀναγνω-
σθέντος [n]δὲ τοῦ [o]ψηφίσματος (καὶ ταῦτα οἶμαι πάντας
ὑμᾶς μνημονεύειν) ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης 15
οὐκ ἔφη τὸ ψήφισμα ἐπιψηφιεῖν, οὐδὲ λύσειν τὴν πρὸς
90 Φίλιππον εἰρήνην, οὐδὲ γινώσκειν τῶν [p]συμμάχων τοὺς συν-
εφαπτομένους ὥσπερ [q]ἐν τοῖς σπένδουσι τῶν ἱερῶν· ἀπο-
δοθῆναι γὰρ [r]περὶ τούτων [s]ἑτέραν ἐκκλησίαν. βοώντων δὲ
[t]ὑμῶν καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα [u]καλούντων, [x]οὗ-
τως [y]ἄκοντος [z]αὐτοῦ τὸ ψήφισμα [a]ἐπεψηφίσθη. Ὅτι
δ' ἀληθῆ λέγω, κάλει μοι τὸν γράψαντα τὸ ψήφισμα 20
Ἀλεξίμαχον καὶ τοὺς [b]συμπροέδρους [c]τοὺς Δημοσθένους,
καὶ τὴν μαρτυρίαν ἀνάγνωθι.

[d]ΜΑΡΤΥΡΙΑ.

91 Ὁ μὲν τοίνυν ἐπιδακρύσας [e]ἀρτίως ἐνταυθοῖ Δημο-
σθένης μνησθεὶς Κερσοβλέπτου φαίνεται τῆς συμμαχίας

[g] συναναγραφῆναι] συναναστραφῆναι i.
[h] ἐν om. i.
[i] ὑμετ.] ἡμετέροις e. k. l.
[k] ψήφισμα] τὸ ψήφισμα i.
[l] ἐν om. e. l.
[m] ᾧ om. k.
[n] δὲ] δὴ i. om. g. m. cum pr. a.
[o] ψηφίσματος] ψηφίσματος τοῖς προέδροις i.
[p] συμμάχων] συμμαχιῶν, ni fallor, a.
[q] ἐν om. i.
[r] περὶ τούτων] om. g.
[s] ἑτέραν om. d.
[t] ὑμῶν] ἡμῶν i.
[u] καλούντων] κατ' ὄνομα καλούντων i.
[x] οὕτως] οὗτος e.
[y] ἄκοντος] ἀκούοντος e. i. l.
[z] αὐτοῦ post ψήφισμα ponit m. utrobique g.
[a] ἐπεψηφίσθη] ἐψηφίσθη e.
[b] συμπροέδρους] προέδρους g. et pr. m.
[c] τοὺς sumpsi ab i.
[d] ΜΑΡΤΥΡΙΑ] om. a. g. m. ceteri, præter e. h. i. addunt τῶν Δημοσθένους συμπροέδρων.
[e] ἀρτίως ἐνταυθοῖ] ἐνταῦθα ἀρτίως i.

[f]ἐκκλείων αὐτόν. ὡς δ' ἡ παροῦσα ἐκκλησία διελύθη, ἐξ-
ώρκιζον τοὺς συμμάχους οἱ [g]τοῦ Φιλίππου πρέσβεις ἐν τῷ
[h]στρατηγίῳ τῷ ὑμετέρῳ. τετόλμηκε δὲ πρὸς ὑμᾶς εἰπεῖν
ὁ κατήγορος ὡς ἀπὸ τῶν ἱερῶν ἐγὼ Κριτόβουλον ἀπήλασα
92 τὸν πρεσβευτὴν τὸν παρὰ Κερσοβλέπτου, παρόντων μὲν
τῶν [i]συμμάχων, ἐψηφισμένου δὲ τοῦ δήμου, παρακαθη-
μένων δὲ τῶν στρατηγῶν, πόθεν τοσαύτην [k]ῥώμην λαβών;
ἢ πῶς ἂν τὸ πρᾶγμα ἐσιγήθη; εἰ δ' ἄρα ἐγὼ [l]ἐτόλμων
τοῦτο ποιεῖν, [m]ἐπέτρεψας ἂν ὦ Δημόσθενες, καὶ οὐκ ἐνέ-
πλησας [n]βοῆς καὶ κραυγῆς τὴν ἀγοράν, ὁρῶν με (ὡς
ἔφης ἀρτίως) ὠθοῦντα ἀπὸ τῶν ἱερῶν τὸν πρεσβευτήν;
Καλείτω [o]δέ μοι τοὺς στρατηγοὺς ὁ κῆρυξ καὶ τοὺς συν-
έδρους τῶν συμμάχων, καὶ τὰς μαρτυρίας αὐτῶν ἀκού-
σατε.

[p]ΜΑΡΤΥΡΙΑΙ.

93 Οὐκοῦν δεινόν, ὦ [q]ἄνδρες Ἀθηναῖοι, εἴ τις κατ' ἀνδρὸς
πολίτου, οὐχ ἑαυτοῦ ἀλλ' ὑμετέρου (τοῦτο γὰρ [r]προσδι-
ορθοῦμαι,) τολμᾷ τηλικαῦτα καταψεύδεσθαι, κινδυνεύον-
τος ὑπὲρ τοῦ σώματος; ἢ πῶς [s]οὐκ εἰκότως οἱ πατέρες
[t]ἡμῶν [u]ἐν ταῖς φονικαῖς δίκαις ἐπὶ Παλλαδίῳ κατέ-
δειξαν [x]τέμνοντας [y]τὰ τόμια τοὺς νικῶντας τῇ ψήφῳ
ἐξορκίζεσθαι (καὶ τοῦτο ὑμῖν πάτριόν ἐστιν ἔτι καὶ νῦν)
τἀληθῆ καὶ τὰ δίκαια [z]ψηφίζεσθαι τῶν δικαστῶν ὅσοι

[f] ἐκκλείων] ἐκκλείσας i.
[g] τοῦ] om. d.
[h] στρατηγίῳ] στρατηγείῳ d. et pr. m.
[i] συμμάχων] συμμάχων ἁπάντων i.
[k] ῥώμην] τόλμαν h.
[l] ἐτόλμων τοῦτο] τοῦτο ἐτόλμων i.
[m] ἐπέτρεψας] ἐπέστρεψας e.
[n] βοῆς καὶ κραυγῆς] κραυγῆς καὶ βοῆς h. βοῆς e. k. l.
[o] δέ] δή i.
[p] Titulum om. pr. a.
[q] ἄνδρες] recepi ex a.
[r] προσδιορθοῦμαι] προδιορθοῦμαι e. h. l.
[s] οὐκ] om. e.
[t] ἡμῶν] ὑμῶν e.
[u] ἐν] ἐπὶ e. k. l.
[x] τέμνοντας i. k. l. vulg. τέμνοντες.
[y] τὰ om. i.
[z] ψηφίζεσθαι] ἐψηφίσθη i.

τὴν ψῆφον ἤνεγκαν [a]αὐτῷ, καὶ ψεῦδος μηδὲν εἰρηκέναι, εἰ δὲ μή, [b]ἐξώλη αὐτὸν εἶναι [c]ἐπαρᾶσθαι καὶ τὴν οἰκίαν τὴν αὐτοῦ, τοῖς δὲ δικασταῖς [d]εὔχεσθαι πολλὰ καὶ ἀγαθὰ 10
94 εἶναι; καὶ μάλα ὀρθῶς καὶ πολιτικῶς, ὦ Ἀθηναῖοι· εἰ γὰρ μηδεὶς ἂν [e]ὑμῶν ἑαυτὸν ἀναπλῆσαι φόνου δικαίου βούλοιτο, ἢ που ἀδίκου [f]γε φυλάξαιτ' ἂν τὴν ψυχὴν [g]ἢ τὴν οὐσίαν ἢ τὴν ἐπιτιμίαν τινὸς ἀφελόμενος, ἐξ ὧν αὐτοὺς ἀνηρήκασί τινες, οἱ δὲ καὶ δημοσίᾳ ἐτελεύτησαν. ἆρ' οὖν [h]ὦ Ἀθηναῖοι δοίητ' ἄν μοι συγγνώμην, εἰ κίναιδον αὐτὸν προσειπὼν καὶ μὴ [i]καθαρεύοντα τῷ σώματι, [k]μηδ' 40
ὅθεν τὴν φωνὴν ἀφίησιν, ἔπειτα τὸ λοιπὸν μέρος τοῦ κατηγορήματος τοῦ περὶ [l]Κερσοβλέπτην [m]ἐπ' αὐτοφώρῳ δείξαιμι [n]ψεῦδος [o]ὄν;
95 Κάλλιστον γὰρ (οἶμαι) πρᾶγμα καὶ χρησιμώτατον τοῖς διαβαλλομένοις παρ' ὑμῖν γίνεται· καὶ γὰρ τοὺς χρόνους καὶ τὰ ψηφίσματα καὶ τοὺς [p]ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις γράμμασι τὸν ἅπαντα χρόνον φυλάτ- 5
τετε. εἴρηκε δὲ [q]οὑτοσὶ πρὸς ὑμᾶς παρὰ τοῦτο διαφθα-
96 ρῆναι τὰ Κερσοβλέπτου πράγματα, ὅτι τῆς πρεσβείας ὧν ἡγεμὼν ἐγὼ καὶ [r]κατευημερηκὼς παρ' ὑμῖν, αὐτοῦ κελεύοντος εἰς Θράκην ἡμᾶς ἰέναι Κερσοβλέπτου πολιορκουμένου καὶ διαμαρτύρασθαι Φιλίππῳ ταῦτα μὴ ποιεῖν, οὐκ [s]ἠθέλησα ἀλλ' ἐκαθήμην ἐν Ὠρεῷ, καὶ οἱ συμπρέσ-

[a] αὐτῷ] αὐτοῖς i.
[b] Post ἐξώλη cum e. f. k. l. omisi τε.
[c] ἐπαρᾶσθαι] ἐπαρᾶσθε correctus d.
[d] εὔχεσθαι] εὔχεσθε d.
[e] ὑμῶν] ἡμῶν e.
[f] γε om. i.
[g] ἢ post ψυχὴν om. e. k. l.
[h] ὦ] om. a.
[i] καθαρεύοντα] καθαρεύοντι d.
[k] μηδ' a. g. i. k. l. ceteri μήθ'.
[l] Κερσοβλέπτην] τὸν κερσοβλέπτην h.
[m] ἐπ' αὐτοφώρῳ] om. i.
ψεῦδος
[n] ψεῦδος] κέρδος i.
[o] ὄν] ἕν l.
[p] ἐπιψηφίσαντας] ψηφίσαντας h.
[q] οὑτοσὶ] οὗτος i.
[r] κατευημερηκὼς] κατευημερικὼς d.
[s] ἠθέλησα] ἠθέληκα g.

βεις, προξενίας κατασκευαζόμενοι. ἀκούσατε δὴ τῆς Χάρητος ἐπιστολῆς, ἣν ἐπέστειλε τότε τῷ δήμῳ, [t]ὅτι Κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν καὶ [u]Ἱερὸν ὄρος κατειληφε Φίλιππος ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθινοντος· Δημοσθένης δ' ἐν τῷ δήμῳ προήδρευε τούτου τοῦ μηνός, εἷς ὢν τῶν πρέσβεων, ἑβδόμῃ φθίνοντος.

[x]ΕΠΙΣΤΟΛΗ.

97 [y]Οὐ μόνον τοίνυν διετρίψαμεν τὰς λοιπὰς ἡμέρας τοῦ μηνός, [z]ἀλλὰ μουνυχιῶνος [a]ἐξωρμήσαμεν. καὶ τούτου τὴν βουλὴν [b]μάρτυρα ὑμῖν παρέξομαι· ἔστι γὰρ [c]αὐτῆς ψήφισμα, ὃ κελεύει [d]ἀπιέναι τοὺς πρέσβεις ἐπὶ τοὺς ὅρκους. Καί μοι λέγε [e]τὸ τῆς βουλῆς ψήφισμα.

ΨΗΦΙΣΜΑ.

[f]Προσανάγνωθι [g]δὴ καὶ τὸν χρόνον ὅστις ἦν.

ΧΡΟΝΟΣ.

98 Ἀκούετε [h]ὅτι μουνυχιῶνος ἐψηφίσθη τριτῃ ἱσταμένου. ὁ δὲ Κερσοβλέπτης πόσαις προτερον ἡμέραις ἀπώλεσε τὴν ἀρχὴν πρὶν ἐμὲ ἀπιέναι; ὡς φησι Χάρης ὁ στρατηγὸς καὶ [i]ἡ ἐπιστολή, τοῦ προτέρου μηνός, εἴπερ ἐλαφηβολιών ἐστι μουνυχιῶνος πρότερος. ἐδυνάμην [k]οὖν ἐγὼ σῶσαι Κερσοβλέπτην, ὃς πρὶν ἐμὲ [l]ἐξορμᾶν οἴκοθεν [m]ἀπολώλει; ἔπειτα οἴεσθέ τι τοῦτον ἀληθες εἰρηκέναι ἢ [n]περὶ τῶν ἐν

[t] ὅτι] ὅτε i.
[u] Ἱερὸν] τὸ ἱερὸν g.
[x] ΕΠΙΣΤΟΛΗ] ἐπιστολὴ χάρητος e. om. a. h.
[y] Οὐ—ψήφισμα] Hæc in margine ponit m.
[z] ἀλλὰ] ἀλλὰ καὶ e.
[a] ἐξωρμήσαμεν] ἐξωρμίσαμεν d.
[b] μάρτυρα] μάρτυρας d.
[c] αὐτῆς] αὐτοῦ e. l. αὐτοῖς d.
[d] ἀπιέναι τοὺς πρ.] τοὺς πρ. ἀπιέναι i.
[e] τὸ τῆς β. ψήφ.] τὸ ψήφ. τῆς β. i.
[f] Προσανάγνωθι] παρανάγνωθι a.g. προσαναγν.—χρόνος om. m.
[g] δὴ] δὲ g. h.
[h] ὅτι] om. pr. i.
[i] ἡ] Recepi ex i.
[k] οὖν] ἂν οὖν e. k. l. οὖν ἂν f. et rec. a.
[l] ἐξορμᾶν] ἐξορμῆσαι i.
[m] ἀπολώλει] ἀπωλώλει a. f. g. h. k. l. m.
[n] περὶ τῶν ἐν] τῶν ἐν περὶ i.

Μακεδονίᾳ πραχθέντων ἢ περὶ τῶν ἐν Θετταλίᾳ, ὃς τοῦ βουλευτηρίου καὶ τῶν δημοσίων γραμμάτων καὶ τοῦ
99 χρόνου καὶ τῶν ἐκκλησιῶν καταψεύδεται; καὶ τὸν Κερ- 25
σοβλέπτην Ἀθήνησι [o]μὲν ἔκσπονδον [p]ἐποίεις πρόεδρος ὤν, ἐν Ὠρεῷ [q]δ' ἠλέεις; καὶ νῦν μὲν δωροδοκίας κατηγορεῖς, πρότερον δ' ὑπέμεινας τὴν [r]ἐπιβολὴν τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου οὐκ [s]ἐπεξιὼν τῇ [t]τοῦ τραύματος γραφῇ, ἣν ἐγράψω Δημομέλην τὸν Παιανιέα ἀνεψιὸν ὄντα, ἐπιτεμὼν τὴν σαυτοῦ κεφαλήν. καὶ σεμνολογεῖς ἡμῖν ὡς οὐκ εἰδόσι [u]τούτοις ὅτι [x]Δημοσθένους υἱὸς [y]εἶ νόθος τοῦ μαχαιροποιοῦ. 30

100 [z]Ἐπεχείρησας δ' εἰπεῖν ὡς καὶ τὴν ἐπὶ τοὺς Ἀμφικτύονας πρεσβείαν ἐξομοσάμενος παρεπρέσβευσα, καὶ ψήφισμα τὸ μὲν ἀνέγνως τὸ δὲ ὑπερέβης. ἐγὼ δ' [a]αἱρεθεὶς πρεσβευτὴς [b]ἐπὶ τοὺς Ἀμφικτύονας, ἀῤῥώστως δ' ἔχων καὶ μετὰ πολλῆς [c]προθυμίας ἀπαγγέλλων [d]ἀφ' ἧς ἦκον πρεσβείας πρὸς ὑμᾶς, τὴν [e]μὲν πρεσβείαν οὐκ ἐξωμοσάμην ἀλλ' ὑπεσχόμην [f]πρεσβεύσειν, ἐὰν ὦ δυνατός, πρὸς δὲ τὴν βουλὴν ἀπιόντων τῶν συμπρέσβεων τὸν 35
ἀδελφὸν τὸν ἐμαυτοῦ καὶ τὸν ἀδελφιδοῦν καὶ τὸν ἰατρὸν ἔπεμψα, οὐκ ἐξομουμένους [g]ἐμέ (οὐδὲ γὰρ ὁ νόμος ἐᾷ τὰς ἐκ τοῦ [h]δήμου χειροτονίας ἐν τῇ βουλῇ ἐξόμνυσθαι)

[o] μὲν] μὲν ἂν a. h. m. μέναν i. k. μέλλων e. l.
[p] ἐποίεις] ἐποίει d. e. f. k. l.
[q] δ' ἠλέεις] δηλέει e. δ' ἠλέει d. f. k. l.
[r] ἐπιβολὴν] ἐπιβουλὴν d. e. g. i. k. l. m.
[s] ἐπεξιὼν] ἐξιὼν h.
[t] τοῦ] om. d. e. h. k. l.
[u] τούτοις] τοῦτο i.
[x] Δημοσθένους] δημοσθένης e.
[y] εἶ] εἶναι l. ἦν e.
[z] ἐπεχείρησας] ἐνεχείρησας d. f. h. l. ἐνεχείρισας e.
[a] αἱρεθεὶς] Post Ἀμφικτύονας ponit i.
[b] ἐπὶ] πρὸς i.
[c] προθυμίας] τῆς προθυμίας i.
[d] ἀφ'] ἐφ' e.
[e] μὲν] μὲν ἂν m.
[f] πρεσβεύσειν] πρεσβεύειν i.
[g] ἐμέ] om. a. e. f. g. k. l. m.
[h] δήμου] νόμου m.

101 ἀλλὰ τὴν ἀῤῥωστίαν μου [i]δηλώσοντας. [k]ἐπειδὴ δὲ οἱ
συμπρέσβεις πυθόμενοι τὰ περὶ τοὺς Φωκέας συμβάντα
ἀνέστρεψαν, γενομένης ἐκκλησίας ἤδη παρὼν καὶ δυνά-
μενος τῷ σώματι, [l]προσαναγκάζοντος τοῦ δήμου μηδὲν
ἧττον πρεσβεύειν ἡμᾶς τοὺς ἐξ ἀρχῆς αἱρεθέντας [m]ἅπαν- 40
102 τας, ἀψευδεῖν πρὸς Ἀθηναίους ὤμην δεῖν. καὶ ταύτης
τῆς πρεσβείας οὐ [n]κατηγόρεις μου διδόντος τὰς εὐθύνας,
ἀλλ' ἐπὶ ταύτην [τὴν πρεσβείαν] ἦκεις τὴν ἐπὶ τοὺς ὅρ-
κους, ὑπὲρ ἧς ἐγὼ σαφῶς καὶ δικαίως ἀπολογήσομαι.
σοὶ μὲν γὰρ ἁρμόττει καὶ πᾶσι τοῖς ψευδομένοις μετα-
φέρειν τοὺς χρόνους, ἐμοὶ δ' ἐφεξῆς λέγειν, ἀναλαβόντι
τὴν ἀρχὴν τοῦ λόγου ἀπὸ τῆς [o]πορείας τῆς ἐπὶ τοὺς ὅρ- 41
κους [καὶ τῆς πρεσβείας.]

103 Πρῶτον μὲν γὰρ δέκα πρέσβεων ὄντων, ἐνδεκάτου δὲ
τοῦ συμπεμφθέντος ἡμῖν [p]ὑπὸ τῶν συμμάχων, οὐδεὶς
[q]αὐτῷ συσσιτεῖν, ὅτ' ἐξήειμεν ἐπὶ τὴν ὑστέραν πρεσβείαν,
ἤθελεν, [r]οὐδὲ ἐν ταῖς ὁδοῖς, ὅπου δυνατὸν ἦν, εἰς [s]ταὐτὸν
[t]πανδοκεῖον καταλύειν, ὁρῶντες αὐτὸν ἐν τῇ προτέρᾳ πρεσ-
104 βείᾳ πᾶσιν αὐτοῖς ἐπιβεβουλευκότα. περὶ μὲν οὖν τῆς 5
ἐπὶ Θράκης ὁδοῦ οὐκ ἐγένετο μνεία· [u]οὔτε γὰρ τὸ ψή-
φισμα [x]τοῦθ' ἡμῖν προσέταττεν, ἀλλ' ἀπολαβεῖν μόνον
τοὺς ὅρκους καὶ [y]ἄλλ' ἄττα, οὔτ' [z]ἐλθόντας πράττειν [a]οὐ-
δὲν [b]ἐνεδέχετο [c]τῶν περὶ Κερσοβλέπτην ἤδη γεγενημένων,

[i] δηλώσοντας] δηλώσαντας d. l. m. δηλώσαντας f. g.
[k] ἐπειδὴ] ἐπεὶ d. l.
[l] προσαναγκάζοντος] προαναγκάζοντος.
[m] ἅπαντας] κάντας i.
[n] κατηγόρεις a. e. f. h. k. l. et γρ. m. vulg. κατηγορεῖς.
[o] πορείας] ἀπορίας e. k. l.
[p] ὑπὸ] ἀπὸ a. f. g. h. i. k. l. m.
[q] αὐτῷ] αὐτὸν h.
[r] οὐδὲ] εἴτε m. ceteri οὔτε.
[s] ταὐτὸν h. m. ceteri ταὐτό.
[t] πανδοκεῖον] πανδοχεῖον d. i.
[u] οὔτε] Libri οὐδέ.
[x] τοῦθ'] ταῦτα i.
[y] ἄλλ' ἄττα] ἄλλατα i.
[z] ἐλθόντας] ἐλθόντας δὲ i.
[a] οὐδὲν] οὐδὲ f.
[b] ἐνεδέχετο] ἐδέχετο a. e. l.
[c] τῶν] om. a. i.

[d] ὡς ἀρτίως ἠκούσατε, οὔθ' οὗτος οὐδὲν ἀληθὲς εἶπεν, ἀλλὰ ψεύδεται καὶ κατηγορεῖν [e] οὐδεν' [f] ἀληθὲς ἔχων τερατεύεται.
105 συνηκολούθουν δ' αὐτῷ ἄνθρωποι δύο στρωματόδεσμα φέροντες· ἐν δὲ τῷ ἑτέρῳ τούτων, ὡς αὐτὸς ἔφη, τάλαντον ἐνῆν ἀργυρίου. ὥστε τοὺς συμπρέσβεις ἀναμιμνήσκεσθαι τὰς ἀρχαίας ἐπωνυμίας αὐτοῦ· ἐν παισὶ μὲν γὰρ ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ [g] καὶ κιναιδίαν [h] Βάταλος, ἐκ παίδων δὲ ἀπαλλαττόμενος καὶ δεκαταλάντους δίκας [i] ἑκάστῳ τῶν ἐπιτρόπων λαγχάνων Ἀργὰς ἐκλήθη, ἀνὴρ δὲ γενόμενος προσείληφε τὴν τῶν πονηρῶν κοινὴν ἐπωνυ-
106 μίαν, συκοφάντης. ἐπορεύετο δὲ λυσόμενος τοὺς αἰχμαλώτους, ὡς ἔφη καὶ πρὸς ὑμᾶς ἀρτίως εἴρηκεν, εἰδὼς μὲν Φίλιππον ἐν τῷ πολέμῳ οὐδένα πώποτε Ἀθηναίων λύτρα πραξάμενον, ἀκούων [k] δὲ τῶν ἐκείνου φίλων ἁπάντων [l] ὅτι καὶ τοὺς λοιπούς, [m] ἐὰν εἰρήνη γένηται, [n] ἀφήσει, πολλῶν δ' [o] ἠτυχηκότων τάλαντον φέρων, ἑνὸς ἀνδρός, οὐδὲ τούτου
107 λίαν εὐπόρου, ἱκανὰ λύτρα. ὡς δ' ἦμεν [p] ἐν Μακεδονίᾳ καὶ συνήλθομεν εἰς ταὐτὸν καὶ Φίλιππον ἐκ Θράκης παρόντα [q] κατειλήφαμεν, ἀνεγνώσθη μὲν τὸ ψήφισμα καθ' ὃ [r] ἐπρεσβεύσαμεν, καὶ τὰ προστεταγμένα ἡμῖν πρὸς [s] τῷ τοὺς ὅρκους ἀπολαβεῖν συνηριθμούμεθα· ὡς δὲ οὐδεὶς ὑπὲρ τῶν μεγίστων ἐμέμνητο, ἀλλὰ περὶ πραγμάτων ἐλαττόνων τὴν διατριβὴν ἐποιοῦντο, εἶπον ἐγὼ λόγους οὓς ἀναγ-
108 καῖόν ἐστι πρὸς ὑμᾶς ῥηθῆναι. καὶ πρὸς τῶν θεῶν, ὦ [t] ἄν-

[d] ὡς] ὧν e. f. h. i. l.
[e] οὐδὲν] οὐθὲν m.
[f] ἀληθὲς] ἀληθῶς d.
[g] καὶ] ἢ d. f. om. h.
[h] Βάταλος] βάτταλος i.
[i] ἑκάστῳ] ἑαυτῷ d. f. h.
[k] δὲ] δὲ καὶ f. g. h.
[l] ὅτι] om. e. l.
[m] ἐὰν] οὐδ' ἐὰν l. οὐδ' ἂν e.
[n] ἀφήσει] ἀφήσειν e.
[o] ἠτυχηκότων] ἠτυχότων l.
[p] ἐν Μακεδονίᾳ] εἰς μακεδονίαν i.
[q] κατειλήφαμεν] Vereor ut sanum sit.
[r] ἐπρεσβεύσαμεν] ἐπρεσβεύομεν i.
[s] τῷ] τὸ e. k. om. l.
[t] ἄνδρες δικασταί i. vulg. Ἀθηναῖοι.

ὅρες δικασταί, ὥσπερ καὶ τῆς κατηγορίας ἠκούσατε ὡς
αὐτὸς ὁ κατήγορος [u]ἐβούλετο εἰπεῖν, οὕτω καὶ τῆς ἀπο-
λογίας εὐτάκτως [x]ἀκούσατε, καὶ τὸν αὐτόν [y]μοι τρόπον
διαμείνατε ὄνπερ [z]ἐξ ἀρχῆς ἐν τοῖς [a]προειρημένοις ἤδη λό-
γοις ἠκροᾶσθε. ὅπερ γὰρ καὶ ἀρτίως ὑπεθέμην, ὦ [b]ἄν-
δρες [c]Ἀθηναῖοι, εἶπον συνειλεγμένων τῶν πρέσβεων ὅτι μοι
[d]δοκοίησαν τὸ μέγιστον πρόσταγμα τοῦ δήμου δεινῶς
109 ἀγνοεῖν. "τὸ μὲν γὰρ τοὺς ὅρκους ἀπολαβεῖν καὶ περὶ 30
" τῶν ἄλλων διαλεχθῆναι καὶ [e]περὶ τῶν αἰχμαλώτων εἰ-
" πεῖν, κἂν [f]εἰ τοὺς ὑπηρέτας ἔπεμψεν ἡ πόλις περι-
" θεῖσα πίστιν αὐτοῖς, ἅπαντ' [g]ἂν πραχθῆναι νομίζω·
" τὸ δὲ ὑπὲρ τῶν ὅλων ὀρθῶς βουλεύσασθαι ὅσα καθ'
" [h]ἡμᾶς [i]ἐστὶν ἢ Φίλιππον, τοῦτο [k]ἤδη ἔργον ἐστὶ πρέσ-
" βεων φρονίμων. λέγω [l]δὲ" ἔφην ἐγώ "περὶ τῆς εἰς
" Πύλας στρατείας, ἣν ὁρᾶτε οὖσαν ἐν παρασκευῇ. "Οτι 35
" δὲ οὐ κακῶς στοχάζομαι περὶ τοῦ πράγματος, με-
110 " γάλα τούτων [m]ὑμῖν σημεῖα δείξω. πάρεισι μὲν γὰρ
" Θηβαίων, ἥκουσι δὲ Λακεδαιμονίων πρέσβεις, ἀφί-
" γμεθα δ' ἡμεῖς ἔχοντες τοῦ δήμου ψήφισμα, ἐν ᾧ γέ-
" γραπται πράττειν δὲ τοὺς πρέσβεις καὶ ἄλλ' ὅ τι ἂν
" δύνωνται ἀγαθόν· ἅπαντες δὲ [n]οἱ Ἕλληνες πρὸς τὸ
" μέλλον ἔσεσθαι βλέπουσιν. εἰ μὲν οὖν [o]ἡγεῖτο ὁ δῆμος
" αὐτῷ καλῶς ἔχειν ἐξενεγκεῖν μετὰ παῤῥησίας ἐν τῷ 40

[u] ἐβούλετο εἰπεῖν] εἰπεῖν ἐβούλετο i.
[x] ἀκούσατε] ἠκούσατε k.
[y] μοι τρόπον] τρόπον μοι i.
[z] ἐξ ἀρχῆς] om. pr. i.
[a] προειρ. ἤδη] ἤδη προειρ. i.
[b] ἄνδρες] recepi ex i.
[c] Ἀθηναῖοι] ἀθηναῖοι δικασταὶ i.
[d] δοκοίησαν a. e. f. k. l. δοκοίησ ἂν g. i. m. δοκοίη ἂν h. δοκείης ἂν d.
[e] περὶ τῶν] om. i.
[f] εἰ] εἰς a. l.
[g] ἂν πραχθῆναι] πραχθῆναι ἂν i.
[h] ἡμᾶς i. ceteri ὑμᾶς.
[i] ἐστὶν om. d.
[k] ἤδη ἔργον ἐστὶ πρ.] ἐστιν ἤδη πρ. ἔργων i.
[l] δὲ] δὴ l.
[m] ὑμῖν σημεῖα] σημεῖα ὑμῖν e. l.
[n] οἱ] om. g.
[o] ἡγεῖτο] ἡγεῖται d.

" ψηφίσματι [p] πρὸς Φίλιππον Θηβαίων μὲν περιελεῖν τὴν
" ὕβριν, Βοιωτῶν δὲ ἀναστῆσαι τὰ τείχη, ταῦτ' ἂν [q] ἠξί-
" ωσαν ἐν τῷ ψηφίσματι· νῦν δὲ αὐτοῖς μὲν κατέλιπον
" τὴν εἰς τὸ ἀφανὲς ἀναφοράν, ἂν μὴ [r] πείθωσιν, [s] ἐν
111 " ἡμῖν δὲ ἀποκινδυνεύειν ὠήθησαν δεῖν. δεῖ δὴ τοὺς πρὸς
" τὰ κοινὰ φιλοτιμουμένους μὴ κατέχειν μὲν [t] ἑτέρων
" χώραν πρέσβεων, οὓς [u] ἐξῆν [x] πέμπειν ἀνθ' ἡμῶν Ἀθη-
" ναίους, αὐτοὺς δὲ τὰς πρὸς Θηβαίους ἀπεχθείας φεύ-
" γειν, ὧν εἷς [y] ὢν [z] Ἐπαμινώνδας [a] στρατηγός, οὐχ ὑπο- 42
" πτήξας τὸ τῶν Ἀθηναίων ἀξίωμα, εἶπε διαῤῥήδην ἐν
" τῷ πλήθει τῶν Θηβαίων ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκρο-
" πόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν
112 " τῆς Καδμείας." ταῦτα δ' ἐμοῦ μεταξὺ λέγοντος ἀνα-
βοᾷ παμμέγεθες Δημοσθένης, ὡς ἴσασι πάντες οἱ συμ-
πρέσβεις [b] ἡμῶν· καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς [c] βοι- 5
ωτιάζει. ἦν δ' οὖν παρ' αὐτοῦ [d] τοιαυτὶ τὰ λεγόμενα,
" ἄνθρωπος [e] οὑτοσὶ ταραχῆς καὶ τόλμης ἐστὶ μεστός·
" ἐγὼ δὲ ὁμολογῶ μαλακὸς εἶναι καὶ [f] τὰ δεινὰ πόῤῥω-
" θεν δεδιέναι, [g] ἀπαγορεύω μέντοι [h] μὴ [i] συνταράττειν ἡμᾶς
" πρὸς [k] ἀλλήλας τὰς πόλεις, τὸ μὴ πολυπραγμονεῖν
" ἡμᾶς τοὺς πρέσβεις μηδέν, τοῦτ' ἀγαθὸν ὑπολαμβάνων
113 " εἶναι. πορεύεται Φίλιππος εἰς Πύλας, ἐγὼ δὲ ἐγκα- 10

[p] πρὸς] εἰπεῖν πρὸς e.
[q] ἠξίωσαν] ἠξίωσεν a. g. h. k. m.
[r] πείθωσιν] τι, πειθωσιν a. h. τι πεισθῶσιν g. i.
[s] ἐν] om. h.
[t] ἑτέρων] ἑτέραν i.
[u] ἐξῆν] ἐχρῆν g.
[x] πέμπειν] πέμψειν e. k. l.
[y] ὢν] ἦν i.
[z] Ἐπαμινώνδας] ἐπαμεινώνδας f.
[a] στρατηγὸς] ὁ στρατηγὸς ὃς i. unde recipiendus articulus.
[b] ἡμῶν] ὑμῶν h. k. l.
[c] βοιωτιάζει] βοιωτάζει e. βοιωτιᾶζειν g. m.
[d] τοιαυτὶ a. g. h. i. m. ceteri ταυτί.
[e] οὑτοσὶ] οὗτος d. e. f. k.
[f] τὰ δεινὰ πόῤῥ. δεδ.] πόῤῥ. τὰ δεινὰ δεδ. i. τὰ κοινὰ πόῤῥ. δεδ. e. k. l.
[g] ἀπαγ. μέντοι] καὶ ἀπαγ. i.
[h] μὴ] om. g. m.
[i] συνταράττειν] συντάττειν pr. a.
[k] ἀλλήλας] ἀλλήλους l.

" λύπτομαι. οὐδείς με τῶν ὅπλων [l] ἕνεκα [m] τῶν Φιλίπ-
" που [n] κρινεῖ, ἀλλ' [o] ὧν ἂν εἴπω τι μὴ δέον ἢ πράξω τι
" τῶν μὴ [p] προστεταγμένων." πέρας δὲ τοῦ πράγματος
ἐψηφίσαντο οἱ συμπρέσβεις, [q] κατ' ἄνδρα ἐπερωτώμενος
ἕκαστος ἡμῶν, ὅ τι νομίζει συμφέρειν, τοῦτο λέγειν. Ὅτι
δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς συμπρέσβεις καὶ [r] τὴν
μαρτυρίαν αὐτῶν [s] λέγε.

[t] ΜΑΡΤΥΡΙΑ.

114 Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, [u] συνελέγησαν μὲν εἰς 15
Πέλλαν αἱ πρεσβεῖαι, παρῆν δὲ [x] ὁ Φίλιππος καὶ τοὺς
Ἀθηναίων πρέσβεις [y] ὁ κῆρυξ ἐκάλει, πρῶτον μὲν [z] παρ-
ῆειμεν οὐ καθ' ἡλικίαν ὥσπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ, ὃ
παρά τισιν [a] εὐδοκίμει καὶ κόσμος [b] εἶναι τῆς πόλεως
[c] ἐφαίνετο, ἀλλὰ κατὰ τὴν Δημοσθένους ἀναισχυντίαν.
φάσκων γὰρ [d] νεώτατος εἶναι πάντων τὴν τάξιν τοῦ [e] πρῶ-
τος λέγειν οὐκ ἂν ἔφη παραλιπεῖν, οὐδ' [f] ἐπιτρέψειν τινί
(αἰνιττόμενος εἰς ἐμέ) προκαταλαβόντα τὰ Φιλίππου 20
115 ὦτα [g] τοῖς ἄλλοις λόγον μὴ καταλιπεῖν. ἀρξάμενος [h] δὲ
τοῦ [i] λέγειν, πρῶτον διαβολήν τινα [k] ὑπειπὼν κατὰ τῶν
συμπρέσβεων, ὡς οὐχ ἅπαντες ὑπὲρ τῶν αὐτῶν οὐδ' ὁμοίοι
[l] ταῖς δόξαις [m] ἥκοιμεν, [n] διεξῄει τὰς [o] ὑπηρεσίας τὰς

[l] ἕνεκα] ἕνεκεν i.
[m] τῶν] τοῦ d. e. i. l.
[n] κρινεῖ] κρίνει e. k.
[o] ὧν inter versus habet i.
[p] προστεταγμένων] πραττομένων i.
[q] κατ'] καθ' ἕνα i.
[r] τὴν μαρτυρίαν] τὰς μαρτυρίας i.
[s] λέγε] om. h.
[t] ΜΑΡΤΥΡΙΑ] μαρτυρία τῶν συμπρέσβεων h.
[u] συνελέγησαν] συνελέχθησαν i. et pr. a.
[x] ὁ] om. i.
[y] ὁ κ. ἐκάλει] ἐκάλει ὁ κ. i.
[z] παρῆειμεν οὐ] οὐ παρήειμεν e.
[a] εὐδοκίμει] εὐδοκιμεῖ d. e. k.
[b] εἶναι] om. i.
[c] ἐφαίνετο] κατεφαίνετο i.
[d] νεώτ. εἶναι πάντων] ἀπάντων νεώτ. εἶναι i.
[e] πρῶτος] πρώτως l. πρῶτος i.
[f] ἐπιτρέψειν] ἐπιτρέπειν h.
[g] τοῖς] om. pr. d.
[h] δὲ i. ceteri γάρ.
[i] λέγειν, πρῶτον] λέγειν πρῶτος d. e. h. l. πρῶτος λέγειν a. g. m.
[k] ὑπειπὼν κατὰ τῶν συμπρ.] κατὰ τῶν συμπρ. ὑπειπὼν g. m.
[l] ταῖς δόξαις] τῆς δόξης e. l.
[m] ἥκοιμεν] ἥκομεν a. d. g. h. i. m.
[n] διεξῄει] διεξήει μὲν e. l.
[o] ὑπηρεσίας] εὐεργεσίας i.

ὑπηργμένας εἰς Φίλιππον αὐτῷ, πρώτην μὲν τὴν [p] ἐν τῷ ψηφίσματι [q] τῷ Φιλοκράτους [r] συνηγορίαν, ὅτε ἔφευγε παρανόμων ἐξεῖναι γράψας Φιλίππῳ πρέσβεις πρὸς Ἀ- 25
θηναίους ὑπὲρ εἰρήνης πέμπειν· δεύτερον δὲ ὑπανέγνω τὸ ψήφισμα ὃ γεγραφὼς αὐτὸς ἦν, σπείσασθαι τῷ κήρυκι καὶ τῇ παρὰ Φιλίππου πρεσβείᾳ, τρίτον [s] δὲ τὸ περὶ τοῦ βουλεύσασθαι τὸν δῆμον ὑπὲρ εἰρήνης ἐν ταχταῖς ἡμέραις.
116 καὶ προσέθηκέ τι τοιοῦτον ἐνθύμημα τῷ λόγῳ, ὅτι πρῶτος [t] ἐπιστομίσαι τοὺς τὴν [u] εἰρήνην ἐκκλείοντας, οὐ τοῖς λόγοις ἀλλὰ τοῖς χρόνοις. ἔπειθ' ἕτερον [x] ἐπήγετο ψήφισμα, 30
τὸ καὶ περὶ συμμαχίας βουλεύσασθαι τὸν δῆμον, καὶ μετὰ ταῦτ' ἤδη τὸ περὶ τῆς προεδρίας τῆς εἰς τὰ Διονύ-
117 σια τοῖς πρέσβεσι [y] τοῖς Φιλίππου ψήφισμα. καὶ προσέθηκε τὴν ἐπιμέλειαν τὴν [z] αὐτοῦ καὶ προσκεφαλαίων θέσιν καὶ [a] φυλακάς τινας καὶ ἀγρυπνίας διὰ τοὺς φθονοῦντας καὶ [b] βουλομένους εἰς τὴν αὐτοῦ φιλοτιμίαν ὑβρίσαι, καὶ [c] τά γε δὴ καταγέλαστα παντελῶς, ἐφ' οἷς οἱ συμπρέσβεις 35
[d] ἐνεκαλύψαντο, ὡς ἐξένισε τοὺς πρέσβεις [e] τοὺς Φιλίππου, [f] ὡς ἐμισθώσατ' αὐτοῖς, ὅτ' ἀπῆσαν, [g] ὀρικὰ ζεύγη καὶ [h] σύμπαρῆει [i] ἐφ' ἵππου, οὐ καταδὺς εἰς τὸ σκότος ὥσπερ ἕτεροι τινές, ἀλλὰ φανερῶς ἐπιδεικνύμενος τὴν τῶν
118 πραγμάτων θεραπείαν. ἐκεῖνα δὲ [k] δὴ καὶ σφόδρα διωρθοῦτο· "Οὐκ εἶπον ὡς καλὸς εἶ· γυνὴ γὰρ τῶν ὄντων ἐστὶ "κάλλιστον· οὐδ' ὡς δεινὸς συμπιεῖν, σπογγιᾶς [l] τὸν 40

[p] ἐν] Tollebat H. Wolfius.
[q] τῷ Φιλοκράτους i. ceteri τοῦ φιλ.
[r] συνηγορίαν] δημηγορίαν e. k. l.
[s] δὲ] om. e. g. k. l. m.
[t] ἐπιστομίσαι] ἐπιστομῶσαι d.
[u] εἰρήνην] εἰρημένην h.
[x] ἐπήγετο g. i. m. vulg. ἐπῆγε.
[y] τοῖς Φιλίππου] τοῦ φιλίππου h.
[z] αὐτοῦ i. ceteri ἐπ' αὐτούς.
[a] φυλακάς] προφυλακάς i. φύλακάς d. h.
[b] βουλομένους] βουλευομένους a.
[c] τά] om. pr. m.
[d] ἐνεκαλ.] ἀνεκαλ. i.
[e] τοὺς Φ.] τοῦ φ. e. k. l.
[f] ὡς] καὶ l.
[g] ὀρικὰ] ὀρεικὰ g. m.
[h] συμπαρῆει] συμπαρῆσαν i.
[i] ἐφ'—ἀλλὰ] om. e. f. k. l.
[k] δὴ a. g. i. m. vulg. ἤδη.
[l] τὸν] οἶμαι τὸν i.

" ἔπαινον ὑπολαμβάνων τοῦτον εἶναι· οὐδ' ὡς [m] μνημονι-
" κός, σοφιστοῦ τὰ τοιαῦτα νομίζων ἐργολαβοῦντος ἐγ-
" κώμια εἶναι." ἵνα δὲ μὴ μακρολογῶ, [n] τοιαῦτ' ἦν ἃ
[o] ἔλεγε παρόντων τῶν πρέσβεων ὡς ἔπος εἰπεῖν ἐξ ἁπά-
σης [p] τῆς Ἑλλάδος, ἐφ' οἷς γέλωτες οὐχ οἱ τυχόντες
119 [q] ἐγένοντο. Ἐπειδὴ δέ ποτ' ἐπαύσατο καὶ σιωπὴ [r] ἐγέ-
νετο, ἠναγκαζόμην ἐγὼ λέγειν μετὰ τοιαύτην ἀπαιδευ-
σίαν [s] καὶ κολακείας αἰσχρᾶς ὑπερβολήν. καὶ [t] μικρὰ 43
προεῖπον ἐξ ἀνάγκης πρὸς τὴν προειρημένην κατὰ τῶν
[u] συμπρέσβεων ὑπ' αὐτοῦ διαβολήν, λέγων ὅτι πέμ-
ψειαν ἡμᾶς [x] Ἀθηναῖοι πρέσβεις οὐκ ἀπολογησομένους
ἐν Μακεδονίᾳ περὶ ἡμῶν αὐτῶν, ἀλλ' οἴκοθεν ἐκ τοῦ
120 βίου δεδοκιμασμένους ἀξίους τῆς πόλεως εἶναι. βρα-
χέα δ' ὑπὲρ τῶν ὅρκων [y] εἰπὼν ἐφ' οὓς ἥκομεν ἀπο- 5
ληψόμενοι, καὶ περὶ τῶν ἄλλων ἃ προσετάξατε ὑμεῖς
διεξήειν· ὁ γὰρ περιττὸς [z] κἀν τοῖς λόγοις δεινὸς Δημο-
σθένης [a] οὐδενὸς τῶν ἀναγκαίων ἐμνησθη· καὶ δὴ καὶ περὶ
τῆς εἰς Πύλας [b] στρατείας εἶπον καὶ περὶ [c] τῶν [d] ἱερῶν
καὶ περὶ [e] Δελφῶν καὶ περὶ [f] τῶν Ἀμφικτυόνων, καὶ
[g] μάλιστα μὲν Φιλιππον ἠξίουν μὴ μεθ' ὅπλων ἀλλὰ
μετὰ ψήφου καὶ κρίσεως τἀκεῖ [h] καθιστάναι, εἰ δ' ἄρα
[i] μὴ δυνατὸν εἴη (τοῦτο δ' ἦν πρόδηλον· τὸ γὰρ στρατό- 10

[m] μνημονικός] μνημονικὸς εἶ a. g. i. m.
[n] τοιαῦτ'] ταῦτ' e. h.
[o] ἔλεγε] ἔλεγες l.
[p] τῆς] om. e. l.
[q] ἐγένοντο] ἐγίνοντο i.
[r] ἐγένετο] ἐγίγνετο i.
[s] καὶ] καὶ ἀναισχυντίαν καὶ i.
[t] μικρὰ] μικρὸν l. malim μικρὰ μέν.
[u] συμπρέσβεων] πρέσβεων e. l.
[x] Ἀθ.] οἱ Ἀθ. e.
[y] εἰπὼν d.e.f.k.l. ceteri προειπών.
[z] κἀν τοῖς λόγοις δεινὸς] καὶ τοῖς λ. δ. f. καὶ δ. ἐν τοῖς λ. i.
[a] οὐδενὸς] οὐδὲν περὶ i.
[b] στρατείας] στρατιᾶς i.
[c] τῶν] om. e. k. l.
[d] ἱερῶν] φακέων ἱερῶν i.
[e] Δελφῶν] τῶν δελφῶν i.
[f] τῶν] om. e. k. l.
[g] μάλιστα] κάλλιστα h.
[h] καθιστάναι] καθεστάναι g. h. m.
[i] μὴ δυνατὸν] ἀδύνατον e. k. l.

πεδον παρῆν καὶ συνήθροιστο) εἶπον ὅτι τὸν μέλλοντα ὑπὲρ Ἑλληνικῶν ἱερῶν βουλεύεσθαι πολλὴν προσήκει πρόνοιαν ὑπὲρ εὐσεβείας ἔχειν καὶ τοῖς περὶ τῶν πατρίων
121 ἐγχειροῦσι διδάσκειν προσέχειν τὸν νοῦν. ἅμα δ' ἐξ ἀρχῆς διεξῆλθον τὴν κτίσιν τοῦ ἱεροῦ καὶ τὴν πρώτην [k] σύνοδον γενομένην τῶν Ἀμφικτυόνων, καὶ τοὺς ὅρκους [l] αὐτῶν ἀνέγνων, ἐν οἷς ἔνορκον ἦν τοῖς ἀρχαίοις μηδεμίαν πόλιν τῶν [m] Ἀμφικτυονίδων ἀνάστατον ποιήσειν μηδ' ὑδάτων [n] ναματιαίων εἴρξειν μήτ' ἐν πολέμῳ μήτ' ἐν εἰρήνῃ, ἐὰν δέ τις ταῦτα παραβῇ, [o] στρατεύσειν ἐπὶ τοῦτον καὶ τὰς πόλεις ἀναστήσειν, καὶ ἐάν τις ἢ συλᾷ τὰ τοῦ θεοῦ ἢ συνειδῇ τι ἢ βουλεύσῃ τι κατὰ τῶν [p] ἐν τῷ ἱερῷ, τιμωρήσειν καὶ [q] χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πάσῃ δυνάμει·
122 καὶ προσῆν τῷ ὅρκῳ ἀρὰ ἰσχυρά. τούτων δὲ ἀναγνωσθέντων ἀπεφηνάμην ὅτι [r] ἐμοὶ [s] δοκοῖ δίκαιον εἶναι μὴ περιορᾶν κατεσκαμμένας τὰς ἐν Βοιωτοῖς πόλεις. ὅτι [t] δ' ἦσαν [u] Ἀμφικτυονίδες καὶ ἔνορκοι, [x] κατηριθμησάμην ἔθνη [y] δώδεκα [z] τὰ μετέχοντα τοῦ ἱεροῦ, Θετταλούς, Βοιωτούς (οὐ Θηβαίους μόνους), Δωριέας, [aa] Ἴωνας, [b] Περραιβούς, Μάγνητας, Λοκρούς, [c] Οἰταίους, Φθιώτας, [d] Μαλιεῖς,

[k] σύνοδον γενομένην] γενομένην σύνοδον e.

[l] αὐτῶν] Immo αὐτῷ.

[m] Ἀμφικτυονίδων] ἀμφικτυονίων l. ἀμφικτυόνων e. i.

[n] ναματιαίων] ναματίων e. l.

[o] στρατεύσειν k. l. ceteri στρατεύειν.

[p] ἐν τῷ ἱερῷ] ἐν ἱερῷ a. ἱερῶν g. h. et pr. m.

[q] χειρὶ καὶ ποδὶ i. vulg. ποδὶ καὶ χειρί.

[r] ἐμοὶ] μοι i.

[s] δοκοῖ] δοκοίη i. ceteri δοκεῖ.

[t] δ' d. e. f. h. k. l. vulg. δή.

[u] Ἀμφικτυονίδες] ἀμφικτύονες i.

[x] κατηριθμ. d. e. f. h. k. l. H. Wolfius κατηριθμ. δέ: ceteri καὶ ἠριθμησάμην.

[y] δώδεκα] δυώδεκα i.

[z] τὰ] om. d. f. τὰ—μόνους in margine ponit rec. m.

[aa] Post Ἴωνας Valckenarius (ad Herodot. 7, 131.) Αἰνιᾶνας inserit. Cf. Wesseling. ad Diodor. 16, 29.

[b] Περραιβούς] περρεβαίους e.

[c] Οἰταίους] οἰτεοὺς e. τε καὶ g. m.

[d] Μαλιεῖς Scaliger et Valckenarius. μαλαιεῖς i. μαλεεῖς ceteri.

[c] Φωκεῖς. καὶ τούτων ἔδειξα [f] ἕκαστον ἔθνος ἰσόψηφον [g] γινόμενον τὸ μέγιστον τῷ [h] ἐλάττονι, τὸν ἥκοντα ἐκ Δωρίου καὶ [i] Κυτινίου ἴσον δυνάμενον Λακεδαιμονίοις (δύο γὰρ ψήφους ἕκαστον φέρει ἔθνος), πάλιν ἐκ τῶν Ἰώνων τὸν [k] Ἐρετριέα [l] καὶ Πριηνέα [m] τοῖς Ἀθηναίοις, καὶ [n] τοὺς
123 ἄλλους [o] κατὰ ταὐτά. τὴν μὲν οὖν ἀρχὴν τῆς στρατείας ταύτης [p] ὁσίαν καὶ δικαίαν ἀπεφηνάμην εἶναι· συλλεγέντων δὲ [q] τῶν Ἀμφικτυόνων εἰς τὸ ἱερὸν καὶ τυχόντων σωτηρίας καὶ ψήφου τοὺς αἰτίους τῆς ἐξ ἀρχῆς καταλήψεως τοῦ ἱεροῦ δίκης ἠξίουν τυχεῖν, μὴ τὰς πατρίδας αὐτῶν ἀλλ' αὐτοὺς τοὺς [r] χειρουργήσαντας καὶ βουλεύσαντας, τὰς δὲ πόλεις παρεχούσας εἰς [s] κρίσιν τοὺς ἀδικήσαντας ἀζημίους εἶναι. "εἰ δ' [t] ἐπεξελθὼν δυνάμει
" βεβαιώσεις τὰ Θηβαίων ἀδικήματα, παρ' ὧν μὲν
" [u] βοηθεῖς οὐκ ἀπολήψῃ χάριν ([x] οὐ γὰρ ἂν δύναιο [y] αὐ-
" τοὺς τηλικαῦτα εὐεργετῆσαι ἡλίκα Ἀθηναῖοι πρότερον,
" ὧν οὐ μέμνηνται), οὓς δ' [z] ἐγκαταλείψεις, [a] ἀδικήσας
" χρήσῃ [b] ἐχθροῖς μείζοσιν ἀλλ' οὐ φίλοις."
124 Ἵνα δὲ μὴ διατριβω τοὺς ἐκεῖ [c] λόγους ῥηθέντας [d] νῦν πρὸς ὑμᾶς ἀκριβῶς διεξιών, ἐν κεφαλαίῳ περὶ πάντων

[c] Φωκεῖς] οἰταίους φωκεῖς g. m.
[f] ἕκαστον] om. pr. i.
[g] γινόμενον] γενόμενον d. e.
[h] ἐλάττονι] ἐλαχίστῳ i.
[i] Κυτινίου] κοιτινίου a. g. m. κυνιτίου d.
[k] Ἐρετριέα] ἐρετρία e. Ἐρυθραῖον H. Wolfius.
[l] καὶ Πριηνέα] om. e. f. k. l.
[m] τοῖς Ἀθηναίοις] om. e. l.
[n] τοὺς ἄλλους] τοῖς ἄλλοις e. l. τοῖς ἄλλοις k.
[o] κατὰ ταὐτά] καταντά d.
[p] ὁσίαν] θείαν i.
[q] τῶν] ἁπάντων τῶν i.
[r] χειρουργήσαντας] χορηγήσαντας e. l. et correctus i.
[s] κρίσιν] τὴν κρίσιν i.
[t] ἐπεξελθὼν] ἐπελθὼν i. l.
[u] βοηθεῖς] βοηθηθῆς h. βοηθηθεὶς f.
[x] οὐ] οὐδὲ i.
[y] αὐτοὺς] αὐτὸς e. f. h. i. k. l.
[z] ἐγκαταλείψεις] ἐγκαταλήψεις d. e. l. m. ἐγκαταλείψας g.
[a] ἀδικήσας Lobeck. ad Phrynich. p. 715: libri ἀδικήσεις.
[b] ἐχθροῖς] δ' ἐχθροῖς d. e. f. h. i. k. et correcti a. m.
[c] λόγ. ῥηθ.] ῥηθ. λόγους i.
[d] νῦν] νυνὶ i.

εἰπὼν παύσομαι. ἡ μὲν τύχη καὶ Φίλιππος ἦσαν τῶν ἔργων κύριοι, ἐγὼ δὲ τῆς [c] πρὸς ὑμᾶς εὐνοίας καὶ τῶν λόγων. παρ' ἐμοῦ μὲν [f] οὖν [g] ἐρρήθη τὰ δίκαια καὶ τὰ συμφέροντα [h] ὑμῖν, ἀπέβη δὲ οὐχ ὡς ἡμεῖς ηὐχόμεθα, ἀλλ' ὡς [i] Φίλιππος ἔπραξε. πότερον οὖν ὁ μηδεν [k] προθυμηθεὶς [l] ἐργάσασθαι ἀγαθὸν δίκαιός ἐστιν εὐδοξεῖν, ἢ ὁ μηδὲν [m] ὢν ἦν δυνατὸς ἐλλείπων; ἐν δὲ τῷ παρόντι νυνὶ πολλὰ διὰ τὸν καιρὸν παραλείπω.

125 Εἶπε δὲ ὡς ἐψευδολόγουν φάσκων [n] ὀλίγων ἡμερῶν τὰς Θήβας ἔσεσθαι ταπεινάς, καὶ τοὺς Εὐβοέας ὡς ἐφόβουν προάγων εἰς ἐλπίδας τινὰς ὑμᾶς. ὃ δὲ ποιεῖ, καταμάθετε ὦ Ἀθηναῖοι. ἐγὼ [o] γὰρ παρὰ Φιλίππῳ μὲν ὢν ἠξίωσα, πρὸς δ' ὑμᾶς ἥκων [p] ἀπήγγελλον, ὅτι τὰς Θήβας Βοιωτίαν δίκαιον [q] ἡγοίμην εἶναι καὶ μὴ τὴν Βοι- 44
ωτίαν Θήβας. τοῦτο οὐκ ἀπαγγεῖλαι ἀλλ' ὑποσχέσθαι
126 [r] με [s] φησίν. ἔλεγον δὲ πρὸς ὑμᾶς [t] ὅτι [u] Κλεοχάρης ὁ Χαλκιδεὺς θαυμάζειν [x] ὑμῶν καὶ Φιλίππου [y] φαίη τὴν ἐξαίφνης ὁμόνοιαν, [z] καὶ τὸ προστεταγμένον [a] ἡμῖν, πράττειν ἀγαθὸν ὅ τι ἂν [b] δυνώμεθα, ἐν τῷ ψηφίσματι· τοὺς γὰρ μικροπολίτας, ὥσπερ [c] αὐτός, φοβεῖν τὰ τῶν μει- 5
ζόνων ἀπόῤῥητα. ταῦτα οὐ [d] διηγήσασθαί [e] με φησίν,

[e] πρὸς] εἰς a. g. i.
[f] οὖν] om. g. i. l. et pr. m.
[g] ἐρρήθη] ἐρρέθη e. l.
[h] ὑμῖν] ἡμῖν k. l.
[i] Φίλιππος] ὁ φίλιππος e.
[k] προθυμηθεὶς] προμηθεὶς k.
[l] ἐργάσ. ἀγαθὸν] ἀγαθὸν ἐργάσ. i.
[m] ὢν ἦν δυνατὸς] δυνατὸς ὢν i.
[n] ὀλίγων ἡμερῶν] δι' ὀλίγων καιρῶν e. k. l.
[o] γὰρ] om. d.
[p] ἀπήγγελλον] ἀπήγγελον d. ἀπήγγειλα i.
[q] ἡγοίμην] ἡγούμην i.
[r] με] μοι l.
[s] φησίν] φησὶν ὅτι πάντως ταῦτα ποιήσει φίλιππος g.
[t] ὅτι] ἅ, τε d. f. h. k.
[u] Κλεοχάρης] καὶ λεωχάρης i.
[x] ὑμῶν] ἡμῶν a. d. e. f. h. k. l.
[y] φαίη] om. k. l.
[z] καὶ] ὡς καὶ a. g. i. m.
[a] ἡμῖν πράττειν] πράττειν ἡμῖν i.
[b] δυνώμεθα] δυναίμεθα g.
[c] αὐτὸς e. h. k. l. et pr. f. vulg. αὐτούς.
[d] διηγήσασθαι] διήγησθαι l.
[e] με] μοι pr. m.

ἀλλ' ἐπηγγέλθαι τὴν Εὔβοιαν παραδώσειν. ἐγὼ [f] δὲ ὑπειλήφειν δεῖν τὴν πόλιν τὴν ὑπὲρ τῶν ὅλων [g] μέλλουσαν βουλεύεσθαι μηδενὸς λόγου Ἑλληνικοῦ ἀνήκοον εἶναι.

127 [h] Διέβαλλε δὲ κἀκεῖνον διαιρούμενος τὸν λόγον, ὡς ἀπαγγέλλειν τἀληθῆ βουλόμενος ὑπ' ἐμοῦ καὶ Φιλοκράτους κωλυθείη. ἐγὼ δ' [i] ὑμᾶς ἡδέως ἂν ἐροίμην, εἴ τις πώποτε Ἀθηναίων [k] πρεσβευτὴς ἐκπεμφθεὶς ἐφ' οἷς πε- 10 πρέσβευκε κεκώλυται [l] πρὸς τὸν δῆμον ἀπαγγέλλειν, καὶ ταῦτα παθὼν καὶ ἀτιμασθεὶς ὑπὸ τῶν συμπρέσβεων τούτους ἔγραψεν ἐπαινέσαι καὶ καλέσαι ἐπὶ δεῖπνον.

128 Δημοσθένης τοίνυν ἦκεν ἀπὸ τῆς ὑστέρας πρεσβείας, ἐν ᾗ φησὶ τὰ τῶν Ἑλλήνων πράγματα ἀνατραπῆναι, οὐκ ἐν τῷ ψηφίσματι μόνον ἡμᾶς [m] ἐπῄνει, ἀλλ' ἀπαγγείλαντος πρὸς τὸν δῆμον ἐμοῦ [n] τοὺς περὶ τῶν Ἀμφικτυόνων 15 λόγους καὶ Βοιωτῶν, οὐχ ὥσπερ νῦν συντέμνοντος [o] οὐδ' ἐπειγομένου, ἀλλ' [p] ὡς [q] ἐδυνάμην κατὰ ῥῆμα ἀκριβέ-

129 στατα, καὶ τοῦ δήμου σφόδρα ἀποδεχομένου, παρακληθεὶς ὑπ' ἐμοῦ μετὰ τῶν ἄλλων [r] συμπρέσβεων, [s] καὶ διερωτώμενος εἰ τἀληθῆ καὶ ταὐτὰ ἀπαγγέλλω [t] πρὸς Ἀθηναίους ἅπερ πρὸς Φίλιππον εἶπον, πάντων μαρτυρούντων καὶ ἐπαινούντων [u] με τῶν συμπρέσβεων [x] ἐπαναστὰς ἐπὶ πᾶσιν οὐκ ἔφη με, ὥσπερ ἐκεῖ εἶπον, οὕτως ἐν τῷ παρ- 20

[f] δὲ] om. l.

[g] μέλλουσαν βουλεύεσθαι] βουλεύεσθαι μέλλουσαν k. l. μέλλουσαν βουλεύσασθαι e.

[h] Διέβαλλε] διέβαλλεν k. διέβαλε e. g. l.

[i] ὑμᾶς ἡδέως] ἡδέως ἂν ὑμᾶς h. ὑμᾶς ἀδεῶς ἂν e.

[k] πρεσβευτὴς] πρεσβεῦσαι e.h.k.l.

[l] πρὸς τὸν δῆμον] Horum loco lacuna est in k.

[m] ἐπῄνει ἀλλ'] ἐπαινεῖ ἀλλ' ὡς i.

[n] τοὺς] τοὺς τότε f.

[o] οὐδ'] καὶ d.

[p] ὡς] om. k.

[q] ἐδυνάμην] ἐδυνάμην ἐγὼ i.

[r] συμπρέσβευν] πρέσβευν i.

[s] καὶ διερωτώμενος] om. pr. f. καὶ solum om. e. k. l.

[t] πρὸς] καὶ πρὸς f. g.

[u] με] μετὰ i.

[x] ἐπαναστὰς] ἀναστὰς e. i.

ὁντι λέγειν, ἀλλ' ἐκεῖ [y] διπλασίῳ ἄμεινον. καὶ [z] τούτων ὑμεῖς οἱ τὴν ψῆφον μέλλοντες φέρειν ἐστέ μοι μάρτυρες. καίτοι τίς [a] ἂν αὐτῷ καλλίων καιρὸς ἐγένετο ἢ τότ' ἐξ-
130 ελέγχειν εὐθύς, [b] εἴ τι τὴν πόλιν ἐξηπάτων; φὴς γάρ με ἐν μὲν τῇ [c] προτέρᾳ πρεσβείᾳ λαθεῖν [d] σαυτὸν συνεστηκότα [e] ἐπὶ τὴν πόλιν, ἐν δὲ τῇ [f] ὑστέρᾳ [g] αἰσθέσθαι, ἐν ᾗ συναγορεύων μοι φαίνῃ. κἀκείνης μὲν ἅμα κατηγορῶν οὐ φὴς κατη- 25
γορεῖν, [h] τῆς δ' ἐπὶ τοὺς ὅρκους κατηγορεῖς. καίτοι εἰ τὴν εἰρήνην ψέγεις, σὺ [i] καὶ τὴν συμμαχίαν ἔγραψας· καὶ [k] Φίλιππος εἴ τι τὴν πόλιν ἐξηπάτα, διὰ τοῦτο ἐψεύδετο, ὅπως τῆς εἰρήνης [l] ἥπερ συνέφερεν αὐτῷ [m] τύχοι. οὐκοῦν ἡ μὲν προτέρα πρεσβεία τὸν καιρὸν τοῦτον εἶχεν, ἡ δ' ὑστέρα ἐπὶ πεπραγμένοις ἐγίνετο.

[n] Τίνες οὖν ἦσαν αἱ ἀπάται ([o] ταῦτα γὰρ τοῦ γόητος
131 [p] ἀνθρώπου) ἐξ ὧν εἴρηκε λογίσασθε. εἰσπλεῖν μέ φησιν 30
ἐν μονοξύλῳ πλοίῳ κατὰ τὸν [q] Λυδίαν ποταμὸν τῆς νυκτὸς ὡς Φίλιππον, καὶ τὴν ἐπιστολὴν τὴν δεῦρο [r] ἐλθοῦσαν Φιλίππῳ γράψαι. ὁ μὲν γὰρ Λεωσθένης, ὁ φεύγων [s] ἐνθένδε διὰ τοὺς συκοφάντας, οὐ δυνατὸς ἦν [t] ἐπιδεξίως ἐπιστολὴν γράψαι· ὃν οὐκ ὀκνοῦσί τινες [u] ἀποφαίνεσθαι

[y] διπλασίῳ] διπλάσιον e. διπλασίως ceteri.
[z] τούτων] τοῦτον m.
[a] ἂν] om. h.
[b] εἴ τι] ὅτε i.
[c] προτέρᾳ i. ceteri πρώτῃ.
[d] σαυτὸν] ἑαυτὸν e. k.
[e] ἐπὶ] om. g. l. m. et pr. a.
[f] ὑστέρᾳ e. i. l. vulg. ὑστεραίᾳ.
[g] αἰσθέσθαι] αἴσθεσθαι d.
[h] τῆς] τοὺς i.
[i] καὶ post σὺ om. g. m.
[k] Φίλιππος] ὁ φίλιππος i.
[l] ἥπερ H. Wolfius. εἴ τι i. ceteri εἴπερ.
[m] τύχοι] τύχῃ e.
[n] Τίνες] τίνος h.
[o] ταῦτα] τὰ k.
[p] ἀνθρώπου] om. pr. m.
[q] Λυδίαν] λοιδίαν Reiskius cum Harpocratione.
[r] ἐλθοῦσαν] om. l.
[s] ἐνθένδε] ἐνθάδε e. l. post συκοφάντας ponit i.
[t] ἐπιδεξίως ἐπιστολὴν] ἐπιστολὴν ἐπιδεξίως i. pro ἐπιστολὴν lacuna est in k.
[u] ἀποφαίνεσθαι—Ἀφιδναίων] om. f. k.

μετὰ Καλλίστρατον τὸν [x]Ἀφιδναῖον τῶν ἄλλων μά-
132 λιστα [y]εἰπεῖν δύνασθαι· οὐδ' αὐτὸς [z]ὁ Φίλιππος, πρὸς ὃν
ἀντειπεῖν Δημοσθένης [a]ὑπὲρ ὑμῶν οὐκ ἠδυνήθη· οὐδ' ὁ 35
Βυζάντιος [b]Πύθων, ἄνθρωπος [c]περὶ τὸ γράφειν [d]λόγους
μέγα φρονῶν· ἀλλ' ὡς ἔοικε, τὸ πρᾶγμα ἐμοῦ προσ-
εδεῖτο. καὶ λέγεις [e]μὲν ὅτι Φιλίππῳ [f]μεθ' ἡμέραν [g]πολ-
λάκις μόνος μόνῳ διελεγόμην, αἰτιᾷ [h]δὲ εἰσπλεῖν [i]με
νύκτωρ κατὰ τὸν ποταμόν· οὕτω νυκτερινῆς ἐπιστολῆς τὸ
133 πρᾶγμα ἐδεῖτο. ὅτι δ' οὐδὲν ἀληθὲς λέγεις, ἤκουσι μὲν
[k]μαρτυρήσοντες μεθ' ὧν [l]συνεσίτουν, Ἀγλαοκρέων ὁ Τενέ- 40
διος καὶ Ἰατροκλῆς ὁ Πασιφῶντος, μεθ' ὧν ἐξῆς ἅπαντα
τὸν χρόνον τὰς νύκτας ἀνεπαυόμην· οἳ συνίσασιν [m]ἐμοὶ
μηδεμίαν [n]πώποτε ἀπ' αὐτῶν νύκτα ἀπογενομένῳ, μηδὲ
μέρος νυκτός· [o]ἄγομεν δὲ καὶ τοὺς [p]οἰκέτας καὶ [q]παρα-
δίδομεν εἰς Βάσανον. καὶ τὸν μὲν λόγον, εἰ [r]συγχωρήσει
ὁ κατήγορος, [s]καταλύω· παρέσται δὲ [t]ἤδη ὁ [u]δήμιος
καὶ Βασανιεῖ ἐναντίον ὑμῶν, [x]ἂν κελεύητε. [y]ἐνδέχεται δὲ
τὸ λοιπὸν μέρος τῆς ἡμέρας [z]ταῦτα πρᾶξαι· πρὸς ἔνδεκα 45
γὰρ ἀμφορέας ἐν [a]διαμεμετρημένῃ τῇ ἡμέρᾳ κρίνομαι.

[x] Ἀφιδναῖον] ἀφνιδαῖον e. et pr. l.
[y] εἰπεῖν δύνασθαι] εἰσ νᾶσθαι k.
[z] ὁ] om. g.
[a] ὑπὲρ ὑμῶν] supra versum ponit i. ὑπὲρ ἡμῶν e. g. l. m.
[b] Πύθων] πύτων d. πυ k.
[c] περὶ τὸ] ἐπὶ τῷ H. Wolfius.
[d] λόγους] om. d. e. f. h. k. l.
[e] μὲν] om. k.
[f] μεθ' ἡμέραν] καθ' ἡμέραν l. om. in lacuna k.
[g] πολλάκις] om. d. e. f. h. k. l.
[h] δὲ εἰσπλεῖν με] με δὲ εἰσπλεῖν i.
[i] με νύκτωρ κατὰ] μὲν τα k.
[k] μαρτυρήσοντες] μαρτυρήσοντές μοι i. μαρτυρήσαντες l.
[l] συνεσίτουν] συνεσιτούμην i.
[m] ἐμοὶ] μοι i.
[n] πώποτε] ποτὲ e. k.
[o] ἄγομεν] ἄγωμεν a. e. g. h. k. l. m. ἐγὼ μὲν i.
[p] οἰκέτας καὶ] οἰκέτας καὶ τούτους i.
[q] παραδίδομεν] παραδιδῶμεν a. e. g. h. i. k. l. m.
[r] συγχωρήσει] συγχωρήσει ταῦτα i.
[s] καταλύω] λύω e. k. l.
[t] ἤδη] om. e. k. l. ante καὶ ponit i.
[u] δήμιος] δημόσιος d. f. k. l.
[x] ἂν] ἐὰν e.
[y] δὲ] om. d. ἄδε i.
[z] ταῦτα om. pr. i.
[a] διαμεμετρημένῃ] δεδιαμεμετρημένη l.

134 κἂν φῶσιν ἀπόκοιτόν με [b]τουτωνὶ πώποτε τῶν συσσίτων βασανιζόμενοι γεγονέναι, μὴ [c]φείσησθέ μου ὦ Ἀθηναῖοι, ἀλλ' [d]ἀναστάντες ἀποκτείνατε. [e]ἐὰν δ' ἐξελεγχθῇς ψευδόμενος Δημόσθενες, τοιαύτην δίκην δός· ὁμολόγησον ἀνδρόγυνος εἶναι καὶ μὴ ἐλεύθερος ἐναντίον τούτων. Κάλει μοι τοὺς οἰκέτας δεῦρο ἐπὶ τὸ βῆμα, καὶ τὴν τῶν συμπρέσβεων [f]ἀναγίνωσκε μαρτυρίαν.

[g]ΜΑΡΤΥΡΙΑ. [h]ΠΡΟΚΛΗΣΙΣ.

135 Ἐπειδὴ τοίνυν οὐ δέχεται τὴν πρόκλησιν οὐδ' ἄν φησιν ἐν βασάνοις ἀνδραπόδων γενέσθαι, λάβε μοι τὴν ἐπιστολὴν ταύτην, ἣν [i]ὁ Φίλιππος ἔπεμψε. δῆλον γὰρ ὅτι [k]μεγάλα τὴν πόλιν παραλογίζεται, δι' ἣν ἠγρυπνοῦμεν γράφοντες.

[l]ΕΠΙΣΤΟΛΗ.

136 [m]Ἀκούετε ὦ [n]ἄνδρες δικασταί, ὅτι "τοὺς ὅρκους "[o]ἀποδέδωκα" φησὶ "τοῖς [p]ὑμετέροις πρέσβεσι," καὶ τῶν συμμάχων τῶν [q]ἑαυτοῦ τοὺς παραγενομένους κατ' ὄνομα [r]γέγραφε, καὶ αὐτοὺς καὶ τὰς πόλεις αὐτῶν, τοὺς δ' [s]ὑστερήσαντας τῶν συμμάχων ἀποστελεῖν φησὶ πρὸς ὑμᾶς. ταῦτ' οὖν οὐκ ἂν οἴεσθε [t]δύνασθαι γράψαι Φίλιππον [u]μεθ' ἡμέραν ἄνευ ἐμοῦ;

Ἀλλ' ἔμοιγε νὴ τοὺς θεοὺς οὑτοσὶ δοκεῖ τοῦτο μόνον

[b] τουτωνὶ] τούτων e. f. h. k. l.
[c] φείσησθέ] φείσασθαί l. φείσασθέ e.
[d] ἀναστάντες] ἐξαναστάντες k. l.
[e] ἐὰν] ἂν e.
[f] ἀναγίνωσκε] ἀνάγνωθι i.
[g] Titulos om. m.
[h] πρόκλησις] πρέσβεων e. om. h. i.
[i] ὁ Φίλιππος ἔπεμψε] φίλιππος ἔγραψε i.
[k] μεγάλα] τὰ μεγάλα a. g. m.
[l] ΕΠΙΣΤΟΛΗ] ἐπιστολὴ φιλίππου e. h.
[m] Ἀκούετε i. ἠκούσατε e. ἀκούσατε ceteri.
[n] ἄνδρες δικασταί i. ἄνδρες a. g. ἀθηναῖοι ceteri.
[o] ἀποδέδωκα g. i. vulg. ἀπέδωκα.
[p] ὑμετ.] ἡμετ. g. m.
[q] ἑαυτοῦ] ἐμαυτοῦ h. cum correcto a.
[r] γέγραφε a. i. k. ceteri γέγραφα.
[s] ὑστερήσαντας] ὑστερήσοντας i.
[t] δύνασθαι] om. d.
[u] μεθ'] καθ' d.

λογίζεσθαι, ὅπως [x] μεταξὺ λέγων [y] εὐδοκιμήσει· εἰ δὲ μικρὸν ἐπισχὼν [z] δόξει πονηρότατος τῶν Ἑλλήνων εἶναι,
137 οὐδὲ μικρὸν φροντίζει. τί γὰρ ἄν τις τοιούτῳ πιστεύσειεν ἀνθρώπῳ, ὃς ἐγκεχείρηκε λέγειν [a] ὡς Φίλιππος οὐ τοῖς [b] αὐτοῦ στρατηγήμασιν ἀλλὰ ταῖς ἐμαῖς δημηγορίαις εἴσω Πυλῶν παρῆλθε; καὶ λογισμόν τινα ἡμερῶν συνηριθμεῖτο πρὸς ὑμᾶς, ἐν αἷς ἐγὼ μὲν [c] ἀπήγγελλον τὴν πρεσβείαν, οἱ δὲ [d] Φαλαίκου [e] τοῦ Φωκέων τυράννου [f] δρομοκήρυκες [g] τἀνθένδε ἐκεῖσε [h] διήγγελλον, πιστεύσαντες δὲ οἱ Φωκεῖς ἐμοὶ εἴσω Πυλῶν αὐτὸν [i] παρεδέξαντο καὶ τὰς
138 πόλεις τὰς αὑτῶν παρέδοσαν. ταῦτα μὲν [k] οὖν ὁ κατήγορος μεμηχάνηται, τὰ δ' ἐν Φωκεῦσι διεφθάρη πράγματα πρῶτον μὲν [l] διὰ τὴν τύχην, ἣ πάντων ἐστὶ κυρία, ἔπειτα [l] διὰ τὸ μῆκος τοῦ χρόνου καὶ τὸν [m] δεκαετῆ πόλεμον. τὸ γὰρ αὐτὸ ηὔξησέ τε [n] τῶν ἐν Φωκεῦσι τυράννων [o] τὰ πράγματα καὶ καθεῖλε· κατέστησαν μὲν [p] γὰρ εἰς τὴν ἀρχὴν τολμήσαντες τῶν ἱερῶν [q] χρημάτων ἅψασθαι καὶ διὰ ξένων τὰς πολιτείας μετέστησαν, κατελύθησαν δ' ἀπορίᾳ χρημάτων, ἐπειδὴ κατεμισθοφόρησαν τὰ ὑπάρ-
139 χοντα. [r] τρίτον δ' αὐτοὺς καθεῖλεν ἡ τοῖς ἀπορουμένοις στρατοπέδοις [s] συνήθως [t] παρακολουθοῦσα στάσις, τέταρτον δ' ἡ Φαλαίκου περὶ τῶν [u] μελλόντων ἔσεσθαι [x] πραγ-

[x] μεταξὺ] με κακῶς e. k. l.
[y] εὐδοκιμήσει] Libri εὐδοκιμήσῃ.
[z] δόξει] δόξῃ e. l. m.
[a] ὡς] ὃ l.
[b] αὐτοῦ] αὐτοῖς f. h.
[c] ἀπήγγελλον] ἀπήγγελον d. e.
[d] Φαλαίκου] φαλέκου d.
[e] τοῦ] τῶν l.
[f] δρομακήρυκες] δημοκήρυκες i.
[g] τἀνθένδε] τἀνθένδεν m.
[h] διήγγελλον] διήγγελον e. m.
[i] παρεδέξαντο] παρεδέχοντο e. k. l.
[k] οὖν om. l.
[l] διὰ utramque om. e. k. l.
[m] δεκαετῆ] δεκέτη γρ. a.
[n] τῶν] τὰ i.
[o] τὰ] om. i.
[p] γὰρ] om. e. l.
[q] χρημάτων] τῶν χρημάτων i.
[r] τρίτον] τρίτη d. e. f. k. l.
[s] συνήθως] συνήθης e. f. g. i. k. l. m.
[t] παρακολουθοῦσα] παρακολουθήσασα g.
[u] μελλόντων] om. e. k. l. et pr. f.
[x] πραγμάτων] om. pr. i.

μάτων ἄγνοια. ἡ μὲν γὰρ Θετταλῶν καὶ Φιλίππου
[y] στρατεία πρόδηλος ἦν, οὐ πολλῷ δὲ χρόνῳ πρότερον
[z] πρὶν ἢ τὴν πρὸς [a] ὑμᾶς εἰρήνην γενέσθαι πρέσβεις [b] πρὸς
[c] ὑμᾶς ἦλθον ἐκ Φωκέων, βοηθεῖν αὐτοῖς κελεύοντες καὶ
[d] ἐπαγγελλόμενοι [e] παραδώσειν [f] Ἀλπωνὸν καὶ Θρόνιον
καὶ Νίκαιαν, τὰ τῶν παρόδων τῶν εἰς Πύλας [g] χωρία
140 κύρια. ψηφισαμένων δ' [h] ὑμῶν παραδοῦναι Προξένῳ [i] τῷ
στρατηγῷ τοὺς Φωκέας [k] ταῦτα τὰ χωρία καὶ πεντή-
κοντα πληροῦν τριήρεις καὶ τοὺς μέχρι [l] τριάκοντα ἔτη γε-
γονότας ἐξιέναι, ἀντὶ τοῦ παραδοῦναι τὰ χωρία Προξένῳ
ἔδησαν οἱ τύραννοι τοὺς πρέσβεις τοὺς [m] ἐπαγγελλομένους
ὑμῖν [n] παραδοῦναι τὰ φυλακτήρια, καὶ τοῖς σπονδοφόροις
τοῖς τὰς μυστηριώτιδας σπονδὰς [o] ἐπαγγέλλουσι μόνοι
τῶν [c] Ἑλλήνων Φωκεῖς οὐκ ἐσπείσαντο. καὶ πάλιν Ἀρχιδά-
μου τοῦ Λάκωνος παραλαμβάνειν ὄντος ἑτοίμου τὰ χω-
ρία [p] καὶ [q] φυλάττειν οὐκ ἐπείσθησαν, ἀλλ' ἀπεκρίναντο
αὐτῷ τὰ τῆς [r] Σπάρτης δεινὰ δεδιέναι [s] καὶ [t] μὴ παρ' αὐ-
141 τοῖς. κἀνταῦθα [u] οὔπω [x] διελέλυσθε Φιλίππῳ, ἀλλ' ἐν τῇ
αὐτῇ ἡμέρᾳ περί [y] τε τῆς εἰρήνης ἐβουλεύεσθε καὶ τῆς
ἐπιστολῆς ἠκούετε [z] τῆς Προξένου, ὅτι Φωκεῖς οὐ [a] παραδε-

[y] στρατεία] στρατιὰ d. f. i.
[z] πρὶν om. i. ἢ om. d. e. f. k. l.
[a] ὑμᾶς εἰρ.] ἡμᾶς εἰρ. a. e. g. h. i. k. l. m.
[b] πρὸς] ὡς h.
[c] ὑμᾶς] ἡμᾶς g. k. m.
[d] ἐπαγγελλόμενοι] ἐπαγγελόμενοι i.
[e] παραδώσειν] δώσειν k. l.
[f] Ἀλπωνὸν] ἄλπωνον g. i.
[g] χωρία] χωρίων h.
[h] ὑμῶν] ἡμῶν e. k. l.
[i] τῷ στρατηγῷ] καὶ τῷ στρατηγῷ e. καὶ τοὺς στρατηγοὺς l.
[k] ταῦτα—μέχρι] om. k. l. cum pr. e.
[l] τριάκοντα] τετταράκοντα i.
[m] ἐπαγγελλομένους] ἐπαγγελομένους d. ἐπαγγειλαμένους i.
[n] παραδοῦναι] παραδόσειν a.
[o] ἐπαγγέλλουσι e. g. i. k. l. m. et pr. a. ceteri ἀπαγγέλλουσι.
[p] καὶ om. i.
[q] φυλάττειν] φυλάξειν e. k. l.
[r] Σπάρτης] στα k.
[s] καὶ] τὸ e. l.
[t] μὴ] μηδὲ a. μὴ τὰ H. Wolfius.
[u] οὔπω] οὔτως l.
[x] διελέλυσθε] διαλέλυσθε m. δι k.
[y] τε] om. g. i. m.
[z] τῆς Προξένου] τοῦ προξένου e. i.
[a] παραδεδώκασιν] δεδώκασιν h.

δώκασιν αὐτῷ τὰ χωρία, καὶ οἱ τὰ μυστήρια ἀπαγγέλλοντες μόνους τῶν ἄλλων Ἑλλήνων ἀπέφηναν Φωκέας οὐ δεδεγμένους τὰς σπονδάς, ἀλλὰ καὶ τοὺς δεῦρο ἐληλυθότας πρέσβεις [b] δεδηκότας. Ὅτι δὲ ἀληθῆ λέγω, κάλει [c] μοι τοὺς σπονδοφόρους καὶ τοὺς παρὰ Προξένου [d] τοῦ στρατηγοῦ πρεσβεύσαντας εἰς Φωκέας, [e] Καλλικράτην καὶ [f] Μεταγένη. καὶ τῆς ἐπιστολῆς ἀκούσατε [g] τῆς Προξένου. 46

[h] ΜΑΡΤΥΡΙΑΙ. [i] ΕΠΙΣΤΟΛΗ.

142 Ἀκούετε ὦ [k] ἄνδρες Ἀθηναῖοι τῶν χρόνων [l] παραναγινωσκομένων ἐκ τῶν δημοσίων [m] γραμμάτων καὶ τῶν μαρτύρων ὑμῖν [n] προσδιαμαρτυρησάντων, ὅτι πρὶν ἐμὲ χειροτονηθῆναι πρεσβευτὴν Φάλαικος ὁ τῶν Φωκέων τύραννος [o] ὑμῖν μὲν καὶ Λακεδαιμονίοις ἠπίστει, Φιλίππῳ δ' ἐπίστευεν.

Ἀλλ' οὗτος μόνος τὸ συμβησόμενον ἠγνόει; ὑμεῖς δὲ αὐτοὶ δημοσίᾳ πῶς διέκεισθε; οὐ [p] πάντες προσεδοκᾶτε Φίλιππον ταπεινώσειν Θηβαίους ὁρῶντα αὐτῶν τὴν θρασύτητα, καὶ [q] τῷ μὴ βούλεσθαι δύναμιν ἀνθρώπων ἀπί-
143 στων ἐπασκῆσαι; Λακεδαιμόνιοι [r] δὲ οὐ μεθ' [s] ἡμῶν τἀναντία Θηβαίοις ἐπρέσβευον, καὶ τελευτῶντες προσέκρουον φανερῶς [t] ἐν Μακεδονίᾳ καὶ διηπείλουν τοῖς τῶν Θηβαίων

[b] δεδηκότας] δεδεκότας d. k. δεδοικότας f. h.
[c] μοι] om. e. k. l.
[d] τοῦ στρατηγοῦ] om. d.
[e] Καλλικράτην] καλλιστράτην d. καλλικρατην a.
[f] Μεταγένη] μεταγέννην e. μεταγεν k. μεταγένην a.
[g] τῆς Πρ.] τοῦ πρ. h.
[h] ΜΑΡΤΥΡΙΑΙ] Accessit ex i. m.
[i] ΕΠΙΣΤΟΛΗ] om. a. d. e. k. l.
[k] ἄνδρες] Addiderunt a. e.
[l] παραναγινωσκομένων] παραγινωσκομένων e.
[m] γραμμάτων] πραγμάτων i.
[n] προσδιαμαρτ.] προδιαμαρτ. e. l.
[o] ὑμῖν e. ceteri ἡμῖν.
[p] πάντες] πάντως e. f. k. l.
[q] τῷ H. Wolfius: libri τό.
[r] δὲ] om. i.
[s] ἡμῶν] ἐμῶν e.
[t] ἐν Μακεδονίᾳ] πρὸς μακεδονίαν i. ἐν λακεδαιμονίᾳ h.

πρέσβεσιν; αὐτοὶ δὲ οὐκ ἠπόρουν καὶ ἐφοβοῦντο οἱ τῶν Θηβαίων πρέσβεις; Θετταλοὶ δὲ οὐ κατεγέλων τῶν ἄλ-
144 λων, ὑπὲρ αὐτῶν φάσκοντες τὴν στρατείαν εἶναι; τῶν δ' ἑταίρων τινὲς τῶν Φιλίππου οὐ διαῤῥήδην πρός [u] τινας ἡμῶν ἔλεγον ὅτι τὰς ἐν Βοιωτοῖς πόλεις [x] κατοικιεῖ Φίλιππος; Θηβαῖοι δ' οὐκ [y] ἐξεληλύθεσαν πανδημεί, ἀπιστοῦντες τοῖς πράγμασιν; ὑμῖν δὲ ταῦθ' ὁρῶν οὐκ ἔπεμψεν ἐπιστολὴν [z] ὁ Φίλιππος ἐξιέναι πάσῃ [a] τῇ δυνάμει βοηθήσοντας τοῖς δικαίοις; οἱ δὲ νῦν [b] πολεμικοὶ [c] καὶ τὴν εἰρήνην [d] ἀνανδρίαν καλοῦντες οὐ διεκώλυσαν [e] ὑμᾶς ἐξελθεῖν, εἰρήνης καὶ συμμαχίας [f] ὑμῖν γεγενημένης, δεδιέναι [g] φάσκοντες μὴ τοὺς στρατιώτας [h] ὑμῶν ὁμήρους
145 λάβῃ Φίλιππος; πότερον οὖν ἐγὼ τοὺς προγόνους ἐκώλυσα τὸν [i] δ̓ῆμον μιμεῖσθαι, ἢ σὺ καὶ οἱ μετὰ σοῦ συνεστηκότες ἐπὶ τὰ κοινά; καὶ [k] πότερον ἦν ἀσφαλεστέρα καὶ καλλίων Ἀθηναίοις ἡ ἔξοδος ἡνίκα ἤκμαζον ἐν τῇ μανίᾳ Φωκεῖς, ἐπολέμουν δὲ Φιλίππῳ, εἶχον δὲ [l] Ἀλπωνὸν καὶ Νίκαιαν [m] μήπω παραδόντος Φαλαίκου Μακεδόσι, τὰς σπονδὰς δέ, οἷς ἐμέλλομεν βοηθεῖν, τὰς μυστηριώτιδας οὐκ ἐδέχοντο, [n] Θηβαίους δ' ὄπισθεν [o] κατελείπομεν, [p] μεταπεμπομένου μὲν Φιλίππου, ὅρκων δ' [q] ἡμῖν καὶ συμμαχίας γεγενημένης, Θετταλῶν δὲ καὶ τῶν ἄλ-

[u] τινας ἡμῶν k. ἡμᾶς e. l. ceteri τινας ὑμᾶς.
[x] κατοικιεῖ f. et correctus m. ceteri κατοικεῖ.
[y] ἐξεληλύθεσαν] ἐξεληλύθεισαν m.
[z] ὁ] om. e. k. l.
[a] τῇ] om. e. k. l.
[b] πολεμικοὶ] πολέμιοι e. k. l.
[c] καὶ] om. e. k.
[d] ἀνανδρίαν] ἀνδρίαν i.
[e] ὑμᾶς] ἡμᾶς d. e. l.
[f] ὑμῖν] ἡμῖν: ὑμῖν post γεγενημένης ponunt e. l.
[g] φάσκοντες] φάσκοντας i.
[h] ὑμῶν] ἡμῶν d.
[i] Pro δ̓ῆμον lacuna est in k.
[k] πότερον] πότερα e. l.
[l] Ἀλπωνὸν] ἄλπωνον g. i.
[m] μήπω] οὔπω h. om. a. d. e. f. g. k. l. et pr. m.
[n] Θηβαίους] θηβαίοις e.
[o] κατελείπομεν] Libri κατελίπομεν.
[p] μεταπεμπ.] ἢ μεταπεμπ. h.
[q] ἡμῖν] ὑμῖν e.

146 λων Ἀμφικτυόνων [r] στρατευόντων; οὐ πολλῷ καλλίων [s] οὗτος ἦν ὁ καιρὸς [t] ἐκείνου, ἐν ᾧ διὰ τὴν σὴν [u] ἀνανδρίαν καὶ ἅμα φθόνον ἐσκευαγώγησαν ἐκ τῶν [x] ἀγρῶν Ἀθηναῖοι, πρεσβεύοντος ἐμοῦ τὴν τρίτην ἤδη πρεσβείαν ἐπὶ τὸ κοινὸν τῶν Ἀμφικτυόνων, ἐφ' [y] ἣν τολμᾷς με λέγειν [z] ὡς οὐ χειροτονηθεὶς ᾠχόμην, ἐχθρὸς δ' ὢν οὔπω καὶ τήμερον [a] ἠθέληκάς με εἰσαγγεῖλαι [b] παραπρεσβεύσασθαι; οὐ γὰρ [c] δὴ [d] φθονεῖς [e] γέ μοι τῶν εἰς [f] τὸ σῶμα τιμημάτων.

147 τοιγάρτοι Θηβαίων μὲν παρακαθημένων καὶ δεομένων, τῆς δ' [g] ἡμετέρας πόλεως [h] διὰ σὲ τεθορυβημένης καὶ τῶν Ἀθηναίων [i] ὁπλιτῶν οὐ παρόντων, Θετταλῶν δὲ Θηβαίοις προσθεμένων διὰ τὴν ὑμετέραν ἀβουλίαν καὶ τὴν πρὸς Φωκέας ἔχθραν, ἣ προϋπῆρχε Θετταλοῖς ἐκ παλαιῶν χρόνων ὅτε αὐτῶν τοὺς ὁμήρους λαβόντες Φωκεῖς [k] κατηλόησαν, Φαλαίκου δὲ πρὶν ἐμὲ [l] ἐλθεῖν καὶ Στέφανον καὶ [m] Δέρκυλλον καὶ τοὺς Ἀμφικτύονας πρέσβεις ἀπελυ-

148 θότος ὑποσπόνδου, Ὀρχομενίων δὲ περιφόβων ὄντων καὶ σπονδὰς τοῖς σώμασιν αἰτησάντων ὥστε ἀπελθεῖν ἐκ τῆς [n] Βοιωτίας, παρεστηκότων [o] μὲν τῶν Θηβαίων πρέσβεων, ὑπολειπομένης δ' ἔχθρας φανερᾶς Φιλίππῳ πρὸς Θηβαίους καὶ Θετταλούς, τότε ἀπώλοντο αἱ πράξεις οὐ δι'

[r] στρατευόντων] abest in lacuna k.
[s] οὗτος ἦν ὁ καιρὸς] ὁ κ. οὗτος ἦν e. l. ἦν ὁ κ. ἦν οὗτος k.
[t] νου ἐν ᾧ] absunt in lacuna k.
[u] ἀνανδρίαν] ἀνδρίαν i.
[x] ἀγρῶν] ἀνδρῶν i.
[y] ἣν] ἢ g. i. cum. pr. a.
[z] ὡς] om. l.
[a] ἠθέληκας e. ἐθέληκας f. l. ἐθέλησας d. ἐθέλησας h. ceteri τεθέληκας.
[b] παραπρεσβεύσασθαι] παραπρεσβεύσαντα Helmstad.
[c] δὴ] om. a.
[d] φθονεῖς] φθονήσεις e.g.h.i.k.m.
[e] γε] δὲ l.
[f] τὸ om. i.
[g] ἡμετέρας] ὑμετέρας i.
[h] διὰ] ὡς διὰ a.
[i] ὁπλιτῶν] πολιτῶν g. i. m.
[k] κατηλόησαν] κατῆλθον e. l.
[l] ἐλθεῖν] ἐξελθεῖν l.
[m] Δέρκυλλον] δέρκυλον d. f.
[n] Βοιωτίας] βοιωτίας τῷ φιλίππῳ συνιόντων g.
[o] μὲν] δὲ h.

ἐμέ, ἀλλὰ διὰ τὴν [p] σὴν προδοσίαν καὶ τὴν πρὸς Θηβαίους προξενίαν. μεγάλα δ' οἶμαι τούτων ἐγὼ σημεῖα ἐπι-
149 δείξειν. εἰ γάρ [q] τι τούτων ἀληθὲς ἦν [r] ὧν σὺ λέγεις, κατηγόρουν ἄν μου [s] Βοιωτοὶ [t] καὶ Φωκέων οἱ φεύγοντες, ὧν τοὺς μὲν ἐξεβεβλήκειν, τοὺς δ' [u] ἐκώλυσα κατελθεῖν· νῦν δ' [x] οὐχὶ τὰ συμβάντα λογιζόμενοι, ἀλλὰ τὴν εὔνοιαν 47
τὴν ἐμὴν ἀποδεχόμενοι, συλλεγέντες οἱ [y] φεύγοντες Βοιωτῶν ἥρηνταί μοι [z] συνηγόρους· ἥκουσι δ' ἀπὸ τῶν ἐν Φωκεῦσι πόλεων πρέσβεις, οὓς ἐγὼ τὴν τρίτην πρεσβείαν ἐπὶ τοὺς Ἀμφικτύονας πρεσβεύων ἔσωσα [a] Οἰταίων ἐγχειρούντων λέγειν ὡς δεῖ τοὺς ἡβῶντας ὡθεῖν κατὰ [b] τοῦ κρημνοῦ, καὶ παρήγαγον εἰς [c] τοὺς Ἀμφικτύονας ὥστε ἀπο- 5
150 λογίας τυχεῖν. ὁ μὲν γὰρ Φάλαικος [d] τύραννος ὑπόσπονδος ἀφεῖτο, οἱ δὲ ἀναίτιοι ἀποθνήσκειν ἔμελλον, συναγορεύοντος δ' ἐμοῦ [e] διεσώθησαν. Ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι Μνάσωνα τὸν Φωκέα καὶ τοὺς συμπρέσβεις καὶ τοὺς ἀπὸ τῆς τῶν Βοιωτῶν φυγῆς [f] ἠρημένους. ἀνάβηθι δεῦρο Λίπαρε καὶ [g] Πυθίων, καὶ τὴν αὐτὴν [h] ἀποδοτέ μοι χάριν εἰς τὴν τοῦ σώματος [i] σωτηρίαν, ἥνπερ ἐγὼ ὑμῖν. 10

ΣΥΝΗΓΟΡΙΑ ΒΟΙΩΤΩΝ [k] ΚΑΙ ΦΩΚΕΩΝ.

151 [l] Πῶς οὖν οὐκ ἂν δεινὰ πάθοιμι, εἰ κατηγοροῦντος μὲν Δημοσθένους τοῦ Θηβαίων προξένου [m] καὶ πονηροτάτου τῶν

[p] σὴν] om. e. l.
[q] τι] τοι d.
[r] ὧν] ὡς l.
[s] Βοιωτοὶ] βοιωτῶν e.
[t] καὶ om. e. k. l.
[u] ἐκώλυσα] ἀπέλυσα e. k. l.
[x] οὐχὶ] οὐ k. l.
[y] φεύγοντες] γοντες k. προάγοντες e. l.
[z] συνηγόρους] συνηγορεῖν a. h. m.
[a] Οἰταίων] αἰτεέων k.
[b] τοῦ] om. m.
[c] τοὺς] om. g.
[d] τύραννος] ὁ τύραννος g. aut hoc opus aut expuncto Φάλαικος.
[e] διεσώθησαν] διέσωσαν e. k. l.
[f] ἠρημένους] εἰρημένους d.
[g] Πυθίων] πύθων a. g. h. m.
[h] ἀπόδοτέ] ἀπόδος e. et omisso μοι k. l.
[i] σωτηρίαν] om. e. f. h. k. l.
[k] ΚΑΙ ΦΩΚΕΩΝ] om. h. k. l. m. titulum totum om. a. e.
[l] Πῶς] καὶ πῶς g. m.
[m] καὶ πον. τῶν Ἑλλ.] om. pr. i.

Ἑλλήνων, συναγορευόντων δέ μοι [n] Φωκέων καὶ Βοιωτῶν [o] ἀλοίην;

152 Ἐτόλμησε δ' εἰπεῖν ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις περιπίπτω. φησὶ γάρ με εἰπεῖν, ὅτ' ἔκρινον Τίμαρχον, ὅτι πάντες [p] κατ' αὐτοῦ τὴν τῆς [q] πορνείας φήμην παρειλήφασι, τὸν δ' Ἡσίοδον [r] ποιητὴν ἀγαθὸν ὄντα λέγειν

φήμη δ' [s] οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοί
[t] λαοὶ [u] φημίζουσι. θεός νύ τίς ἐστι καὶ αὐτή.

τὴν δ' αὐτὴν ταύτην [v] θεὸν ἥκειν νῦν [w] κατηγοροῦσαν ἐμοῦ· πάντας γὰρ λέγειν [x] ὡς χρήματα [y] ἔχω παρὰ Φιλίππου.

153 εὖ δ' ἴστε ὦ Ἀθηναῖοι ὅτι πλεῖστον διαφέρει φήμη καὶ συκοφαντία. φήμη μὲν γὰρ οὐ κοινωνεῖ διαβολῆ, διαβολὴ δὲ ἀδελφόν ἐστι [z] καὶ συκοφαντία. διοριῶ δ' [a] αὐτῶν ἑκάτερον [b] σαφῶς. φήμη μὲν [c] γάρ ἐστιν, ὅταν τὸ πλῆθος τῶν πολιτῶν αὐτόματον ἐκ μηδεμιᾶς προφάσεως λέγῃ τινὰ ὡς γεγενημένην πρᾶξιν· συκοφαντία δ' ἐστίν, ὅταν πρὸς τοὺς πολλοὺς εἷς ἀνὴρ αἰτίαν ἐμβαλὼν ἔν τε ταῖς ἐκκλησίαις ἁπάσαις πρός τε τὴν βουλὴν [d] διαβάλλῃ τινά. καὶ τῇ μὲν φήμῃ δημοσίᾳ θύομεν ὡς θεῷ, [e] τῶν δὲ συκοφαντῶν ὡς κακούργων δημοσίᾳ [f] προβολὰς ποιούμεθα. μὴ [g] οὖν σύναγε εἰς [h] ταυτὸν τὰ [i] κάλλιστα τοῖς αἰσχίστοις.

[n] Φωκέων καὶ Βοιωτῶν] φωκέων καὶ θηβαίων k. θηβαίων καὶ φωκέων e.
[o] ἀλοίην] ἀλοίμην e. l.
[p] κατ'] καὶ e. k. om. d. f.
[q] πορνείας] πονηρίας g. i.
[r] ποιητὴν ἀγαθὸν] ἀγαθὸν ποιητὴν h.
[s] οὔτις] οὔτοι e. οὔτι d. l.
[t] λαοὶ] om. e. l. ante πολλοὶ ponit i.
[u] φημίζουσι d. φημίξουσι e. f. h. i. k. l. vulg. φημίζωσι.
[v] θεὸν post νῦν ponit i. νῦν om. k. l.
[w] κατηγ. ἐμοῦ] ἐμοῦ κατηγ. i.
[x] ὡς] οὐ l.
[y] ἔχω] ἔχει f. ἔχειν e. k. l.
[z] καὶ] om. d.
[a] αὐτῶν ἑκάτ.] ἑκάτ. αὐτῶν g.
[b] σαφῶς] ἐγὼ i.
[c] γὰρ recepi ex i.
[d] διαβάλλῃ] διαβάλῃ f. h.
[e] τῶν δὲ] τῇ δὲ φήμῃ τῶν e. f. k l.
[f] προβολὰς] προσβολὰς e. l.
[g] οὖν e. l.
[h] ταυτὸν] ταυτὸ e. f. k. l.
[i] κάλλιστα] κάκιστα l.

154 [k] Ἐπὶ πολλοῖς μὲν οὖν ἔγωγε τῶν κατηγορημένων ἠγανάκτησα, μάλιστα δὲ ἠνίκα ἠτιᾶτο [l] εἶναί με προδότην. ἅμα γὰρ ταῖς αἰτίαις ταύταις [m] φανῆναί με [n] δεῖ θηριώδη καὶ τὴν ψυχὴν [o] ἄστοργον καὶ πολλοῖς ἑτέροις [p] ἁμαρτήμασι πρότερον ἔνοχον. τοῦ μὲν [q] οὖν ἐμοῦ βίου καὶ τῆς καθ' ἡμέραν διαίτης ὑμᾶς δοκιμαστὰς [r] ἱκανοὺς εἶναι νομίζω· ἃ δ' ἐστὶ τοῖς μὲν πολλοῖς ἀσύνοπτα τοῖς δὲ χρηστοῖς τὰς ψυχὰς μέγιστα, τούτων ὑμῖν τὰ πλεῖστα [s] καὶ καλῶς ἔχοντα ἐκ τῶν [t] ἐμῶν ὁρᾶν ἀναβιβῶμαι, ἵν' εἰδῆτε τὰς ἐμὰς παρακαταθήκας, ἃς οἵκοι κα-
155 ταλιπὼν [u] εἰς Μακεδονίαν ἐπρέσβευσα. σὺ μὲν [x] ὦ Δημόσθενες ταῦτα [y] ἐπλάσω ἐπ' ἐμέ· ἐγὼ δ' [z] ὡς ἐπαιδεύθην καὶ δικαίως ἐξηγήσομαι. [a] οὑτοσὶ μέν [b] μοί ἐστι πατὴρ Ἀτρόμητος, σχεδὸν πρεσβύτατος τῶν πολιτῶν. [c] ἔτη γὰρ ἤδη βεβίωκεν [d] ἐνενήκοντα [e] καὶ [f] τέτταρα· [g] καὶ συμβέβηκεν αὐτῷ νέῳ [h] μὲν ὄντι, πρὶν τὴν οὐσίαν ἀπολέσαι διὰ τὸν πόλεμον, ἀθλεῖν τῷ σώματι, ἐκπεσόντι [i] δὲ ὑπὸ τῶν τριάκοντα στρατεύεσθαι μὲν ἐν τῇ Ἀσίᾳ, ἀριστεύειν δ' ἐν τοῖς [k] κινδύνοις, εἶναι δ' ἐκ [l] φρατρίας τὸ γένος ἧς τῶν αὐτῶν βωμῶν [m] Ἐτεοβουτάδαις μετέχει, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς πολιάδος ἐστὶν ἱέρεια, συγκατάγειν δὲ τὸν

[k] Ἐπὶ] om. e. k. l.
[l] εἶναί με] με εἶναι a. e. g. l. m. φανῆ
[m] φανῆναι] εἶναι d. h. εἶναι f.
[n] δεῖ] ἔδει e. f. k. l. om. d. h.
[o] ἄστοργον] καὶ τὸν λόγον e. k. l.
[p] ἁμαρτ. πρότ.] πρότ. ἁμαρτ. i.
[q] οὖν] om. e. k. l.
[r] ἱκανοὺς εἶναι] εἶναι ἱκανοὺς i.
[s] καὶ] καὶ τὰ k.
[t] ἐμῶν] νόμων i.
[u] εἰς Μακεδονίαν] ἐν μακεδονίᾳ e. k. l.
[x] ὦ] om. i. k. l.
[y] ἐπλάσω] ἐγράψω i.
[z] ὡς] ὡς καλῶς Marklandus.
[a] οὑτοσὶ] οὗτος i.
[b] μοί ἐστι] ἐστί μοι i.
[c] ἔτη γὰρ ἤδη] ἤδη γὰρ ἔτη e.
[d] ἐνενήκοντα] ἐννενήκοντα a. d.
[e] καὶ—τριάκοντα om. e. k. l.
[f] τέτταρα] τετταράκοντα i.
[g] καὶ συμβ.] συμβ. δὲ i.
[h] μὲν] om. i.
[i] δὲ] δὲ αὐτῷ i.
[k] κινδύνοις] κινδύνοις εἰληφέναι i.
[l] φρατρίας] Libri φατρίας.
[m] Ἐτεοβουτάδαις] ἐτεοβουτάδος e. l.

156 δῆμον, ὥσπερ [n] καὶ ὀλίγῳ πρότερον εἶπον. ἐλευθέρους δέ μοι συμβέβηκεν εἶναι καὶ τοὺς [o] πρὸς μητρὸς ἅπαντας, ἡ νῦν ἐμοὶ πρὸ τῶν ὀφθαλμῶν [p] προφαίνεται φοβουμένη περὶ τῆς ἐμῆς σωτηρίας καὶ [q] διηπορημένη. καίτοι, [r] ὦ Δημόσθενες, ἡ μὲν ἐμὴ μήτηρ ἔφυγε μετὰ τοῦ [s] αὐτῆς ἀνδρὸς [t] ἐπὶ τῶν τριάκοντα εἰς Κόρινθον καὶ μετέσχε τῶν πολιτικῶν κακῶν· σὺ [u] δὲ ἀμφισβητῶν ἀνὴρ εἶναι 48
(οὐ γὰρ ἂν τολμήσαιμι εἰπεῖν ὡς ἀνὴρ [x] εἶ) ἐνεγράφης λειποταξίου καὶ τὸν γραψάμενον Νικόδημον τὸν [y] Ἀφιδναῖον χρήμασι πείσας ἐσώθης, ὃν ὕστερον μετὰ Ἀριστάρχου συναπέκτεινας καὶ οὐ καθαρὸς ὢν [z] τὰς χεῖρας εἰς
157 τὴν ἀγορὰν ἐμβάλλεις. Φιλοχάρης δ' [a] οὑτοσὶ ὁ πρεσβύτατος ἀδελφὸς ἡμῶν, οὐκ ἀγεννεῖς διατριβάς (ὡς σὺ βλασφημεῖς) [b] ἔχων, ἀλλ' ἐν γυμνασίοις διατρίβων καὶ 5
μετὰ Ἰφικράτους συνεστρατευμένος καὶ συνεχῶς ἔτος ἤδη [c] τρίτον τουτὶ στρατηγῶν [d] ἥκει δεησόμενος ὑμῶν ἐμὲ σῶ-
158 σαι. Ἀφόβητος δ' [e] οὑτοσὶ ὁ νεώτατος [f] ἀδελφὸς ἡμῶν, πεπρεσβευκὼς [g] μὲν ὑπὲρ ὑμῶν ἀξίως τῆς πόλεως πρὸς [h] τὸν Περσῶν βασιλέα, καλῶς δὲ καὶ δικαίως τῶν ὑμετέρων προσόδων ἐπιμεληθεὶς ὅτε αὐτὸν ἐπὶ τὴν κοινὴν διοίκησιν εἵλεσθε, καὶ πεπαιδοποιημένος [i] κατὰ τοὺς νόμους, 10
ἀλλ' οὐ [k] Κνωσίωνι τὴν ἑαυτοῦ γυναῖκα παρακατακλίνων

[n] καὶ] του καὶ i.
[o] πρὸς] ἐκ πρὸς d.
[p] προφαίνεται] προὐφαίνεται m. φαίνεται e. h. k. l.
[q] διηπορημένη] διηπορουμένη i.
[r] ὦ] om. l.
[s] αὐτῆς ἀνδρὸς] ἀνδρὸς αὐτῆς i.
[t] [ἐπὶ τῶν τριάκοντα] om. e. k. l. m. et pr. a.
[u] δὲ] Malim δ' ὁ.
[x] εἶ] om. e. f. k. l.
[y] Ἀφιδναῖον] ἀφιδαῖον e.
[z] τὰς χεῖρας] om. d. e. f. l.
[a] οὑτοσὶ] οὑτοσὶν g.
[b] ἔχων] ante διατριβὰς ponit i.
[c] τρίτων τουτὶ e. i. l. ceteri τουτὶ τρίτων.
[d] ἥκει] ἧκε i.
[e] οὑτοσὶ] οὑτοσὶν e. g.
[f] ἀδ. ἡμῶν] ἡμῶν ἀδ. i.
[g] μὲν om. e.
[h] τὸν Περσῶν e. i. ceteri τὸν τῶν περσῶν.
[i] κατὰ τοὺς νόμους] κατὰ νόμον i.
[k] Κνωσίωνι] κλησίωνι pr. d.

ὥσπερ σύ, πάρεστι καταφρονῶν τῶν σῶν λοιδοριῶν· τὸ γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται.
159 ἐτόλμησας δὲ [l] κατὰ τῶν ἐμῶν κηδεστῶν εἰπεῖν· οὕτως ἀναιδὴς καὶ [m] πόρρωθεν ἀχάριστος [n] εἶ, [o] ὃς Φιλόδημον τὸν Φίλωνος πατέρα καὶ [p] Ἐπικράτους οὐκ ἀγαπᾷς οὐδὲ προσκυνεῖς, δι' [q] ὃν εἰς τοὺς [r] δημότας ἐνεγράφης, ὡς ἴσασιν οἱ [s] πρεσβύτατοι Παιανιέων. ἐκπέπληγμαι δὲ εἰ σὺ λοιδορεῖν Φίλωνα τολμᾷς, καὶ ταῦτα ἐν τοῖς ἐπιεικεστάτοις Ἀθηναίων, οἳ δεῦρο εἰσεληλύθασι [t] δικάσοντες ἕνεκα τοῦ βελτίστου τῆς πόλεως καὶ [u] μᾶλλον προσέχουσι τοῖς
160 βίοις ἡμῶν ἢ τοῖς λόγοις. πότερα γὰρ ἂν προσδοκᾷς αὐτοὺς [x] εὔξασθαι μυρίους ὁπλίτας [y] ὁμοίους Φίλωνι γενέσθαι, καὶ τὰ σώματα οὕτω διακειμένους καὶ τὴν ψυχὴν οὕτω σώφρονας, ἢ τρισμυρίους κιναίδους [z] οἷός περ σύ; καὶ τὴν Ἐπικράτους εὐαγωγίαν τοῦ Φίλωνος ἀδελφοῦ [a] ἐπανάγεις εἰς ὀνείδη. καὶ τίς [b] αὐτὸν εἶδε [c] πώποτε ἀσχημονήσαντα ἢ μεθ' ἡμέραν, ὡς σὺ φής, ἐν τῇ πομπῇ τῶν Διονυσίων, ἢ νύκτωρ; οὐ γὰρ ἂν ταῦτό [d] γ' εἶπois, ὡς
161 ἔλαθεν· οὐ γὰρ ἠγνοεῖτο. ἐμοὶ [e] δὲ [f] ὦ [g] ἄνδρες ἐκ τῆς Φιλοδήμου θυγατρὸς καὶ Φίλωνος ἀδελφῆς καὶ Ἐπικράτους τρεῖς παῖδές εἰσι, μία μὲν θυγάτηρ, δύο δὲ [h] υἱεῖς· οὓς ἐγὼ [i] δεῦρο ἤκω μετὰ τῶν ἄλλων κομίζων ἑνὸς ἐρωτή-

[l] κατὰ] καὶ περὶ i.
[m] πόρρωθεν] πόρρωθι k. l.
[n] εἶ] om. g. m.
[o] ὃς] ὡς d. e. h. k. l. i.
[p] Ἐπικράτους] φιλοκράτους d.
[q] ὃν] ἕν i.
[r] δημότας] δήμους e. k. l.
[s] πρεσβύτατοι] πρεσβύτεροι i.
[t] δικάσοντες a. g. h. i. m. ceteri δικάζοντες.
[u] μᾶλλον] πάνυ μᾶλλον i.
[x] εὔξασθαι] om. h.
[y] ὁμοίους] ὁμοίως h. l.
[z] οἷός g. ceteri οἵους.
[a] ἐπανάγεις] ἐπαναγάγεις i.
[b] αὐτὸν] ἂν e. l.
[c] πώποτε] om. a.
[d] γ'] om. e. l.
[e] δὲ] om. a.
[f] ὦ] om. a. d.
[g] ἄνδρες i. om. a. ceteri ἀθηναῖοι.
[h] υἱεῖς a. g. i. m. ceteri υἱοί.
[i] δεῦρο] recepi ex g. h. i. m.

ματος ἕνεκα καὶ τεκμηρίου πρὸς τοὺς δικαστάς, [k] ᾧ νῦν ἤδη χρήσομαι. ἐρωτῶ [l] γάρ, ὦ [m] ἄνδρες Ἀθηναῖοι, εἰ δο κῶ ἂν ὑμῖν πρὸς τῇ πατρίδι καὶ τῇ τῶν φίλων συνηθείᾳ καὶ ἱερῶν καὶ τάφων [n] πατρῴων μετουσίᾳ [o] τουτουσὶ [p] τοὺς [q] πάντων [r] ἀνθρώπων ἐμοὶ φιλτάτους προδοῦναι Φιλίππῳ, καὶ περὶ πλείονος τὴν ἐκείνου φιλίαν τῆς τού-
162 των σωτηρίας ποιήσασθαι. [s] ποίων κρατηθεὶς ἡδονῶν; ἢ τί πώποτε ἄσχημον ἕνεκα χρημάτων πράξας; οὐ γὰρ ἡ Μακεδονία κακοὺς ἢ χρηστοὺς ποιεῖ, ἀλλ' ἡ φύσις· οὐδ' [t] ἐσμὲν ἕτεροί τινες ἥκοντες ἀπὸ τῆς πρεσβείας, ἀλλ' [u] οἵους ἐξεπέμψατε.

Συμπέπλεγμαι δ' ἐν τῇ πολιτείᾳ καθ' ὑπερβολὴν ἀν-θρώπῳ γόητι καὶ πονηρῷ, ὃς οὐδ' ἂν [x] ἄκων [y] ἀληθὲς οὐ-δὲν εἴποι. ἠγεῖται δ' ὅταν τι ψεύδηται τῶν λόγων ὅρκος κατὰ τῶν ἀναισχύντων ὀφθαλμῶν, καὶ [z] τὰ γεγενημένα οὐ μόνον ὡς ἔστι [a] λέγει, ἀλλὰ καὶ τὴν ἡμέραν ἐν ᾗ φησὶ
35 γενέσθαι· καὶ προστίθησιν [b] ἅμα τινὸς ὄνομα πλασά-μενος, [c] ὃς ἔτυχε [d] παρών, μιμούμενος τοὺς [e] τἀληθῆ λέ-
163 γοντας. ἓν δὲ εὐτυχοῦμεν οἱ μηδὲν ἀδικοῦντες, ὅτι πρὸς τῇ τερατείᾳ τοῦ τρόπου καὶ τῇ τῶν ὀνομάτων συνθέσει νοῦν οὐκ ἔχει. σκέψασθε γὰρ ἀφροσύνην ἅμα καὶ ἀπαιδευ-σίαν ἀνθρώπου, ὃς τοιοῦτον ἔπλασε τὸ περὶ τὴν Ὀλυνθίαν

[k] ᾧ νῦν ἤδη χρήσομαι a. g. i. m. ceteri ὃ νῦν δὴ ἐρήσομαι.
[l] γὰρ] γὰρ ὑμᾶς i.
[m] ἄνδρες] sumpsi ab i.
[n] πατρῴων] καὶ πατρώων g. m.
[o] τουτουσὶ i. τοῦ h. k. l. ceteri τούτους.
[p] τοὺς om. d. e. f.
[q] πάντων] πάντας l.
[r] ἀνθρώπων] ἀνθρώπους k. l.
[s] ποίων—ἡδονῶν e. l. ποίων—ἡδο-νῇ d. f. k. ceteri ποίᾳ—ἡδονῇ.
[t] ἐσμὲν] lacuna in k.
[u] οἵους] εἵους ὑμεῖς i.
[x] ἄκων] ἐκὼν e. h. k. et pr. f. ἀληθὶς
[y] ἀληθὲς] ἀκόλουθον i.
[z] τὰ] τὰ μὴ Casaubonus. τὰ μηδέποτε Reiskius.
[a] λέγει] λέγειν d. e. f. k. l.
[b] ἅμα] Addidi ex a. g. h. i. m.
[c] ὃς a. g. h. i. m. ceteri ὡς.
[d] παρὼν] παρ' ὃν e.
[e] τἀληθῆ] ἀληθῆ i.

γυναῖκα ψεῦδος κατ' ἐμοῦ, ἐφ' ᾧ μεταξὺ [f] μὲν λέγων 40
ὑφ' [g] ὑμῶν ἐξερρίφη· τὸν γὰρ πλεῖστον ἀφεστηκότα τῶν
τοιούτων πρὸς τοὺς εἰδότας [h] διέβαλλε. σκέψασθε δὲ ὡς
164 [i] πόρρωθεν ἐπὶ τὴν αἰτίαν ταύτην παρεσκευάζετο. ἔστι
γάρ τις [k] ἐν τῇ πόλει ἡμῶν ἐπιδημῶν Ἀριστοφάνης
Ὀλύνθιος· τούτῳ συσταθεὶς ὑπό τινων καὶ πυθόμενος ὡς
εἰπεῖν δύναται, ὑπερεκθεραπεύσας αὐτὸν καὶ [l] προσα-
γαγόμενος ἔπειθεν ἐμοῦ τὰ ψευδῆ καταμαρτυρεῖν πρὸς
ὑμᾶς, κἂν παρελθὼν ἐθελήσῃ [m] σχετλιάσαι καὶ λέγειν 49
ὡς [n] εἰς οἰκείαν αὐτοῦ γυναῖκα καὶ αἰσχμάλωτον γεγενη-
μένην πεπαρώνηκα, [o] πεντακοσίας μὲν ἤδη δραχμὰς ὑπι-
σχνεῖτο αὐτῷ δώσειν, πεντακοσίας δ' ἑτέρας, ἐπειδὰν
165 καταμαρτυρήσῃ. ὁ δ' αὐτῷ ἀπεκρίνατο, ὡς αὐτὸς δηγ-
γεῖτο, ὅτι τῆς μὲν φυγῆς καὶ τῆς παρούσης [p] ἀπορίας
ἑαυτῷ οὐ κακῶς ἀλλ' ὡς οἷόν τε ἄριστα στοχάζοιτο, τοῦ 5
δὲ τρόπου πλεῖστον εἴη [q] διημαρτηκώς· οὐδὲν [r] γὰρ ἂν
[s] τοιοῦτο πρᾶξαι. ὅτι [t] δὲ ἀληθῆ λέγω, [u] αὐτὸν [x] Ἀριστο-
φάνη [y] μαρτυροῦντα παρέξομαι. Κάλει μοι Ἀριστοφάνην
[z] Ὀλύνθιον, καὶ τὴν μαρτυρίαν ἀναγίνωσκε, καὶ τοὺς ἀκη-
κοότας αὐτοῦ καὶ πρὸς ἐμὲ [a] ἀγγείλαντας, [b] Δέρκυλλον Αὐ-
τοκλέους Ἀγνούσιον καὶ Ἀριστείδην Εὐφιλήτου [c] Κηφισιέα.

[f] μὲν om. pr. d.
[g] ὑμῶν] ἡμῶν i.
[h] διέβαλλε] διέβαλε e.
[i] πόρρωθεν] πόρρω i.
[k] ἐν τῇ πόλει ἡμῶν ἐπιδημῶν i. ceteri ἐπιδημῶν ἡμῶν εἰς τὴν πόλιν.
[l] προσαγαγόμενος] προσαγόμενος e. i. k. l.
[m] σχετλιάσαι] σχετλιάσασθαι e. l.
[n] εἰς om. e. g. k. l. in d. factum ex ὡς.
[o] πεντακοσίας—δώσειν] om. pr. a.
[p] ἀπορίας ἑαυτῷ] ἀπορίας αὐτῷ a. e. αὐτῷ ἀπορίας g.
[q] διημαρτηκώς] ἡμαρτηκὼς d.
[r] γὰρ] om. i.
[s] τοιοῦτο] τοιοῦτον d. e.
[t] δὲ] δὲ ὦ ἄνδρες ἀθηναῖοι i.
[u] αὐτὸν] τὸν e. l. αὐτὸν ὑμῖν τὸν i.
[x] Ἀριστοφάνη e. l. ceteri ἀριστοφάνην.
[y] μαρτυροῦντα παρέξομαι] μάρτυρα παρέχομαι i.
[z] Ὀλύνθιον] τὸν ὀλύνθιον i.
[a] ἀγγείλ.] ἐξαγγείλ. i.
[b] Δέρκυλλον] δέρκυλον d. δερκύλεον f.
[c] Κηφισιέα] κηφισέα e. f. h. k. l. κηφισσέα a. g. m. κηφισαία d. Correxit Palmerius.

[d] ΜΑΡΤΥΡΙΑΙ.

166 Τῶν μὲν μαρτύρων διομνυμένων καὶ [e] μαρτυρούντων [f] ἀκούετε· τὰς δ' ἀνοσίους [g] ταύτας τῶν λόγων τέχνας, [h] ἃς οὗτος πρὸς τοὺς [i] νέους ἐπαγγέλλεται [k] καὶ κέχρηται νυνὶ κατ' ἐμοῦ, ἆρα [l] μέμνησθε, ὡς ἐπιδακρύσας καὶ τὴν Ἑλλάδα [m] κατοδυράμενος καὶ [n] Σάτυρον τὸν κωμικὸν [o] ὑποκριτὴν προσεπαινέσας, ὅτι ξένους τινὰς [p] ἑαυτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου [q] ἀμπελῶνι καὶ δεδεμένους παρὰ τὸν πότον [r] ἐξητήσατο παρὰ [s] τοῦ Φιλίπ-
167 που, ταῦθ' ὑποθεὶς ἐπεῖπεν ἐντεινάμενος ταύτην τὴν ὀξεῖαν καὶ [t] ἀνόσιον [u] φωνήν, ὡς δεινὸν [x] εἴη [y] εἰ ὁ μὲν τοὺς Καρίωνας [z] καὶ Ξανθίας ὑποκρινόμενος [a] οὕτως εὐγενὴς καὶ μεγαλόψυχος γένοιτο, ἐγὼ δ' ὁ τῆς μεγίστης [b] σύμβουλος πόλεως, ὁ τοὺς μυρίους Ἀρκάδων νουθετῶν, [c] οὐ κατάσχοιμι τὴν ὕβριν, ἀλλὰ παραθερμανθείς, [d] ὅθ' ἡμᾶς εἰστία [e] Ξενόδοκος τῶν ἑταίρων τις [f] τῶν Φιλίππου, [g] ἔλκοιμι τῶν τριχῶν καὶ λαβὼν ῥυτῆρα [h] μαστιγοῖμι [i] αἰχμάλωτον γυ-
168 ναῖκα. οὐκοῦν, εἰ ὑμεῖς αὐτῷ ἐπιστεύσατε ἢ Ἀριστοφάνης

[d] ΜΑΡΤΥΡΙΑΙ] *μαρτυρία* d. k.
[e] *μαρτυρούντων*] καταμαρτυρούντων d.
[f] *ἀκούετε*] δ' ἀκούετε a. m.
[g] *ταύτας τῶν λόγων* i. ceteri τῶν λόγων ταύτας.
[h] *ἃς οὗτος*] om. e. f. k. l.
[i] *νέους*] νέους τῶν λόγων e.f.h.k.l.
[k] *καὶ κέχρηται*] om. a. e. f. g. h. k. l. m.
[l] *μέμνησθε*] *μέμνηται* i.
[m] *κατοδυράμενος*] κατοδυρόμενος i. ὀδυράμενος d. f. h. k.
[n] Σάτυρον] συ ρον k.
[o] *ὑποκριτὴν*] ποιητὴν i.
[p] *ἑαυτοῦ* i. ceteri αὐτοῦ.
[q] *ἀμπελῶνι* i. ceteri *ἀμπελουργείῳ*.
[r] *ἐξητήσατο*] ᾐτήσατο e. k. ᾐτιέσατο l. ἐξηγήσατο d.
[s] *τοῦ*] om. e.
[t] *ἀνόσιον* i. ceteri ἀνοσίαν.
[u] *φωνήν*] om. l.
[x] *εἴη*] om. d. e. f. l.
[y] *εἰ*] om. i.
[z] *καὶ*] καὶ τοὺς e. k. l.
[a] *οὕτως*] οὗτος h. i.
[b] *σύμβουλος πόλεως* i. ceteri πόλεως σύμβουλος.
[c] *οὐ*] om. i.
[d] *ὅθ' ἡμᾶς*] om. pr. f.
[e] Ξενόδοκος] ξενοδόκος f. h. l. ξεναδόκος i. ξενοδόχος d.
[f] *τῶν Φ.*] τοῦ φ. e. l.
[g] *ἔλκοιμι τῶν τριχῶν*] τῶν τριχῶν ἕλκοιμι i.
[h] *μαστιγοῖμι*] μαστιγοίην a. g. i. m.
[i] *αἰχμάλωτον*] τὴν αἰχμάλωτον d. e. f. h. k. l.

μου [k]συγκατεψεύσατο, ἐπ' αἰσχραῖς αἰτίαις [l]ἀδίκως ἀπωλόμην ἄν. [m]ἐάσετε οὖν [n]τὸν τοιοῦτον [o]αὐτοῦ προστρόπαιον (μὴ γὰρ [p]δὴ τῆς πόλεως) [q]ἐν [r]ὑμῖν ἀναστρέφεσθαι; καὶ τὴν [s]μὲν ἐκκλησίαν καθαίρετε, ἐν δὲ τοῖς ψηφίσμασι διὰ [t]τούτου τὰς εὐχὰς ποιήσεσθε καὶ [u]στρατιὰν ἢ πεζὴν ἢ ναυτικὴν ἐκπέμψετε; καὶ μὴν ὅγε Ἡσίοδος λέγει

πολλάκι [x]τοι [y]ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς κεν [z]ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.

169 Ἓν δὲ πρὸς τοῖς εἰρημένοις εἰπεῖν ἔτι βούλομαι. εἰ γάρ πού τίς ἐστι κακία κατ' ἀνθρώπους, [a]ἣν μὴ πρωτεύοντα [b]περὶ ταύτην ἀποδείξω Δημοσθένην, θανάτου τιμῶμαι. ἀλλ' οἶμαι πολλὰ καὶ [c]χαλεπὰ [d]παρακολουθεῖ τῷ κρινομένῳ, καὶ μετακαλεῖ τὴν ψυχὴν ἀπὸ τῆς ὀργῆς ὁ κίνδυνος [e]ἐπὶ τοὺς ὑπὲρ [f]τῆς σωτηρίας λόγους, καὶ [g]διαλογισμὸν παρίστησι μή τι παραλίπῃ τῶν [h]κατηγορημένων. ὥστε ἅμα μὲν ὑμᾶς ἅμα δὲ [i]ἐμαυτὸν εἰς 170 ἀνάμνησιν τῶν κατηγορημένων [k]ἀγαγεῖν βούλομαι. σκοπεῖτε γὰρ δὴ καθ' ἕκαστον ὦ Ἀθηναῖοι, ποῖον [l]ἐγὼ ψή-

[k] συγκατεψ.] κατεψ. i.
[l] ἀδίκως ἀπωλ. ἄν] ἀπωλόμην ἂν ἀδίκως e.
[m] ἐάσετε] ἐάσατε d. e. h. i. l.
[n] τὸν] Libri αὐτόν. Correxit Reiskius.
[o] αὐτοῦ] unus habet h. ejus loco lacuna est in f.
[p] δὴ] om. e.k.l. et pr. f. δεῖ d.
[q] ἐν] ὥστε ἐν a. d. f. g. h. i. m.
[r] ὑμῖν] ἡμῖν d.
[s] μὲν] om. e. k. l.
[t] τούτου] τοῦτο l.
[u] στρατιὰν] στρατείαν a. g. i. m.
[x] τοι] καὶ h.
[y] ξύμπασα] σύμπασα l.
[z] ἀλιτραίνῃ] ἀλιτραίνει i. l.
[a] ἄν] εἰ e. k. l.
[b] περὶ ταύτην ἀποδείξω] κατὰ ταύτην δείξω i.
[c] χαλεπὰ] φοβερώτερα i.
[d] παρακολουθεῖ] παρακολουθεῖν l. post κρινομένῳ ponit i.
[e] ἐπὶ] ὑπὲρ e. k. l.
[f] τῆς] om. g. h.
διπ
[g] διαλογισμὸν] λογισμὸν m. διὰ λογισμῶν i.
[h] κατηγορημένων] κεκατηγορημένων i.
[i] ἐμαυτὸν] αὐτον k. αὐτὸν e. l.
[k] ἀγαγεῖν βούλομαι] βούλομαι ἀγαγεῖν i.
[l] ἐγὼ] om. e. k.

φισμα γράψας κρίνομαι, [m]ἢ ποῖον [n]νόμον [o]λύσας, ἢ ποῖον γενέσθαι κωλύσας, ἢ τίνας ὑπὲρ τῆς πόλεως συνθήκας ποιησάμενος, ἢ τί τῶν δεδογμένων [p]περὶ τῆς εἰρήνης [q]ἀπαλείψας, ἢ τί τῶν [r]μὴ δοξάντων ὑμῖν προσγράψας. 171 οὐκ ἤρεσκέ [s]τισι τῶν ῥητόρων ἡ εἰρήνη· ἔπειτα οὐ τότε [t]ἀντιλέγειν αὐτοὺς ἐχρῆν, ἀλλὰ [u]μὴ νῦν ἐμὲ κρίνειν; ἐπλούτουν τινὲς ἐκ τοῦ πολέμου ἀπὸ τῶν [x]ὑμετέρων εἰσφορῶν καὶ τῶν δημοσίων προσόδων, νῦν δὲ [y]πέπαυνται· εἰρήνη γὰρ ἀργίαν οὐ τρέφει· ἔπειτα οἱ μὲν [z]οὐκ ἀδικούμενοι ἀλλ' ἀδικοῦντες τὴν πόλιν τιμωρήσονται τὸν [a]προστάντα τῆς εἰρήνης, οἱ δ' ὠφελούμενοι τοὺς χρησίμους εἰς 172 τὰ κοινὰ γινομένους ἐγκαταλείψετε; συνῆδον γὰρ τοὺς παιᾶνας Φιλίππῳ κατεσκαμμένων τῶν ἐν Φωκεῦσι πόλεων, ὥς [b]φησιν ὁ κατήγορος. καὶ ποίῳ [c]τεκμηρίῳ δύναιτ' ἄν τις σαφῶς τοῦτο ἐπιδεῖξαι; [d]ἐκλήθην μὲν γὰρ ἐπὶ τὰ ξένια μετὰ τῶν [e]συμπρέσβεων, ἦσαν δ' οἱ κλητοὶ [f]καὶ συνδειπνοῦντες σὺν ταῖς ἀπὸ τῶν Ἑλλήνων πρεσβείαις οὐκ ἐλάττους ἢ διακόσιοι. ἐν δὲ τούτοις, ὡς ἔοικεν, ἐγὼ διαφανὴς ἦν οὐχ ὑποσιγῶν ἀλλὰ συνάδων, ὥς φησι Δημοσθένης οὔτ' αὐτὸς παρὼν οὔτε [g]τῶν ἐκεῖ παρ-

[m] ἢ ποῖον νόμον λύσας] om. e. f. k. l.
[n] νόμον λύσας] μόνον καταλύσας h.
[o] λύσας ἢ. π. γ. κωλύσας] κωλύσας γενέσθαι i.
[p] περὶ] ὑπὲρ h.
[q] ἀπαλείψας] ἐπαλείψας i.
[r] μὴ g. et rec. m. ceteri om.
[s] τισι] τινι k. l.
[t] ἀντιλ. αὐτ. ἐχρῆν] αὐτ' ἐχρῆν ἀντιλ. i.
[u] μὴ] om. e. l.
[x] ὑμετέρων] ἡμετέρων e. l.
[y] πέπαυνται] πέπανται d. e. f. h. k. l.
[z] οὐκ] om. h.
[a] προστάντα] προστάντην e. l.
[b] φησιν ὁ κατηγ.] ὁ κατηγ. φησιν i.
[c] τεκμ. — ἐπιδεῖξαι] δύν. ἄν τις ἔτι τεκμ. τοῦτο σαφῶς ὑμῖν ἀποδεῖξαι i.
[d] ἐκλήθην μὲν] ἐκλήθημεν l.
[e] συμπρέσβεων] πρέσβεων h.
[f] καὶ] καὶ οἱ i.
[g] τῶν ἐκεῖ παρ. οὐδένα] οὐδένα τῶν ἐκεῖ παρ. e. k. l.

173 όντων οὐδένα παρασχόμενος μάρτυρα. καὶ [h]τῷ γε δῆλος ἦν, εἰ μή γε ὥσπερ ἐν τοῖς χοροῖς προῆδον; οὐκοῦν εἰ μὲν ἐσίγων, ψευδῆ μου κατηγορεῖς· εἰ δὲ ὀρθῆς ἡμῖν τῆς πατρίδος οὔσης καὶ τῶν πολιτῶν κοινῇ μηδὲν ἀτυχούντων συνῄδον μετὰ τῶν ἄλλων [i]πρέσβεων τὸν παιᾶνα, ἡνίκα ὁ θεὸς μὲν ἐτιμᾶτο Ἀθηναῖοι δὲ μηδὲν [k]ἠδόξουν, εὐσέβουν ἀλλ' οὐκ ἠδίκουν καὶ δικαίως ἂν σωζοίμην. ἔπειτα ἐγὼ μὲν διὰ ταῦτα ἀνηλέητός [l]τίς [m]εἰμι ἄνθρωπος, σὺ δὲ εὐσεβὴς ὁ τῶν [n]συσπόνδων [o]καὶ συσσίτων κατήγορος;

174 Ὠνείδισας δέ μοι καὶ πολιτείας ἐμπληξίαν, εἰ πρεσβευκὼς πρὸς Φίλιππον πρότερον [p]παρεκάλουν ἐπ' [q]ἐκεῖνον τοὺς [r]Ἕλληνας. καίτοι ταύτην, εἰ βούλει, τὴν κατηγορίαν καὶ τῶν ἄλλων Ἀθηναίων δημοσίᾳ κατηγορήσεις. ἐπολεμεῖτε Λακεδαιμονίοις, καὶ μετὰ τὴν ἐν Λεύκτροις συμφορὰν τοῖς αὐτοῖς ἐβοηθεῖτε· κατηγάγετε [r]εἰς τὴν πατρίδα φεύγοντας Θηβαίους, καὶ πάλιν τούτοις

175 [s]ἐμαχέσασθε ἐν Μαντινείᾳ· ἐπολεμήσατε Ἐρετριεῦσι καὶ [t]Θεμίσωνι, καὶ πάλιν [u]αὐτοὺς ἐσώσατε. καὶ [x]μυρίοις ἄλλοις [y]ἤδη τῶν Ἑλλήνων οὕτω κέχρησθε· τοῖς [z]γὰρ καιροῖς [a]ἀνάγκη συμπεριφέρεσθαι πρὸς τὸ [b]κράτιστον καὶ τὸν ἄνδρα καὶ τὴν πόλιν. τὸν δὲ ἀγαθὸν σύμβουλον τί

[h] τῷ γε] τότε i.
[i] πρέσβεων d. e. f. h. k. l. ceteri συμπρέσβεων.
[k] ἠδόξουν] ἠδίκουν l.
[l] τις] om. d. f. k. l.
[m] εἰμι ἄνθρωπος] ἄνθρωπός εἰμι i.
[n] συσπόνδων] ἐμοσπόνδων i.
[o] καὶ συσσίτων] om. a. e. f. g. h. k. l. m.
[p] παρεκάλουν] ἐπεκάλουν k.
[q] ἐκεῖνον] ἐκείνω i.
[r] εἰς—Θηβαίους] φεύγ. θηβ. εἰς τὴν π. i.
[s] ἐμαχέσασθε i. ceteri ἐμάχεσθε.
[t] Θεμίσωνι] θεμισῶνι g. m.
[u] αὐτοὺς] Recepi ex i.
[x] μυρίοις ἄλλοις] μυρίους ἄλλους d. e. f.
[y] ἤδη] om. i.
[z] γὰρ] om. e. k. l.
[a] ἀνάγκη συμπεριφέρεσθαι i. συμπεριφέρεσθε ἀνάγκη d. φέρεσθαι ἀνάγκη a. g. m.
κράτιστον
[b] κράτιστον] κρεῖττον d.

χρὴ ποιεῖν; [c]οὐ [d]τῇ πόλει πρὸς τὸ παρὸν τὰ βέλτιστα
176 συμβουλεύειν; τὸν δὲ πονηρὸν κατήγορον τί χρὴ λέγειν;
οὐ τοὺς καιροὺς ἀποκρυπτόμενον τῆς [e]πράξεως κατηγο-
ρεῖν; τὸν δὲ ἐκ φύσεως προδότην πῶς χρὴ θεωρεῖν; ἆρά
γε [f]οὐχ ὡς σὺ τοῖς ἐντυγχάνουσι καὶ [g]πιστεύσασι κέ-
χρησαι, λόγους [h]εἰς δικαστήρια [i]γράφοντα μισθοῦ τού-
τους ἐκφέρειν τοῖς ἀντιδίκοις; ἔγραψας [k]λόγον Φορμίωνι
τῷ τραπεζίτῃ χρήματα λαβών· τοῦτον ἐξήνεγκας Ἀπολ-
177 λοδώρῳ τῷ περὶ τοῦ σώματος κρίνοντι Φορμίωνα. εἰσῆλ-
θες εἰς εὐδαιμονοῦσαν οἰκίαν τὴν Ἀριστάρχου τοῦ Μόσχου·
ταύτην ἀπώλεσας. προὔλαβες τρία τάλαντα παρ' Ἀρι-
στάρχου φεύγοντος· τοῦτον τὰ [l]τῆς [m]φυγῆς ἐφόδια ἀπε-
στέρησας, οὐκ αἰσχυνθεὶς τὴν φήμην ἣν προσεποιήσω, [n]ζη-
λωτὴς εἶναι τῆς ἡλικίας τοῦ μειρακίου. οὐ γὰρ δὴ τῇ γε
ἀληθείᾳ· οὐ [o]γὰρ προσδέχεται δίκαιος ἔρως πονηρίαν.
[p]ταῦτ' [q]ἐστὶν ὁ προδότης καὶ τὰ τούτοις ὅμοια.
178 Ἐμνήσθη δέ που περὶ [r]τῆς στρατείας, καὶ τὸν καλὸν
στρατιώτην [s]ἐμὲ [t]ὠνόμασεν. ἐγὼ δὲ οὐχ ἕνεκα τῆς τούτου
βλασφημίας, ἀλλὰ τοῦ παρόντος κινδύνου προνοούμενος
καὶ περὶ τούτων ἀνεπίφθονον [u]εἶναί μοι λέγειν νομίζω·
ποῦ γὰρ ἢ πότε αὐτῶν ἢ πρὸς τίνας, παραλιπὼν τήνδε
τὴν ἡμέραν, μνησθήσομαι; ἐκ παίδων [x]μὲν γὰρ ἀπαλ-

[c] οὐ] om. d. e. l.
[d] τῇ πόλει] τὴν πόλιν l.
[e] πράξεως] πόλεως h. k. l.
[f] οὐχ] om. e. k. l.
[g] πιστεύσασι] πεπιστεύκασι l.
[h] εἰς] ἢ d. e. f. k. l.
[i] γράφοντα] γράφοντι k. l.
[k] λόγον Φορμίωνι] φορμίωνι λόγον g. et pr. m. λόγον φορκίωνι l.
[l] τῆς] om. a. g. m.
[m] φυγῆς — ἀπεστέρησας] ψυχῆς —ἐπεστέρησας i.
[n] ζηλωτὴς] ζηλωτὸς i.
[o] γὰρ] om. e. f. h. k. l.
[p] ταῦτ'] τοῦτ' a. g. m.
[q] ἔστιν] ἔσται i.
[r] τῆς] om. i.
[s] ἐμὲ] με d. e. h. k. l.
[t] ὠνόμασεν] ὠνόμαζεν i.
[u] εἶναί μοι λέγειν i. ceteri λέγειν εἶναί μοι, nisi quod μοι deest d.
[x] μὲν] om. i.

λαγεὶς περίπολος τῆς χώρας ταύτης ἐγενόμην [y] δύ' ἔτη,
καὶ [z] τούτων ὑμῖν τοὺς συνεφήβους καὶ τοὺς [a] συνάρχοντας
179 [b] ἡμῶν μάρτυρας παρέξομαι· πρώτην δ' [c] ἐξελθὼν στρα-
τείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ [d] συμπαραπέμ- 35
πων μετὰ τῶν ἡλικιωτῶν καὶ τῶν Ἀλκιβιάδου ξένων τὴν
εἰς [e] Φλιοῦντα παραπομπήν, κινδύνου συμβάντος ἡμῖν
περὶ τὴν [f] Νεμεάδα καλουμένην χαράδραν οὕτως ἠγωνι-
σάμην ὥστε ὑπὸ τῶν ἡγεμόνων ἐπαινεῖσθαι· καὶ τὰς
ἄλλας [g] τὰς ἐκ διαδοχῆς ἐξόδους [h] τὰς ἐν τοῖς ἐπωνύμοις
180 [i] καὶ τοῖς μέρεσιν ἐξῆλθον, καὶ τὴν ἐν Μαντινείᾳ μάχην
[k] συνεμαχεσάμην οὐκ αἰσχρῶς οὐδ' ἀναξίως τῆς πόλεως,
καὶ τὰς εἰς Εὔβοιαν στρατείας ἐστρατευσάμην, καὶ τὴν 40
ἐν Ταμύναις μάχην [l] ἐν τοῖς ἐπιλέκτοις οὕτως ἐκινδύνευσα,
ὥστε κἀκεῖ στεφανωθῆναι [m] ὑπὸ τῶν ἡγεμόνων καὶ δεῦρο
[n] ἦκον πάλιν [o] ὑπὸ τοῦ δήμου, τήν τε νίκην τῆς πόλεως
ἀπαγγείλας, καὶ [p] Τεμενίδου τοῦ τῆς Πανδιονίδος ταξι-
άρχου καὶ συμπρεσβεύσαντος ἀπὸ στρατοπέδου [q] μοι
δευρὶ καὶ [r] τὰ περὶ τὸν [s] γενόμενον κίνδυνον, [t] οἷος ἦν, ἀπαγ-
181 γείλαντος. Ὅτι δὲ ἀληθῆ λέγω, λάβε μοι [u] τοῦτο τὸ 51

[y] δύ' a. vulg. δύο.
[z] τούτων] τοὺς τούτων m.
[a] συνάρχοντας] Nonne ἄρχοντας?
[b] ἡμῶν] ὑμῶν d.
[c] ἐξελθὼν στρατείαν] στρατείαν ἐξελθὼν g. m.
[d] συμπαραπέμπων μετὰ] συμπαραπέμπων τὰ d. f. k. l. συμπαραπεμπόντων e.
[e] Φλιοῦντα] φλοιοῦντα d. φυλακοῦντας l.
[f] Νεμεάδα] νέμαιάδα h. k. νεμαιάδαν l. νεάδα i.
[g] τὰς ante ἐκ om. h.
[h] τὰς om. i.
[i] καὶ τοῖς om. e.
[k] συνεμαχεσάμην] συνεμαχησάμην e. l.
[l] ἐν τοῖς] σὺν τοῖς i.
[m] ὑπὸ τῶν ἡγεμόνων] om. a. e. f. g. h. m.
[n] ἦκων πάλιν] πάλιν ἦκων i. ἦκω πάλιν e. l.
[o] ὑπὸ] ἐπὶ e.
[p] Τεμενίδου] μενείτου e. l. μενοίτου d. μενίτου f. h. μενίτου k.
[q] μοι] μου l.
[r] τὰ] om. a. g. m.
[s] γενόμενον] γινόμενον a. d. e. f. g. h. k. l. m.
[t] οἷος] οἷς l.
[u] τοῦτο τὸ] τὸ τοῦ δήμου i.

ψήφισμα, καὶ [x]κάλει [y]τὸν Τεμενίδην καὶ τοὺς [z]συνεστρατευμένους μοι τὰς ὑπὲρ τῆς πόλεως στρατείας καὶ Φωκίωνα τὸν στρατηγόν, μήπω συνήγορον, ἂν μὴ τούτοις συνδοκῇ, ἀλλ' ὑπεύθυνον τῷ συκοφάντῃ μάρτυρα, ἐὰν ψεύδηται.

[a]ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ.

182 Ἀπαγγείλας τοίνυν πρῶτος τὴν τῆς πόλεως νίκην ὑμῖν καὶ τὴν [b]τῶν παίδων τῶν ὑμετέρων κατόρθωσιν, πρώτην [c]ταύτην ὑμᾶς ἀπαιτῶ χάριν τὴν τοῦ σώματος σωτηρίαν, οὐ μισόδημος ὤν, ὥς φησιν ὁ κατήγορος, ἀλλὰ μισοπόνηρος, [d]οὐδὲ [e]τοὺς Δημοσθένους [f]ὑμᾶς ἐῶν προγόνους μιμεῖσθαι (οὐ γὰρ εἰσίν) ἀλλὰ τῶν καλῶν [g]τῇ πόλει βουλευμάτων ζηλωτὰς εἶναι παρακαλῶν. νῦν δ' [h]αὐτὰ
183 πόρρωθεν ἀρξάμενος μικρῷ διειμι σαφέστερον. [i]πρότερον ἡ πόλις ἡμῶν εὐδοξησε μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν πρὸς τὸν Πέρσην, καὶ τῶν τειχῶν [ii]ὑπὸ τῶν βαρβάρων πεπτωκότων, εἰρήνης δ' ὑπαρχούσης πρὸς Λακεδαιμονίους διέμεινεν [k]ἡμῖν τὸ τῆς δημοκρατίας πολίτευμα. [l]συνταραχθέντες δὲ ὑπό [m]τινων καὶ καταστάντες πρὸς Λακεδαιμονίους εἰς πόλεμον, [n]πολλὰ καὶ παθόντες κακὰ καὶ ποιήσαντες, Μιλτιάδου τοῦ Κίμωνος προκηρυκευσαμένου πρὸς Λακεδαιμονίους, ὄντος [o]προξένου, σπονδὰς τοῦ πο-

[x] κάλει] κάλει μοι.
[y] τὸν Τεμ.] τόν τε μενίτην h. τὸν μενίτην d. f. k. τὸν μενείτην e. l.
[z] συνεστρατευμένους] συστρατευομένους i.
[a] Titulos om. a. e. k. l. m. priorem solum habet h.
[b] τῶν παίδων τῶν ὑμετέρων] τῶν ὑμετέρων παίδων g. τῶν ἡμετέρων παιδων l.
[c] ταύτην] Addidi ex a. g. i.
[d] οὐδὲ i. ceteri οὐ.
[e] τοὺς] om. e. k. l.
[f] ὑμᾶς] οὖ. οὐκ e. οὖ οὐκ k. l. ὑμᾶς post προγόνους ponit i.
[g] τῇ πόλει] καὶ τῇ τόλει σωτηρίων i.
[h] αὐτὰ πόρρωθεν] πόρρωθεν αὐτοῖς i.
[i] πρότερον] πότερον l. om. i.
[ii] ὑπὸ] πρὸς e. k. l.
[k] ἡμῖν] ὑμῖν a. g.
[l] συνταραχθέντες] συνταχθέντες i.
[m] τινων] τινων καὶ πεισθέντες i.
[n] πολλὰ καὶ] καὶ πολλὰ i.
[o] προξένου] τοῦ προξένου a. g. m.

λέμου [P]πεντηκονταετεῖς [Q]ἐποιησάμεθα, ἐχρησάμεθα δὲ
184 [R]αὐταῖς ἔτη τριακαίδεκα. ἐν δὲ τούτῳ τῷ χρόνῳ [S]ἐτειχί-
σαμεν τὸν Πειραιᾶ καὶ τὸ βόρειον τεῖχος ᾠκοδομήσαμεν,
ἑκατὸν δὲ τριήρεις πρὸς ταῖς [T]ὑπαρχούσαις ἐναυπηγησά-
μεθα, [U]τριακοσίους δ' ἱππέας [X]προσκατεσκευασάμεθα,
καὶ τριακοσίους [Y]Σκύθας ἐπριάμεθα, καὶ τὴν δημοκρα-
185 τίαν βεβαίως εἴχομεν. [Z]παρεμπεσόντων δ' εἰς τὴν πο- 20
λιτείαν ἡμῶν [A]οὐκ ἐλευθέρων ἀνθρώπων καὶ [B]τοῖς τρόποις
[C]οὐ μετρίων πάλιν πρὸς Αἰγινήτας εἰς πόλεμον κατέστη-
μεν, κἀνταῦθα οὐκ ὀλίγα βλαβέντες τῆς μὲν εἰρήνης ἐπε-
θυμήσαμεν, Ἀνδοκίδην [D]δ' ἐκπέμψαντες [E]πρὸς Λακεδαι-
μονίους καὶ τοὺς συμπρέσβεις εἰρήνην ἔτη τριάκοντα ἠγά-
γομεν, ἣ τὸν δῆμον ὑψηλὸν ἦρεν· [F]χίλια [G]μὲν [H]γὰρ τά-
λαντα ἀνηνέγκαμεν νομίσματος εἰς [I]ἀκρόπολιν, ἑκατὸν 25
[K]δὲ τριήρεις ἑτέρας ἐναυπηγησάμεθα καὶ νεωσοίκους ᾠκο-
δομήσαμεν, χιλίους δὲ καὶ διακοσίους ἱππέας κατεστή-
σαμεν καὶ τοξότας ἑτέρους τοσούτους, καὶ τὸ μακρὸν τεῖ-
χος τὸ νότιον ἐτειχίσθη, καὶ τὸν δῆμον οὐδεὶς [L]ἐπεχείρησε
186 καταλῦσαι. πάλιν [M]δὲ εἰς πόλεμον διὰ Μεγαρέας πει-
σθέντες καταστῆναι, καὶ τὴν χώραν [N]νεμηθῆναι προέμενοι

[P] πεντηκονταετεῖς] πεντηκοντετεῖς h.

[Q] ἐποιησάμεθα i. ceteri ἐποιήσαμεν.

[R] αὐταῖς] om. d. e. f. k. l.

[S] ἐτειχίσαμεν] Immo ἐτειχίσαμεν μέν.

[T] ὑπαρχούσαις] ἐν ὑπαρχούσαις k. l.

[U] τριακοσίους δ'] καὶ τριακοσίους i.

[X] προσκατεσκ.] προκατεσκ. e. k. l. παρεσκ. i. κατεσκ. d. f. h.

[Y] Σκύθας] τοξότας σκύθας d. g. i. k. m.

[Z] παρεμπεσόντων] παραπεσόντων e. k. παρεμπεσόντος a.

[A] οὐκ ἐλευθ. ἀνθρ.] ἀνδρῶν οὐκ ἐλευθ. i.

[B] τοῖς] om. d. τοὺς τρόπους Scaliger.

[C] οὐ] om. e. h. k. l.

[D] δ' ἐκπέμψαντες] δὲ πέμψαντες i.

[E] πρὸς Λακεδαιμονίους i. ceteri πρὸς τοὺς Λακ.

[F] χίλια] διςχίλια i.

[G] μὲν] om. e. f. h. k. l.

[H] γὰρ] supra versum ponit i.

[I] ἀκρόπολιν] τὴν ἀκρόπολιν a. g. i. m.

[K] δὲ] om. h.

[L] ἐπεχείρησε i. ceteri ἐνεχείρησε.

[M] δὲ] om. l.

[N] τιμηθῆναι H. Wolfius et Valc-

καὶ πολλῶν ἀγαθῶν στερηθέντες εἰρήνης ἐδεήθημεν, καὶ ἐποιησάμεθα διὰ Νικίου τοῦ Νικηράτου. καὶ πάλιν ἐν τῷ [o]χρόνῳ τούτῳ ἑπτακισχίλια τάλαντα ἀνηνέγκαμεν [p]εἰς ἀκρόπολιν διὰ τὴν εἰρήνην ταύτην, τριήρεις δ' ἐκτησάμεθα [q]πλοίμους καὶ ἐντελεῖς [r]οὐκ ἐλάττους ἢ τριακοσίας, [s]φόρος δ' ἡμῖν κατ' ἐνιαυτὸν [t]προσήει πλέον ἢ χίλια καὶ διακόσια τάλαντα, καὶ Χερρόνησον καὶ Νάξον [u]καὶ Εὔβοιαν εἴχομεν, πλείστας δ' ἀποικίας ἐν τοῖς χρόνοις [x]τού-
187 τοις ἀπεστείλαμεν. καὶ [y]τοσαῦτ' ἔχοντες [z]ἀγαθὰ [a]πό-
λεμον δι' Ἀργείους πρὸς Λακεδαιμονίους ἐξηνέγκαμεν, πεισθέντες ὑπ' Ἀργείων, καὶ τελευτῶντες ἐκ τῆς τῶν ῥητόρων ἀψιμαχίας εἰς φρουρὰν τῆς πόλεως καὶ τοὺς [b]τετρακοσίους καὶ τοὺς [c]ἀσεβεῖς τριάκοντα [d]ἐνεπέσομεν, οὐκ εἰρήνην ποισάμενοι ἀλλ' ἐκ προσταγμάτων ἠναγκασμένοι. πάλιν δὲ σωφρόνως πολιτευθέντες, καὶ τοῦ δήμου κατελθόντος ἀπὸ [e]Φυλῆς, Ἀρχίνου καὶ Θρασυβούλου [f]προστάντων τοῦ δήμου καὶ τὸ [g]μὴ μνησικακεῖν πρὸς ἀλλήλους ἔνορκον ἡμῖν καταστησάντων, ὅθεν σοφωτάτην
188 [h]πάντες τὴν πόλιν ἡγήσαντο εἶναι, κἀνταῦθα [i]ἀναφύντος τοῦ δήμου καὶ πάλιν ἐξ ἀρχῆς ἰσχύσαντος [k]ἄνθρωποι

kenarius Callimach. E. F. p. 26. νεμηθῆναι a. e. f. h. l. m. νεμεθῆναι ceteri.

[o] χρόνῳ τούτῳ] αὐτῷ χρόνῳ i.

[p] εἰς ἀκρόπολιν e. k. l. ceteri εἰς τὴν ἀκρόπολιν.

[q] πλοΐμους] πλωΐμους k. πλωΐμους e. l.

[r] οὐκ] καὶ οὐκ i.

[s] φόρος] φόρον l.

[t] προσήει ante κατ' ponit i.

[u] καὶ Εὔβοιαν i. ceteri καὶ τὴν Εὔβοιαν.

[x] τούτοις] om. g. m.

[y] τοσαῦτ'] ταῦτ' e. f. k. l.

[z] ἀγαθὰ a. g. h. i. m. ceteri τὰ ἀγαθά.

[a] πόλεμον] πάλιν πόλεμον i.

[b] τετρακοσίους] τριακοσίους e. k. l.

[c] ἀσεβεῖς] om. g.

[d] ἐνεπέσομεν a. g. i. m. ἐνεσπεύσαμεν e. l. ceteri ἐνεπέσαμεν.

[e] Φυλῆς] φυλακῆς l.

[f] προστάντων τοῦ δήμου] πρὸς τὰ τούτων δι' ἡμῶν e. k. l. προστατούντων δ' ἡμῶν f.

[g] μὴ] om. d. f. h. i.

[h] πάντες] ἅπαντες i.

[i] ἀναφύντος a. d. e. f. i. k. l. ceteri ἀναφθέντος.

[k] ἄνθρωποι] om. g.

[l]παρέγγραπτοι γεγενημένοι πολῖται, καὶ [m]τὸ νοσοῦν τῆς πόλεως ἀεὶ [n]προσαγόμενοι καὶ πόλεμον ἐκ πολέμου πολιτευόμενοι, ἐν μὲν εἰρήνῃ τὰ δεινὰ τῷ λόγῳ προορώμενοι 52
καὶ [o]τὰς ψυχὰς τὰς [p]φιλοτίμους καὶ λίαν ὀξείας ἐρεθίζοντες, ἐν δὲ τοῖς πολέμοις [q]ὅπλων οὐχ [r]ἁπτόμενοι, ἐξεταστὰὶ [s]δὲ καὶ ἀποστολεῖς γινόμενοι, παιδοποιούμενοι δὲ ἐξ ἑταιρῶν, ἄτιμοι δ' [t]ἐκ συκοφαντίας, εἰς τοὺς ἐσχάτους [u]κινδύνους τὴν πόλιν ἡμῶν καθιστᾶσι, [καὶ] τὸ μὲν τῆς δημοκρατίας ὄνομα οὐ τοῖς ἤθεσιν ἀλλὰ τῇ κολακείᾳ θεραπεύοντες, καταλύοντες δὲ τὴν εἰρήνην, [x]ᾗ [y]ἡ δημο- 5
κρατία σώζεται, συναγωνιζόμενοι δὲ τοῖς [z]πολεμίοις, ἐξ
189 ὧν ὁ δῆμος καταλύεται. οὗτοι [a]νῦν ἐπ' ἐμὲ συστραφέντες ἥκουσι, καί φασι μὲν τὸν Φίλιππον τὴν εἰρήνην πρίασθαι καὶ [b]προλαβεῖν [c]ἡμῶν ἐν ταῖς συνθήκαις ἅπαντα, ἣν δ' αὐτὸς εὗρεν εἰρήνην [d]αὐτῷ συμφέρουσαν, ταύτην παραβεβηκέναι. ἐμὲ δ' οὐχ ὡς πρεσβευτὴν κρίνουσιν, ἀλλ' ὡς ἐγγυητὴν [e]Φιλίππου καὶ τῆς εἰρήνης· καὶ [f]τὸν [g]τῶν λόγων 10
κύριον τὰς τῶν ἔργων προσδοκίας ἀπαιτοῦσι. τὸν αὐτὸν δὲ ἐν [h]μὲν τοῖς ψηφίσμασιν ἐπαινέτην [i]ἐπιδείκνυμι, ἐν δὲ τῷ δικαστηρίῳ κατηγόρῳ [k]κέχρημαι. δέκατος δ' αὐ-

[l] παρέγγραπτοι] παράγραπτοι g.
[m] τὸ νοσοῦν τῆς π.] τὸ τῆς π. νοσοῦν i.
[n] προσαγόμενοι] προσαγαγόμενοι k. l.
[o] Primum τὰς om. i.
[p] φιλοτίμους] λίαν φιλοτίμους g.
[q] ὅπλων] om. g.
[r] ἁπτόμενοι] ἁψάμενοι e. k. l.
[s] δὲ om. l.
[t] ἐκ συκοφαντίας] ἐν συκοφάντας l.
[u] κιν. τὴν πόλιν ἡμῶν i. ceteri ἡμῶν κιν. τὴν π.
[x] ᾗ] ἐξ ἧς i.
[y] ἡ] om. a. d. e. f. g. h. k. l. m.
[z] πολεμίοις] πολέμοις Taylorus.
[a] νῦν] πάντες i. τοίνυν e. f. k. l.
[b] προλαβεῖν] προσλαβεῖν e. f. g. h. k. l. m.
[c] ἡμῶν ἐν ταῖς συνθ.] ἐν ταῖς συνθ. ἡμῶν i.
[d] αὐτῷ] ἑαυτῷ e. h. l.
[e] Φιλίππου] φιλίππῳ e. l.
[f] τὸν] om. pr. i.
[g] τῶν λόγων d. e. f. h. k. l. τῶν ὅλων i. ceteri τῶν ὅλων λόγων.
[h] μὲν om. g.
[i] ἐπιδείκνυμι] δείκνυμι a. g. ἀποδείκνυμι i.
[k] κέχρημαι] κέχρηνται i.

190 τὸς πρεσβεύσας μόνος τὰς εὐθύνας δίδωμι. καμοὶ μὲν οἱ συνδεησόμενοι πάρεισιν [l] ὑμῶν πατὴρ μέν, οὗ τὰς [m] τοῦ γήρως ἐλπίδας μὴ [n] ἀφέλησθε, ἀδελφοὶ δέ, οἳ διαζυγέντες ἐμοῦ ζῆν οὐκ ἂν [o] προέλοιντο, κηδεσταὶ δέ, καὶ ταυτὶ [p] μὲν τὰ μικρὰ παιδία καὶ τοὺς κινδύνους οὔπω συνιέντα, [q] ἐλεεινὰ δ', εἴ τι συμβήσεται [r] ἡμῖν παθεῖν. ὑπὲρ ὧν ἐγὼ δέομαι καὶ ἱκετεύω πολλὴν [s] ὑμᾶς πρόνοιαν ποιήσασθαι, καὶ μὴ τοῖς ἐχθροῖς [t] αὐτοὺς μηδ' ἀνάνδρῳ καὶ γυναικείῳ
191 [u] ἀνθρώπῳ τὴν ὀργὴν παραδοῦναι. παρακαλῶ δὲ καὶ ἱκετεύω σῶσαί με πρῶτον μὲν τοὺς θεούς, δεύτερον δ' ὑμᾶς τοὺς τῆς ψήφου κυρίους, οἷς ἐγὼ πρὸς ἕκαστον τῶν [x] κατηγορημένων εἰς μνήμην εἶναι τὴν ἐμὴν ἀπολελόγημαι· καὶ δέομαι σῶσαί με καὶ μὴ τῷ λογογράφῳ καὶ Σκίθῃ [y] κακῷ ὄντι παραδοῦναι, ὅσοι μὲν ὑμῶν πατέρες [z] εἰσὶ παίδων ἢ νεωτέρους ἀδελφοὺς περὶ [a] πολλοῦ ποιεῖσθε, ἀναμνησθέντες ὅτι τὴν τῆς σωφροσύνης παράκλησιν διὰ τῆς περὶ Τίμαρχον κρίσεως ἀειμνήστως [b] αὐτοὺς παρακε-
192 κλήκατε· τοὺς δ' ἄλλους ἅπαντας, οἷς [c] ἐμαυτὸν ἄλυπον παρέσχημαι, τὴν μὲν [d] τύχην ἰδιώτης ὢν καὶ τοῖς μετρίοις ὑμῶν ὅμοιος, ἐν δὲ τοῖς πολιτικοῖς ἀγῶσι μόνος τῶν ἄλλων ἐφ' ὑμᾶς οὐ συνεστηκώς, [e] αἰτῶ παρ' [f] ὑμῶν τὴν σω-

[l] ὑμῶν] ὑμῖν i. ἡμῶν f. g. m.
[m] τοῦ γήρ. ἐλπ.] ἐλπ. τοῦ γήρως a.
[n] ἀφέλησθε] ἀφέλεσθε i.
[o] προέλοιντο] προσέλοιντο d. f. k. προείλοντο l.
[p] μὲν om. i. post μικρὰ ponunt d. f. h.
[q] ἐλεεινὰ] ἐλεεινὸν i.
[r] ἡμῖν παθεῖν] παθεῖν ἡμῖν i.
[s] ὑμᾶς i. ἡμῖν g. ceteri ἡμῶν.
[t] αὐτοὺς] αὐτοῖς g. αὐτοῦ a. e. f. h. k. l. m.
[u] ἀνθρ. τὴν ὀργὴν] τὴν ὀργὴν ἀνθρ. d. f. τὴν ὁρμὴν ἀνθρ. i. τὴν ὀργὴν om. a. e. k. l.
[x] κατηγορημένων] κεκατηγορημένων i. κατηγορουμένων h.
[y] κακῷ ὄντι om. d. e. f. k. l.
[z] εἰσὶ om. i.
[a] πολλοῦ] πλείστου i.
[b] αὐτοὺς] om. d. h. k. l.
[c] ἐμ. ἄλυπον] ἄλυπον ἐμ. d.
[d] τύχην] ψυχὴν d. e. k. l.
[e] αἰτῶ] καὶ τῶν i.
[f] ὑμῶν] ὑμῖν h.

τηρίαν, μετὰ πάσης εὐνοίας τῇ πόλει πεπρεσβευκὼς καὶ [g] μόνος [h] ὑπομείνας τὸν τῶν συκοφαντῶν θόρυβον, ὃν ἤδη πολλοὶ τῶν τὰς ψυχὰς ἐν τοῖς πολέμοις λαμπρῶν οὐχ ὑπέστησαν. οὐ γὰρ ὁ θάνατος δεινόν, ἀλλ' ἡ περὶ τὴν
193 τελευτὴν ὕβρις φοβερά. πῶς δὲ οὐκ οἰκτρὸν [i] βλέπειν ἐχθροῦ πρόσωπον ἐπεγγελῶντος, καὶ τοῖς ὠσὶ τῶν ὀνειδῶν ἀκοῦσαι; ἀλλ' ὅμως τετόλμηται· δέδοται τὸ σῶμα τῷ [k] κινδύνῳ. παρ' ὑμῖν ἐτράφην, ἐν ταῖς ὑμετέραις διατρι- 30
βαῖς βεβίωκα. οὐδεὶς ὑμῶν διὰ τὰς ἐμὰς ἡδονὰς κάκιον οἰκεῖ, [l] οὐδὲ ἐστέρηται τῆς πατρίδος κατηγόρου τυχὼν [m] ἐν τοῖς δήμοις, [n] ὅτ' ἦσαν αἱ διαψηφίσεις, οὐδ' ὑπεύθυνος ὢν ἀρχῆς [o] ἐκινδύνευσεν.
194 Μικρὰ δ' εἰπὼν ἤδη καταβαίνω. ἐγὼ γὰρ ὦ [p] ἄνδρες [q] Ἀθηναῖοι τοῦ [r] μὲν μηδὲν ἀδικεῖν ὑμᾶς κύριος ἦν, τοῦ δὲ μὴ ἔχειν αἰτίαν ἡ τύχη, ἣ συνεκλήρωσέ με [s] ἀνθρώπῳ συ- 35
κοφάντῃ βαρβάρῳ, ὃς οὔτε ἱερῶν οὔτε σπονδῶν [t] οὔτε τραπέζης φροντίσας, ἀλλὰ τοὺς εἰς τὸν μέλλοντα αὐτῷ χρόνον ἀντεροῦντας ἐκφοβῶν, ἥκει ψευδῆ συντάξας καθ' ἡμῶν κατηγορίαν. ἐὰν οὖν ἐθελήσητε σώζειν τοὺς [u] τῆς εἰρήνης [x] καὶ τῆς ὑμετέρας ἀδείας συναγωνιστάς, πολλοὺς βοηθοὺς λήψεται τὸ τῆς πόλεως συμφέρον καὶ κινδυνεύειν ὑπὲρ ὑμῶν ἑτοίμους.
195 Παρακαλῶ [y] δὲ Εὔβουλον μὲν ἐκ τῶν πολιτικῶν καὶ

[g] μόνος] μόνον h. om. e. f. k. l.
[h] ὑπομείνας] μείνας e. f. k. l.
[i] βλέπειν] ἰδεῖν i.
[k] κινδύνῳ] εὐεργέτῃ e. k. κινδύνῳ εὐεργέτῃ a. g. h. m.
[l] οὐδὲ—τυχὼν om. a.
[m] ἐν τοῖς δήμοις] Hæc post οἰκεῖ ponunt g. h. m.
[n] ὅτ' ἦσαν αἱ διαψ.] ὃ τῆς ἀναιδείας ψηφίσεις k. l.
[o] ἐκινδύνευσεν] ἐκινδύνευσα a.g.h.i.
[p] ἄνδρες] om. e.
[q] Ἀθηναῖοι] om. d.
[r] μὲν] μὴ i. om. k. l.
[s] ἀνθρώπῳ] om. i.
[t] οὔτε τρ.] οὐδὲ τρ. d. οὔτε θυσίας i.
[u] τῆς εἰρήνης] τὴν εἰρήνην e. l.
[x] καὶ] καὶ τοὺς e. h. i. k. l.
[y] δὲ] om. pr. i.

σωφρόνων [z] ἀνδρῶν συνήγορον, Φωκίωνα δ' ἐκ τῶν στρατη- 40
γῶν, ἅμα δὲ καὶ δικαιοσύνη διενηνοχότα πάντων, ἐκ δὲ τῶν φίλων καὶ τῶν ἡλικιωτῶν [a] τῶν ἐμαυτοῦ Ναυσικλέα καὶ τοὺς ἄλλους ἅπαντας οἷς [b] τισὶν ἐγὼ κέχρημαι καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων μετέσχηκα. ὁ μὲν [c] οὖν ἐμὸς λόγος εἴρηται, τὸ δὲ σῶμα [d] τοὐμὸν ἤδη παραδίδωσιν ὑμῖν καὶ ἐγὼ καὶ ὁ νόμος.

ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ. 53

Γ.

ΥΠΟΘΕΣΙΣ.

Κτησιφῶν ἔγραψε ψήφισμα στεφανῶσαι [a] Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδῶν, ὅτι διατελεῖ τὰ ἄριστα [b] καὶ λέγων καὶ πράττων τῷ δήμῳ τῶν Ἀθηναίων. τοῦτο τὸ ψήφισμα ἐγράψατο Αἰσχίνης παρανόμων, καὶ εἰσάγει κεφάλαια γενικὰ τρία, ἓν μὲν ὅτι ὑπεύθυνον ὄντα τὸν Δημοσθένην ἐστεφάνωσε τοῦ νόμου κελεύοντος μὴ ἐξεῖναι ὑπεύθυνον ἄρχοντα στεφανοῦν, περὶ οὐσίας, δεύτερον δὲ ὅτι ἐν τῷ θεάτρῳ ἀνεκήρυξε τὸν στέφανον ἀπαγορεύοντος τοῦ νόμου μηδένα στεφανοῦν ἐν τῷ θεάτρῳ, περὶ ποιότητος, τρίτον καὶ τελευταῖον, ὅτι καὶ τὰ ψευδῆ ἔγραψεν ἐν τῷ ψηφίσματι· οὐκ εἶναι γὰρ καλὸν καὶ ἀγαθὸν τὸν Δημοσθένην, οὐδὲ ἄξιον τοῦ στεφάνου. καὶ τοῦτο εἰς τὸ παράνομον ἀνακτέον, ἐπειδὴ [c] καὶ νόμος ἐστὶν ὁ κωλύων τὰ ψευδῆ γράφειν ἐν τοῖς ψηφίσμασιν. ἔστι δὲ περὶ ποιότητος. ὑποφορὰς δὲ λαμβάνει τρεῖς, πρὸς μὲν τὸ πρῶτον δισσῶς ἐροῦντος Δημοσθένους, ὅτι οὐκ ἦν ἄρχων, οὐδὲ ἔστιν ἀρχὴ ἡ τῶν τειχῶν οἰκοδομὴ ἀλλὰ διακονία τις καὶ ἐπιμέλεια· εἰ δὲ καὶ ἀρχή, τῷ γε ἐπιδεδωκέναι ἐκ τῶν ἰδίων καὶ μηδὲν εἰληφέναι ἐκ τῆς πόλεως οὐκ ἦν ὑπεύθυνος·

[z] ἀνδρῶν] om. d. e. f. k.
[a] τῶν ante ἐμαυτοῦ om. e. k. l.
[b] τισὶν om. i.
[c] οὖν om. h.
[d] τοὐμὸν ἤδη] ἤδη τουτὶ i.
[a] Δημοσθένην] τὸ Δημοσθένην a. b.
[b] καὶ ante λέγων recepi ex a. b. d.
[c] καὶ] ὃ a. b. d.

περὶ ποιότητος ἀμφότερα. πρὸς δὲ τοῦτο [d] Αἰσχίνης εἰσάγει στοχαστικὸν κεφάλαιον, οὐ μέντοι κατασκευάζει· εἰ δὲ μὴ παρ' ἑαυτοῦ ἐπέδωκεν, ἀλλ' εἶχε [e] παρὰ τῆς βουλῆς εἰς τοῦτο δέκα τάλαντα, περὶ οὐσίας. πρὸς δὲ τὸ δεύτερον κεφάλαιον παρεχομένου Δημοσθένους νόμον ἕτερον, κελεύοντα ἀνακηρύττειν ἐν τῷ θεάτρῳ ἂν ψηφίσηται ὁ δῆμος, Αἰσχίνης οὐ περὶ τῶν πολιτικῶν αὐτὸν εἶναι φησὶν ἀλλὰ περὶ τῶν ξενικῶν στεφάνων, περὶ οὐσίας. πρὸς δὲ τὸ τρίτον πολλὰ κατὰ μέρος. οἴεται δὲ τὸν Δημοσθένην εἰς τέσσαρας καιροὺς διῃρῆκέναι τὴν ἀπολογίαν, τὰ πράγματα καθ' ἕκαστα εἰς τούτους μερίσαντα. πρῶτον μὲν οὖν φησιν εἶναι καιρὸν τοῦ πολέμου τοῦ πρώτου τοῦ πρὸς Φίλιππον περὶ Ἀμφιπόλεως γενομένου, δεύτερον δὲ τὸν τῆς εἰρήνης, τρίτον δὲ τὸν τοῦ πολέμου τοῦ δευτέρου καὶ τῆς περὶ Χαιρώνειαν ἥττης, τέταρτον δὲ τὸν παρόντα καιρὸν τὸν περὶ τῶν πρὸς Ἀλέξανδρον πολιτευμάτων. ἐν μὲν οὖν τῷ πρώτῳ αἴτιον αὐτόν φησι γεγονέναι τῆς εἰρήνης, αἰσχρᾶς οὔσης καὶ ἀδόξου, καὶ τοῦ μὴ μετὰ κοινοῦ τῶν Ἑλλήνων συνεδρίου τὴν πόλιν αὐτὴν πεποιῆσθαι· ἐν δὲ τῷ δευτέρῳ, ὅτι τὸν πόλεμον τὸν πρὸς Φίλιππον αὐτὸς παρεσκεύασεν· ἐν δὲ τῷ τρίτῳ, ὅτι τοῦ ἱεροῦ πολέμου καὶ τῶν περὶ [f] Φωκέας συμβάντων αἴτιος ἐγένετο, καὶ τῆς ἥττης τῆς ἐν Χαιρωνείᾳ, πείσας [g] μετὰ Θηβαίων ἀραμένους τὸν πόλεμον [h] τὸν πρὸς Φίλιππον παρατάξασθαι· ἐν δὲ τῷ τελευταίῳ, ὅτι κατὰ τὸν πρὸς Ἀλέξανδρον οὐκ ἐπολιτεύσατο. μετὰ ταῦτα καὶ τοῦ βίου παντὸς τοῦ Δημοσθένους κατηγορεῖ, καὶ δὴ καὶ Κτησιφῶντος ἐν ὀλίγοις, ἐν οἷς ἀξιοῖ αὐτὸν ὑπὲρ [i] ἑαυτοῦ τὸν Κτησιφῶντα ἀπολογεῖσθαι. τὰ μὲν οὖν κεφάλαια ταῦτ' ἐστίν. ἐνίκα δὲ τὸν ἀγῶνα Δημοσθένης.

Μέμφονται μέντοι τινὲς τὸν Αἰσχίνην ὅτι οὐκ ἐνδιέτριψεν ἐν τῷ παρανόμῳ, ἀλλὰ καὶ τῆς πολιτείας κατηγορεῖ τοῦ Δημοσθένους, καλῶς πεπολιτευμένου τοῦ ἀνδρός. αὐτὸς δὲ τοὐναντίον τούτῳ μάλιστα ἰσχυρίζεται, λέγων οὕτως "ἔστι δ' ὑπόλοιπον μέρος τῆς κατηγορίας ἐφ' ᾧ μάλιστα σπουδάζω. τοῦτο δ' ἐστὶν ἡ πρόφασις δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι." μήπυτε δὲ ἄριστα τοῦτο ἔπραξεν. ἐπειδὴ γὰρ εἶχε δόξαν μεγάλην παρὰ πᾶσι καὶ ὑπόληψιν ὁ Δημοσθένης ὡς λαμπρότατα πεπολιτευμένος, εἰκότως ᾠήθη ψυχροὺς καὶ οὐδενὸς ἀξίους φανήσεσθαι τοὺς περὶ τῶν παρανόμων λόγους, εἰ μὴ δόξαν αὐτοῖς [k] ἐμποιήσει τὴν ἐναντίαν, ὡς ἄρα ὁ Δημοσθένης κακόνους ἐστὶ τῷ δήμῳ καὶ αἰσχρῶς καὶ ἐπιμέμπτως πεπολίτευται. διὰ τοῦτο ἐσπούδασε περὶ τοῦτο μάλιστα, καὶ ἐν τούτῳ τῷ μέρει τῆς κατηγορίας τὸ πλεῖστον ἐνδιέτριψε. μεμψαιτο δ' ἄν τις τὸ προοίμιον ὡς τραγικὸν καὶ περιττὸν καὶ ἐπιλόγῳ μᾶλλον ἐοικός.

Ἡ στάσις τοῦ λόγου ἐστὶ πραγματικὴ ἔγγραφος, ὥσπερ καὶ ἡ τοῦ ὑπὲρ

[d] Αἰσχίνης] ὁ αἰσχίνης a. b. d.
[e] παρὰ] ἐπὶ b.
[f] Φωκέας] φωκαίας a. b..
[g] μετὰ Θηβαίων] μετ' ἀθηναίων a. b.
[h] τὸν ante πρὸς om. a. b. d.
[i] ἑαυτοῦ] αὐτοῦ a. b.
[k] ἐμποιήσει] ἐμποιήσῃ a. b.

τοῦ στεφάνου. τὰ δὲ κεφάλαια δηλονότι τῆς πραγματικῆς περιέχει ἅπερ καὶ ἐκεῖ, οἷον τὸ νόμιμον τεμνόμενον εἰς τρεῖς νόμους, τὸ δὲ δίκαιον εἰς τέσσαρας καιρούς. ὅρα δὲ πῶς ἐπιλογικῶς ἤρξατο ἀπὸ συνηγόρων ἐκβολῆς, ὅσπερ καὶ Δημοσθένης.

Τινὲς εἶπον ὅτι οὐκ ἔχει κατασκευὴν τὸ προοίμιον· οὐκοῦν οὐδὲ συμπέρασμα δεῖ ζητεῖν. ἀλλ' οὐκ ἔστιν ἀκατάσκευον· ἔστι γὰρ αὐτοῦ κατασκευὴ "ὑπὲρ "τοῦ τὰ μέτρια καὶ τὰ συνήθη μὴ γίνεσθαι ἐν τῇ πόλει." εἰ γὰρ ἡ αἰτία τῆς προτάσεως ἐστὶν ἡ κατασκευή, διὰ δὲ τὸ τὰ μέτρια γίνεσθαι ἐν τῇ πόλει αἱ δεήσεις, κατασκευὴ ἂν εἴη. ἔχει δὲ καὶ συμπέρασμα, "ἐγὼ δὲ πε-"πιστευκὼς ἦκω" ἕως τοῦ "μεῖζον τῶν νόμων καὶ τῶν δικαίων."

ΤΗΝ μὲν παρασκευὴν ὁρᾶτε ὦ [l] ἄνδρες Ἀθηναῖοι καὶ τὴν παράταξιν, ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί [m] τινες ὑπὲρ τοῦ τὰ μέτρια καὶ [n] τὰ συνήθη μὴ γίγνεσθαι ἐν τῇ πόλει· ἐγὼ δὲ πεπιστευκὼς ἦκω πρῶτον μὲν τοῖς θεοῖς [o] δεύτερον δὲ τοῖς νόμοις 3
καὶ ὑμῖν, ἡγούμενος οὐδεμίαν παρασκευὴν [p] μεῖζον ἰσχύ-
2 ειν παρ' ὑμῖν τῶν νόμων καὶ τῶν δικαίων. ἐβουλόμην μὲν οὖν, ὦ [q] ἄνδρες Ἀθηναῖοι, καὶ τὴν βουλὴν τοὺς πεντακοσίους καὶ τὰς ἐκκλησίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι, καὶ τοὺς νόμους οὓς ἐνομοθέτησεν [r] ὁ Σόλων περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας ἰσχύειν, ἵνα [s] ἐξῇ πρῶτον μὲν τῷ [t] πρεσ-
βυτάτῳ τῶν πολιτῶν, ὥσπερ οἱ νόμοι [u] κελεύουσι, σω- 54
φρόνως ἐπὶ τὸ βῆμα παρελθόντι ἄνευ θορύβου καὶ ταραχῆς ἐξ ἐμπειρίας τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν, δεύτερον δ' ἤδη καὶ τῶν ἄλλων πολιτῶν τὸν βουλόμενον καθ' ἡλικίαν [x] χωρὶς καὶ ἐν μέρει περὶ ἑκάστου γνώμην

[l] ἄνδρες] Addidi sumptum ex e. k.
[m] τινες post μέτρια ponit a.
[n] τὰ post καὶ om. e. k. l.
[o] δεύτερον δὲ] ἔπειτα δεύτερον e. k. l.
[p] μεῖζον ἰσχ. παρ' ὑμῖν e. k. l. ceteri ἰσχ. παρ' ὑμῖν μεῖζον.
[q] ἄνδρες] om. a.c.d.f.g.h.m.n.
[r] ὁ om. e. k. l.
[s] ἐξῇ] ἔξει a. ἐξὸν ἦ d. aptius fortasse ἐξῆν.
[t] πρεσβυτάτῳ] πρεσβυτέρῳ g.m.n.
[u] κελεύουσι] προστάττουσι e. k. προτάσσουσι l.
[x] χωρὶς] om. e. k. l.

ἀποφαίνεσθαι· οὕτω γὰρ ἄν μοι [y] δοκεῖ ἥ τε πόλις ἄριστα διοικεῖσθαι αἵ τε κρίσεις [z] ἐλάχισται γίνεσθαι. 5
3 ἐπειδὴ δὲ πάντα τὰ πρότερον ὡμολογημένα καλῶς ἔχειν νυνὶ καταλέλυται, καὶ [a] γράφουσί τινες ῥᾳδίως παρανόμους γνώμας, καὶ [b] ταῦθ' ἕτεροί τινες τὰ ψηφίσματα ἐπιψηφίζουσιν οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι, [c] ἐὰν δέ τις τῶν ἄλλων βουλευτῶν [d] ὄντως λάχῃ κληρούμενος προεδρεύειν καὶ τὰς ὑμετέρας χειροτονίας ὀρθῶς ἀναγορεύῃ, 10
τοῦτον οἱ τὴν πολιτείαν [e] οὐκέτι κοινὴν [f] ἀλλ' ἰδίαν αὐτῶν ἡγούμενοι [g] εἶναι ἀπειλοῦσιν [h] εἰσαγγέλλειν, καταδουλούμενοι τοὺς ἰδιώτας καὶ [i] δυναστείας ἑαυτοῖς [k] περιποιοῦν-
4 τες, [l] καὶ τὰς κρίσεις τὰς [m] μὲν ἐκ τῶν νόμων καταλελύκασι τὰς δ' ἐκ τῶν ψηφισμάτων μετ' ὀργῆς κρίνουσιν, σεσίγηται [n] μὲν τὸ κάλλιστον καὶ σωφρονέστατον κήρυγμα τῶν ἐν τῇ πόλει "τίς ἀγορεύειν βούλεται τῶν "ὑπὲρ πεντήκοντα ἔτη γεγονότων καὶ πάλιν ἐν μέρει τῶν 15
"ἄλλων Ἀθηναίων," τῆς δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκέτι κρατεῖν δύνανται οὔθ' οἱ νόμοι οὔθ' οἱ πρυτάνεις οὔθ' οἱ πρόεδροι οὔθ' ἡ προεδρεύουσα φυλή, τὸ δέκατον μέρος τῆς
5 πόλεως. τούτων δ' ἐχόντων οὕτως, καὶ τῶν καιρῶν ὄντων τῇ πόλει τοιούτων ὁποίους [o] τινὰς αὐτοὺς ὑμεῖς ὑπολαμβάνετε εἶναι, ἓν ὑπολείπεται μέρος τῆς πολιτείας, εἴ τι

[y] δοκεῖ c. d. n. et in litura f. ceteri δοκῇ.
[z] ἐλάχισται] ἐλάχιστα e. l. fortasse legendum τάχιστα.
[a] γράφουσί τέ τινες a. g. m. n.
[b] ταῦθ' e. vulg. ταῦτα.
[c] ἐὰν e. vulg. ἄν.
[d] ὄντως] ὄντων e. k. l. οὕτω γρ. h.
[e] οὐκέτι κοινὴν] κοινὴν οὐκέτι a. g. m. n.
[f] ἀλλ' ἤδη ἰδίαν e. k. l.
[g] εἶναι] om. a. e. g. k. l. m. n. punctis notat h.
[h] εἰσαγγέλλειν] εἰσαγγέλειν d.
[i] δυναστ.] τὰς δυναστ. e. k l.
[k] περιποιοῦντες] περιποιούμενοι e. k. l.
[l] καὶ e. k. l. ceteri om.
[m] μὲν ante κρίσεις ponunt g. m. n.
[n] μὲν] δὲ e. h. k. l. om. c. d. f.
[o] τινὰς] om. c. d. f. h.

κἀγὼ τυγχάνω γινώσκων, αἱ τῶν παρανόμων γραφαί. εἰ δὲ καὶ ταύτας [p] καταλύσετε ἢ τοῖς καταλύουσιν ἐπιτρέψετε, προλέγω [q] ὑμῖν ὅτι λήσετε κατὰ μικρὸν τῆς 6 πολιτείας τισὶ παραχωρήσαντες. εὖ γὰρ ἴστε, ὦ [r] ἄνδρες Ἀθηναῖοι, ὅτι τρεῖς εἰσὶ πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία, διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. μηδεὶς οὖν ὑμῶν [s] τοῦτ' ἀγνοείτω, ἀλλὰ σαφῶς ἕκαστος ἐπιστάσθω, ὅτι ὅταν [t] εἰσίῃ εἰς δικαστήριον [u] γραφὴν παρανόμων δικάσων, [x] ἐν ταύτῃ τῇ ἡμέρᾳ [y] μέλλει τὴν ψῆφον φέρειν περὶ τῆς ἑαυτοῦ παῤῥησίας. διόπερ καὶ ὁ νομοθέτης τοῦτο πρῶτον ἔταξεν ἐν τῷ τῶν δικαστῶν ὅρκῳ, "ψηφιοῦμαι κατὰ [z] τοὺς νόμους," ἐκεῖνό γε εὖ εἰδώς, ὅτι [a] ὅταν διατηρηθῶσιν οἱ νόμοι τῇ 7 πόλει, σώζεται καὶ ἡ δημοκρατία. ἃ χρὴ διαμνημονεύοντας ὑμᾶς μισεῖν [b] τοὺς τὰ παράνομα γράφοντας, καὶ [c] μηδὲν [d] ἡγεῖσθαι μικρὸν εἶναι τῶν τοιούτων ἀδικημάτων ἀλλ' ἕκαστον ὑπερμέγεθες, καὶ τοῦθ' ὑμῶν τὸ δίκαιον [e] μηδένα ἀνθρώπων ἐξαιρεῖσθαι, μήτε τὰς [f] τῶν στρατηγῶν συνηγορίας, οἳ ἐπὶ πολὺν ἤδη χρόνον [g] συνεργοῦντές τισι τῶν ῥητόρων λυμαίνονται τὴν πολιτείαν, μήτε τὰς τῶν ξένων δεήσεις, οὓς ἀναβιβαζόμενοί τινες ἐκφεύγουσιν [h] ἐκ τῶν δικαστηρίων, παράνομον πολιτείαν [i] πολιτευόμενοι·

κατα

[p] καταλύσετε] ἀναλύσετε h.
[q] ὑμῖν] om. n.
[r] ἄνδρες] Addidi ex e. k. l.
[s] τοῦτ'] ταῦτ' g. n.
[t] εἰσίῃ] εἰσίῃ τις h.
[u] γραφὴν] γραφῆς pr. f.
[x] ἐν] om. d. f.
[y] μέλλει] μέλλειν d.
[z] τοὺς] om. l.
[a] ὅταν] ἂν e. k. l.
[b] τοὺς] om. l.
[c] μηδὲν] μὴ δὲ c. d.
[d] ἡγεῖσθαι μικρὸν e g.k.l. μικρὸν om. a.m.n. ceteri μικρὰν ἡγεῖσθαι.
[e] μηδένα ἐᾷν ἀνθρώπων exemplar Askew.
[f] τῶν] om. h.
[g] συνεργοῦντές] συνηγοροῦντες e.k.l.
[h] ἐκ] om. a.
[i] πολιτευόμενοι] πολιτευσάμενοι e. k. l.

ἀλλ' ὥσπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν
ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε
ἐκλιπεῖν τὴν τάξιν ἣν [k] τέταχθε ὑπὸ τῶν νόμων φύλακες
8 τῆς δημοκρατίας [l] τήνδε τὴν ἡμέραν. κἀκεῖνο [m] δὲ χρὴ
διαμνημονεύειν, ὅτι [n] νῦν [o] ἅπαντες οἱ πολῖται παρακατα-
θέμενοι τὴν πόλιν [p] ὑμῖν καὶ τὴν πολιτείαν [q] διαπιστεύ-
σαντες οἱ μὲν πάρεισι καὶ [r] ἐπακούουσι τῆσδε τῆς κρί-
σεως, οἱ δὲ ἄπεισιν ἐπὶ τῶν [s] ἰδίων ἔργων· οὓς [t] αἰσχύνο-
μενοι, καὶ τῶν ὅρκων οὓς ὠμόσατε μεμνημένοι καὶ [u] τῶν
νόμων, ἐὰν [x] ἐξελέγξωμεν Κτησιφῶντα καὶ παράνομα
[y] γράψαντα καὶ ψευδῆ καὶ ἀσύμφορα τῇ πόλει, λύετε
ὦ [z] ἄνδρες Ἀθηναῖοι τὰς παρανόμους γνώμας, βεβαιοῦτε
τῇ πόλει τὴν δημοκρατίαν, κολάζετε τοὺς [a] ὑπεναντίως
[b] τῷ νόμῳ [c] καὶ τῇ πόλει [d] καὶ [e] τῷ συμφέροντι τῷ ὑμε-
τέρῳ πολιτευομένους. κἂν ταύτην ἔχοντες [f] τὴν διάνοιαν
[g] ἀκούητε τῶν μελλόντων ῥηθήσεσθαι λόγων, εὖ οἶδ' [h] ὅτι
δίκαια καὶ εὔορκα καὶ συμφέροντα ὑμῖν αὐτοῖς ψηφι-
εῖσθε καὶ πάσῃ τῇ πόλει.

9 Περὶ μὲν οὖν τῆς ὅλης κατηγορίας μετρίως μοι ἐλπίζω
προειρῆσθαι· περὶ δὲ αὐτῶν τῶν νόμων, οἳ κεῖνται περὶ
τῶν ὑπευθύνων, παρ' οὓς τὸ ψήφισμα [i] τοῦτο τυγχάνει

[k] τέταχθε] ἐτάχθητε e. k. l.
[l] τήνδε] εἰς τήνδε c. e. h. k. n.
[m] δὲ om. e. k. l.
[n] νῦν] νυνὶ e. k. l.
[o] ἅπαντες] πάντες c. e. k. l.
[p] ὑμῖν] ὑμῶν m. n.
[q] διαπιστεύσαντες] πιστεύσαντες e. g. m. n. διαπιστεύοντες l.
[r] ἐπακούουσι] ἀκούουσι h.
[s] ἰδίων] οἰκείων a.
[t] αἰσχυνόμενοι] αἰσχυνούμενοι c.d.
[u] τῶν νόμων] τὸν νόμον d.
[x] ἐξελέγξωμεν a. e. g. k. l. m. n. ceteri ἐλέγξωμεν.
[y] γράψαντα] γεγραφότα e. k. l.
[z] ἄνδρες] recepi ex e. k. l. qui sic ubique.
[a] ὑπεναντίως] ὑπεναντίως g. ὑπεναντίους h. n. ὑπεναντίους d. l. m.
[b] τῷ νόμῳ] τοῖς νόμοις c. e. k. l.
[c] καὶ τῇ πόλει] om. e. k. l.
[d] καὶ] καὶ μὴ d.
[e] τῷ συμφ. τῷ ὑμ.] τῷ ὑμ. συμφ. e. k. l.
[f] τὴν] om. c. d.
[g] ἀκούητε e. h. k. l. et correctus a : ceteri ἀκούσητε.
[h] ὅτι καὶ δίκαια c. e. f. h. k. l.
[i] τοῦτο] om. e. k. l.

γεγραφὼς Κτησιφῶν, διὰ βραχέων εἰπεῖν βούλομαι. ἐν γὰρ τοῖς ἔμπροσθεν χρόνοις ἄρχοντές τινες [k]τὰς [l]μεγίστας ἀρχὰς [m]καὶ τὰς προσόδους διοικοῦντες, καὶ δωροδοκοῦντες περὶ ἕκαστα τούτων, προσλαμβάνοντες τούς [n]τε ἐκ τοῦ βουλευτηρίου ῥήτορας καὶ τοὺς ἐκ τοῦ δήμου πόρρωθεν [o]προκατελάμβανον τὰς εὐθύνας ἐπαίνοις καὶ κηρύγμασιν, ὥστ' ἐν ταῖς εὐθύναις τῶν [p]ἀρχῶν εἰς τὴν μεγίστην [q]μὲν ἀπορίαν ἀφικνεῖσθαι τοὺς κατηγόρους, πολὺ [r]δὲ ἔτι μᾶλλον τοὺς δικαστάς. πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων ἐπ' αὐτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες ἐξελεγχόμενοι διεφύγγανον [s]ἐκ τῶν δικαστηρίων, εἰκότως· [t]ἠσχύνοντο γὰρ οἶμαι [u]οἱ δικασταί, εἰ φανήσεται [v]ὁ αὐτὸς ἀνὴρ ἐν τῇ αὐτῇ πόλει, τυχὸν δὲ καὶ ἐν τῷ αὐτῷ ἐνιαυτῷ, πρώην μέν ποτε ἀναγορευόμενος ἐν τοῖς ἀγῶσιν ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου χρυσῷ στεφάνῳ, ὁ δὲ αὐτὸς ἀνὴρ μικρὸν ἐπισχὼν ἔξεισιν [x]ἐκ τοῦ δικαστηρίου κλοπῆς ἕνεκα τὰς εὐθύνας ὠφληκώς· ὥστε ἠναγκάζοντο τὴν ψῆφον φέρειν οἱ δικασταὶ οὐ περὶ τοῦ παρόντος ἀδικήματος ἀλλ' ὑπὲρ τῆς αἰσχύνης τοῦ δήμου. κατιδὼν δέ τις ταῦτα νομοθέτης τίθησι νόμον καὶ μάλα καλῶς ἔχοντα, τὸν διαῤῥήδην [y]ἀπαγορεύοντα τοὺς ὑπευθύνους μὴ στεφανοῦν. καὶ ταῦτα [z]οὕτως εὖ προκατειλημμένος τοῦ νομοθέτου εὕρηνται

[k] τὰς] om. e. k. l.
[l] μεγίστας ἀρχὰς] μεγίστας ἀρχὰς ἐν τῇ πόλει e. k. l. ἀρχὰς ἐν τῇ πόλει μεγίστας h. μεγίστας ἐν τῇ πόλει ἀρχὰς γρ. h.
[m] καὶ τὰς om. h. τὰς om. c.d.f.
[n] τε om. e. k. l.
[o] προκατελάμβανον] προκαταλαμβάνοντες f.
[p] ἀρχῶν e.l.k. ceteri ἀρχόντων.
[q] μὲν om. e. l.
[r] δὲ καὶ ἔτι n.
[s] ἐκ] ἀπὸ e. k. l.
[t] ἠσχύνοντο] αἰσχύνονται e. l.
[u] οἱ] om. m. n.
[v] ὁ] om. e. k. l.
[x] ἐκ] ἐπὶ l.
[y] ἀπαγορεύοντα] διαγορεύοντα e. k. l.
[z] οὕτως om. a.

[a]λόγοι κρείττους τῶν νόμων· οὓς εἰ μή τις ὑμῖν ἐρεῖ, λήσετε ἐξαπατηθέντες. τούτων γάρ τινες τῶν τοὺς ὑπευθύνους στεφανούντων παρὰ τοὺς νόμους οἱ μὲν φύσει μέτριοί εἰσιν, εἰ δή τις [b]ἔστι [c]μέτριος τῶν [d]τὰ παράνομα γραφόντων· ἀλλ' οὖν προβάλλονται γέ τι πρὸ τῆς αἰσχύνης. προσεγγράφουσι γὰρ πρὸς τὰ ψηφίσματα στεφανοῦν τὸν ὑπεύθυνον ἐπειδὰν λόγον καὶ εὐθύνας τῆς ἀρ-
12 χῆς δῷ. καὶ ἡ μὲν πόλις τὸ ἴσον ἀδίκημα ἀδικεῖται (προκαταλαμβάνονται γὰρ ἐπαίνοις καὶ στεφάνοις αἱ εὐθῦναι), ὁ δὲ τὸ ψήφισμα γράφων ἐνδείκνυται τοῖς ἀκούουσιν ὅτι [e]γέγραφε [f]μὲν παράνομα, αἰσχύνεται δὲ ἐφ' οἷς ἡμάρτηκε. Κτησιφῶν δὲ ὦ ἄνδρες Ἀθηναῖοι, ὑπερπηδήσας τὸν νόμον τὸν [g]περὶ τῶν [h]ὑπευθύνων κείμενον, καὶ τὴν πρόφασιν ἣν [i]ἐγὼ ἀρτίως προεῖπον ὑμῖν ἀνελών, πρὶν λόγον, πρὶν εὐθύνας δοῦναι, γέγραφε μεταξὺ Δημοσθένην ἄρχοντα στεφανοῦν.

13 [k]Λέξουσι δὲ ὦ ἄνδρες Ἀθηναῖοι [l]καὶ ἕτερόν [m]τινα λόγον ὑπεναντίον τῷ ἀρτίως εἰρημένῳ, ὡς ἄρα ὅσα τις αἱρετὸς ὢν πράττει κατὰ ψήφισμα, οὐκ ἔστι ταῦτα ἀρχὴ ἀλλ' ἐπιμέλειά τις καὶ διακονία· ἀρχὰς δὲ φήσουσιν ἐκείνας εἶναι ἃς [n]οἱ θεσμοθέται ἀποκληροῦσιν ἐν τῷ Θησείῳ, κἀκείνας ἃς ὁ δῆμος [o]εἴωθε χειροτονεῖν ἐν ἀρχαιρεσίαις, στρατηγοὺς καὶ [p]ἱππάρχους καὶ τὰς μετὰ τούτων

[a] λόγοι κρείττους] λόγοι κρείττονες e.k.l. κρείττους λόγοι h. κρείττονες λόγοι ceteri.
[b] ἐστι om. e.
[c] μέτριος ἐπὶ τῶν a.c.d.f.g.h.m.n.
[d] τὰ om. k. l.
[e] γέγραφε e. k. et pr. g. γεγράφει a. f. m. n. ceteri ἐγεγράφει.
[f] μὲν om. l.
[g] περὶ] ὑπὲρ h. k.
[h] ὑπευθύνων] εὐθυνῶν e.
[i] ἐγὼ om. e. k. l.
[k] Λέξουσι] ἔξουσι pr. f.
[l] καὶ om. e. l.
[m] τινα om. a. d. f.
[n] οἱ θεσμ. ἀποκλ.] ἀποκλ. οἱ θεσμ. k.
[o] εἴωθε χειροτονεῖν] χειροτονεῖ e.k.l.
[p] ἱππάρχους] ὑπάρχους d. n. et pr. m.

ἀρχάς, [q]τὰ δ' ἄλλα πάντα πραγματείας προστεταγ-
14 μένας κατὰ ψήφισμα. ἐγὼ δὲ πρὸς τοὺς λόγους τοὺς
τούτων νόμον ὑμέτερον παρέξομαι, ὃν ὑμεῖς ἐνομοθετήσατε
λύσειν ἡγούμενοι τὰς τοιαύτας προφάσεις, ἐν ᾧ διαρρήδην
γέγραπται, "τὰς χειροτονητάς" φησιν "ἀρχὰς" ἁπά- 40
σας [r]ἐνὶ περιλαβὼν ὀνόματι ὁ νομοθέτης, καὶ [s]προσειπὼν
ἀρχὰς ἁπάσας εἶναι ἃς ὁ δῆμος χειροτονεῖ, "καὶ τοὺς
"ἐπιστάτας" φησὶ "τῶν δημοσίων ἔργων" (ἔστι [t]δὲ ὁ
Δημοσθένης τειχοποιός, ἐπιστάτης τοῦ μεγίστου τῶν ἔρ-
γων) "καὶ [u]πάντας ὅσοι διαχειριζουσί τι τῶν τῆς πό-
"λεως πλέον ἢ τριάκονθ' ἡμέρας, καὶ ὅσοι λαμβάνουσιν 56
15 "ἡγεμονίας δικαστηρίων" (οἱ δὲ τῶν ἔργων ἐπιστάται
πάντες ἡγεμονίαι χρῶνται δικαστηρίου), τί τούτους κε-
λεύει ποιεῖν; οὐ διακονεῖν ἀλλ' ἄρχειν δοκιμασθέντας ἐν
τῷ δικαστηρίῳ, ἐπειδὴ καὶ αἱ κληρωταὶ ἀρχαὶ οὐκ ἀδο-
κίμαστοι ἀλλὰ δοκιμασθεῖσαι ἄρχουσι, καὶ λόγον καὶ
εὐθύνας [x]ἐγγράφειν πρὸς τὸν γραμματέα καὶ τοὺς λο- 5
γιστάς, καθάπερ καὶ τὰς ἄλλας ἀρχάς, κελεύει. [y]Ὅτι
δὲ ἀληθῆ λέγω, τοὺς νόμους [y]ὑμῖν αὐτοὺς [z]ἀναγνώσεται.

[a]NOMOI.

16 Ὅταν τοίνυν, [b]ὦ ἄνδρες Ἀθηναῖοι, [c]ἃς ὁ νομοθέτης
ἀρχὰς ὀνομάζει, οὗτοι [d]προσαγορεύωσι πραγματείας καὶ
ἐπιμελείας, ὑμέτερον ἔργον ἐστὶν ἀπομνημονεύειν καὶ [e]ἀν-
τιτάττειν τὸν νόμον πρὸς τὴν τούτων ἀναίδειαν, καὶ ὑπο-

[q] τὰ δ' ἄλλα πάντα] τὰς δ' ἄλλας ταῦτα a. m. n. τὰς δ' ἄλλας ταύτας e. g. k. l. et γρ. h.
[r] ἐνὶ—ἁπάσας] om. n.
[s] προσειπὼν] προειπὼν d. n.
[t] δὲ καὶ ὁ l.
[u] πάντας] πάντες e.
[x] ἐγγράφειν] ἐγγράφει e. γράφειν n.
[y] ὑμῖν αὐτοὺς e. k. l. ὑμῖν om. n. ceteri αὐτοὺς ὑμῖν.
[z] ἀναγνώσεται] ἀνάγνωτε e. k. l.
[a] NOMOI] νόμος a. om. e.
[b] ὦ om. d.
[c] ἃς ὁ—ὀνομάζει οὗτοι] ὁ μὲν—ὀνομάζῃ οὗτοι δὲ a. g. m. n.
[d] προσαγορεύωσι] προσαγορεύσωσι l.
[e] ἀντιτάττειν] ἀντιπράττειν pr. h.

βάλλειν αὐτοῖς ὅτι οὐ προσδέχεσθε [f]κακοῦργον σοφιστὴν [g]οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, ἀλλ' [h]ὅσῳ ἄν τις ἄμεινον λέγῃ παράνομα γεγραφώς, τοσούτῳ μείζονος ὀργῆς τεύξεται. χρὴ γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν [i]ἀφίῃ ὁ νόμος ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον, οὐ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ.

17 Πρὸς δὲ δὴ τὸν ἄφυκτον λόγον, ὃν φησι Δημοσθένης, βραχέα βούλομαι [k]προειπεῖν. λέξει γὰρ [l]οὗτος "τειχο- "ποιός [m]εἰμι· ὁμολογῶ· ἀλλ' ἐπιδέδωκα τῇ πόλει μνᾶς "ἑκατὸν καὶ τὸ ἔργον μεῖζον [n]ἐξείργασμαι. τίνος οὖν "εἰμὶ ὑπεύθυνος, εἰ μή τίς ἐστιν εὐνοίας [o]εὐθύνη;" πρὸς δὴ ταύτην τὴν πρόφασιν [p]ἀκούσατέ μου λέγοντος καὶ δίκαια καὶ [q]ὑμῖν συμφέροντα. [r]ἐν γὰρ ταύτῃ τῇ πόλει οὕτως ἀρχαίᾳ οὔσῃ καὶ [s]τηλικαύτῃ τὸ μέγεθος οὐδείς ἐστιν ἀνυπεύθυνος τῶν [t]καὶ ὁπωσοῦν πρὸς τὰ κοινὰ προσ-
18 ελθόντων. διδάξω δ' ὑμᾶς πρῶτον ἐπὶ τῶν παραδόξων, οἷον τοὺς ἱερεῖς καὶ τὰς ἱερείας ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, καὶ συλλήβδην ἅπαντας καὶ χωρὶς ἑκάστους κατὰ σῶμα, τοὺς τὰ γέρα [u]μόνον λαμβάνοντας καὶ τὰς εὐχὰς ὑπὲρ [v]ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους, καὶ οὐ μόνον ἰδίᾳ ἀλλὰ καὶ κοινῇ [x]τὰ γένη, Εὐμολπίδας καὶ

[f] κακοῦργον καὶ σοφιστὴν e. l.
[g] οἰόμενον] οἰόμενοι c.
[h] ὅσῳ] ὅσα a. m. n.
[i] ἀφίῃ] ἀφίησιν c. g. m. n. et γρ. h.
[k] προειπεῖν] προσειπεῖν a. c. d. f. g. m.
[l] οὗτος] οὕτως e.
[m] εἰμι] μοι d.
[n] ἐξείργασμαι] ἐξείργασται c. d. e. f. g. k. l. m. n. ἐξείργασμαι h.
[o] εὐθύνη] εὐθύνα m.
[p] ἀκούσατε] ἀκούσετε m. n.
[q] ὑμῖν] om. a. d. f. h. ante καὶ ponunt g. m. n.
[r] ἐν] ἐῦ k. l.
[s] τηλικαύτῃ] τοσαύτῃ e. k. l.
[t] καὶ om. l.
[u] μόνον] μόνοι c. μόνα a. g. et correctus m.
[v] ἡμῶν a.
[x] τὰ] κατὰ h. et γρ. m.

19 κήρυκας καὶ τοὺς ἄλλους ἅπαντας. πάλιν τοὺς τριηράρχους ὑπευθύνους εἶναι κελεύει ὁ νόμος οὐ τὰ κοινὰ [y] διαχειρίσαντας, οὐδ' ἀπὸ τῶν ὑμετέρων προσόδων πολλὰ μὲν ὑφαιρουμένους βραχέα δὲ [z] κατατιθέντας, ἐπιδιδόναι δὲ φάσκοντας, ἀποδιδόντας δὲ ὑμῖν τὰ ὑμέτερα, ἀλλ' [a] ὁμολογουμένως [b] τὰς πατρῴας οὐσίας εἰς τὴν πρὸς ὑμᾶς ἀνηλωκότας φιλοτιμίαν. οὐ τοίνυν μόνοι οἱ τριήραρχοι, ἀλλὰ καὶ τὰ μέγιστα τῶν ἐν τῇ πόλει συνεδρίων ὑπὸ 20 τὴν τῶν [c] δικαστηρίων [d] ἔρχεται ψῆφον. πρῶτον μὲν γὰρ τὴν βουλὴν [e] τὴν ἐν Ἀρείῳ πάγῳ ἐγγράφειν πρὸς τοὺς λογιστὰς ὁ νόμος κελεύει λόγον καὶ εὐθύνας [f] διδόναι, καὶ τὴν ἐκεῖ σκυθρωπὸν καὶ τῶν μεγίστων κυρίαν ἄγει ὑπὸ τὴν ὑμετέραν ψῆφον. οὐκ ἄρα στεφανωθήσεται ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου; οὐδὲ γὰρ πάτριόν [g] ἐστιν αὐτοῖς. οὐκ ἄρα φιλοτιμοῦνται; πάνυ γε, ἀλλ' οὐκ ἀγαπῶσιν ἐάν τις παρ' αὐτοῖς μὴ ἀδικῇ, ἀλλ' ἐάν τις ἐξαμαρτάνῃ κολάζουσιν· οἱ δὲ ὑμέτεροι ῥήτορες τρυφῶσι. [h] πάλιν τὴν βουλὴν τοὺς πεντακοσίους ὑπεύθυνον πεποίη- 21 κεν ὁ νομοθέτης. καὶ οὕτως ἰσχυρῶς [i] ἀπιστεῖ τοῖς ὑπευθύνοις, ὥστ' [k] εὐθέως ἀρχόμενος τῶν νόμων λέγει, "ἀρχὴν "ὑπεύθυνόν" φησι "μὴ ἀποδημεῖν." ὦ Ἡράκλεις, ὑπολάβοι ἄν τις, ὅτι ἦρξα, μὴ ἀποδημήσω; ἵνα [l] γε μὴ [m] προ-

[y] διαχειρίσαντας] διαχειρήσαντας d.

[z] κατατιθέντας] καταθέντας d. e. f. h. k. l.

[a] ὁμολογουμένως] ὁμολογουμένῶς m.

[b] τὰς] τοὺς τὰς e. f. h. k. l.

[c] δικαστηρίων] δικαστῶν k. l.

[d] ἔρχεται] ἄρχεται h.

[e] τὴν om. d. f.

[f] Quæ inter διδόναι et ὑπὸ leguntur, om. d. e. f. h. k. l. Leguntur autem (in a. c. g. m. n.) sic: τῶν—σκυθρωπῶν—κύριον ἄγειν. Genitivos sustulit Reiskius, reliqua Wolfius correxerat.

[g] ἐστιν αὐτοῖς e. k. l. ceteri αὐτοῖς ἐστίν.

[h] πάλιν δὲ τὴν h.

[i] ἀπιστεῖ τοῖς ὑπευθύνοις] ἀπαιτεῖ τοὺς ὑπευθύνους e. g. m. n. ἀπιστεῖ τοὺς ὑπευθύνους c.

[k] εὐθέως] εὐθὺς e. k. l.

[l] γε om. l.

[m] προλαβὼν] ἀπολαβὼν l.

λαβὼν χρήματα τῆς πόλεως ἢ πράξεις δρασμῷ χρήσῃ. πάλιν ὑπεύθυνον οὐκ ἐᾷ τὴν οὐσίαν καθιεροῦν οὐδε ἀνάθημα ἀναθεῖναι οὐδ' ἐκποίητον γενέσθαι οὐδε διαθέσθαι τὰ ἑαυτοῦ οὐδ' ἄλλα πολλά· ἐνὶ δε λόγῳ [n] ἐνεχυράζει [o] τὰς οὐσίας ὁ νομοθέτης [p] τὰς τῶν ὑπευθύνων,
22 ἕως ἂν λόγον [q] ἀποδῶσι τῇ πόλει. Ναί, ἀλλ' ἔστι τις ἄνθρωπος ὃς οὔτ' εἴληφεν οὐδὲν τῶν δημοσίων οὔτ' ἀνήλωκε, προσῆλθε δὲ πρός [r] τι τῶν κοινῶν. καὶ [s] τοῦτον ἀποφέρειν κελεύει λόγον πρὸς τοὺς λογιστάς. καὶ πῶς ὅ γε μηδὲν λαβὼν μηδ' ἀναλώσας ἀποίσει λόγον τῇ πό- 57
λει; αὐτὸς ὑποβάλλει καὶ διδάσκει ὁ νόμος ἃ χρὴ γράφειν· κελεύει γὰρ αὐτὸ τοῦτο ἐγγράφειν, ὅτι "οὔτ' "ἔλαβον οὐδὲν τῶν τῆς πόλεως οὔτ' ἀνήλωσα." [t] ἀνεύθυνον δὲ [v] καὶ ἀζήτητον καὶ ἀνεξέταστον οὐδέν ἐστι τῶν ἐν τῇ πόλει. Ὅτι δὲ ἀληθῆ λέγω, αὐτῶν ἀκούσατε [u] τῶν νόμων.

[x] NOMOI.

23 Ὅταν τοίνυν μάλιστα θρασύνηται Δημοσθένης λέγων ὡς διὰ τὴν ἐπίδοσιν οὐκ ἔστιν ὑπεύθυνος, ἐκεῖνο [y] αὐτῷ ὑποβάλλετε "οὐκοῦν ἐχρῆν σε ὦ Δημόσθενες ἐᾶσαι τὸν "τῶν λογιστῶν [z] κήρυκα κηρῦξαι τὸ πάτριον καὶ ἔννομον "κήρυγμα [a] τοῦτο, τίς βούλεται κατηγορεῖν; ἔασον ἀμ- "φισβητῆσαί σοι τὸν βουλόμενον τῶν πολιτῶν ὡς οὐκ "[b] ἐπέδωκας, ἀλλ' [c] ἀπὸ πολλῶν ὧν ἔχεις εἰς τὴν τῶν

[n] ἐνεχυράζει] ἐνεχυριάζει e.h.k.l. ἐνεχειρίζει d.
[o] τὰς οὐσίας ὁ νομοθ.] ὁ νομοθ. τὰς οὐσίας e. k. l.
[p] τὰς ante τῶν om. f.h.k.l.
[q] ἀποδῶσι] ἀποδιδῶσι e. ἀποδώσῃ h.
[r] τι—πρὸς om. a.
[s] τοῦτον] τούτων m. n.
[t] ἀνεύθυνον] ἀνυπεύθυνον e. k. l.
[v] καὶ ἀζ. καὶ ἀνεξ.] καὶ ἀνεξ. καὶ ἀζ. a. g. m. n.
[u] τῶν νόμων] τῶν ἐν τῇ πόλει e.k.l.
[x] NOMOI] νόμος l. om. a. g.
[y] αὐτῷ] αὐτὸ g. l. m.
[z] κήρυκα] κύριον g.
[a] τοῦτο] τούτου a. m. n. et correctus h.
[b] ἐπέδωκας] ἐπιδέδωκας g.
[c] ἀπὸ om. e.k.

" τειχῶν οἰκοδομίαν μικρὰ κατέθηκας, δέκα τάλαντα
" [d]εἰς ταῦτα ἐκ τῆς [e]πόλεως εἰλημφώς. μὴ ἅρπαζε τὴν
" φιλοτιμίαν, μηδὲ ἐξαιροῦ τῶν δικαστῶν τὰς ψήφους
" ἐκ τῶν χειρῶν, μηδ' ἔμπροσθεν τῶν [f]νόμων ἀλλ' [g]ὕστε-
" ρος πολιτεύου. ταῦτα γὰρ ὀρθοῖ τὴν δημοκρατίαν."

24 Πρὸς μὲν οὖν τὰς [h]κενὰς προφάσεις, ἃς οὗτοι προφα-
σιοῦνται, μέχρι [i]δεῦρο εἰρήσθω μοι· Ὅτι δὲ ὄντως ἦν ὑπεύ-
θυνος ὁ Δημοσθένης ὅθ' οὗτος εἰσήνεγκε τὸ ψήφισμα,
ἄρχων μὲν τὴν ἐπὶ [k]τῷ θεωρικῷ ἀρχήν, ἄρχων δὲ τὴν τῶν
τειχοποιῶν, οὐδετέρας [l]δέ [m]πω [n]τῶν ἀρχῶν τούτων
[o]λόγον ὑμῖν οὐδ' εὐθύνας δεδωκώς, ταῦτ' ἤδη πειράσομαι
ὑμᾶς διδάσκειν ἐκ τῶν δημοσίων γραμμάτων. Καί μοι
ἀνάγνωθι ἐπὶ τίνος ἄρχοντος καὶ ποίου μηνὸς καὶ ἐν τίνι
ἡμέρᾳ καὶ ἐν ποίᾳ ἐκκλησίᾳ ἐχειροτονήθη [p]Δημοσθένης τὴν
ἀρχὴν τὴν ἐπὶ [q]τῷ θεωρικῷ.

[r]ΔΙΑΛΟΓΙΣΜΟΣ ΤΩΝ ΗΜΕΡΩΝ.

25 Οὐκοῦν εἰ μηδὲν ἔτι [s]περαιτέρω τούτου δείξαιμι, δι-
καίως ἂν ἁλίσκοιτο Κτησιφῶν. αἱρεῖ γὰρ [t]αὐτὸν οὐχ ἡ
κατηγορία ἡ ἐμὴ ἀλλὰ τὰ δημόσια γράμματα.

[u]Πρότερον μὲν [x]τοίνυν, [y]ὦ ἄνδρες Ἀθηναῖοι, ἀντιγρα-

[d] εἰς om. d. f. h.
[e] πόλεως] πολιτείας e. l.
[f] νόμων] λόγων l.
[g] ὕστερος] ὕστερον h.
[h] κενὰς Stephanus : libri κοινάς.
[i] δεῦρο] τοῦδε a.
[k] τῷ θεωρικῷ] τῶν θεωρικῶν h.
[l] δέ om. d. f.
[m] πω om. e. k. l.
[n] τῶν ἀρχῶν τούτων] τούτων τῶν ἀρχῶν l.
[o] λόγον ὑμῖν] ὑμῖν λόγον e.
[p] Δημοσθ. καὶ τὴν h.
[q] τῷ θεωρικῷ c. d. ceteri τῶν θεωρικῶν. Quæ addi solent (ὅτι μεσοῦντα τὴν ἀρχὴν ἔγραψεν αὐτὸν στεφανοῦν. ἀναγίνωσκε), om. e. l. in margine ponit k. pro ἀναγίνωσκε idem habet ἀναγινώσκεται. c. d. f. h. ἀναγινώσκετε.
[r] ΔΙΑΛΟΓΙΣΜΟΣ ΤΩΝ ΗΜΕΡΩΝ] ψήφισμα e. om. a. g. h. l. m. n. ὁ διαλογισμὸς τῶν ἡμερῶν ante illud ὅτι μεσοῦντα ponit margo k.
[s] περαιτέρω om. c. d. post τούτου ponunt e. k. l.
[t] αὐτὸν om. a.
[u] Πρότερον] πρῶτον a. g. m. n. πότερον l.
[x] τοίνυν] οὖν d.
[y] ὦ ἄνδρες Ἀθ.] om. e. k. l.

φεὺς ἦν χειροτονητὸς [z]τῇ πόλει, ὃς καθ' ἑκάστην πρυτανείαν ἀπελογίζετο τὰς προσόδους τῷ δήμῳ· διὰ δὲ τὴν πρὸς Εὔβουλον [a]γενομένην πίστιν ὑμῖν οἱ [b]ἐπὶ [c]τὸ θεωρικὸν κεχειροτονημένοι ἦρχον μὲν πρὶν [d]ἢ [e]τὸν [f]Ἡγήμονος [g]νόμον γενέσθαι τὴν τοῦ [h]ἀντιγραφέως ἀρχήν, ἦρχον δὲ τὴν τῶν [i]ἀποδεκτῶν καὶ [k]νεωρίων ἀρχήν, καὶ σκευοθήκην ᾠκοδόμουν, ἦσαν δὲ καὶ ὁδοποιοὶ καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως. καὶ οὐ κατηγορῶν αὐτῶν οὐδ' ἐπιτιμῶν λέγω, ἀλλ' ἐκεῖνο ὑμῖν ἐνδείξασθαι βούλομαι, ὅτι ὁ μὲν νομοθέτης, ἐάν τις μιᾶς ἀρχῆς τῆς ἐλαχίστης ὑπεύθυνος ᾖ, τοῦτον οὐκ ἐᾷ πρὶν ἂν λόγους καὶ εὐθύνας δῷ στεφανοῦν, ὁ δὲ Κτησιφῶν Δημοσθένην τὸν συλλήβδην [l]ἁπάσας τὰς Ἀθήνησιν ἀρχὰς [m]ἄρχοντα οὐκ ὤκνησε γράψαι στεφανῶσαι.

Ὡς τοίνυν καὶ τὴν τῶν τειχοποιῶν ἀρχὴν ἦρχεν ὅθ' οὗτος τὸ ψήφισμα ἔγραψε, καὶ τὰ δημόσια [n]χρήματα διεχείριζε καὶ [o]ἐπιβολὰς [p]ἐπέβαλλε καθάπερ [q]οἱ [r]ἄλλοι ἄρχοντες, καὶ δικαστηρίων ἡγεμονίας ἐλάμβανε, [s]τούτων ὑμῖν [t]αὐτὸν [u]Δημοσθένην [x]καὶ Κτησιφῶντα μάρτυρας παρέξομαι. ἐπὶ γὰρ Χαιρώνδου ἄρχοντος [y]θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος ἐκκλησίας οὔσης ἔγραψε

[z] τῇ π. χειροτ.] χειροτ. τῇ π. a. γινομένην
[a] γενομένην] γεγραμμένην h.
[b] ἐπὶ] περὶ h.
[c] τὸ θεωρικὸν] τῷ θεωρικῷ e.
[d] ἢ om. n.
[e] τὸν] τοῦ e. l.
[f] Ἡγήμονος] ἡγεμόνος k. n. ἡγεμῶνος l.
[g] νόμον] νόμου e. l.
[h] ἀντιγραφέως] γραφέως e. k. l.
[i] ἀποδεκτῶν] ἀποδεκατῶν c. d.
[k] νεωρίων] νεωρῶν Stephanus, quod additur ἀρχήν, delebat Marklandus.
[l] ἁπάσας om. e. k. l.
[m] ἄρχοντα] ἔχοντα h.
[n] χρήματα] γράμματα h.
[o] ἐπιβολὰς] ἐπιβουλὰς c. h. l.
[p] ἐπέβαλλε] ἐπέβαλε d.
[q] οἱ] καὶ οἱ c. d. h.
[r] ἄλλοι] om. e. k. l.
[s] τούτων] τοῦτον h. k.
[t] αὐτὸν post Δημ. ponit h.
[u] Δημοσθένη a. c. h. ceteri δημοσθένην.
[x] καὶ Κτησ. μάρτυρας] μάρτυρα καὶ Κτησ. e. k. l.
[y] θαργ. μηνὸς] μηνὸς θαργ. e. k. l.

[z]ψήφισμα Δημοσθένης ἀγορὰν ποιῆσαι τῶν φυλῶν [a]σκιροφοριῶνος δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ, καὶ ἐπέταξεν ἐν τῷ ψηφίσματι ἑκάστης τῶν φυλῶν ἑλέσθαι τοὺς [b]ἐπιμεληθησομένους τῶν ἔργων ἐπὶ τὰ τείχη καὶ ταμίας, καὶ μάλα ὀρθῶς, ἵν' ἡ πόλις [c]ἔχοι ὑπεύθυνα σώματα, παρ' ὧν ἔμελλε τῶν [d]ἀνηλωμένων λόγον ἀπολήψεσθαι. Καί μοι λέγε τὰ ψηφίσματα.

[e]ΨΗΦΙΣΜΑΤΑ.

28 [f]Ναί, ἀλλ' ἀντιδιαπλέκει πρὸς τοῦτο [g]εὐθὺς [h]ὡς οὔτ' ἔλαχε τειχοποιὸς οὔτ' ἐχειροτονήθη ὑπὸ τοῦ δήμου. καὶ περὶ τούτου [i]Δημοσθένης μὲν καὶ Κτησιφῶν πολὺν ποιήσονται λόγον· ὁ δέ [k]γε νόμος [l]βραχὺς καὶ σαφὴς καὶ ταχὺ λύων τὰς τούτων τέχνας. μικρὰ δὲ ὑμῖν ὑπὲρ
29 αὐτῶν πρῶτον [m]προειπεῖν βούλομαι. ἔστι γὰρ ὦ 'Αθη- 58
ναῖοι τῶν περὶ τὰς ἀρχὰς εἴδη τρία, ὧν ἓν μὲν καὶ [n]πᾶσι φανερώτατον οἱ κληρωτοὶ καὶ οἱ χειροτονητοὶ ἄρχοντες, δεύτερον δὲ ὅσοι τι διαχειρίζουσι τῶν τῆς πόλεως ὑπὲρ τριάκοντα ἡμέρας καὶ οἱ τῶν δημοσίων ἔργων ἐπιστάται· τρίτον δ' ἐν τῷ νόμῳ γέγραπται, καὶ [o]εἴ τινες ἄλλοι αἱρετοὶ ἡγεμονίας δικαστηρίων λαμβάνουσι, καὶ τούτους
30 ἄρχειν δοκιμασθέντας. ἐπειδὰν δ' [p]ἀφέλῃ τις τοὺς [q]ὑπὸ τοῦ δήμου κεχειροτονημένους καὶ τοὺς κληρωτοὺς ἄρχον-

[z] ψήφισμα] om. e. h. k. l.
[a] σκιροφοριῶνος] σκιρροφοριῶνος h. k. n.
[b] ἐπιμεληθησομένους a. e. k. l. ceteri ἐπιμελησομένους.
[c] ἔχοι k. ceteri ἔχῃ.
[d] ἀνηλωμένων] ἀναλωμάτων e.
[e] ΨΗΦΙΣΜΑΤΑ om. a. c. d. e.
[f] Ναὶ] om. e.
[g] εὐθὺς k. l. ceteri εὐθέως.
[h] ὡς] λέγων ὡς a.c.d.f.g.h.m.n.
[i] Δημ. μὲν] μὲν Δημ. h.
[k] γε νόμος] γενόμενος c. d. f.
[l] βραχὺς καὶ σαφὴς καὶ—λύων] βραχῆ καὶ σαφῆ καὶ—λύοντα e.k.l. βραχῆ καὶ σαφῆ καὶ—κωλύοντα h.
[m] προειπεῖν] προσειπεῖν m. n.
[n] πᾶσι om. a. g. m. n.
[o] εἴ] οἵ k. l.
[p] ἀφέλῃ] ἀφέληται a. g. m. n.
[q] ὑπὸ] ἀπὸ e.

τας, [r] καταλείπεται, [s] οὓς αἱ φυλαὶ καὶ αἱ [t] τριττύες καὶ οἱ δῆμοι ἐξ [u] ἑαυτῶν αἱροῦνται τὰ δημόσια χρήματα διαχειρίζειν, τούτους αἱρετοὺς ἄρχοντας εἶναι. τοῦτο δὲ γίνεται ὅταν, ὥσπερ νῦν, ἐπιταχθῇ τι ταῖς φυλαῖς, ἢ τάφρους ἐξεργάζεσθαι ἢ τριήρεις ναυπηγεῖσθαι. Ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν νόμων μαθήσεσθε.

[x] NOMOI.

31 Ἀναμνήσθητε [y] δὴ τοὺς προειρημένους λόγους, ὅτι ὁ μὲν νομοθέτης τοὺς ἐκ τῶν φυλῶν ἄρχειν κελεύει δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, ἡ δὲ Πανδιονὶς φυλὴ ἄρχοντα καὶ τειχοποιὸν ἀπέδειξε Δημοσθένην, ὃς ἐκ τῆς διοικήσεως εἰς [z] ταῦτα ἔχει μικροῦ [a] δεῖν δέκα τάλαντα, ἕτερος δ' ἀπαγορεύει νόμος ἀρχὴν ὑπεύθυνον μὴ [b] στεφανοῦν, ὑμεῖς δὲ ὁμωμόκατε κατὰ τοὺς νόμους ψηφιεῖσθαι, ὁ δὲ ῥήτωρ γέγραφε τὸν ὑπεύθυνον στεφανοῦν [c] οὐ προσθεὶς "ἐπειδὰν "δῷ λόγον καὶ εὐθύνας," ἐγὼ δὲ [d] ἐξελέγχω τὸ παράνομον μάρτυρας ἅμα τοὺς νόμους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἀντιδίκους παρεχόμενος. πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον [e] παράνομα γεγραφότα;

32 Ὡς τοίνυν καὶ τὴν ἀνάῤῥησιν τοῦ στεφάνου παρανόμως ἐν τῷ ψηφίσματι κελεύει γίνεσθαι, καὶ [f] τοῦθ' ὑμᾶς διδάξω. Ὁ γὰρ νόμος διαῤῥήδην κελεύει, ἐὰν μέν τινα [g] στεφανοῖ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι, ἐὰν δὲ

[r] καταλείπεται] καταλείπονται c. d.e.f.h.k. καταλίπονται l. καταλίπωνται a. g. m.
[s] οὓς] ὡς e. k. l.
[t] τριττύες] τριτύες f. g. m. n.
[u] ἑαυτῶν] αὐτῶν e.
[x] NOMOI] νόμος a.
[y] δὴ] δὲ e. l.
[z] ταῦτα] ταύτας l.
[a] δεῖν] δ' εἰπεῖν e. f. h. k. l.
[b] στεφανοῦν—ὑπεύθυνον] om. e. k. l.
[c] οὐ e. k. l. ceteri μή.
[d] ἐξελέγχω Stephanus. ἐλέγξω l. ἐλέγξω g. n. ceteri ἐξελέγξω.
[e] παράνομα] παρανομώτατα a. c. g. m. n.
[f] τοῦθ'] ταῦθ' e. l.
[g] στεφανοῖ post βουλὴ ponit e. στεφανῇ m. n.

ὁ δῆμος, ἐν τῇ ἐκκλησίᾳ, ἄλλοθι δὲ [h]μηδαμοῦ. Καί μοι λέγε τὸν νόμον.

[i]ΝΟΜΟΣ.

33 Οὗτος ὁ νόμος ὦ ἄνδρες Ἀθηναῖοι καὶ μάλα καλῶς ἔχει. οὐ γὰρ (οἶμαι) ᾤετο [k]δεῖν ὁ νομοθέτης τὸν ῥήτορα σεμνύνεσθαι πρὸς τοὺς ἔξωθεν, ἀλλ' ἀγαπᾶν ἐν αὐτῇ τῇ πόλει τιμώμενον ὑπὸ τοῦ δήμου καὶ μὴ ἐργολαβεῖν ἐν τοῖς κηρύγμασιν. ὁ μὲν [l]οὖν νομοθέτης οὕτως· ὁ δὲ Κτησιφῶν πῶς; Ἀναγίνωσκε τὸ ψήφισμα.

[m]ΨΗΦΙΣΜΑ.

34 Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι ὅτι ὁ [n]μὲν νομοθέτης κελεύει ἐν τῷ δήμῳ ἐν [o]Πυκνὶ τῇ ἐκκλησίᾳ ἀνακηρύττειν τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, ἄλλοθι δὲ μηδαμοῦ, [p]Κτησιφῶν δὲ ἐν τῷ θεάτρῳ, [q]οὐ τοὺς νόμους [r]μόνον ὑπερβὰς ἀλλὰ καὶ τὸν τόπον μετενεγκών, οὐδὲ ἐκκλησιαζόντων Ἀθηναίων ἀλλὰ τραγῳδῶν [s]ἀγωνιζομένων καινῶν, οὐδ' ἐναντίον τοῦ δήμου ἀλλ' ἐναντίον τῶν Ἑλλήνων, 35 ἵν' ἡμῖν συνειδῶσιν οἷον ἄνδρα τιμῶμεν. Οὕτω τοίνυν περιφανῶς παράνομα γεγραφώς, [t]παραταχθεὶς μετὰ Δημοσθένους [u]ἐποίσει τέχνας τοῖς νόμοις· ἃς ἐγὼ δηλώσω καὶ [x]προερῶ ὑμῖν, ἵνα μὴ [y]λάθητε ἐξαπατηθέντες. οὗτοι γάρ, ὡς μὲν οὐκ [z]ἀπαγορεύουσιν οἱ νόμοι τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττειν ἔξω τῆς ἐκκλησίας,

[h] μηδαμοῦ] οὐδαμοῦ e. l.
[i] Titulum om. g.
[k] δεῖν] δεινὸν k.
[l] οὖν] Addidi inventum in a.e. g. k. l. m.
[m] ΨΗΦΙΣΜΑ] om. a. c. d.
[n] μὲν om. h.
[o] Πυκνὶ a. m. n. et γρ. h. πύκνῃ f. ceteri πνυκί.
[p] Κτησ. δὲ] ὁ δὲ κτησ. e. k. l.
[q] οὐ] οὔτε e. l.
[r] μόνον] pro γραφῇ habet h.
[s] ἀγων. καινῶν] γιγνομένων e. k. l. παρα
[t] καταταχθεὶς h.
[u] ἐποίσει] ποι^η σει n.
[x] προερῶ] προσερῶ c. d. f. h.
[y] λάθητε] ἄρθητε c. d.
[z] ἀπαγορεύουσιν] ἀπαγορεύονται h.

οὐχ ἕξουσι λέγειν, οἴσουσι δὲ εἰς [a]τὴν ἀπολογίαν τὸν Διονυσιακὸν νόμον, καὶ χρήσονται τοῦ νόμου μέρει τινὶ
36 κλέπτοντες τὴν ἀκρόασιν ὑμῶν, καὶ παρέξονται νόμον οὐδὲν προσήκοντα [b]τῇδε τῇ γραφῇ, καὶ λέξουσιν ὡς εἰσὶ τῇ πόλει δύο νόμοι κείμενοι περὶ τῶν κηρυγμάτων, εἷς μὲν ὃν νῦν ἐγὼ παρέχομαι [c]διαῤῥήδην [d]ἀπαγορεύοντα τὸν 40
ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας, ἕτερον δ' εἶναι νόμον φήσουσιν ἐναντίον τούτῳ, τὸν δεδωκότα ἐξουσίαν ποιεῖσθαι τὴν ἀνάῤῥησιν τοῦ στεφάνου τραγῳδοῖς ἐν τῷ θεάτρῳ, ἐὰν ψηφίσηται ὁ δῆμος· κατὰ δὴ τοῦτον τὸν νόμον φήσουσι γεγραφέναι τὸν Κτησιφῶντα.
37 ἐγὼ δὲ πρὸς τὰς τούτων τέχνας παρέξομαι συνηγόρους τοὺς νόμους τοὺς ὑμετέρους, ὅπερ διατελῶ σπουδάζων παρὰ 59
πᾶσαν τὴν κατηγορίαν. εἰ γὰρ τοῦτό ἐστιν ἀληθὲς καὶ τοιοῦτον ἔθος [e]παραδέδυκεν [f]ὑμῶν εἰς τὴν πολιτείαν ὥστ' ἀκύρους [g]νόμους ἐν τοῖς κυρίοις ἀναγεγράφθαι καὶ δύο περὶ μιᾶς πράξεως ὑπεναντίους ἀλλήλοις, τί ἂν [h]ἔτι ταύτην εἴποι τις εἶναι τὴν πολιτείαν, ἐν ᾗ ταὐτὰ [i]προσ-
38 τάττουσιν οἱ νόμοι ποιεῖν καὶ μὴ ποιεῖν; ἀλλ' οὐκ ἔχει 5
ταῦθ' οὕτως· [k]μήθ' ὑμεῖς ποτὲ εἰς τοσαύτην ἀταξίαν τῶν νόμων προβαίητε, οὔτε [l]ἠμέληταί περὶ τῶν τοιούτων τῷ νομοθέτῃ τῷ τὴν δημοκρατίαν καταστήσαντι, ἀλλὰ διαῤῥήδην προστέταχται τοῖς θεσμοθέταις καθ' ἕκαστον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δήμῳ τοὺς νόμους, ἀκριβῶς ἐξετάσαντας καὶ σκεψαμένους εἴ τις ἀναγέγραπται [m]νόμος

[a] τὴν om. d. e.
[b] τῇδε τῇ γραφῇ] τῇ γραφῇ τῇδε a. g. m. n.
[c] διαῤῥήδην] καὶ διαῤῥήδην n.
[d] ἀπαγορεύοντα] ἀπαγορεύων a. e. g. k. l. m. n.
[e] παραδέδυκεν] παραδέδωκεν d. παρέδωκεν pr. h.
[f] ὑμῶν] ἡμῶν e.
[g] νόμους] τοὺς νόμους c.
[h] ἔτι] ἐπὶ h.
[i] προστάττουσιν] πράττουσιν n.
[k] μήθ'] μὴ a. e. g. k. l. m. n.
[l] ἠμέληται] εἰ μέλλοιτε e.
[m] νόμος ἐναντίος] ἐναντίος νόμος e. k. l.

ἐναντίος ἑτέρῳ νόμῳ ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ [n] εἴ που
εἰσὶ νόμοι πλείους ἑνὸς [o] ἀναγεγραμμένοι περὶ ἑκάστης
39 πράξεως. κἄν τι τοιοῦτον εὑρίσκωσιν, ἀναγεγραφότας ἐν
σανίσιν ἐκτιθέναι κελεύει [p] πρόσθεν τῶν ἐπωνύμων, τοὺς
δὲ πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐπιγράψαντας νομοθέτας,
τὸν δ' ἐπιστάτην τῶν προέδρων διαχειροτονίαν διδόναι τῷ
δήμῳ, καὶ τοὺς μὲν ἀναιρεῖν τῶν νόμων τοὺς δὲ [q] κατα-
λείπειν, ὅπως ἂν εἷς ᾖ νόμος καὶ μὴ πλείους [r] περὶ ἑκά-
στης πράξεως. Καί μοι λέγε τοὺς νόμους.

ΝΟΜΟΙ.

40 Εἰ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι [s] ἀληθὴς ἦν ὁ παρὰ τού-
των λόγος καὶ ἦσαν δύο [t] κείμενοι νόμοι περὶ τῶν κηρυγ-
μάτων, ἐξ ἀνάγκης ([u] οἶομαι) τῶν μὲν θεσμοθετῶν ἐξευ-
ρόντων τῶν δὲ πρυτάνεων [x] ἀποδόντων τοῖς νομοθέταις ἀπ-
ρητ' ἂν ὁ ἕτερος τῶν νόμων, ἤτοι ὁ τὴν ἐξουσίαν δεδωκὼς
ἀνειπεῖν ἢ ὁ ἀπαγορεύων· ὁπότε δὲ μηδὲν τούτων [y] γε-
γένηται, φανερῶς δή που [z] ἐξελέγχονται οὐ μόνον ψευδῆ
λέγοντες ἀλλὰ καὶ παντελῶς ἀδύνατα γενέσθαι. Ὅθεν δὲ
δὴ τὸ [a] ψεῦδος τοῦτο [b] ἐπιφέρουσιν, ἐγὼ διδάξω ὑμᾶς
προειπὼν ὧν ἕνεκα οἱ νόμοι [c] ἐτέθησαν οἱ περὶ τῶν ἐν [d] τῷ
41 θεάτρῳ κηρυγμάτων. γινομένων γὰρ τῶν ἐν ἄστει τραγῳ-
δῶν [e] ἀνεκήρυττόν τινες, οὐ [f] πείσαντες τὸν δῆμον, οἱ μὲν
ὅτι στεφανοῦνται ὑπὸ τῶν φυλετῶν, ἕτεροι δ' ὑπὸ τῶν δη-

[n] εἴ om. f. h.
[o] ἀναγεγραμμένοι] γεγραμμένοι c. d.
[p] πρόσθεν] πρόσθε k. πρόστε e.
[q] καταλείπειν] καταλιπεῖν f. h.
[r] περὶ om. a. c. d. f. g. h. m. n.
[s] ἀληθὴς ἦν] ἦν ἀληθὴς e. k. l.
[t] κείμενοι νόμοι] νόμοι κείμενοι e. k. l.
[u] (οἶομαι) a. c. d. g. h. m. n. ceteri οἶμαι.
[x] ἀποδόντων] ἀποδιδόντων a. g. m. n.
[y] γεγένηται] γένηται a. g. m. n.
[z] ἐξελέγχονται] ἐλέγχονται e.
[a] ψεῦδος] ψευδὲς c. d. f. h.
[b] ἐπιφέρουσιν] ἐπεισφέρουσιν f.
[c] ἐτέθησαν] ἐξετέθησαν a.
[d] τῷ om. e. k. l.
[e] ἀνεκήρυττον] ἀνεκήρυττόν τινες h.
[f] πείσαντες] πείσοντες m. n.

μοτῶν· ἄλλοι [g] δέ τινες ὑποκηρυξάμενοι τοὺς αὐτῶν οἰ- 25
κέτας [h] ἀφίεσαν ἀπελευθέρους, μάρτυρας [i] τῆς ἀπελευθε-
42 ρίας τοὺς Ἕλληνας ποιούμενοι. ὃ δ' ἦν ἐπισφοδρώτατον,
προξενίας [k] τινὲς εὑρημένοι ἐν ταῖς ἔξω πόλεσι διεπράτ-
τοντο ἀναγορεύεσθαι ὅτι στεφανοῖ αὐτοὺς ὁ δῆμος, εἰ οὕτω
τύχοι, ὁ τῶν Ῥοδίων ἢ Χίων ἢ καὶ [l] ἄλλης τινὸς πόλεως
[m] ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας. καὶ ταῦτ' ἔπραττον
οὐχ ὥσπερ [n] οἱ ὑπὸ τῆς βουλῆς τῆς ὑμετέρας στεφανού-
μενοι ἢ ὑπὸ τοῦ δήμου, πείσαντες ὑμᾶς καὶ μετὰ ψη- 30
φίσματος, πολλὴν χάριν καταθέμενοι, ἀλλ' αὐτοὶ προε-
43 λόμενοι ἄνευ δόγματος ὑμετέρου. ἐκ δὲ τούτου τοῦ τρόπου
[o] συνέβαινε τοὺς μὲν θεατὰς [p] καὶ τοὺς χορηγοὺς καὶ τοὺς
ἀγωνιστὰς ἐνοχλεῖσθαι, τοὺς δὲ ἀνακηρυττομένους ἐν τῷ
θεάτρῳ μείζοσι [q] τιμαῖς τιμᾶσθαι τῶν ὑπὸ τοῦ δήμου
στεφανουμένων. τοῖς μὲν γὰρ [r] ἀποδέδεικτο τόπος ἡ ἐκ-
κλησία, ἐν ᾗ [s] χρὴν στεφανοῦσθαι, καὶ ἀπείρητο ἄλλοθι 35
μηδαμοῦ κηρύττεσθαι· οἱ δὲ ἀνηγορεύοντο ἐνώπιον ἁπάν-
των τῶν Ἑλλήνων· κἀκεῖνοι μὲν μετὰ ψηφίσματος, πεί-
44 σαντες [t] ὑμᾶς, [u] οὗτοι δ' ἄνευ ψηφίσματος. [x] συνιδὼν
[y] δή τις ταῦτα νομοθέτης τίθησι νόμον [z] οὐδὲν ἐπικοινων-
οῦντα [a] τῷ [b] περὶ τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων νόμῳ,
οὔτε λύσας ἐκεῖνον ([c] οὐδὲ γὰρ ἡ ἐκκλησία [d] ἠνωχλεῖτο

[g] δέ om. e. k. l.
[h] ἀφίεσαν] ἀφεῖσαν e. k. l.
[i] τῆς ἀπελ. τοὺς Ἕλλ.] τοὺς ἕλλ. τῆς ἀπελ. e. k. l.
[k] τινὲς εὑρ.] εὑρ. τινὲς e. k. l.
[l] ἄλλης τινὸς] τινὸς ἄλλης e. k. l.
[m] ἀρετῆς ἕνεκα e. k. l. ceteri ἕνεκα ἀρετῆς.
[n] οἱ om. a. c. d. f. g. h. m. n.
[o] συνέβαινε] συμβαίνει e. l.
[p] καὶ τοὺς χορηγοὺς] om. e. l.
[q] τιμαῖς om. a. c. d. f. g. h. m. n.
[r] ἀποδέδεικτο l. ceteri ἀπεδέδεικτο.
[s] χρὴν a. e. g. k. l. m. ceteri χρή.
[t] ὑμᾶς] ἡμᾶς d.
[u] οὗτοι] οἱ e. k. l.
[x] συνιδὼν] συνειδὼς e. k. l. ἰδὼν n.
[y] δή] δέ d. e. k. l.
[z] οὐδὲν] μηδὲν g. m. n.
[a] τῷ] τῶν h. om. a.
[b] περὶ om. a. e. k. l.
[c] οὐδὲ] οὐ e. k. l.
[d] ἠνωχλεῖτο a. e. f. g. h. m. n. ἐνωχλεῖτο c. d. k. l. vulg. ἠνοχλεῖτο.

ἀλλὰ τὸ θέατρον) [e] οὔτ' ἐναντίον τοῖς πρότερον κειμένοις [f] νόμοις τιθεὶς (οὐ γὰρ ἔξεστιν,) ἀλλὰ περὶ τῶν ἄνευ ψηφίσματος ὑμετέρου στεφανουμένων ὑπὸ [g] τῶν φυλετῶν καὶ δημοτῶν καὶ περὶ τῶν τοὺς οἰκέτας ἀπελευθερούντων καὶ περὶ τῶν ξενικῶν στεφάνων, καὶ διαῤῥήδην ἀπαγορεύει μήτ' οἰκέτην ἀπελευθεροῦν ἐν τῷ θεάτρῳ μήθ' ὑπὸ τῶν φυλετῶν ἢ δημοτῶν ἀναγορεύεσθαι στεφανούμενον, μήθ' ὑπ' ἄλλου (φησὶ) [h] μηδενός, ἢ ἄτιμον εἶναι τὸν [i] κήρυκα. ὅταν οὖν [k] ἀποδείξῃ τοῖς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένοις εἰς τὸ βουλευτήριον ἀναῤῥηθῆναι, τοῖς δ' ὑπὸ τοῦ δήμου στεφανουμένοις εἰς τὴν ἐκκλησίαν, τοῖς δ' ὑπὸ τῶν δημοτῶν στεφανουμένοις καὶ φυλετῶν ἀπείπῃ μὴ κηρύττεσθαι τοῖς τραγῳδοῖς, ἵνα μηδεὶς ἐρανίζων στεφάνους καὶ κηρύγματα ψευδῆ φιλοτιμίαν κτᾶται, προσαπείπῃ δὲ ἐν τῷ νόμῳ [l] μηδ' ὑπὸ ἄλλου [m] μηδενὸς ἀνακηρύττεσθαι ἀπούσης βουλῆς καὶ δήμου καὶ φυλετῶν καὶ δημοτῶν· ὅταν [n] δέ τις ταῦτα [o] ἀφέλῃ, τί [p] τὸ καταλειπόμενόν ἐστι πλὴν οἱ ξενικοὶ στέφανοι; Ὅτι δ' ἀληθῆ λέγω, [q] μέγα σημεῖον ὑμῖν τούτου ἐξ αὐτῶν τῶν νόμων ἐπιδείξω. αὐτὸν γὰρ τὸν χρυσοῦν στέφανον, ὃς ἂν ἐν τῷ θεάτρῳ [r] τῷ ἐν ἄστει ἀναῤῥηθῇ, ἱερὸν εἶναι τῆς Ἀθηνᾶς [s] ὁ νόμος κελεύει, [t] ἀφελόμενος τὸν [u] στεφανούμενον. καίτοι τίς ἂν ὑμῶν τολμήσειε τοσαύτην ἀνελευθερίαν [x] καταγνῶ-

[e] οὔτ'] οὐδὲ h.
[f] νόμοις τιθεὶς] τίθησιν e. k. l.
[g] τῶν φυλ. καὶ δημ.] τῶν δημ. καὶ τῶν φυλ. e. k. l.
[h] μηδενός] μηθενὸς c. d.
[i] κήρυκα] κηρύξαντα k. l.
[k] ἀποδείξῃ ὁ νόμος τοῖς c. d.
[l] μηδ'] μήθ' e.
[m] μηδενὸς] τινὸς d.
[n] δέ a. c. d. e. k. l. m. n. ceteri δή.
[o] ἀφέλῃ e. k. l. ceteri ἀφέληται.

Conf. p. 58, 6.

[p] τὸ] τούτου τὸ l.
[q] μέγα σημ. ὑμῖν] σημ. ὑμῖν μέγα e. k. l.
[r] τῷ post θεάτρῳ om. c. d. f.
[s] ὁ νόμος κελεύει e. k. ceteri κελεύει ὁ νόμος.
[t] ἀφελόμενος] ἀφελούμενος l. n. ἀφελάμενον d. h.
[u] στεφανούμενον] στέφανον n.
[x] καταγνῶναι post Ἀθηναίων ponunt e. k. l.

ναι τοῦ δήμου [y] τοῦ Ἀθηναίων; μὴ γὰρ ὅτι [z] πόλις, ἀλλ' οὐδ' ἂν ἰδιώτης [a] οὐδὲ εἷς οὕτως [b] ἀγεννὴς γένοιτο, ὥστε [c] ὃν αὐτὸς ἔδωκε στέφανον [d] ἅμα ἀνακηρύττειν καὶ ἀφαιρεῖσθαι καὶ καθιεροῦν. ἀλλ', οἶμαι, διὰ τὸ ξενικὸν εἶναι τὸν στέφανον καὶ ἡ [e] καθιέρωσις [f] γίνεται, ἵνα μηδεὶς ἀλλοτρίαν [g] εὔνοιαν περὶ πλείονος ποιούμενος τῆς πατρίδος
47 χείρων γένηται τὴν ψυχήν. ἀλλ' οὐκ ἐκεῖνον τὸν ἐν τῇ ἐκκλησίᾳ [h] ἀναῤῥηθέντα στέφανον οὐδεὶς καθιεροῖ, ἀλλ' ἔξεστι κεκτῆσθαι, ἵνα μὴ μόνον αὐτὸς ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου, ἔχοντες ἐν τῇ οἰκίᾳ [i] τὸ ὑπόμνημα, μηδέποτε κακοὶ τὴν ψυχὴν εἰς τὸν δῆμον γίνωνται. καὶ διὰ τοῦτο προσέθηκεν ὁ νομοθέτης [k] μὴ κηρύττεσθαι τὸν [l] ἀλλότριον στέφανον ἐν τῷ θεάτρῳ, ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, ἵν' ἡ πόλις ἡ βουλομένη τινὰ τῶν ὑμετέρων στεφανοῦν πρέσβεις
20 πέμψασα δεηθῇ τοῦ δήμου, [m] ἵνα κηρυττόμενος μείζω χάριν εἰδῇ [n] τῶν στεφανούντων ὑμῖν, ὅτι κηρῦξαι ἐπετρέψατε. Ὅτι δ' ἀληθῆ λέγω, τῶν νόμων [o] αὐτῶν ἀκούσατε.

[p] NOMOI.

48 Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν ὡς [q] προσγέγραπται ἐν τῷ νόμῳ ἐξεῖναι στεφανοῦν, ἐὰν ψηφίσηται ὁ δῆμος, [r] ἀπομνημονεύετε αὐτοῖς [s] ὑποβάλλειν Ναί, εἴγε
25

[y] τοῦ Ἀθηναίων e. k. ceteri τῶν Ἀθηναίων.
[z] πόλις] πολίτης e. l.
[a] οὐδὲ εἷς] οὐδεὶς a. c.
[b] ἀγεννὴς γένοιτο] γένοιτο ἀγεννὴς a. ἀγενὴς γένοιτο d. l. n.
[c] ὃν ἂν αὐτὸς e.
[d] ἅμα καὶ ἀνακηρύττειν g. m.
[e] καθιέρωσις] ἱέρωσις e. k. l.
[f] γίνεται] γεγένηται c. d. f. h.
[g] εὔνοιαν] ἔννοιαν e.
[h] ἀναῤῥηθ. στέφ.] στέφ. ἀναῤῥηθ. a. g. m. n.
[i] τὸ] τι m. n.
[k] μὴ] μήτε e. k. l.
[l] ἀλλότριον om. pr. h.
[m] ἵνα] Apud Reiskium est ἵν' ὁ.
[n] τῶν στεφανούντων] τῶν στεφάνων γρ. m. Quæ post ὑμῖν inferebantur, ἢ τοῖς στεφανοῦσιν, omisi cum H. Wolfio.
[o] αὐτῶν om. e. k. l.
[p] NOMOI] νόμος a.
[q] προσγέγραπται e. k. ceteri προγέγραπται.
[r] ἀπομνημονεύετε] ὑπομνημονεύετε e. k. l.
[s] ὑποβάλλειν a. e. g. k. l. m. n.

σέ τις ἄλλη πόλις στεφανοῖ· εἰ δὲ [t]ὁ δῆμος ὁ Ἀθηναίων, [u]ἀποδέδεικταί σοι τόπος ὅπου [x]δεῖ ταῦτο [y]γενέσθαι, [z]ἀπείρηταί σοι ἔξω τῆς ἐκκλησίας μὴ κηρύττεσθαι. τὸ γὰρ "ἄλλοθι [a]δὲ μηδαμοῦ" ὅ τι ἔστιν, ὅλην [b]τὴν ἡμέραν λέγε· οὐ γὰρ ἀποδείξεις ὡς ἔννομα [c]γέγραφας.

49 [v]Ἔστι δὲ ὑπόλοιπόν μοι μέρος τῆς κατηγορίας, ἐφ' [d]ᾧ μάλιστα σπουδάζω· τοῦτο δέ ἐστιν ἡ πρόφασις δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. λέγει γὰρ οὕτως ἐν τῷ ψηφίσματι, "καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ "πρὸς τοὺς Ἕλληνας ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ τῶν "Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας" καὶ τὸ μέγιστον "ὅτι διατελεῖ [e]λέγων καὶ πράττων [f]τὰ ἄριστα "τῷ δήμῳ." ἁπλοῦς [g]δὴ παντάπασιν ὁ μετὰ ταῦτα [h]ἡμῖν λόγος γίνεται, καὶ ὑμῖν ἀκούσασι κρῖναι εὐμαθής· δεῖ γὰρ δήπου τὸν μὲν κατηγοροῦντα ἐμὲ ταῦθ' ὑμῖν [i]ἐπιδεικνύναι, ὡς εἰσὶν οἱ [k]κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς καὶ ὡς οὔτ' ἤρξατο λέγειν τὰ βέλτιστα οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ. κἂν ταῦτ' ἐπιδείξω, δικαίως δή που τὴν γραφὴν ἀλώσεται Κτησιφῶν· ἅπαντες γὰρ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα ψευδῆ [l]γράμματα [m]ἐγγράφειν ἐν τοῖς δημοσίοις ψηφίσμασι. τῷ δ' ἀπολογουμένῳ τοὐναντίον τούτου δεικτέον ἐστίν. ὑμεῖς δ' ἡμῖν ἔσεσθε τῶν λόγων κριταί. ἔχει δ' οὕτως.

ceteri ὑποβαλεῖν.

[t] ὁ δῆμος ὁ Ἀθ.] ὁ Ἀθ. δῆμος l.

[u] ἀποδέδεικταί] ἀποδέδεικτό a. g. m. n.

[x] δεῖ] δὴ d.

[y] γενέσθαι] γίγνεσθαι e. k. l.

[z] ἀπείρηται γάρ σοι d.

[a] δὲ om. a.

[b] τὴν om. e. l.

[c] γέγραφας] γέγραφεν e. k. l.

[d] ᾧ] ᾗ g. n. ᾧ m.

[e] λέγων] καὶ λέγων e. k. l.

[f] τὰ ἄρ. τῷ δήμῳ] τῷ δήμῳ τὰ ἄρ. e. k. l.

[g] δὴ] δὲ h.

[h] ἡμῖν] ὑμῖν d.

[i] ἐπιδεικνύναι] ὑποδεικνύναι e.

[k] κατὰ τοῦ δημοσθένους c. d. f. h.

[l] γράμματα om. l.

[m] ἐγγράφειν] γράφειν e. l.

51 Ἐγὼ τὸν μὲν βίον [n] τὸν Δημοσθένους ἐξετάζειν μακροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι. τί γὰρ δεῖ νῦν ταῦτα λέγειν, ἢ τὰ περὶ [o] τὴν τοῦ τραύματος [p] γραφὴν αὐτῷ συμβεβηκότα, ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον [q] Δημομέλη τὸν Παιανιέα ἀνεψιὸν [r] ὄντα ἑαυτῷ, καὶ τὴν τῆς κεφαλῆς ἐπιτομήν· ἢ τὰ περὶ [s] τὴν Κηφισοδότου στρατηγίαν καὶ τὸν τῶν νεῶν ἔκπλουν [t] τὸν εἰς Ἑλλήσποντον, 61
52 ὅτε εἷς ὢν τῶν [u] τριηράρχων Δημοσθένης [v] καὶ περιάγων τὸν στρατηγὸν ἐπὶ τῆς νεὼς καὶ συσσιτῶν καὶ συνθύων καὶ συσπένδων, καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς [x] αὐτῷ φίλος εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγγελίας αὐτοῦ κρινομένου περὶ θανάτου κατήγορος γενέσθαι· [y] καὶ ταῦτα ἤδη τὰ περὶ Μειδίαν καὶ τοὺς κονδύλους οὓς ἔλαβεν ἐν 3
τῇ ὀρχήστρᾳ χορηγὸς ὤν, [z] καὶ ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν, ἣν ἐν Διονύσου κατεχειροτόνησε Μειδίου.
53 ταῦτα μὲν οὖν μοι δοκῶ καὶ τἄλλα τὰ τούτοις ὅμοια ὑπερβήσεσθαι, οὐ [a] προδιδοὺς ὑμᾶς οὐδὲ τὸν ἀγῶνα [b] καταχαριζόμενος, ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαντήσῃ τὸ δοκεῖν μὲν ἀληθῆ λέγειν, ἀρχαῖα δὲ 10
καὶ λίαν ὁμολογούμενα. καίτοι ὦ Κτησιφῶν, ὅτῳ τὰ μέγιστα τῶν αἰσχρῶν [c] οὕτως ἐστὶ πιστὰ καὶ γνώριμα τοῖς ἀκούουσιν, [d] ὥστε τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ

[n] τὸν] τοῦ c. d. e. f. n.
[o] τὴν om. n.
[p] γραφὴν αὐτῷ] αὐτῷ γραφὴν e. b.
[q] Δημομέλη] δημοτελῆ h. δημοτέλη l.
[r] ὄντα ἑαυτῷ om. l.
[s] τὴν om. n.
[t] τὸν εἰς] εἰς τὸν e. l.
[u] τριηράρχων] τριηράρχῶν m. τριηραρχῶν g. l. m.
[v] καὶ περιάγων τὸν στρατηγὸν] καὶ στρατηγῶν e. l.
[x] αὐτῷ] αὐτῶν e. k. l.
[y] καὶ ταῦτα] ἢ ταῦτα Reiskius e Meadiano.
[z] καὶ om. g.
[a] προδιδοὺς] πρὸς διὸς l.
[b] καταχαριζόμενος] καταχειριζόμενος h. καταχειριζόμενος d.
[c] οὕτως om. e. k. l.
[d] ὥστε e. k. ceteri ὡς.

λέγειν ἀλλὰ παλαιὰ καὶ λίαν [e] προωμολογημένα, [f] πότερα αὐτὸν δεῖ χρυσῷ [g] στεφάνῳ στεφανωθῆναι ἢ ψέγεσθαι; καὶ σὲ τὸν [h] ψευδῆ καὶ παράνομα τολμῶντα γράφειν πότερα χρὴ καταφρονεῖν τῶν δικαστηρίων ἢ δί-
54 κην τῇ πόλει [i] δοῦναι; Περὶ [k] δὲ τῶν δημοσίων ἀδικημάτων πειράσομαι σαφέστερον εἰπεῖν. καὶ γὰρ πυνθάνομαι μέλλειν Δημοσθένην, ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι πρὸς ὑμᾶς ὡς ἄρα τῇ πόλει [l] τέτταρες ἤδη γεγένηνται καιροὶ ἐν οἷς αὐτὸς [m] πεπολίτευται. ὧν ἕνα μὲν καὶ [n] πάντων πρῶτον, ὡς ἔγωγε ἀκούω, [o] καταλογίζεται ἐκεῖνον [p] τὸν χρόνον ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἐπολεμοῦμεν· τοῦτον δ' ἀφορίζεται [q] τὸν χρόνον τῇ γενομένῃ εἰρήνῃ καὶ συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ Ἀγνούσιος ἔγραψε καὶ αὐτὸς [r] οὗτος μετ' ἐκείνου, ὡς
55 ἐγὼ δείξω. δεύτερον δὲ [s] καιρόν [t] φησι γενέσθαι ὃν ἡγοῦμεν [u] χρόνον τὴν εἰρήνην, δηλονότι μέχρι τῆς ἡμέρας ἐκείνης ἐν ᾗ καταλύσας τὴν ὑπάρχουσαν εἰρήνην τῇ πόλει ὁ αὐτὸς [x] οὗτος ῥήτωρ ἔγραψε τὸν πόλεμον· τρίτον δὲ ὃν ἐπολεμοῦμεν χρόνον μέχρι τῆς [y] ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ, τέταρτον δὲ τὸν νῦν παρόντα καιρόν. [z] ταῦτα δὲ καταριθμη-

[e] προωμολογημένα] προσωμολογημένα c. d. f. h.
[f] πότερον e. h. l. et γρ. m.
[g] στεφάνῳ om. c.
[h] ψευδῆ καὶ παράνομα] παράνομα καὶ ψευδῆ e. g. k. l.
[i] δοῦναι e. k. l. ceteri διδόναι.
[k] δὲ om. l.
[l] τέτταρες] τέσσαρες c.
[m] πεπολίτευται] πολιτεύεται l.
[n] πάντων πρῶτον] πρῶτον ἁπάντων a. n. om. genitivum c. d. f. g. h. m.
[o] καταλογίζεται—ἀκούω om. pr. n.
[p] τὸν χρόνον om. margo n.
[q] τὸν χρόνον om. e. k. l. τὸν om. margo n.
[r] οὗτος μετ' ἐκείνου] οὕτω μετ' ἐκεῖνον l. οὕτω etiam e.
[s] καιρὸν] χρόνον n. om. g. m.
[t] φησι] φήσει c. h. ante καιρὸν ponunt a. e.
[u] χρόνον] καιρὸν n.
[x] οὗτος] post ῥήτωρ ponit m. om. n.
[y] τῆς ἐν] τῶν ἐν e. k. l.
[z] ταῦτα δὲ] ταῦτα γὰρ h.

σάμενος, ὡς ἀκούω, [a]μέλλει [b]με [c]παρακαλεῖν καὶ ἐπερωτᾷν [d]ὁποίου τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν κατηγορῷ καὶ πότε αὐτὸν οὐ τὰ βέλτιστά φημι τῷ δήμῳ πεπολιτεῦσθαι· κἂν μὴ θέλω ἀποκρίνασθαι ἀλλ' [e]ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω, [f]ἐκκαλύψειν μέ φησι προσελθὼν καὶ [g]ἄξειν ἐπὶ τὸ βῆμα καὶ [h]ἀναγκάσειν ἀποκρίνασθαι. ἵν' οὖν μήθ' οὗτος ἰσχυρίζηται ὑμεῖς τε [i]προειδῆτε ἐγώ τε [k]ἀποκρίνωμαι, ἐναντίον σοὶ τῶν δικαστῶν [l]Δημόσθενες καὶ [m]τῶν ἄλλων πολιτῶν ὅσοι [n]δὴ [o]ἔξωθεν περιεστᾶσι καὶ τῶν Ἑλλήνων ὅσοις ἐπιμελὲς γέγονεν ὑπακούειν τῆσδε τῆς κρίσεως (ὁρῶ δὲ οὐκ ὀλίγους παρόντας, ἀλλ' ὅσους οὐδεὶς [p]πώποτε [q]μέμνηται πρὸς ἀγῶνα δημόσιον παραγενομένους) [r]ἀποκρίνομαι ὅτι ἁπάντων τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ [s]διαιρῇ, κἂν οἵ τε θεοὶ θέλωσι καὶ οἱ δικασταὶ ἐξ ἴσου ἡμῶν ἀκούσωσι κἀγὼ [t]δύνωμαι ἀπομνημονεῦσαι ἃ [u]σοι σύνοιδα, πάνυ προσδοκῶ [x]ἐπιδείξειν τοῖς δικασταῖς τῆς μὲν σωτηρίας τῇ πόλει [y]τοὺς θεοὺς αἰτίους γεγενημένους [z]καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρη-

[a] μέλλει] μέλλειν c. d. f. g. m. n.
[b] με om. e. k. l.
[c] παρακαλεῖν a. c. g. k. l. m. n. et γρ. h. ceteri καλεῖν.
[d] ὁποίου—κατηγορῶ] om. e. k. l.
[e] ἐγκαλύπτωμαι] ἐγκαλύπτομαι h. k. f. ἐγκαλύπτεσθαι l.
[f] ἐκκαλύψει e. l. ἐγκαλύψειν n.
[g] ἄξειν] ἄξειν l.
[h] ἀναγκάσειν] ἀναγκάζειν c. d. e. f. k. l.
[i] προειδῆτε] προΐδητε d. f. h.
[k] ἀποκρίνωμαι] ἀποκρίνομαι d.
[l] Δημόσθενες] δημοσθένει pr. f.
[m] τῶν ἄλλων πολιτῶν] τῶν πολιτῶν καὶ τῶν ἄλλων e. k. l.
[n] δὴ] δὲ a. c. d. f. δὲ g. h. m. τε n. om. e. k. l.
[o] ἔξωθεν] ἔξω k. l.
[p] πώποτε] τοτε e. k. l.
[q] μέμνηται ante πώποτε ponit h.
[r] ἀποκρίνομαι] ἀποκρινοῦμαι a. g. k. m. n. et correctus h. ἀποκρινῶμαι e. l.
[s] διαιρῇ] διαιρεῖς a. g. m. n.
[t] δύνωμαι] δύναμαι a. d. f.
[u] σοι om. a. g. m. n.
[x] ἐπιδείξειν a. e. k. l. et γρ. g. m. ἐπιγράψειν ἀποδειξειν h. ἐπιγράψειν g. m n. ceteri ἀποδείξειν.
[y] τοὺς δὲ θεοὺς l.
[z] καὶ τοὺς] τῇ πόλει e.

σαμένους, τῶν δὲ ἀτυχημάτων [a] ἁπάντων [b] Δημοσθένην [c] αἴτιον γεγενημένον. καὶ χρήσομαι τῇ [d] τοῦ λόγου τάξει ταύτῃ [e] ἣν τοῦτον πυνθάνομαι [f] μέλλειν ποιεῖσθαι, [g] λέξω [h] δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ καὶ δεύτερον περὶ τοῦ δευτέρου καὶ τρίτον περὶ [i] τοῦ ἐφεξῆς καὶ τέταρτον περὶ τῶν [k] νῦν καθεστηκότων πραγμάτων. καὶ [l] δὴ [m] ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.

58 Ὑμῖν [n] γὰρ ἐξεγένετ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν προτέραν [o] ἐκείνην [p] εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων, [q] εἴ τινες ὑμᾶς εἴασαν [r] περιμεῖναι τὰς 62
πρεσβείας ἃς ἦτε ἐκπεπομφότες κατ' ἐκεῖνον τὸν καιρὸν εἰς τὴν Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φιλιππον, μετασχεῖν Ἑλληνικοῦ συνεδρίου καὶ [s] προϊόντος τοῦ χρόνου παρ' ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμονίαν· καὶ [t] τούτων ἀπεστερήθητε διὰ [u] Δημοσθένην καὶ Φιλοκράτην καὶ τὰς τούτων δωροδοκίας, ἃς [x] ἐδωροδόκησαν συ- 5
59 στάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον. εἰ δέ τισιν [y] ὑμῶν ἐξαίφνης ἀκούσασιν [z] ἀπιστότερος προσπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκεῖνως τὴν ὑπόλοιπον [a] ποιήσασθε ἀκρόασιν, ὥσπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρό-

[a] ἁπάντων om. a. n. et pr. h. m.
[b] Δημοσθένην] δημοσθένη e.
[c] αἴτιον γεγενημένον] γεγενημένον αἴτιον e. k. l.
[d] τοῦ λόγου τάξει] τάξει τοῦ λόγου e. k. l.
[e] ἣν] ἧ e. k. l.
[f] μέλλειν ποιεῖσθαι e. k. l. ceteri ποιεῖσθαι μέλλειν.
[g] λέξω] λέγω e. k. l.
[h] δὲ] δὴ e. l.
[i] τοῦ ἐφεξῆς] τῶν ἐφεξῆς c. d. f.
[k] νῦν] νυνὶ e. k. l.
[l] δὴ] ἤδη e. k. l.
[m] ἐπανάγω] ἐπανάγων l.
[n] γὰρ] δὲ n.
[o] ἐκείνην om. e. k. l.
[p] εἰρήνην] νίκην pr. g.
[q] εἴ τινες ὑμᾶς] οἵ τινες ἡμᾶς k. l.
[r] περιμεῖναι] περιμείναντας Reiskius.
[s] προϊόντος] προσιόντος c. d.
[t] τούτων] ταύτην n.
[u] Δημοσθένην καὶ Φιλοκράτην] φιλοκράτην καὶ δημοσθένην e. l.
[x] ἐδωροδόκησαν] ἐδωροδόκουν e.
[y] ὑμῶν ἐξαίφνης] ἐξαίφνης ὑμῶν e.
[z] ἀπιστότερος] ἄπιστος e. k. l.
[a] ποιήσασθε] ποιήσασθαι a. e.

νου [b] καθεζώμεθα ἐπὶ τοὺς λογισμούς. ἐρχόμεθα δή που [c] ψευδεῖς οἴκοθεν ἐνίοτε δόξας ἔχοντες κατὰ [d] τῶν λογισμῶν. ἀλλ' ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς [e] ἡμῶν ἐστὶν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται τοῦθ' ὁμολογήσας [f] καὶ ἐπινεύσας ἀληθὲς εἶναι 60 [g] ὅ τι ἂν [h] αὐτὸς ὁ λογισμὸς αἱρῇ. οὕτω [i] καὶ νῦν τὴν ἀκρόασιν [k] ποιήσασθε. εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἤκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν, ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους,—ὅστις οὕτω [l] διάκειται, μήτ' ἀπογνώτω μηδὲν μήτε καταγνώτω πρὶν [m] ἀκούσῃ· οὐ γὰρ δίκαιον. ἀλλ' ἐὰν ἐμοῦ διὰ βραχέων [n] ἀκούσητε ὑπομιμνήσκοντος [o] τοὺς καιροὺς καὶ [p] τὸ ψήφισμα παρεχομένου ὃ μετὰ Φιλοκράτους ἔγραψε Δημοσθένης, ἐὰν [q] αὐτὸς ὁ τῆς ἀληθείας λογισμὸς ἐγκαταλαμβάνῃ τὸν [r] Δημοσθένην πλείω μὲν γεγραφότα ψηφίσματα [s] Φιλο- 61 κράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης καὶ συμμαχίας, καθ' ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκότα Φίλιππον καὶ τοὺς [t] παρ' ἐκείνου πρέσβεις [[u] οὐκ ἀναμείναντα], αἴτιον δὲ γεγονότα τῷ δήμῳ [x] τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου

[b] καθεζώμεθα] καθεζόμεθα k. l.

[c] ψευδ. οἴκ. ἐνίοτε] ἐνίοτε ψευδ. οἴκ. e. k. l.

[d] τῶν λογισμῶν] τὸν λογισμὸν e. k. l.

[e] ἡμῶν Stephanus, codices ὑμῶν: quod post ἐστὶν ponunt e. k. l.

[f] καὶ ἐπινεύσας om. e. k. l.

[g] ὅτι] ὅ δ' f.

[h] αὐτὸς om. e. k. l.

[i] καὶ νῦν om. k. l. καὶ om. e.

[k] ποιήσασθε] ποιήσασθαι e.

[l] διάκειται] διάκειται πρὸς αὐτὸν k.

[m] ἀκούσῃ] ἀκουσει n. ἀκούσει a. g. m. ἀκούσοι k. l.

[n] ἀκούσητε] ἀκούσαντες h. et γρ. m.

[o] τοὺς καιροὺς] τοῦ καιροῦ pr. h.

[p] τὸ ψήφισμα—ὃ—ἔγραψε] τὰ ψηφίσματα—ἃ— γέγραφε e. k. l.

[q] αὐτὸς ὁ] ὁ αὐτὸς e. k. l.

[r] Δημοσθένην] δημοσθένη e.

[s] Φιλοκράτους] μετὰ φιλοκράτους c. d. f. g. h.

[t] παρ' ἐκείνου om. e. k. l. παρ' ἐκεῖνον n.

[u] [οὐκ ἀναμείναντα] post καὶ ponunt e. k. l. delebat H. Wolfius: οὐ παραμείναντα a.

[x] τοῦ om. e. k. l.

[y] τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ [z] Φιλίππῳ πεποιηκότα Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον καὶ σύμμαχον τῇ πόλει,—[a] ἐὰν [b] ταῦθ' ὑμῖν σαφῶς ἐπιδείξω, δεήσομαι ὑμῶν μετρίαν δέησιν· ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν [c] πρῶτον τῶν τεττάρων καιρῶν μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι. λέξω δὲ ὅθεν μάλιστα παρακολουθήσετε.

62 [v] Ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο [d] κήρυκα καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης [e] καὶ συμμαχίας· [f] τοῦτο τὸ ψήφισμα ἐγράφη [g] παρανόμων. ἦκον οἱ τῆς κρίσεως χρόνοι· κατηγόρει μὲν [h] Λυκῖνος ὁ γραψάμενος, [i] ἀπελογεῖτο [k] δὲ [l] Φιλοκράτης, [m] συναπελογεῖτο δὲ [n] καὶ Δημοσθένης· [o] ἀπέφυγε Φιλοκράτης. μετὰ ταῦτα ἐπῆει [p] ὁ χρόνος, Θεμιστοκλῆς ἄρχων· ἐνταῦθ' εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος, ἵν' εἰς [q] ὑποδοχὴν ἅπαντα καὶ [r] λέγοι καὶ πράττοι Φιλοκράτει, ὡς

63 αὐτὸ ἔδειξε τὸ ἔργον. νικᾷ γὰρ ἕτερον ψήφισμα [s] Φιλοκράτης, ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις, οἵτινες ἀφικόμενοι [t] πρὸς Φίλιππον ἀξιώσουσιν αὐτὸν δεῦρο [u] πρέσβεις αὐτοκράτορας [x] πέμπειν ὑπὲρ [y] τῆς εἰρήνης. τούτων εἷς ἦν

[y] τῶν Ἑλλήνων om. a. g. m. n.
[z] Φιλίππῳ πεποιηκότα] πεποιηκότα φιλίππῳ e. k. l.
[a] ἐὰν] ἂν e.
[b] ταῦθ'] τοῦθ' k. l.
[c] πρῶτον] ἕνα a. e. g. k. l. m. n.
[d] κήρυκα e. k. l. ceteri κήρυκας.
[e] καὶ συμμαχίας] om. e. k. l.
[f] τοῦτο] τουτὶ c. d. f. h.
[g] παρανόμων] παρὰ νόμον d.
[h] Λυκῖνος om. a. n. et pr. g. m. ὁ om. e. k. l.
[i] ἀπελογεῖτο om. c.
[k] δὲ om. a. c. f. g. h. m. n.
[l] Φιλοκράτης om. c.
[m] συναπελογεῖτο — Φιλοκράτης om. d.
[n] καὶ om. e. k. l. καὶ ὁ c.
[o] ἀπέφυγε Φιλοκράτης] διέφυγεν ὁ φιλοκράτης e. k. l.
[p] ὁ om. a. c. d. e. f. k. l.
[q] ὑποδοχὴν] ἀποδοχὴν c. d. e.
[r] λέγοι καὶ πράττοι] λέγῃ καὶ πράττῃ h. λέγει καὶ πράττει d.
[s] Φιλοκράτης] ὁ φιλοκράτης e. k. l.
[t] πρὸς] ὡς e. k. l.
[u] πρέσβεις ὡς αὐτοκρ. c.
[x] πέμπειν] ἀποστέλλειν e. k. l.
[y] τῆς om. c. d. h.

Δημοσθένης. κἀκεῖθεν ἐπανήκων ἐπαινέτης ἦν τῆς εἰρήνης, καὶ ταὐτὰ τοῖς ἄλλοις πρέσβεσιν [z]ἀπήγγειλε, καὶ μόνος [a]τῶν βουλευτῶν ἔγραψε σπείσασθαι τῷ κήρυκι τῷ [b]ἀπὸ [c]τοῦ Φιλίππου καὶ τοῖς πρέσβεσιν, ἀκόλουθα γράφων Φιλοκράτει· ὁ μὲν γε τὴν ἐξουσίαν [d]ἔδωκε τοῦ δεῦρο [e]κήρυκα καὶ πρέσβεις πέμπεσθαι, ὁ δὲ τῇ πρεσβείᾳ [f]σπέν-
64 δεται. τὰ δὲ μετὰ ταῦτα ἤδη [g]σφόδρα μοι τὸν νοῦν προσέχετε. [h]ἐπράττετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις [i]τοὺς πολλὰ συκοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς ὑπὸ [k]Δημοσθένους, ἀλλὰ πρὸς [l]Φιλοκράτην καὶ [m]Δημοσθένην (εἰκότως, τοὺς ἅμα μὲν πρεσβεύοντας, ἅμα [n]δὲ [o]τὰ ψηφίσματα γράφοντας,) [p]πρῶτον μὲν ὅπως μὴ περιμείνητε τοὺς πρέσβεις οὓς ἦτε ἐκπεπομφότες παρακαλοῦντες ἐπὶ Φιλιππον, ἵνα μὴ μετὰ τῶν [q]ἄλλων Ἑλλήνων [r]ἀλλ' 63
65 ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην· δεύτερον δ' ὅπως μὴ μόνον [s]τὴν εἰρήνην ἀλλὰ καὶ συμμαχίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον, ἵν' εἴ τινες [t]προσέχοιεν τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπέσοιεν [u]ἀθυμίαν [x]ὁρῶντες [y]ὑμᾶς αὐτοὺς μὲν παρακαλοῦντας ἐπὶ [z]τὸν πόλεμον, οἴκοι δὲ μὴ [a]μόνον εἰρήνην ἀλλὰ καὶ συμμαχίαν ἐψηφισμένους ποι-

[z] ἀπήγγειλε] ἀπήγγελε d. e. n. ἀπήγγελλε a. c. f. g. k. l. m.
[a] τῶν ἄλλων βουλευτῶν a.c.g.m.n.
[b] ἀπὸ] Libri ὑπό, H. Wolfius et Valckenar. (Oratt. p. 352.) παρὰ : conf. p. 36, 6. 50, 1.
[c] τοῦ om. a. e.
[d] ἔδωκε e. k. l. vulg. δέδωκε.
[e] κήρυκα] κήρυκας c. d. f. h.
[f] σπένδεται] σπένδεσθαι e. k. l.
[g] σφόδρα μοι τὸν νοῦν προσέχετε e. k. l. ceteri μοι σφόδρα προσέχετε τὸν νοῦν.
[h] ἐπράττετο] ἐπράττοντο c.
[i] τοὺς πολλὰ] Editi τὰ πολλά.
[k] Δημ.] τοῦ δημοσθένους c.
[l] Φιλοκράτην] φιλοκράτη c. d.
[m] Δημοσθένην] δημοσθένη c. d. f.
[n] δὲ] δὲ καὶ e. l.
[o] τὰ om. c. f. h.
[p] πρῶτον] Hinc altera manus e.
[q] ἄλλων om. e. k. l.
[r] ἀλλ' ἰδίᾳ] ἀλλὰ δίχα f. h.
[s] τὴν om. e. k. l.
[t] προσέχοιεν] προσεῖχον k. l.
[u] ἀτιμίαν h.
[x] ὁρῶντες] ὁρῶντὰς l. ὁρῶντας k.
[y] ὑμᾶς post μὲν ponunt e. k. l. ἡμᾶς d.
[z] τὸν πόλεμον] τὸν πρὸς φιλιππον πόλεμον e. k. l.
[a] μόνον τὴν εἰρήνην c.

εἶσθαι· τρίτον δὲ ὅπως Κερσοβλέπτης ὁ Θρᾴκης βασιλεὺς μὴ ἔσται ἔνορκος, [b]μηδὲ μετέσται τῆς συμμαχίας καὶ τῆς εἰρήνης αὐτῷ. παρηγγέλλετο δ' [c]ἤδη ἐπ' αὐτὸν [d]στρα-
66 τεία. καὶ ταῦθ' ὁ μὲν ἐξωνούμενος οὐκ ἠδίκει (πρὸ γὰρ τῶν ὅρκων καὶ τῶν συνθηκῶν ἀνεμέσητον ἦν αὐτῷ πράττειν τὰ συμφέροντα,) οἱ δ' ἀποδόμενοι καὶ [e]κατακοινωνήσαντες [f]τὰ τῆς πόλεως ἰσχυρὰ μεγάλης ὀργῆς ἦσαν ἄξιοι. ὁ γὰρ μισαλέξανδρος νυνὶ φάσκων εἶναι καὶ τότε μισοφίλιππος Δημοσθένης, ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου, γράφει ψήφισμα, τοὺς καιροὺς τῆς πόλεως
67 ὑφαιρούμενος, ἐκκλησίαν [g]ποιεῖν τοὺς πρυτάνεις τῇ ὀγδόῃ [h]ἱσταμένου τοῦ ἐλαφηβολιῶνος μηνός, ὅτ' ἦν [i]τῷ Ἀσκληπιῷ ἡ θυσία καὶ [k]ὁ [l]προαγών, ἐν τῇ ἱερᾷ ἡμέρᾳ, [m]ὃ πρότερον οὐδεὶς μέμνηται [n]γενόμενον, τίνα πρόφασιν ποιησάμενος; ἵνα, φησίν, ἐὰν [o]ἤδη παρῶσιν [p]οἱ Φιλίππου πρέσβεις, βουλεύσηται ὁ [q]δῆμος [r]ὡς τάχιστα περὶ τῶν πρὸς [s]Φίλιππον, τοῖς οὔπω παροῦσι πρέσβεσι προκαταλαμβάνων τὴν ἐκκλησίαν καὶ τοὺς χρόνους [t]ὑμῶν ὑποτεμνόμενος καὶ τὸ πρᾶγμα κατασπεύδων, ἵνα μὴ μετὰ τῶν ἄλλων
[c]Ἑλλήνων ἐπανελθόντων τῶν [u]ὑμετέρων πρέσβεων ἀλλὰ
68 μόνοι ποιήσησθε τὴν εἰρήνην. μετὰ [x]δὲ ταῦτα, ὦ ἄνδρες

[b] μηδὲ] Libri μήτε.
[c] ἤδη ἐπ' αὐτὸν e. k. l. ceteri ἐπ' αὐτὸν ἤδη.
[d] στρατεία] στρατία c. d. f. h.
[e] κατακοινανήσαντες] κατακοινώσαντες k.
[f] τὰ om. c. d. f.
[g] ποιεῖν] ποιεῖσθαι d. e. k. l.
[h] ἱσταμένου] ἱσταμένη c. d. f.
[i] τῷ om. e. k. l.
[k] ὁ a. c. d. f. h. ceteri ὅτ' ἦν.
[l] προαγὼν] προάγων g. k. l. m. n.
[m] ὃ] ἣ f. ἢ c. om. a.
[n] γενόμενον] γεγονὸς e. h. k. l.
[o] ἤδη παρῶσιν] παρῶσιν ἤδη e.k.l.
[p] οἱ Φιλίππου e. k. l. ceteri οἱ τοῦ φιλίππου.
[q] δῆμος] φίλιππος e. k. l.
[r] ὡς om. c. d. f.
[s] Φίλιππον] φίλιππον πρέσβεων c. d. f. h.
[t] ὑμῶν] ἡμῶν e. k. l
[u] ὑμετέρων] ἡμετέρων a. c. d. e. f. g. h. l. m. n.
[x] δὲ om. e. k.

Ἀθηναῖοι, ἦκον [y]οἱ Φιλίππου πρέσβεις· οἱ δὲ [z]ὑμέτεροι ἀπεδήμουν παρακαλοῦντες τοὺς Ἕλληνας ἐπὶ Φίλιππον. ἐνταῦθ' ἕτερον [a]ψήφισμα νικᾷ [b]Δημοσθένης, ἐν ᾧ γράφει μὴ μόνον ὑπὲρ [c]τῆς εἰρήνης ἀλλὰ [d]καὶ συμμαχίας [e]ὑμᾶς βουλεύσασθαι, μὴ περιμείναντας τοὺς πρέσβεις τοὺς [f]ὑμετέρους ἀλλ' εὐθὺς [g]μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει, τῇ ὀγδόῃ καὶ ἐνάτῃ ἐπὶ δέκα. Ὅτι δ' ἀληθῆ λέγω, [h]ἀκούσατε τῶν ψηφισμάτων.

[i]ΨΗΦΙΣΜΑΤΑ.

69 Ἐπειδὴ τοίνυν, [k]ὦ Ἀθηναῖοι, [l]παρεληλύθει τὰ Διονύσια, [m]ἐγίνοντο [n]δὲ αἱ ἐκκλησίαι, ἐν δὲ τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἀνεγνώσθη δόγμα [o]τῇ ὀγδόῃ ἐπὶ δέκα] [p]κοινὸν τῶν συμμάχων, οὗ τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. πρῶτον μὲν [q]γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι, τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι, ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμβάνοντες εἶναι· ἔπειτα ἀπήντησαν ὀρθῶς [r]ἰασόμενοι τὸ Δημοσθένους δωροδόκημα,

[y] οἱ Φιλίππου e. k. l. ceteri οἱ τοῦ φιλίππου.

[z] ὑμέτεροι] ἡμέτεροι scripti omnes.

[a] ψήφισμα νικᾷ] νικᾷ ψήφισμα e. k. l.

[b] Δημοσθένης] δημοσθένους g.

[c] τῆς om. d. f. h.

[d] καὶ] καὶ περὶ e. k. l.

[e] ὑμᾶς] ἡμᾶς a. c. d. f. g. h. m. n. om. e. k. l.

[f] ὑμετέρους] ἡμετέρους e. k. l.

[g] μετὰ τὰ Δ. τὰ ἐν ἄστει] μετὰ δ. τὰ ἐν ἄστει e. g. m. n. μετὰ τὰ ἐν ἄστει δ. editi.

[h] ἀκούσ. τῶν ψηφ.] τῶν ψηφ. ἀκούσ. e. k. l.

[i] ΨΗΦΙΣΜΑΤΑ om. a.

[k] ὦ Ἀθηναῖοι om. e. k. l. post Διονύσια ponunt g. m. n.

[l] παρεληλύθει] παρελήλυθε e. k. l.

[m] ἐγίνοντο] ἐγένοντο Reiskius ex Helmstadiensi.

[n] δὲ αἱ] δέκα h. δέκα e. l. δὴ αἱ margo n. δὲ k.

[o] [τῇ ὀγδόῃ ἐπὶ δέκα] post ἐκκλησιῶν ponunt e. k. l.

[p] κοινὸν τῶν συμμ.] τῶν συμμ. κοινὸν e.

[q] γὰρ om. g. m. n.

[r] ἰασόμενοι] ἰασάμενοι h. ἰασάμενοι e. f.

70 καὶ προσέγραψαν ἐν τῷ δόγματι ἐξεῖναι τῷ βουλομένῳ τῶν Ἑλλήνων ἐν [s]τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην [t]ἀναγεγράφθαι μετ' Ἀθηναίων καὶ μετέχειν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, δύο [u]μέγιστα [x]προκαταλαμβάνοντες, πρῶτον [y]μὲν τὸν χρόνον [z]τὸν τῆς τριμήνου ταῖς [a]τῶν Ἑλλήνων πρεσβείαις ἱκανὸν [b]γενέσθαι [c]παρασκευάζοντες, 35 ἔπειτα τὴν [d]τῶν Ἑλλήνων εὔνοιαν τῇ πόλει μετὰ [e]κοινοῦ συνεδρίου κτώμενοι, ἵν' εἰ παραβαίνοιντο αἱ συνθῆκαι, μὴ μόνοι μηδ' ἀπαράσκευοι πολεμήσαιμεν, ἃ νῦν [f]ἡμῖν παθεῖν συνέβη διὰ Δημοσθένην. Ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτοῦ τοῦ δόγματος ἀκούσαντες μαθήσεσθε.

[g]ΔΟΓΜΑ ΣΥΜΜΑΧΩΝ.

71 Τούτῳ τῷ [h]δόγματι συνειπεῖν ὁμολογῶ, καὶ πάντες οἱ ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες· καὶ ὁ δῆμος 40 ἀπῆλθε τοιαύτην τινὰ δοξαν [i]εἰληφώς, ὡς ἔσται μὲν [k]ἡ εἰρήνη, περὶ [l]δὲ συμμαχίας οὐκ ἄμεινον εἴη διὰ τὴν τῶν Ἑλλήνων παράκλησιν [m]βουλεύσασθαι, ἔσται δὲ [n]κοινῇ μετὰ τῶν Ἑλλήνων ἁπάντων. νὺξ ἐν μέσῳ, καὶ παρῆμεν τῇ ὑστεραίᾳ [o]εἰς τὴν ἐκκλησίαν. ἐνταῦθα [p]δὴ [q]προκαταλαμβάνων Δημοσθένης τὸ βῆμα, οὐδενὶ τῶν ἄλλων παραλιπὼν

[s] τρισὶ] τισὶ e. l.
[t] ἀναγεγράφθαι] ἀναγράφεσθαι e. k. ἀναγεγράφεσθαι l.
[u] μέγιστα] τὰ μέγιστα e. h. k. l.
[x] προκαταλ.] προσκαταλ. c. d. f.
[y] μὲν τὸν e. h. k. l. ceteri μὲν οὖν τόν.
[z] τὸν post χρόνον om. c. d. f.
[a] τῶν om. pr. m.
[b] γενέσθαι] παραγενέσθαι e. k. l. παρα
[c] παρασκευάζ.] κατασκευάζ. h. κατασκευάζ. e. k. l.
[d] τῶν Ἑλλήνων om. g.
[e] κοινοῦ τοῦ συνεδρίου e.
[f] ἡμῖν g. k. m. n. ceteri ὑμῖν.
[g] ΔΟΓΜΑ ΣΥΜΜΑΧΩΝ om. a.
[h] δόγματι] ψηφίσματι e. k. l.
[i] εἰληφὼς] ὑπειληφὼς e. k. l.
[k] ἡ om. d. f. l.
[l] δὲ] δὲ τῆς a.
[m] βουλεύσασθαι] βουλεύεσθαι e. k. l.
[n] κοινῇ] κοινὴ g k. l. m. n.
[o] εἰς τὴν ἐκκλησίαν] ἐν τῇ ἐκκλησίᾳ a.
[p] δὴ] δὲ h.
[q] προκαταλαμβάνων Δημ. τὸ βῆμα] προκαταλαβὼν τὸ βῆμα δημ. e. k. l.

[r]λόγον, οὐδὲν ὄφελος ἔφη τῶν χθὲς εἰρημένων [s]εἶναι λόγων, 64
[t]εἰ ταῦθ' οἱ Φιλίππου μὴ συμπεισθήσονται πρέσβεις, οὐδὲ
72 γινώσκειν ἔφη τὴν εἰρήνην ἀπούσης συμμαχίας. οὐ γὰρ
ἔφη δεῖν ([u]καὶ γὰρ τὸ ῥῆμα μέμνημαι ὡς εἶπε, δια τὴν
[x]ἀηδίαν τοῦ λέγοντος [y]ἅμα καὶ τοῦ ὀνόματος) ἀπορρῆξαι
[z]τῆς εἰρήνης τὴν συμμαχίαν, οὐδὲ [a]τὰ τῶν Ἑλλήνων ἀνα-
μένειν [b]μελλήματα, ἀλλ' ἢ πολεμεῖν αὐτοὺς ἢ τὴν εἰρήνην 5
[c]ἰδίᾳ ποιεῖσθαι. καὶ τελευτῶν ἐπὶ τὸ βῆμα [d]παρακαλέ-
σας Ἀντίπατρον ἐρώτημά [e]τι ἠρώτα, προειπὼν μεν ἃ
[f]ἐρήσεται, προδιδάξας δὲ ἃ χρὴ [g]κατὰ τῆς πόλεως ἀπο-
κρίνασθαι. καὶ τέλος ταῦτ' [h]ἐνίκα, τῷ μὲν λόγῳ προ-
βιασαμένου [i]Δημοσθένους, τὸ δὲ ψήφισμα γράψαντος
73 Φιλοκράτους. Ὃ δὲ ἦν ὑπόλοιπον αὐτοῖς, Κερσοβλέπτην
καὶ [k]τὸν ἐπὶ Θράκης τόπον ἔκδοτον ποιῆσαι, καὶ τοῦτ'
ἔπραξαν ἕκτῃ φθίνοντος τοῦ ἐλαφηβολιῶνος [l]μηνός, πρὶν 10
ἐπὶ τὴν ὑστέραν ἀπαίρειν πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους
Δημοσθένην· ὁ γὰρ μισαλέξανδρος καὶ μισοφίλιππος
[m]ὑμῖν [n]οὑτοσὶ ῥήτωρ δὶς ἐπρέσβευσεν [o]εἰς Μακεδονίαν,
ἐξὸν μηδὲ ἅπαξ, ὁ νυνὶ κελεύων τῶν Μακεδόνων [p]κατα-

[r] λόγον] λόγων d.
[s] εἶναι om. pr. d. post λόγων ponit a.
[t] εἰ ταῦθ'] ἐνταῦθ' m. n.
[u] (καὶ γὰρ τὸ] τὸ γὰρ e. k.
[x] ἀηδίαν] ἀδικίαν h.
[y] ἅμα] οἶμαι m. n.
[z] τῆς εἰρ. τὴν συμμ.] τὴν συμμ. τῆς εἰρ. e. k. l.
[a] τὰ om. c. d. f.
[b] μελλήματα] μελήματα d. μελετήματα e. l.
[c] ἰδίᾳ] ἰδίαν l. ἰδείαν c.
[d] παρακαλέσας] καλέσας c.d.f.h.
[e] τι om. e. k. l.
[f] ἐρήσεται] αἱρήσεται h. αἱρήσεται f. εἰρήσεται g. m. n.
[g] κατὰ] περὶ a.
[h] ἐνίκα] ἐνίκησε l.
[i] Δημοσθένους] τοῦ δημοσθένους c. d. f. h.
[k] τὸν om. τόπον supra versum ponit h.
[l] μηνὸς om. a. g. m. n.
[m] ὑμῖν] ἡμῖν e. k. l.
[n] οὑτοσὶ a. g. m. n. ceteri οὗτος.
[o] εἰς Μακεδονίαν e. k. l. ceteri ἐν μακεδονίᾳ.
[p] καταπτύειν] καταπλύειν l.

πτύειν. εἰς δὲ τὴν ἐκκλησίαν, τὴν τῇ ἕκτῃ [q]λέγω, καθε-
ζόμενος βουλευτὴς ὢν ἐκ παρασκευῆς, ἔκδοτον Κερσοβλέ-
74 πτην μετὰ Φιλοκράτους ἐποίησε. λανθάνει γὰρ ὁ μὲν
Φιλοκράτης ἐν ψηφίσματι μετὰ τῶν ἄλλων γραμμά- 15
των παρεγγράψας, ὁ δ' ἐπιψηφίσας, Δημοσθένης, ἐν
ᾧ γέγραπται "[r]ἀποδοῦναι [s]δὲ τοὺς ὅρκους τοῖς πρέσ-
"βεσι [s]τοῖς [t]παρὰ Φιλίππου ἐν τῇδε τῇ ἡμέρᾳ τοὺς συνέ-
"δρους τῶν συμμάχων." [u]παρὰ [x]δὲ [y]Κερσοβλέπτου
σύνεδρος οὐκ ἐκάθητο· γράψας δὲ τοὺς συνεδρεύοντας
ὀμνύναι τὸν Κερσοβλέπτην οὐ συνεδρεύοντα ἐξέκλεισε τῶν
ὅρκων. Ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθι μοι τις [z]ἦν ὁ 20
ταῦτα [a]γράψας καὶ [b]τίς ὁ ταῦτα ἐπιψηφίσας [c]πρόε-
δρος.

ΨΗΦΙΣΜΑ. [d]ΠΡΟΕΔΡΟΣ.

75 Καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν ἡ τῶν δημοσίων
[e]γραμμάτων φυλακή· ἀκίνητον γάρ ἐστι καὶ οὐ [f]συμ-
μεταπίπτει [g]τοῖς αὐτομολοῦσιν ἐν [b]τῇ πολιτείᾳ, ἀλλ'
[i]ἐπέδωκε τῷ δήμῳ, ὁπόταν βούληται, συνιδεῖν τοὺς πάλαι
μὲν πονηροὺς ἐκ μεταβολῆς δ' ἀξιοῦντας εἶναι χρηστούς.
Ὑπόλοιπον [k]δ' ἐστί μοι τὴν κολακείαν [l]αὐτοῦ διεξελ- 25

[q] λέγω om. n. post καθεζόμενος ponunt a. g. et γρ. m.
[r] δὲ addidi ex e. k. l.
[s] τοῖς post πρέσβ. om. e. l.
[t] παρὰ] περὶ h.
[u] παρὰ] περὶ h.
[x] δὲ om. g. m. n.
[y] Κερσοβλέπτου] τοῦ κερσοβλέπτου c. d. f. h. κερσοβλέπτη e.
[z] ἦν om. h.
[a] γράψας] γράφων e. k. l.
[b] τίς ἦν ὁ e. k. l.
[c] πρόεδρος om. e. h. k. l.
[d] ΠΡΟΕΔΡΟΣ om. a. πρόεδροι d. e. k.
[e] γραμμάτων] πραγμάτων h. πραγμάτων a. c. d. e. f. g. m. n.
[f] συμμετατίπτει] μεταπίπτει a. e. g. k. l. m. n.
[g] τοῖς ἀντιμεταβαλλομένοις αὐτομολοῦσιν l. τοῖς ἀντιμεταβαλλομένοις αὐτομολοῦσιν e. k.
[h] τῇ om. a. g. m. n.
[i] ἐπέδωκε] ἀπέδωκε e. k l.
[k] δ' ἐστί μοι e. k. l. ceteri δέ μοί ἐστι.
[l] αὐτοῦ om. e. k. l. αὐτῶν c.

76 θεῖν. Δημοσθένης γὰρ [m] ὦ ἄνδρες Ἀθηναῖοι ἐνιαυτὸν βουλεύσας οὐδεμίαν [n] πώποτε [o] φανεῖται πρεσβείαν εἰς προεδρίαν [p] καλέσας, ἀλλὰ τότε [q] πρῶτον καὶ μόνον πρέσβεις εἰς [r] προεδρίαν [s] ἐκάλεσε καὶ προσκεφάλαια ἔθηκε καὶ φοινικίδας [t] περιεπέτασε καὶ ἅμα τῇ ἡμέρᾳ ἠγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συριττεσθαι διὰ τὴν ἀσχημοσύνην [u] καὶ κολακείαν. καὶ ὅτ' ἀπῆεσαν εἰς Θήβας, ἐμισθώσατο αὐτοῖς τρία ζεύγη [x] ὁρικὰ καὶ τοὺς πρέσβεις προὔπεμψεν εἰς Θήβας, [y] καταγέλαστον τὴν πόλιν ποιῶν. Ἵνα δ' ἐπὶ τῆς ὑποθέσεως μείνω, λάβε μοι τὸ ψήφισμα τὸ [z] περὶ τῆς προεδρίας.

ΨΗΦΙΣΜΑ.

77 Οὗτος τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου πυθόμενος τὴν Φιλίππου τελευτὴν τῶν μὲν θεῶν συμπλάσας [a] ἑαυτῷ ἐνύπνιον [b] κατεψεύσατο, ὡς [c] οὐ παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος ἀλλὰ παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς, οὓς μεθ' ἡμέραν ἐπιορκῶν νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν, [d] ἑβδόμην δ' ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, [e] πρὶν πευθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα [f] λαβὼν ἐβουθύτει καὶ [g] παρενό-

[m] ὦ ἄνδρες Ἀθηναῖοι] Sumpsi ab e. k. l.

[n] πώποτε om. e. k. l.

[o] φανεῖται] φανήσεται e. k. l.

[p] καλέσας] παρακαλέσας h.

[q] πρῶτον καὶ μόνον e. k. l. ceteri μόνον καὶ πρῶτον.

[r] προεδρίαν] προσεδρίαν a.

[s] ἐκάλεσε] ἔθηκε d. f.

[t] περιεπέτασε om. h.

[u] καὶ τὴν κολακείαν a.

[x] ὁρικὰ] ὀρίκια g. h. n. ὀρεικὰ e. βοᾶν a.

[y] καταγέλαστον] ἐγκαταγέλαστον g. m. n. totum hoc καταγ. τ. π. π. ante ἐμισθώσατο ponit a.

[z] περὶ] ὑπὲρ e. k. l.

[a] ἑαυτῷ] ἑαυτῶν l.

[b] κατεψ] οὐ κατεψ. h.

[c] οὐ om. c.

[d] ἑβδόμην δ' ἡμέραν] ἑβδόμῃ δ' ἡμέρᾳ c. d. f.

[e] πρὶν ἢ πευθῆσαι e. k. l.

[f] λαβὼν] βαλὼν d. h.

[g] παρενόμει c. f. g. k. m. n. παρ-

μει, τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσ- 40
78 εἰποῦσαν [h]ἀπολέσας. καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω. ὁ γὰρ μισότεκνος καὶ [i]πατὴρ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστός, οὐδὲ ὁ [k]τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ [l]στέργων οὐδέ- ποθ' [m]ὑμᾶς περὶ [n]πλείονος ποιήσεται τοὺς ἀλλοτρίους, οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἄν [o]ποτε γένοιτο δημοσίᾳ χρη- στός, [p]οὐδ' ὅστις ἐστὶν οἴκοι φαῦλος, οὐδέποτ' ἦν ἐν Μα- 65
κεδονίᾳ κατὰ τὴν πρεσβείαν καλὸς κἀγαθός· οὐ γὰρ τὸν τρόπον ἀλλὰ τὸν τόπον [q]μόνον μετηλλαξεν.

79 Πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων (οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρός,) καὶ τί ποτ' ἐστὶ τὸ αἴτιον ὅτι Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται, Δημοσθέ- νης δὲ ἐπέστη τῶν ἄλλων κατήγορος, καὶ πόθεν ποθ' 5
[r]ἡμᾶς εἰς [s]τὰς ἀτυχίας [t]ὁ μιαρὸς ἄνθρωπος ἐμβεβληκε,
80 ταῦτ' ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι. ὡς γὰρ τά- χιστα εἴσω Πυλῶν [u]Φίλιππος παρῆλθε καὶ [x]τάς τε ἐν Φωκεῦσι [y]πόλεις παραδόξως ἀναστάτους ἐποίησε, Θη- βαίους [z]δέ, ὡς [a]τόθ' [b]ὑμῖν ἐδόκει, [c]περαιτέρω τοῦ καιροῦ καὶ τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς [d]κατεσκεύασεν,

[g] νόμει g. ceteri παρηνόμει.

[h] ἀπολέσας om. a. f. h.

[i] πατὴρ πονηρὸς] πονηρὸς πατὴρ l.

[k] τὰ om. pr. f.

[l] στέργων] στέγων c. d.

[m] ὑμᾶς] ἡμᾶς a. g. m.

[n] πλείονος ποιήσεται] πολλοῦ ποιήσαιτο e. k. l.

[o] ποτε om. a. e. g. k. l. m. n.

[p] οὐδ' ὅστις—κἀγαθός] Hæc supra quoque, post illa δημαγωγὸς χρηστός, ponit c. omissis ibi, quibus facile careas, κατὰ τὴν πρεσβείαν.

[q] μόνον om. e. l.

[r] ἡμᾶς] ὑμᾶς c. e. k. l.

[s] τὰς ἀτυχίας] τὴν ἀτυχίαν e.k.l.

[t] ὁ μιαρὸς ἄνθρωπος] Hæc ante εἰς ponit a.

[u] Φίλιππος παρῆλθε] παρῆλθε φί- λιππος e. k. l. ὁ φίλιππος παρῆλθε c.

[x] τάς τε] τὰς μὲν Reiskius.

[y] πόλεις] φίλιππος k.

[z] δὲ om. k. l. τε

[a] τόθ'] τοῦθ' a. n. τοῦθ' g. m.

[b] ὑμῖν] ἡμῖν k.

[c] περαιτέρω τοῦ καιροῦ a. c. e. g. k. l. m. n. ceteri om. articulum.

[d] κατεσκεύασεν] παρεσκεύασεν g. m. n.

ὑμεῖς [c] δὲ ἐκ τῶν ἀγρῶν φοβηθέντες [f] ἐσκευαγωγήσατε, ἐν ταῖς μεγίσταις δ' ἦσαν αἰτίαις οἱ πρέσβεις οἱ [g] τὴν εἰρήνην πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων [h] διαφερόντως Φιλοκράτης καὶ Δημοσθένης διὰ τὸ μὴ μόνον πρεσβεύειν
81 ἀλλὰ καὶ [i] τὰ ψηφίσματα γεγραφέναι, συνέβη [k] δ' ἐν τοῖς αὐτοῖς χρόνοις διαφέρεσθαί τι [l] Δημοσθένην καὶ Φιλοκράτην σχεδὸν ὑπὲρ [m] τούτων ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπωπτεύσατε διενεχθῆναι, τοιαύτης δὲ ἐμπιπτούσης ταραχῆς μετὰ τῶν συμφύτων νοσημάτων αὐτῷ ἤδη τὰ μετὰ ταῦτα ἐβουλεύετο, μετὰ δειλίας καὶ τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς [n] δωροδοκίας ζηλοτυπίας, καὶ ἡγήσατο, εἰ τῶν συμπρεσβευόντων καὶ τοῦ Φιλίππου κατήγορος ἀναφανείη, τὸν μὲν Φιλοκράτην προδήλως [o] ἀπολεῖσθαι, τοὺς δὲ ἄλλους [p] συμπρέσβεις [q] κινδυνεύσειν, αὐτὸς δ' εὐδοκιμήσειν καὶ [r] προδότης ὢν [s] τῶν φίλων καὶ πονηρὸς [t] πιστὸς τῷ
82 δήμῳ [u] φανήσεσθαι. κατιδόντες δ' αὐτὸν [x] οἱ τῇ τῆς πόλεως προσπολεμοῦντες ἡσυχίᾳ [y] ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα, τὸν μόνον ἀδωροδόκητον ὀνομάζοντες τῇ πόλει· ὁ δὲ παριὼν [z] ἀρχὰς αὐτοῖς [a] ἐνεδίδου πολέμου καὶ τα-

[c] δὲ c. d. ceteri τε vel τ'.

[f] ἐσκευαγωγήσατε] ἐσκευαγωγήκατε a. c. d. f. g. h. m. n.

[g] τὴν εἰρήνην e. k. l. ceteri περὶ τῆς εἰρήνης.

[h] διαφερόντως om. pr. g.

[i] τὰ recepi ex e. k. l.

[k] δ'] τε e. k. l.

[l] Δημοσθένην] τὸν δημοσθένην a. c. d. f. h.

[m] τούτων] τούτων καὶ c.

[n] δωροδ. ζηλοτ.] ζηλοτ. δωροδ. a. g. m. n.

[o] ἀπολεῖσθαι] ἀπολογεῖσθαι l.

[p] συμπρέσβεις] πρέσβεις c. d. f. h.

[q] κινδυνεύσειν k. ceteri κινδυνεύειν vel κινδυνεύσειν.

[r] προδότης] προδότης τε h.

[s] τῶν φίλων om. pr. f.

[t] πιστὸς] καὶ πιστὸς f. h.

[u] φανήσεσθαι] κληθήσεται e. k. l.

[x] οἱ τῇ τῆς πόλεως προσπολεμοῦντες ἡσυχίᾳ] οἱ τῇ τῆς πόλεως πολεμοῦντες ἡσυχίᾳ γρ. h. οἱ τῆς πόλεως προπολεμοῦντες ἡσυχίᾳ a. g. m. οἱ τῆς πόλεως προπολεμοῦντες ἡσυχίᾳ n. οἱ τῆς πόλεως προπολεμοῦντες ἡσυκῇ c. d. οἱ τῆς πόλεως προστολεμοῦντες ἡσυχῇ f. h. οἱ προσπολεμοῦντες τῇ τῆς πόλεως ἡσυχίᾳ e. k. l.

[y] ἄσμενοι] ἀσμένως e. k. l.

[z] ἀρχὰς αὐτοῖς] αὐτοῖς ἀρχὰς e. k. l.

[a] ἐνεδίδου] ἐδίδου a.

χῆς. οὗτός ἐστιν ὦ ἄνδρες Ἀθηναῖοι ὁ πρῶτος ἐξευρὼν Σέρριον τεῖχος καὶ [b]Δορίσκον καὶ Ἐργίσκην [c]καὶ Μουργίσκην καὶ [d]Γάνος [e]καὶ Γανίδα, χωρία ὧν οὐδὲ τὰ ὀνόματα ἤδειμεν πρότερον. καὶ [f]ἐς τοῦτο φέρων περιέστησε τὰ πράγματα, ὥστ' εἰ μὲν μὴ πέμποι [g]Φίλιππος πρέσ-
83 βεις, καταφρονεῖν αὐτὸν [h]ἔφη τῆς πόλεως, εἰ δὲ πέμποι, κατασκόπους πέμπειν ἀλλ' οὐ πρέσβεις. εἰ δὲ ἐπιτρέπειν [i]ἐθέλοι πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ περὶ τῶν ἐγκλημάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη καὶ Φιλίππῳ. [k]Ἀλόννησον ἐδίδου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ δίδωσιν ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος. καὶ [l]τὸ τελευταῖον στεφανώσας [m]τοὺς μετὰ Ἀριστοδήμου εἰς Θετταλίαν καὶ Μαγνησίαν παρὰ τὰς [n]τῆς εἰρήνης συνθήκας [o]ἐπιστρατεύσαντας τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμφορὰν καὶ τὸν πόλεμον [p]παρεσκεύασεν.

84 Ναί, ἀλλὰ χαλκοῖς καὶ ἀδαμαντίνοις τειχεσιν, ὡς αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε, [q]τῇ τῶν Εὐβοέων καὶ Θηβαίων συμμαχίᾳ. ἀλλ' ὦ ἄνδρες Ἀθηναῖοι περὶ ταῦτα [r]τρία μέγιστα ἠδικησθε καὶ μάλιστα [s]ἠγνοήκατε. σπεύδων δ' εἰπεῖν περὶ τῆς [t]θαυμαστῆς [u]συμμαχίας τῆς

[b] Δορίσκον] δοκίσκον d.
[c] καὶ Μουργίσκην] καὶ μυργίσκην c. d. f. h. καὶ μυρτίσκην k. om. a. e. g. l. m. n.
[d] Γάνος] γάννος e.
[e] καὶ Γανίδα] καὶ δάνδια e. l. om. a. g. m. n.
[f] ἐς] εἰς c. e.
[g] Φίλιππος πρέσβεις] πρέσβεις φιλιππος e. k. l.
[h] ἔφη ante αὐτὸν ponit n. om. d.
[i] ἐθέλοι] ἐθελεῖ n. ἐθέλει a. d. g. h. l. m.
[k] Ἀλόννησον h. et correcti d. m. ἀλλόννησον c. f. ceteri ἀλόνησον.
[l] τὸ om. l. m. n.
[m] τοὺς] τοὺς h. τούς τε g. m. n.
[n] τῆς] περὶ τῆς c. d. e. f. h. k. l.
[o] ἐπιστρατεύσαντας] πρεσβεύσαντας e. k. l.
[p] παρεσκεύασεν] κατεσκεύασεν e. k. l.
[q] τῇ τῶν Εὐβ. καὶ Θηβ.] τῇ θηβ. καὶ τῇ τῶν εὐβ. e. k. l.
[r] τρία] καὶ e. k. l.
[s] ἠγνοήκατε] ἠγνόητε l.
[t] θαυμαστῆς e. k. l. ceteri μεγίστης.
[u] συμμαχίας] συμπαθείας f. h.

τῶν Θηβαίων, ἵν' ἐφεξῆς [x] εἶπω, περὶ [y] τῶν Εὐβοέων πρῶτον μνησθήσομαι.

85 Ὑμεῖς γὰρ ὦ Ἀθηναῖοι [z] πολλὰ καὶ μεγάλα ἠδικημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως, τοῦ Καλλίου καὶ Ταυροσθένους πατρός, οὓς οὗτος νυνὶ μισθὸν λαβὼν Ἀθηναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος τοῦ Ἐρετριέως, ὃς [a] ἡμῶν εἰρήνης οὔσης Ὠρωπὸν ἀφείλετο, τούτων ἐκόντες [b] ἐπιλανθανόμενοι, ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς καὶ ναυσὶ καὶ [c] πεζῇ δυνάμει, καὶ πρὶν τριάκονθ' ἡμέρας διελθεῖν ὑποσπόνδους Θηβαίους [d] ἀφήκατε, κύριοι τῆς Εὐβοίας γενόμενοι [e] καὶ τὰς [f] τε πόλεις αὐτὰς καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς καὶ δικαίως [g] τοῖς παρακαταθεμένοις, οὐχ 66
ἡγούμενοι δίκαιον εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ
86 πιστευθῆναι. καὶ τηλικαῦθ' [h] ὑφ' ὑμῶν εὖ [i] πεπονθότες οἱ Χαλκιδεῖς [k] οὐ τὰς ὁμοίας [l] ὑμῖν ἀπέδοσαν [m] χάριτας, [n] ἀλλ' ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ [o] βοηθήσοντες, τοὺς [p] μὲν πρώτους [q] χρόνους ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι, [r] ἐπειδὴ δὲ τάχιστα εἰς Τα- 5
μύνας παρήλθομεν καὶ τὸ [s] Κοτύλαιον ὀνομαζόμενον ὄρος

[x] εἶπω] λέγω e. k. l.
[y] τῶν] τῆς τῶν e. k. l.
[z] πολλὰ om. e.
[a] ἡμῶν] ἡμῖν d.
[b] ἐπιλανθανόμενοι] ἐπιλαθόμενοι a. g. m. n.
[c] πεζῇ e. k. l. ceteri πεζικῇ.
[d] ἀφήκατε] ἀφῆκτε l.
[e] καὶ ante κύριοι ponit Marklandus.
[f] τε om. c. d. f.
[g] τοῖς παρακαταθεμένοις e. k. l. ceteri αὐτοῖς παρακαταθέμενοι.
[h] ὑφ' ὑμῶν om. pr. f. ante οἱ ponit h. ὑφ' om. a. g. m. n.
[i] πεπονθότες] παθόντες e. k. l.
[k] οὐ τὰς] οὔτε m. n.
[l] ὑμῖν] ἡμῖν f. m. n. et γρ. h.
[m] χάριτας om. pr. f.
[n] ἀλλ'—διέβητε om. f.
[o] βοηθήσαντες] βοηθοῦντες e. k. l.
[p] μὲν] μὲν γὰρ e.
[q] χρόνους om. l.
[r] ἐπεὶ l.
[s] Κοτύλαιον] κοτυλαῖον e. k. l.

[t]ὑπερεβάλλομεν, ἐνταῦθα Καλλίας ὁ Χαλκιδεύς, ὃν [u]Δη-
87 μοσθένης [x]μισθαρνῶν [y]ἐνεκωμίαζεν, ὁρῶν τὸ στρατόπεδον
[z]τὸ τῆς πόλεως εἷς [a]τινας [b]δυσχωρίας [c]κατακεκλει-
μένον, ὅθεν μὴ νικήσασι [d]μάχην οὐκ ἦν ἀναχώρησις
[e]οὐδὲ βοηθείας ἐλπὶς οὔτ' ἐκ γῆς οὔτ' [f]ἐκ [g]θαλάτ-
της, συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπεδον
καὶ παρὰ Φιλίππου δύναμιν [h]προσμεταπεμψάμενος,
ὅ τ' ἀδελφὸς αὐτοῦ Ταυροσθένης, ὁ νυνὶ πάντας [i]δεξιού-
μενος καὶ προσγελῶν, τοὺς [k]Φωκικοὺς ξένους διαβιβά-
88 σας, ἦλθον [l]ἐφ' [m]ἡμᾶς ὡς ἀναιρήσοντες. καὶ εἰ μὴ πρῶ-
τον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπεδον, ἔπειθ' οἱ στρατι-
ῶται οἱ ὑμέτεροι [n]καὶ πεζοὶ καὶ ἱππεῖς ἄνδρες [o]ἀγαθοὶ
ἐγένοντο καὶ παρὰ τὸν ἱππόδρομον τὸν ἐν Ταμύναις ἐκ
παράταξεως [p]μάχῃ κρατήσαντες [q]ἀφεῖσαν ὑποσπόνδους
τοὺς πολεμίους, ἐκινδύνευσεν ἂν [r]ἡμῶν [s]ἡ πόλις αἴσχι-
στα παθεῖν· οὐ γὰρ τὸ δυστυχῆσαι κατὰ πόλεμον [t]μέ-
γιστόν ἐστι κακόν, ἀλλ' ὅταν τις [u]πρὸς ἀνταγωνιστὰς

[t] ὑπερεβάλλομεν] ὑπερεβάλομεν e. k. l.

[u] Δημοσθένης] ὁ δημοσθένης n.

[x] μισθαρνῶν e. k. l. ceteri μισθὸν λαβών.

[y] ἐνεκωμίαζεν e. k. ἐνεγκωμίαζεν l. ἐνεχυρίαζεν a. c. d. f. g. h. m. n.

[z] τὸ ante τῆς om. e. l.

[a] τινας] δεινὰς e. k. l.

[b] δυσχωρίας] δυσχερείας f. h.

[c] κατακεκλειμένον a. c. κατακεκλημένον m. n. ceteri κατακεκλεισμένον.

[d] μάχην] μάχῃ e. h. k. l.

[e] οὐδὲ] Libri οὔτε.

[f] ἐκ ante θαλ. om. l.

[g] θαλάττης] θαλάσσης a. d.

[h] προσμεταπεμψ.] προσπαραπεμψ. a.

[i] δεξιούμενος καὶ om. e. k. l.

[k] Φωκικοὺς] φωκικὰς c.

[l] ἐφ'] εἰς n.

[m] ἡμᾶς a. e. l. ceteri ὑμᾶς.

[n] καὶ π. καὶ ἱππ.] καὶ οἱ π. καὶ οἱ ἱππ. e. k. l.

[o] ἀγαθοὶ ἐγένοντο] ἐγένοντο ἀγαθοὶ e. k. l.

[p] μάχῃ κρατήσαντες] μάχῃ νικήσαντες e. k. l. μάχῃ κρατήσαντες μάχης f. h.

[q] ἀφεῖσαν ὑποσπ.] ὑποσπ. ἀφεῖσαν e. k. l. ἀφίεσαν ὑποσπ. ceteri.

[r] ἡμῶν] ὑμῶν e. k. l. om. a. c. d. f. h.

[s] ἡ πόλις αἴσχιστα παθεῖν] αἴσχιστα παθεῖν ἡ πόλις e. k. l.

[t] μέγιστόν ἐστι κακόν] ἐστι μέγιστον e. k. ἐστιν πόλεμον l.

[u] πρὸς τοὺς ἀνταγωνιστὰς c.

[x] ἀναξίους ἑαυτοῦ διακινδυνεύων [y] ἀποτύχῃ, διπλασίαν [z] εἰκὸς εἶναι τὴν συμφοράν. ἀλλ' ὅμως ὑμεῖς τοιαῦτα
89 πεπονθότες πάλιν διελύσασθε πρὸς αὐτούς. τυχὼν δὲ [a] συγγνώμης παρ' ὑμῶν Καλλίας ὁ Χαλκιδεὺς μικρὸν [b] διαλιπὼν χρόνον πάλιν ἦκε φερόμενος εἰς τὴν ἑαυτοῦ φύσιν, [c] Εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς [d] Χαλκίδα [e] συνάγων, ἰσχυρὰν δὲ τὴν Εὔβοιαν ἐφ' ὑμᾶς ἔργῳ παρασκευάζων, ἐξαίρετον δ' αὐτῷ [f] τυραννίδα περιποιούμενος. [g] καὶ ταύτης ἐλπίζων συναγωνιστὴν Φιλιππον λήψεσθαι ἀπῆλθεν εἰς Μακεδονίαν καὶ περιήει μετὰ Φιλίππου, καὶ
90 τῶν [h] ἑταίρων [i] εἷς ὠνομάζετο. ἀδικήσας δὲ Φίλιππον [k] κἀκεῖθεν ἀποδρὰς [l] ὑπέβαλεν [m] ἑαυτὸν φέρων Θηβαίοις. ἐγκαταλιπὼν δὲ κἀκείνους, καὶ πλείους [n] τραπόμενος τροπὰς τοῦ Εὐρίπου παρ' ὃν ᾤκει, εἰς μέσον [o] πίπτει τῆς [p] τε Θηβαίων ἔχθρας καὶ [q] τῆς Φιλίππου. ἀπορῶν δ' ὅ τι χρήσαιτο αὐτῷ, καὶ παραγγελλομένης ἐπ' αὐτὸν ἤδη [r] στρατείας, μίαν ἐλπίδα λοιπὴν κατεῖδε σωτηρίας ἔνορκον λαβεῖν [s] τὸν δῆμον τὸν Ἀθηναίων, σύμμαχον ὀνομασθέντα, βοηθήσειν εἴ τις [t] ἐπ' αὐτὸν [u] ἴοι· ὃ πρόδηλον ἦν

[x] ἀναξίους ἑαυτοῦ] ἀναξίους αὐτοῦ a. c. d. g. m. n. ἑαυτοῦ ἀναξίους e. k. l.

[y] ἀποτύχῃ] ἀποτύχοι k. l.

[z] εἰκὸς] εἰκός ἐστιν e. k. l.

[a] συγγνώμης παρ' ὑμῶν e. k. l. ceteri παρ' ὑμῶν συγγνώμης.

[b] διαλιπὼν om. pr. f.

[c] Εὐβοϊκὸν] εὐβοϊκῶ a.

[d] Χαλκίδα] τὴν χαλκίδα h.

[e] συνάγων] συναγαγὼν e. k. l.

[f] τυραννίδα] τὴν τυραννίδα h.

[g] καὶ ταύτης] κἀνταῦθα e. k. l.

[h] ἑταίρων] ἑτέρων d. k.

[i] εἷς] οἷς e.

[k] κἀκεῖθεν] κἀκεῖνον e. k. l.

[l] ὑπέβαλεν] ὑπέβαλλεν a. h. m. n.

[m] ἑαυτὸν] αὐτὸν e.

[n] τραπόμενος] τρεπόμενος h. στρεφόμενος e. k. l.

[o] πίπτει] ἐμπίπτει k. l.

[p] τε om. a. c. d. f. n. et pr. g. m.

[q] τῆς Φιλίππου] τοῦ φιλίππου e. k. l.

[r] στρατείας f. ceteri στρατιᾶς.

[s] τὸν δῆμον τὸν Ἀθηναίων] τὸν δῆμον τῶν ἀθηναίων e. k. l. τῶν ἀθηναίων δῆμον a. n. τὸν Ἀθηναίων δῆμον ceteri.

[t] ἐπ' αὐτὸν] ἑαυτὸν l.

[u] ἴοι] Editi ἴῃ.

91 ἐσόμενον, εἰ μὴ ὑμεῖς [x]κωλύσαιτε. ταῦτα [y]δὲ [z]διανοηθεὶς
ἀποστέλλει [a]δεῦρο πρέσβεις Γλαυκέτην [b]καὶ Ἐμπέδωνα
καὶ Διόδωρον τὸν δολιχοδρομήσαντα, [c]φέροντας τῷ μὲν
δήμῳ [d]ἐλπίδας κενάς, Δημοσθένει δ' ἀργύριον καὶ τοῖς
περὶ [e]αὐτόν. τρία δ' ἦν ἃ ἅμα ἐξωνεῖτο, πρῶτον μὲν μὴ
διασφαλῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας· οὐδὲν γὰρ ἦν 35
τὸ μέσον, εἰ μνησθεὶς τῶν προτέρων ἀδικημάτων ὁ δῆμος
μὴ προσδέξαιτο τὴν συμμαχίαν, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ
φεύγειν ἐκ Χαλκίδος ἢ τεθνάναι [f]ἐγκαταληφθέντι· τηλι-
καῦται δυνάμεις ἐπ' αὐτὸν [g]ἐπεστράτευον, ἥ τε Φιλίπ-
που [h]καὶ Θηβαίων. δεύτερον δ' ἦκον οἱ μισθοὶ τῷ γρά-
ψαντι τὴν συμμαχίαν ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι
92 Χαλκιδέας, τριτον δὲ ὥστε μὴ τελεῖν [i]συντάξεις. καὶ 40
τούτων τῶν προαιρέσεων οὐδεμιᾶς ἀπέτυχε Καλλίας,
ἀλλ' ὁ μισοτύραννος Δημοσθένης, ὡς αὐτὸς προσποιεῖται,
ὃν φησι Κτησιφῶν τὰ βέλτιστα λέγειν, ἀπέδοτο μὲν τοὺς
καιροὺς τοὺς τῆς πόλεως, ἔγραψε δ' ἐν τῇ συμμαχίᾳ
βοηθεῖν ἡμᾶς Χαλκιδεῦσι, ῥῆμα μόνον ἀντικαταλλαξά-
μενος, ἀντὶ τούτων εὐφημίας ἕνεκα [k]προσγράψας [l]Χαλ-
93 κιδέας βοηθεῖν ἐάν τις ἴῃ ἐπ' Ἀθηναίους· τὰς δὲ [m]συνε- 67
δρίας καὶ [n]τὰς συντάξεις, ἐξ ὧν [o]ἰσχύσειν ὁ πόλεμος

[x] κωλύσαιτε Marklandus. κωλύσετε a.c.d.f.g.k.l.m.n. ἐκωλύσατε h. et γρ. g. m.
[y] δὲ om. e. k. l.
[z] διανοηθεὶς] νοηθεὶς h.
[a] δεῦρο] δεύτερον e. k. l.
[b] καὶ Ἐμπέδωνα om. a. καὶ ἐμπεδῶνα g. m. n. καὶ ἐμπέδονα d.
[c] φέροντας] φέροντες l.
[d] ἐλπίδας κενὰς] κενὰς ἐλπίδας e. k. l.
[e] αὐτὸν] τοῦτον e. k. l.
[f] ἐγκαταληφθέντι c. f. g. m. n. ceteri ἐγκαταλειφθέντι.
[g] ἐπεστράτευον] ἐστρατεύσαντο e. l.
[h] καὶ Θηβαίων] καὶ ἡ Θηβαίων Stephanus.
συντάξεις
[i] συντάξεις] φόρους h.
[k] προσγράψας] προγράψας a. d. f. g. h. m. n. προσέγραψε e. l.
[l] Χαλκ.] καὶ χαλκ. e. k. l.
[m] συνεδρίας] συν προεδρίας h. προεδρίας a. c. d. g. m. n.
[n] τὰς om. h.
[o] ἰσχύσειν] ἰσχύειν pr. h.

[p] ἤμελλεν, ἄρδην ἀπέδοτο, καλλίστοις ὀνόμασιν αἰσχίστας πράξεις γράφων καὶ τῷ λόγῳ [q] προσβιβάζων [r] ὑμᾶς, [s] ὡς δεῖ τὴν πόλιν τὰς μὲν βοηθείας πρότερον ποιεῖσθαι τοῖς ἀεὶ δεομένοις τῶν Ἑλλήνων, τὰς δὲ συμμαχίας [t] ὑστέρας μετὰ τὰς εὐεργεσίας. Ἵνα δ' εὖ [u] εἰδῆτε ὅτι ἀληθῆ λέγω, λάβε μοι τὴν Καλλίου γραφὴν καὶ τὴν συμμαχίαν, [x] καὶ ἀνάγνωθι τὸ ψήφισμα.

[y] ΨΗΦΙΣΜΑ.

94 Οὔπω τοίνυν τοῦτ' ἐστι δεινόν, [z] εἰ καιροὶ [a] πέπρανται τηλικοῦτοι καὶ συνεδρίαι καὶ συντάξεις, ἀλλὰ πολὺ [b] τούτου δεινότερον [c] ὑμῖν [d] φανήσεται ὃ μέλλω λέγειν. εἰς γὰρ τοῦτο προήχθη Καλλίας μὲν ὁ Χαλκιδεὺς ὕβρεως καὶ πλεονεξίας, Δημοσθένης δέ, ὃν ἐπαινεῖ Κτησιφῶν, δωροδοκίας, ὥστε τὰς ἐξ Ὠρεοῦ συντάξεις καὶ τὰς ἐξ Ἐρετρίας, τὰ δέκα τάλαντα, ὁρώντων φρονούντων βλεπόντων ἔλαθον [e] ὑμῶν ὑφελόμενοι, καὶ τοὺς ἐκ τῶν πόλεων [f] τούτων συνέδρους παρ' [g] ὑμῶν μὲν ἀνέστησαν, πάλιν δὲ εἰς Χαλκίδα καὶ τὸ καλούμενον [h] Εὐβοϊκὸν συνέδριον συνήγαγον. ὃν δὲ τρόπον καὶ δι' οἵων κακουργη-
95 μάτων, [i] ταῦτ' ἤδη ἄξιόν ἐστιν ἀκοῦσαι. ἀφικνεῖται [k] γὰρ πρὸς [l] ὑμᾶς οὐκέτι δι' ἀγγέλων ἀλλ' αὐτὸς ὁ Καλλίας,

[p] ἤμελλεν] ἔμελλεν e.
[q] προσβιβάζων] προβιβάζων g. et correctus h. et γρ. m. n.
[r] ὑμᾶς] ἡμᾶς k.
[s] ὡς δεῖ τὴν πόλιν τὰς μὲν βοηθείας c. d. e. f. h. k. l. ceteri τὰς μὲν βοηθείας ὡς δεῖ τὴν πόλιν.
[t] ὑστέρας] ὑστέρας ποιεῖσθαι a. c. d. f. g. h. m. n.
[u] εἰδῆτε] ἴδητε d.
[x] καὶ ante ἀνάγνωθι om. e. l.
[y] ΨΗΦΙΣΜΑ om. a.
[z] εἰ οἱ καιροὶ a. c. f. g. h. m. n.
[a] πέπρανται τηλικοῦτοι] τηλικοῦτοι πεπραμένοι τυγχάνουσι e. k. l.
[b] τούτου] ταύτου̃ h. τοῦτο a. e. g. l. m. n.
[c] ὑμῖν om. e. k. l.
[d] φανήσεται] φανήσεται εἶναι e. k.
[e] ὑμῶν] ὑμᾶς e. h. l.
[f] τούτων] τούτους d. f. g. h. m. n. τοιούτους a.
[g] ὑμῶν] ἡμῶν a. c. d. f. g. h. m. n.
[h] Εὐβ. συνέδριον] συνέδριον εὐβ. g. m. n.
[i] ταῦτ'] τοῦτ' e. l.
[k] γὰρ] δὲ h.
[l] ὑμᾶς] ἡμᾶς d.

καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν λόγους [m] διεξῆλθε κατεσκευασμένους ὑπὸ [n] Δημοσθένους. εἶπε γὰρ ὡς ἥκοι ἐκ [o] Πελοποννήσου νεωστὶ σύνταγμα συντάξας [p] εἰς ἑκατὸν ταλάντων πρόσοδον ἐπὶ [q] Φίλιππον, καὶ διελογίζετο [r] ὅσον ἑκάστους ἔδει συντελεῖν, Ἀχαιοὺς μὲν πάντας καὶ Μεγαρέας ἑξήκοντα τάλαντα, [s] τὰς δ' ἐν Εὐβοίᾳ πόλεις
96 ἁπάσας τετταράκοντα· ἐκ δὲ τούτων τῶν χρημάτων ὑπάρξειν καὶ ναυτικὴν καὶ [t] πεζὴν δύναμιν· εἶναι δὲ πολ- 20
λοὺς [u] καὶ ἄλλους τῶν Ἑλλήνων οὓς βούλεσθαι κοινωνεῖν τῆς συντάξεως, [x] ὥστε οὔτε χρημάτων οὔτε στρατιωτῶν ἔσεσθαι ἀπορίαν. καὶ ταῦτα μὲν τὰ φανερά· ἔφη δὲ καὶ πράξεις [y] πράττειν ἑτέρας δι' ἀπορρήτων, καὶ τούτων εἶναί
97 τινας μάρτυρας τῶν ἡμετέρων πολιτῶν, καὶ τελευτῶν ὀνομαστὶ [z] παρεκάλει Δημοσθένην καὶ συνειπεῖν ἠξίου. ὁ δὲ σεμνῶς [a] πάνυ παρελθὼν τόν τε Καλλίαν [b] ὑπερεπήνει 25
[c] τό τε ἀπόρρητον προσεποιήσατο εἰδέναι· τὴν [d] δ' [e] ἐκ Πελοποννήσου πρεσβείαν, [f] ἣν ἐπρέσβευσε, καὶ τὴν ἐξ Ἀκαρνανίας ἔφη βούλεσθαι ὑμῖν ἀπαγγεῖλαι. ἦν δ' αὐτῷ κεφάλαιον [g] τῶν λόγων πάντας μὲν Πελοποννησίους ὑπάρχειν, πάντας δ' [h] Ἀκαρνᾶνας [i] συντεταγμένους ἐπὶ Φίλιππον ὑφ' ἑαυτοῦ· εἶναι δὲ τὸ σύνταγμα [k] χρη-

[m] διεξῆλθε] ἐξέλεξε e. k. l.
[n] Δημοσθένους] τοῦ δημοσθένους c.
[o] Πελοποννήσου] πελοπωνήσου g. h. k. m.
[p] εἰς om. g.
[q] Φίλιππον] φιλίππου e.
[r] ὅσον] πόσον c. πόσον h.
[s] τὰς—τετταράκοντα om. e. k. l.
[t] πεζὴν e. l. ceteri πεζικήν.
[u] καὶ sumpsi ab e. k. l.
[x] ὥστε e. k. l. ceteri ὡς.
[y] πράττειν] πράξειν pr. f.
[z] παρεκάλει] παρακαλεῖ e. k. l.
[a] πάνυ om. e. l.
[b] ὑπερεπήνει] ἐπήνει a.
[c] τό τε a. e. g. k. l. m. n. ceteri καὶ τό.
[d] δ' om. a.
[e] ἐκ Πελοποννήσου a. e. g. k. l. m. n. ceteri εἰς πελοπόννησον.
[f] ἣν om. c.
[g] τῶν λόγων] τοῦ λόγου e. k. l.
[h] Ἀκαρνᾶνας] καρνᾶνας a. ἀκαρνανίτας c. d.
[i] συντεταγμ. ἐπὶ Φίλ.] ἐπὶ φίλ. συντεταγμ. g.
[k] χρημάτων] χρήματα e.

μάτων μὲν εἰς ἑκατὸν [l] νεῶν ταχυναυτουσῶν πληρώματα καὶ εἰς πεζοὺς στρατιώτας μυρίους καὶ [m] ἱππέας χιλί- 30
98 ους, ὑπάρξειν δὲ πρὸς τούτοις [n] καὶ [o] τὰς πολιτικὰς δυνάμεις, ἐκ Πελοποννήσου μὲν [p] πλείονας ἢ [q] δισχιλίους ὁπλίτας, ἐξ Ἀκαρνανίας δὲ ἑτέρους τοσούτους· [r] δεδόσθαι δὲ [s] ἀπὸ πάντων τούτων τὴν ἡγεμονίαν [t] ὑμῖν· [u] πραχθήσεσθαι δὲ [x] ταῦτα οὐκ εἰς μακρὰν ἀλλ' εἰς τὴν ἔκτην ἐπὶ δέκα τοῦ ἀνθεστηριῶνος μηνός· εἰρῆσθαι [y] γὰρ [z] ἐν ταῖς πόλεσιν [a] ὑφ' ἑαυτοῦ καὶ παρηγγέλθαι πάντας ἥκειν 35
99 [b] συνεδρεύσοντας Ἀθήναζε εἰς τὴν [c] πανσέληνον. καὶ γὰρ τοῦτο [d] ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν ποιεῖ. οἱ μὲν γὰρ ἄλλοι ἀλαζόνες ὅταν τι ψεύδωνται, ἀόριστα καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον· Δημοσθένης δ' ὅταν ἀλαζονεύηται, πρῶτον μὲν μεθ' ὅρκου ψεύδεται, ἐξώλειαν [e] ἐπαρώμενος [f] ἑαυτῷ, δεύτερον δέ, ἃ [g] εὖ οἶδεν οὐδέποτε ἐσόμενα, τολμᾷ λέγειν [h] ἀριθμῶν [i] εἰς ὁπότ' ἔσται, καὶ ὧν τὰ σώματα οὐχ ἑώρακε, τούτων τὰ ὀνό- 40
ματα λέγει, κλέπτων τὴν ἀκρόασιν καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας. διὸ καὶ [k] σφόδρα ἄξιός ἐστι μισεῖσθαι, [l] ὅτι πονηρὸς ὢν καὶ τὰ τῶν χρηστῶν σημεῖα [m] δια-
100 φθείρει. ταῦτα δ' εἰπὼν δίδωσιν ἀναγνῶναι ψήφισμα

[l] νεῶν ταχυν. πλην.] πλην. νεῶν ταχυν. a.
[m] ἱππέας e. k. l. ceteri ἱππεῖς.
[n] καὶ om. c. d. f. h.
[o] τὰς om. n.
[p] πλείονας] πλέον e. k. l.
[q] δισχιλίους] δισμυρίους k. l.
[r] δεδόσθαι] διδόσθαι c.
[s] ἀπὸ πάντων] ἁπάντων e. l.
[t] ὑμῖν om. a. n. et pr. f. g. m.
[u] πραχθήσεσθαι] πραχθήσεται c. e. k. l.
[x] ταῦτα] αὐτὰ a. d. g. h. m. n.
[y] γὰρ] δὲ e. l.
[z] ἐν om. g.
[a] ὑφ' ἑαυτοῦ e. k. l. ceteri ὑπ' αὐτοῦ.
[b] συνεδρεύσοντας] συνεδρεύσαντας c. d. f.
[c] πανσέληνον] σελήνην editi præter Stephan.
[d] ἄνθρωπος] ἀνθρώπων a. g. m. n.
[e] ἐπαράμενος] ἐπαρωσάμενος c.
[f] ἑαυτῷ a. e. vulg. αὑτῷ.
[g] εὖ om. e. k. l.
[h] ἀριθμῶν om. e. g. k. l. m. n.
[i] εἰς ὁπότ'] εἴπατ' e.
[k] σφόδρα e. k. l. ceteri μάλιστα.
[l] ὅτι] εἰ vel ἢ pr. f.
[m] διαφθείρει] φθείρει e. k. l.

τῷ γραμματεῖ μακρότερον μὲν τῆς Ἰλιάδος, [n] κενώτερον δὲ τῶν λόγων οὓς [o] εἴωθε λέγειν καὶ τοῦ βίου ὃν βεβίωκε, μεστὸν δ' ἐλπίδων οὐκ ἐσομένων καὶ στρατοπέδων οὐδέ- 68
ποτε συλλεγησομένων. ἀπαγαγὼν δ' ὑμᾶς [p] ἄποθεν ἀπὸ τοῦ κλέμματος καὶ ἀνακρεμάσας [q] ἀπὸ τῶν ἐλπίδων, [r] ἐνταῦθα δὴ συστρέψας γράφει [s] κελεύων ἐλέσθαι πρέσβεις εἰς Ἐρέτριαν, οἵτινες δεήσονται τῶν [t] Ἐρετριέων (πάνυ γὰρ ἔδει [u] δεηθῆναι) μηκέτι διδόναι τὴν σύνταξιν [x] ὑμῖν τὰ πέντε τάλαντα ἀλλὰ Καλλίᾳ, καὶ πάλιν ἑτέρους [y] αἱρεῖσθαι εἰς Ὠρεὸν πρὸς τοὺς Ὠρείτας πρέσβεις, οἵτινες [z] δεήσονται τὸν αὐτὸν [a] Ἀθηναίοις [b] φίλον καὶ ἐχθρὸν νομί-
101 ζειν εἶναι. ἔπειτα ἀναφαίνεται περὶ [c] ἁπάντων [d] ἐν τῷ ψηφίσματι πρὸς τῷ κλέμματι γράψας [e] καὶ τὰ πέντε τάλαντα τοὺς πρέσβεις [f] ἀξιοῦν τοὺς Ὠρείτας μὴ [g] ὑμῖν ἀλλὰ Καλλίᾳ διδόναι. Ὅτι δ' [h] ἀληθῆ λέγω, ἀφελὼν τὸν κόμπον καὶ τὰς τριήρεις καὶ [i] τὴν ἀλαζονείαν [k] ἀνάγνωθι καὶ [l] τοῦ κλέμματος ἄψαι, ὃ [m] ὑφείλετο ὁ μιαρὸς καὶ ἀνόσιος ἄνθρωπος, ὃν [n] φησι Κτησιφῶν [o] καὶ ἐν τῷδε

[n] κενώτερον] κενότερον n. καινότερον a. d. f. g. h. k. m.
[o] εἴωθε] εἰώθει e.
[p] ἄποθεν] ἄπωθεν a. f.
ἀπὸ
[q] ἐπὶ h. ἐπὶ c. d. f.
[r] ἐνταῦθα δὴ] ἐνταῦθ' ἤδη e. k. l.
[s] κελεύων] καὶ κελεύει e. k. l.
[t] Ἐρετριέων] ἐρετρίων n.
[u] δεηθῆναι] δεηθῆναι αὐτῶν c. d. f. h.
[x] ὑμῖν] ἡμῖν c. d. f. g. h. k. m. n.
[y] αἱρεῖσθαι] αἱρήσεται e. k. l.
[z] δεήσονται] δεήσονται αὐτοῖς a. c. d. f. g. h. m. n. δεήσονται καὶ αὐτοὶ Helmstad.
οὓς
[a] Ἀθηναίοις] ἀθηναίους h. ἀθηναίους a. g. m.
[b] φίλον] καὶ φίλον e. k. l.
[c] ἁπάντων] πάντων e. k. l.
[d] ἐν e. k. l. ceteri ἐπί.
[e] καὶ om. a. d. f.
[f] ἀξιοῦν e. k. l. ἀξιῶν h. ὅσους ἀξιοῦν margo g. m. ceteri ἀξιῶν.
[g] ὑμῖν] ἡμῖν omnes.
[h] ἀληθῆ λέγω] λέγω ἀληθῆ e.
[i] τὴν ἀλαζονείαν] τὰς ἀλαζονείας e. k. l.
[k] ἀνάγνωθι] ἐκ τοῦ ψηφίσματος ἀνάγνωθι c. d. f. h.
[l] τοῦ] ἀπὸ τοῦ c. e. h. k. l.
[m] ἐφείλατο f.
[n] φησι om. a.
[o] καὶ ante ἐν om. e. k. l.

τῷ ψηφίσματι διατελεῖν λέγοντα καὶ πράττοντα τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων.

[p] ΨΗΦΙΣΜΑ.

102 Οὐκοῦν τὰς [q] μὲν τριήρεις καὶ τὴν πεζὴν [r] στρατιὰν [s] καὶ τὴν πανσέληνον καὶ τοὺς συνέδρους [t] λόγῳ ἠκούσατε, τὰς δὲ συντάξεις τῶν συμμάχων, τὰ δέκα τάλαντα, ἔργῳ ἀπωλέσατε.

103 Ὑπόλοιπον δέ [u] μοί ἐστιν εἰπεῖν ὅτι λαβὼν [x] τρία τάλαντα μισθὸν τὴν γνώμην ταύτην ἔγραψε Δημοσθένης, τάλαντον μὲν ἐκ Χαλκίδος [y] παρὰ Καλλίου, τάλαντον δ' ἐξ Ἐρετρίας παρὰ Κλειτάρχου τοῦ τυράννου, τάλαντον δὲ ἐξ Ὠρεοῦ, διὸ καὶ καταφανὴς ἐγένετο, δημοκρατουμένων τῶν Ὠρειτῶν καὶ πάντα πραττόντων μετὰ ψηφίσματος. ἐξανηλωμένοι γὰρ ἐν τῷ [z] πρὸς Φίλιππον πολέμῳ καὶ παντελῶς ἀπόρως διακείμενοι πέμπουσι πρὸς αὐτὸν Γνωσίδημον τὸν [a] Χαριγένους υἱὸν τοῦ δυναστεύσαντός ποτε ἐν Ὠρεῷ, δεησόμενον [b] αὐτοῦ τὸ μὲν τάλαντον [c] ἀφεῖναι τῇ πόλει, [d] ἐπαγγελούμενον δ' αὐτῷ

104 χαλκῆν εἰκόνα [e] σταθήσεσθαι [f] ἐν Ὠρεῷ. ὁ δὲ ἀπεκρίνατο τῷ [g] Γνωσιδήμῳ ὅτι ἐλαχίστου χαλκοῦ οὐδὲν δέοιτο, τὸ δὲ τάλαντον διὰ τοῦ Καλλίου [h] εἰσπράττειν. ἀναγκαζόμενοι δὲ οἱ Ὠρεῖται καὶ οὐκ εὐπορούντες ὑπέθεσαν αὐτῷ

[p] ΨΗΦΙΣΜΑ] ψηφίσματα c.g.m.

[q] μὲν om. f. h.

[r] στρατιὰν] στρατείαν a. c. d. f. g. h. m. n.

[s] καὶ τὴν πανσ. καὶ τοὺς συνέδρους] καὶ τοὺς συνέδρους καὶ τὴν πανσ. a.

[t] λόγῳ om. a.

[u] μοί ἐστιν εἰπεῖν] εἰπεῖν ἐστί μοι e. k. l.

[x] τρία] δέκα a. g. m. n.

[y] παρὰ] περὶ m. n.

[z] [πρὸς Φίλιππον] om. a. e. k. l. supra versum ponit h. in margine f.

[a] Χαριγένους] χαιρεγένους e. k. l.

[b] αὐτοῦ om. e. k. l.

[c] ἀφεῖναι e. k. l. ceteri ἀφιέναι.

[d] ἐπαγγελούμενον Stephanus. ἐπαγγελόμενον d. m. n. ceteri ἐπαγγελλόμενον.

[e] σταθήσεσθαι] στήσεσθαι h. στῆσεσθαι c. d.

[f] ἐν Ὠρεῷ om. pr. f.

[g] Γνωσιδήμῳ] γνησιδήμῳ h.

[h] εἰσπράττειν] εἰσέπραττεν e. k. l.

τοῦ ταλάντου τὰς [i] δημοσίας προσόδους, καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν. καὶ [k] ταῦτ' ἐπράχθη μετὰ ψηφίσματος τοῦ δήμου. [l] Ὅτι δὲ τἀληθῆ λέγω, λάβε μοι τὸ ψήφισμα [m] τῶν [n] Ὠρειτῶν.

ΨΗΦΙΣΜΑ.

105 Τοῦτ' ἐστὶ τὸ ψήφισμα, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχύνη μὲν τῆς πόλεως, ἔλεγχος δὲ οὐ μικρὸς τῶν Δημοσθένους πολιτευμάτων, φανερὰ δὲ κατηγορία [o] Κτησιφῶντος· τὸν γὰρ οὕτως αἰσχρῶς δωροδοκοῦντα οὐκ [p] ἔστιν ἄνδρα γεγονέναι ἀγαθόν, [q] ἃ τετόλμηκεν οὗτος [r] γράψαι ἐν τῷ ψηφίσματι.

106 Ἐνταῦθ' ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλλον δ' ὁ πάντων πικρότατος χρόνος, ἐν ᾧ Δημοσθένης ἀπώλεσε τὰς τῶν Ἑλλήνων καὶ τῆς πόλεως πράξεις ἀσεβήσας μὲν [s] εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, ἄδικον δὲ καὶ οὐδαμῶς ἴσην [t] τὴν πρὸς Θηβαίους συμμαχίαν [u] γράψας. [x] ἄρξομαι [y] δὲ ἀπὸ τῶν εἰς [z] τοὺς θεοὺς [a] αὐτοῦ πλημμελημάτων λέγειν.

107 Ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ Κιρραῖον ὠνομασμένον πεδίον καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος. [b] ταύτην ποτὲ τὴν χώραν κατῴκησαν Κιρ-

[i] δημοσίας] δημοσίους h.
[k] ταῦτ'] πάντ' a. c. g. m. n.
[l] Ὅτι—τὸ ψήφισμα om. e. l.
[m] τῶν] τοῦ k.
[n] Ὠρειτῶν] ὠρειτῶν. τὸ ψήφισμα λέγε γραμματεῦ l.
[o] Κτησιφῶντος] τοῦ κτησιφῶντος a. g. m. n.
[p] ἔστιν] ἔνεστιν e. f. g. k. l. m. n.
[q] ἃ] ὃ c.
[r] γράψαι post ψηφίσματι ponunt e. k. l. γράψας c. f.
[s] εἰς om. pr. l.
[t] τὴν om. n.
[u] γράψας om. n.
[x] ἄρξομαι] ἄρχομαι k. l. ἐνάρξομαι n.
[y] δὲ om. a.
[z] τοὺς om. e. k. l.
[a] αὐτοῦ πλημμ.] πλημμ. αὐτοῦ e. k. l.
[b] ταύτην] καὶ ταύτην g. m. n.

ραῖοι καὶ [d] Ἀκραγαλλίδαι, γένη παρανομώτατα, οἱ εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς [e] καὶ [f] τὰ ἀναθήματα [g] ἠσέβουν, ἐξημάρτανον δὲ καὶ εἰς τοὺς [h] Ἀμφικτύονας. ἀγανακτήσαντες δ' ἐπὶ τοῖς [i] γινομένοις μάλιστα μέν, ὡς [k] λέγονται, [l] οἱ πρόγονοι οἱ ὑμέτεροι, [m] ἔπειτα καὶ οἱ ἄλλοι Ἀμφικτύονες μαντείαν ἐμαντεύσαντο παρὰ τῷ θεῷ, τίνι χρὴ
108 τιμωρίᾳ τοὺς ἀνθρώπους τούτους μετελθεῖν. καὶ αὐτοῖς ἀναιρεῖ ἡ Πυθία πολεμεῖν Κιρραίοις καὶ Ἀκραγαλλίδαις πάντ' ἤματα καὶ πάσας νύκτας, καὶ τὴν χώραν [n] αὐτῶν ἐκπορθήσαντας καὶ [o] αὐτοὺς [p] ἀνδραποδισαμένους ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Πυθίῳ καὶ [q] Ἀρτέμιδι καὶ Λητοῖ 69
καὶ Ἀθηνᾷ [r] Προνοίᾳ ἐπὶ πάσῃ ἀεργίᾳ, καὶ ταύτην τὴν χώραν μήτ' αὐτοὺς ἐργάζεσθαι μήτ' [s] ἄλλον ἐᾶν. λαβόντες δὲ τὸν [t] χρησμὸν οἱ Ἀμφικτύονες ἐψηφίσαντο Σόλωνος εἰπόντος Ἀθηναίου τὴν γνώμην, ἀνδρὸς καὶ νομοθετῆσαι δυνατοῦ καὶ περὶ ποίησιν καὶ [u] φιλοσοφίαν διατετριφότος, ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς κατὰ τὴν μαντείαν
109 τοῦ θεοῦ· καὶ συναθροίσαντες δύναμιν [x] ἱκανὴν [y] τῶν Ἀμφικτυόνων ἐξηνδραποδίσαντο τοὺς ἀνθρώπους καὶ [z] τὸν λιμένα [a] ἔχωσαν καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν καὶ

[d] Ἀκραγαλλίδαι] ἀκραγγαλλίδαι h.

[e] καὶ] κατὰ d.

[f] περὶ ante τὰ om. a. d. f. h. m. n. τὰ om. e. k. l.

[g] ἠσέβουν] ἐβλασφήμουν a.

[h] Ἀμφικτύονας] ἀμφικτύονας γυναῖκας δὲ ἥρπαζον καὶ ἐλήστευον g. et margo h. m.

[i] γινομένοις e. k. l. γεγενημένοις a. ceteri γενομένοις.

[k] λέγονται] λέγεται a. g. m. n.

[l] οἱ πρόγονοι οἱ ὑμέτεροι] οἱ πρόγονοι οἱ ἡμέτεροι c. d. f. οἱ ἡμέτεροι πρόγονοι h. οἱ πρόγονοι a.

[m] ἔπειτα] ἔπειτα δὲ a. g. m. n.

[n] αὐτῶν] αὐτῶν καὶ τὴν πόλιν e. k. l.

[o] αὐτοὺς] τοὺς d.

[p] ἀνδραποδισαμένους] ἀνδραποδισμένους h. ἠνδραποδισμένους e. k. l.

[q] Ἀρτέμιδι] τῇ ἀρτέμιδι c. d. f. h.

[r] Προνοίᾳ] καὶ προνοίᾳ a.

[s] ἄλλον] ἄλλους e.

[t] χρησμὸν] χρησμὸν τοῦτον e. h. k. l.

[u] φιλοσοφίαν] σοφίαν a.

[x] ἱκανὴν] πολλὴν e. k. l.

[y] τῶν] ἐκ τῶν c. d. f. h.

[z] τὸν λιμένα e. k. l. ceteri τοὺς λιμένας.

[a] ἔχωσαν] om. e. k. l.

τὴν χώραν αὐτῶν [b] καθιέρωσαν κατὰ τὴν μαντείαν· καὶ ἐπὶ τούτοις ὅρκον ὤμοσαν ἰσχυρὸν μήτ' αὐτοὶ τὴν ἱερὰν γῆν [c] ἐργάσεσθαι μήτ' [d] ἄλλῳ [e] ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ [f] καὶ χειρὶ καὶ ποδὶ καὶ
110 πάσῃ δυνάμει. καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον [g] μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προστροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ, "εἴ τις τάδε" φησί "[h] παραβαίνοι ἡ πόλις ἢ ἰδιώ-
"της ἢ ἔθνος, ἐναγὴς" φησιν "ἔστω τοῦ Ἀπόλλωνος καὶ
"τῆς Ἀρτέμιδος καὶ Λητοῦς καὶ Ἀθηνᾶς [i] Προνοίας."
111 [k] καὶ [l] ἐπεύχεται αὐτοῖς [m] μήτε γῆν καρποὺς φέρειν, μήτε γυναῖκας [n] τέκνα τίκτειν γονεῦσιν ἐοικότα ἀλλὰ τέρατα, [o] μήτε βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι, ἦτταν δὲ [p] αὐτοῖς εἶναι πολέμου καὶ δικῶν καὶ [q] ἀγορῶν, καὶ ἐξώλεις εἶναι [r] καὶ αὐτοὺς καὶ οἰκίας καὶ γένος [s] τὸ [t] ἐκείνων. "καὶ
"μήποτε" φησὶν "ὁσίως [u] θύσαιεν [x] τῷ Ἀπόλλωνι μηδὲ
"τῇ Ἀρτέμιδι μηδὲ τῇ Λητοῖ [y] μηδ' Ἀθηνᾷ Προνοίᾳ,
112 "μηδὲ δέξαιντο [z] αὐτοῖς τὰ ἱερά." Ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ θεοῦ μαντείαν. ἀκούσατε [a] τῆς ἀρᾶς. ἀναμνήσθητε τῶν ὅρκων, οὓς [b] ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων [c] συνώμοσαν.

[b] καθιέρωσαν] ἀφιέρωσαν g.
[c] ἐργάσεσθαι] ἐργάσασθαι a. f. g. h. m. n. ἐργάζεσθαι e. k. l.
[d] ἄλλῳ] ἄλλο d. ἄλλον c.
[e] ἐπιτρέψειν] ἐπιτρέπειν e. k. l.
[f] καὶ χειρὶ—ἀρᾷ om. e. k. l.
[g] μόνον τὸν ὅρκον] τὸν ὅρκον μόνον g. m. n.
[h] παραβαίνοι] παραβαίνη d. παραβαίνοι n.
[i] Προνοίας] καὶ προνοίας a.
[k] καὶ om. l.
[l] ἐπεύχεται] ἐπεύχεσθαι e. k. l.
[m] μήτε] μηδὲ d. f. m. n.
[n] τέκνα τίκτειν] τίκτειν τέκνα e. l.
[o] μήτε] μηδὲ a. c. d. e. f. h. k. l. m.
[p] αὐτοῖς εἶναι] εἶναι αὐτοῖς e. k. l.
[q] ἀγορῶν] ἀγορᾶς e. k. l.
[r] καὶ post εἶναι om. e. l.
[s] τὸ om. e. k. l.
[t] ἐκείνων] οἰκείων e. l.
[u] θύσαιεν] θύσειεν e. h. l. θύσαι ἡ.
[x] τῷ Ἀπόλλωνι] μηδὲ τῷ ἀπόλλωνι n. om. d.
[y] μηδ'] μήτε τῇ e. l. μήτε k.
[z] αὐτοῖς] αὐτῶν a. c. e. g. k. l. n.
[a] τῆς ἀρᾶς] τὰς ἀρὰς pr. f.
[b] ὑμῶν] ἡμῶν d.
[c] συνώμοσαν] ὤμοσαν k.

[d]ΜΑΝΤΕΙΑ.

οὐ πρὶν [c]τῆσδε πόλιος [f]ἐρείψετε πύργον ἐλόντες,
πρίν [g]γε θεοῦ τεμένη κυανώπιδος Ἀμφιτρίτης
κῦμα [h]ποτικλύζῃ [i]κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς.

ΟΡΚΟΙ. ΑΡΑ.

113 Ταύτης τῆς ἀρᾶς καὶ τῶν ὅρκων καὶ τῆς μαντείας [k]γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν, οἱ Λοκροὶ οἱ [l]Ἀμφισσεῖς, μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν ἄνδρες παρανομώτατοι, ἐπειργάζοντο τὸ πεδίον, καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ [m]συνῴκισαν, καὶ τέλη τοὺς [n]καταπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς [o]πυλαγόρων ἐνίους χρήμασι
114 [p]διέφθειραν, ὧν εἷς [q]ἦν Δημοσθένης. χειροτονηθεὶς γὰρ ὑφ' [r]ὑμῶν [s]πυλαγόρας λαμβάνει [t]χιλίας δραχμὰς παρὰ τῶν [u]Ἀμφισσέων [x]τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι [y]ποιήσασθαι. διωμολογήθη δ' αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον [z]ἀποσταλήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς [a]εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ' ᾧτε [b]βοηθήσειν τοῖς [c]Ἀμφισσεῦσιν Ἀθήνηνσι κατὰ πάντα τρόπον· ὅθεν [d]ἔτι μᾶλ-

[d] ΜΑΝΤΕΙΑ om. a. μαντεία ὅρκοι ἀρά c. e. d. f. g. k. l. m. ἀραὶ καὶ ὅρκοι ἀθηναίων μετὰ τῶν ἀμφικτυόνων. λείπει. μαντεία h. Versus om. n.

[c] τῆσδε πόλιος] δὲ πόλιος a.

[f] ἐρείψετε] ἐρίψετε k. l. m. ἐρρίψετε e. ἐρίψατε h.

[g] γε] τε k. om. e. l.

[h] ποτικλύζῃ] πυτικλύζει e. k. l. περικλύζῃ g.

[i] κελαδοῦν] κελάδον c. d. f. l. κέλαδον e. g. h. k. n. κέλαδος a.

[k] γενομένης] γε a. g. m. n. om. l.

[l] Ἀμφισσεῖς] ἀμφισεῖς a. ἀμφίσσης k.

[m] συνῴκισαν] συνῴκησαν d.

[n] καταπλέοντας] παραπλέοντας c. d. f.

[o] πυλαγόρων] πυλαγόρῶν n. πυλαγορῶν d.

[p] διέφθειραν] διέφθειρον k.

[q] ἦν om. g. m. n.

[r] ὑμῶν] ἡμῶν e.

[s] πυλαγόρας] πυλάγορος pr. f.

[t] χιλίας] δισχιλίας e. h. k. l.

[u] Ἀμφισσέων] ἀμφισέων a.

[x] τοῦ] ὑπὲρ τοῦ a. c. d. f. g. m. n.

[y] ποιήσασθαι] ποιεῖσθαι e. h. k. l.

[z] ἀποσταλήσεσθαι] ἀποστέλλεσθαι e. h. k. l.

[a] εἴκοσι] εἴκοσιν ἐκ e. h. k. l.

[b] βοηθήσειν] βοηθήσει c. d.

[c] Ἀμφισσεῦσιν] ἀμφισεῦσιν a.

[d] ἔτι] om. a. d. g. m. n.

λον ἢ πρότερον συμβέβηκεν αὐτῷ, ὅτου ἂν προσάψηται [e] ἀνδρὸς [f] ἢ ἰδιώτου ἢ δυνάστου ἢ πόλεως δημοκρατουμένης,
115 τούτων ἑκάστους ἀνιάτοις [g] κακοῖς [h] περιβάλλειν. σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην, [i] ὅσῳ περιεγένετο τῆς τῶν [k] Ἀμφισσέων ἀσεβείας. ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος, ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου, [l] πυλαγόρους ὑμεῖς εἵλεσθε Μειδίαν τε ἐκεῖνον τὸν [m] Ἀνα-
γυράσιον, [n] ὃν ἐβουλόμην ἂν πολλῶν [o] ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν [p] ἐξ Οἴου, καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ. συνέβη [q] δ' ἡμῖν ἀρτίως μὲν εἰς Δελφοὺς ἀφῖχθαι, παραχρῆμα δὲ [r] τὸν ἱερομνήμονα Διόγνητον πυρέττειν· τὸ δ' αὐτὸ τοῦτο [s] συμπεπτώκει καὶ τῷ Μειδίᾳ. οἱ δ' ἄλλοι
116 συνεκάθηντο [t] Ἀμφικτύονες. ἐξηγγέλλετο δ' ἡμῖν παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ
[u] Ἀμφισσεῖς ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες τοὺς Θηβαίους εἰσέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως, πεντήκοντα [x] ταλάντοις ζημιῶσαι τὸν δῆμον [y] τὸν Ἀθηναίων, ὅτι [z] χρυσᾶς ἀσπίδας [a] ἀνέθεμεν [b] πρὸς τὸν καινὸν νεὼν πρὶν [c] ἐξειργάσθαι, καὶ ἐπεγράψαμεν τὸ προσῆκον ἐπίγραμμα "Ἀθηναῖοι ἀπὸ Μήδων [d] καὶ Θη-

[e] ἀνδρὸς] ἢ ἀνδρὸς e. h. k. l.
[f] ἢ post ἀνδρὸς om. a.d.f.g.m.n.
[g] κακοῖς] συμφοραῖς e. h. k. l.
[h] περιβάλλειν] ἐπιβάλλειν a.
[i] ὅσῳ] ᾧ ὅσω c. ᾧ d.f. ὡς a.g.m.n.
[k] Ἀμφισσέων] ἀμφισέων a.
[l] πυλαγόρους] πυλαγόρας c. h.
[m] Ἀναγυράσιον] ἀναγιβράσιον d.f. ἀγυρράσιον k. l. ἀγυρρώσιον h.
[n] ὃν] ὧν n.
[o] ἕνεκα] ἕνεκεν a. g. m. n.
[p] ἐξ Οἴου e.h.k.l. ceteri Λέσβιον.
[q] δ'] δὴ e. k. l.
[r] τὸν om. a. g. m. n.
[s] συμπεπτώκει e. h. l. ceteri συνεπεπτώκει.
[t] Ἀμφικτύονες] ἀμφικτυόνες a. c. qui ita solent.
[u] Ἀμφισσεῖς] ἀμφισσῆς k. ἀμφισεῖς a.
[x] ταλάντοις] τάλαντα e. h.
[y] τὸν Ἀθηναίων f. ceteri τῶν Ἀθηναίων.
[z] χρυσᾶς] τὰς χρυσᾶς c. d. f. et γρ. h. m.
[a] ἀνέθεμεν] ἀνέθεκεν l.
[b] πρὸς] εἰς e. h. l.
[c] ἐξειργάσθαι] ἐξαράσασθαι e. l. ἐξαρέσασθαι k. ἐξάρασθαι h.
[d] καὶ Θηβαίων om. l.

" βαίων ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο." μεταπεμψάμενος δ' [c]ἐμὲ ὁ ἱερομνήμων ἠξίου εἰσελθεῖν εἰς τὸ συνέδριον καὶ [f]εἰπεῖν τι πρὸς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς
117 πόλεως, καὶ αὐτὸν [g]οὕτω [h]προῃρημένον. ἀρχομένου δέ μου λέγειν καὶ προθυμότερόν πως εἰσεληλυθότος εἰς τὸ συνέδριον, τῶν ἄλλων [i]πυλαγόρων [k]μεθεστηκότων, ἀναβοήσας τις [l]τῶν Ἀμφισσέων, ἄνθρωπος ἀσελγέστατος καὶ (ὡς ἐμοὶ ἐφαίνετο) οὐδεμιᾶς παιδείας μετεσχηκώς, ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν [m]αὐτὸν προαγομένου, " [n]ἀρχὴν δέ [o]γε" ἔφη " [p]ὦ ἄνδρες Ἕλληνες, εἰ " [q]ἐσωφρονεῖτε, οὐδ' ἂν [r]ὠνομάζετε [s]τοὔνομα τοῦ δήμου " [t]τοῦ Ἀθηναίων ἐν ταῖσδε ταῖς ἡμέραις, ἀλλ' ὡς ἐνα-
118 " γεῖς [u]ἐξείργετ' ἄν, ἐκ τοῦ ἱεροῦ." ἅμα δὲ ἐμέμνητο τῆς [x]τῶν Φωκέων συμμαχίας, ἣν ὁ [y]Κρώβυλος ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ κατὰ τῆς πόλεως διεξῄει [z]λέγων, ἃ [a]ἐγὼ οὔτε τότ' ἐκαρτέρουν ἀκούων οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν. ἀκούσας δὲ οὕτω παρωξύνθην ὡς οὐδεπώποτ' ἐν τῷ ἐμαυτοῦ βίῳ. καὶ τοὺς [b]μὲν ἄλλους λόγους ὑπερβήσομαι· [c]ἐπῆλθε δ' [d]οὖν μοι

[c] ἐμὲ] με c.e.h.k.l. ceteri om.

[f] εἰπεῖν—συνέδριον om. e.k.l. in ima pagina ponit h.

[g] οὕτω] οὔπω m. n.

[h] προῃρημένον] προειρημένον a. προῃρημένων ποιεῖν g.

[i] πυλαγόρων] πυλαγορῶν e. l.

[k] μεθεστηκότων] καθεστηκότων h. l. et correctus g. et γρ. m.

[l] τῶν Ἀμφισσέων ἄνθρωπος] ἄνθρωπος τῶν ἀμφισέων a.

[m] αὐτὸν om. e. k. l.

[n] ἀρχὴν] ἀρχὴ d. f.

[o] γε om. g. m. n.

[p] ἄνδρες om. a.

[q] ἐσωφρονεῖτε] ἐφρονεῖτε e.

[r] ὠνομάζετε e. d. f. h. k. l. ὀνομάζετε c. ceteri ἀνομάζετο.

[s] τοὔνομα] ὄνομα h. l.

[t] τοῦ Ἀθηναίων e. k. ceteri τῶν ἀθηναίων.

[u] ἐξείργετ' ἄν e.h.k.l. ἐξήγετε g. ceteri ἐξήγετε.

[x] τῶν om. pr. h.

[y] Κρώβυλος] κρωβύλος g. n. κρωβύλος k. κροβύλης h. κροβύλης e. l.

[z] λέγων om. e. h. k.

[a] ἐγὼ om. d. f.

[b] μὲν post ἄλλους ponunt g. m. n. ἐπὶ μὲν l. qui lacunam habet pro ὑπερβήσομαι.

[c] ἐπῆλθε] ἐπήει e. h. k. l. et γρ. g. m.

[d] οὖν om. a. g. m. n.

ἐπὶ τὴν γνώμην μνησθῆναι τῆς τῶν [e]Ἀμφισσέων [f]περὶ
[g]τὴν γῆν τὴν ἱερὰν [h]ἀσεβείας, καὶ αὐτόθεν ἑστηκὼς
ἐδείκνυον τοῖς Ἀμφικτύοσιν· [i]ὑπόκειται γὰρ τὸ Κιρ-
119 ραῖον πεδίον τῷ ἱερῷ καὶ ἔστιν [k]εὐσύνοπτον. "ὁρᾶτ'," ἔφην ἐγώ, "ὦ [l]ἄνδρες Ἀμφικτύονες, ἐξειργασμένον
" [m]τουτὶ τὸ πεδίον ὑπὸ τῶν [n]Ἀμφισσέων καὶ [o]κεραμεῖα
" ἐνῳκοδομημένα καὶ [p]αὔλια· ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν
" ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον· ἴστε τού-
" τους αὐτοί (καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων) τέλη πε-
" πραχότας καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λι-
" μένος." [q]ἅμα δὲ ἀναγινώσκειν ἐκέλευον αὐτοῖς τὴν
μαντείαν τοῦ θεοῦ, τὸν ὅρκον τῶν προγόνων, τὴν ἀρὰν τὴν
120 γενομένην, καὶ [r]διωριζόμην ὅτι "ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου
" [s]τοῦ Ἀθηναίων καὶ τοῦ σώματος καὶ [t]τῶν τέκνων καὶ
" οἰκίας τῆς ἐμαυτοῦ βοηθῶ κατὰ [u]τὸν ὅρκον καὶ τῷ θεῷ
" καὶ τῇ γῇ τῇ ἱερᾷ [x]καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ
" πᾶσιν οἷς [y]δύναμαι, καὶ τὴν πόλιν τὴν [z]ἡμετέραν τὰ
" πρὸς τοὺς θεοὺς ἀφοσιῶ· ὑμεῖς δ' ὑπὲρ ὑμῶν αὐτῶν ἤδη
" [a]βουλεύεσθε. ἐνῆρχται μὲν τὰ [b]καινᾶ, [c]παρέστηκε δὲ
" [d]τοῖς βωμοῖς τὰ θύματα, μέλλετε δ' [e]αἰτεῖν τοὺς

[e] Ἀμφισσέων] ἀμφισέων a.
[f] περὶ e. h. k. l. ceteri ἐπί.
[g] τὴν γῆν τὴν ἱερὰν] τὴν ἱερὰν γῆν c. d. e. f. h. k. l.
[h] ἀσεβείας] παρανομίας h. k. l.
[i] ὑπόκειται] ὑπέρκειται a. ὑπέκειτο f. g. m. n.
[k] εὐσύνοπτον] ἀσύνοπτον n.
[l] ἄνδρες om. a.
[m] τουτὶ e. k. l. et correctus h. ceteri τοῦτο.
[n] Ἀμφισσέων] ἀμφισέων a.
[o] κεραμεῖα] κεράμεια k. l. κεράμεία h. κεράμια e.
[p] αὔλια] αὐλία e. ἐπαύλια c. d. f.
[q] ἅμα] ἀλλὰ d.
[r] διωριζόμην] διοριζομένην e. h.
[s] τοῦ Ἀθηναίων a. e. g. k. l. m. n. ceteri τῶν Ἀθηναίων.
[t] τῶν om. e. h. k. l.
[u] τὸν προγόνων ὅρκον c. e. h. l. τὸν τῶν προγόνων ὅρκον k.
[x] καὶ ante χειρὶ om. e. h. k. l.
[y] δύναμαι] ἂν δύνωμαι e. h. k. l.
[z] ἡμετέραν] ὑμετέραν g. n.
[a] βουλεύεσθε] βουλεύσασθε c. d. f.
[b] καινᾶ] καινὰ e. h. l. κοινὰ a.
[c] παρέστηκε] παρέστη e. h. k. l.
[d] τοῖς β. τὰ θ.] τὰ θ. τοῖς β. e. h. k. l.
[e] αἰτεῖν τοὺς θεοὺς] τοῖς θεοῖς e. et rec. h. pr. enim om.

121 " θεοὺς [f]τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. σκοπεῖτε [g]δὴ
" [h]ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, [i]τίνα τόλμαν
" κτησάμενοι τὰς [k]ἱκεσίας [l]ποιήσεσθε, [m]τούτους παρέν-
" τες ἀτιμωρήτους τοὺς ἐναγεῖς καὶ [n]ταῖς ἀραῖς ἐνόχους.
" οὐ γὰρ δι' [o]αἰνιγμάτων ἀλλ' ἐναργῶς γέγραπται ἐν τῇ
" ἀρᾷ κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐ- 35
" τούς, καὶ κατὰ [p]τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν
" τῇ ἀρᾷ γέγραπται, [q]μηδ' [r]ὁσίως [s]θύσαιεν οἱ μὴ τιμω-
" ροῦντες, [t]φησί, τῷ Ἀπόλλωνι [u]μηδὲ τῇ Ἀρτέμιδι μηδὲ
" τῇ Λητοῖ [x]μηδ' Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐτῶν τὰ
122 " ἱερά." τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελ-
θόντος ἐμοῦ, ἐπειδή ποτε [y]ἀπηλλάγην καὶ μετέστην ἐκ
τοῦ συνεδρίου, κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφι- 40
κτυόνων, [z]καὶ ὁ λόγος ἦν οὐκέτι περὶ τῶν ἀσπίδων ἃς
ἡμεῖς ἀνεθεμεν, ἀλλ' ἤδη περὶ τῆς τῶν Ἀμφισσέων τιμω-
ρίας. ἤδη [a]δὲ πόρρω τῆς ἡμέρας οὔσης [b]προσελθὼν ὁ κή-
ρυξ [c]ἀνεῖπε, Δελφῶν ὅσοι ἐπὶ [d]διετὲς ἠβῶσι, καὶ δούλους
καὶ ἐλευθέρους, [e]ἥκειν ἅμα τῇ ἡμέρᾳ ἔχοντας [f]ἅμας καὶ

[f] τἀγαθὰ ante τοῖς θεοῖς ponit rec. h.
[g] δὴ] δὲ a. e. g. h. l. m. n.
[h] ποίᾳ φ. ποίᾳ ψ.] ποίᾳ ψ. ποίᾳ φ. a.
[i] τίνα] ποίαν e.
[k] ἱκεσίας] ἱκετείας e. h. k. οἰκετείας l.
[l] ποιήσεσθε] ποιήσησθε c. d. f.
[m] τούτους παρέντες] παρέντες τούτους e. h. k. l.
[n] ταῖς] τοὺς a. g. m. n.
[o] αἰνιγμάτων] αἰνιγμῶν e. k. l.
[p] τῶν post κατὰ om. e.
[q] μηδ'] μήποθ' d. μήθ' ceteri.
[r] ὁσίως] ὅσιον n.
[s] θύσαιεν] θύσειαν f. θύσιαν d. θύσειαν l. θύσομεν e.
[t] φησὶ post ὁσίως ponunt e. h. k. l.
[u] μηδὲ τῇ 'A. a. e. g. h. l. m. n. μηδὲ τῇ A. a. e. d. f. e. g. h. l. m. n. vulg. μήτε—μήτε.
[x] μηδ'] μηδὲ τῇ c.
[y] ἀπηλλάγην om. m.
[z] καὶ ὁ λόγος e. h. k. l. ceteri om. articulum.
[a] δὲ] γάρ.
[b] προσελθὼν] προελθὼν Marklandus.
[c] ἀνεῖπε] εἶπε a.
[d] διετὲς] δίετες f. διέταις l. διαίτᾶις h.
[e] ἥκειν] αὔριον ἥκειν g. ἥκειν αὔριον e. h. k. l.
[f] ἅμας] ἅμα c. e. l.

[g] δικέλλας πρὸς τὸ [h] θυτεῖον ἐκεῖ καλούμενον· καὶ πάλιν
ὁ αὐτὸς κῆρυξ [i] ἀνηγόρευε τοὺς ἱερομνήμονας καὶ [k] πυλα-
γόρους [l] ἥκειν εἰς τὸν αὐτὸν [m] τόπον βοηθήσοντας τῷ θεῷ 71
καὶ τῇ γῇ τῇ ἱερᾷ· "ἥτις δ' ἂν μὴ παρῇ πόλις, εἴρξε-
"ται τοῦ ἱεροῦ καὶ ἐναγὴς ἔσται καὶ τῇ ἀρᾷ ἔνοχος."
123 τῇ δὲ [n] ὑστεραίᾳ ἤκομεν [o] ἔωθεν εἰς τὸν προειρημένον τόπον,
καὶ κατέβημεν εἰς τὸ Κιρραῖον πεδίον, καὶ τὸν λιμένα
κατασκάψαντες καὶ τὰς οἰκίας ἐμπρήσαντες ἀνεχωροῦ-
μεν. [p] ταῦτα δὲ ἡμῶν πραττόντων οἱ Λοκροὶ οἱ Ἀμφισ- 5
σεῖς, ἑξήκοντα στάδια [q] ἄποθεν οἰκοῦντες Δελφῶν, [r] ἦκον
[s] ἐφ' [t] ἡμᾶς μεθ' ὅπλων [u] πανδημεί· καὶ εἰ μὴ δρόμῳ
[x] μόλις ἐξεφύγομεν εἰς Δελφούς, ἐκινδυνεύσαμεν [y] ἂν ἀπο-
124 λέσθαι. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ [z] Κόττυφος ὁ τὰς γνώμας ἐπι-
ψηφίζων ἐκκλησίαν ἐποίει τῶν Ἀμφικτυόνων· ἐκκλησίαν
γὰρ ὀνομάζουσιν, [a] ὅταν τις μὴ μόνον τοὺς πυλαγόρους καὶ
τοὺς ἱερομνήμονας συγκαλέσῃ, ἀλλὰ καὶ τοὺς [b] συνθύοντας 10
καὶ [c] χρωμένους τῷ θεῷ. [d] ἐνταῦθ' ἤδη πολλαὶ μὲν [e] τῶν
Ἀμφισσέων ἐγίνοντο κατηγορίαι, πολὺς δ' ἔπαινος [f] ἦν
κατὰ τῆς [g] ἡμετέρας πόλεως· τέλος δὲ παντὸς τοῦ λόγου

[g] δικέλλας] μακέλλας a.
[h] θυτεῖον] θύτειον d. f.
[i] ἀνηγόρευε] ἀναγορεύει e. h. k. l. ἀντηγόρευε c. d. f.
[k] πυλαγόρους] τοὺς πυλαγόρους e. k. τοὺς πυλαγόρας h. πυλαγόρους g.
[l] ἥκειν] ἅπαντας ἥκειν e. k. l.
[m] τόπον] τόπον τοῦτον e. h.
[n] ὑστεραίᾳ] ὑστεραίᾳ ἡμέρᾳ e. h. k. l.
[o] ἔωθεν] ἔσωθεν e. h. k. l.
[p] ταῦτα δὲ] καὶ ταῦτα e. h. k. l.
[q] ἄποθεν] ἄπωθεν a.
[r] ἦκον] ἦλθον e. h. k. l.
[s] ἐφ' e. h. k. l. vulg. πρός.
[t] ἡμᾶς om. n.
[u] πανδημεί] πανδημὶ e. h. k. l.
[x] μόλις om. d.
[y] ἂν om. a. c. d. f. g. m. n.
[z] Κόττυφος] κόττυλος d.
[a] ὅταν τις μὴ — συγκαλέσῃ e. h. k. l. ceteri ὅταν μὴ — συγκαλέσωσιν.
[b] συνθύοντας] θύοντας e. h. k. l.
[c] χρωμένους] τοὺς χρωμένους e. h. k. l.
[d] ἐνταῦθ'] ἐνταῦθα δ' a.
[e] τῶν Ἀμφισσέων ἐγίνοντο] ἐγίνοντο τῶν ἀμφ. a. g. m. n.
[f] ἦν om. n.
[g] ἡμετέρας] ὑμετέρας c. g. n.

ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης πυλαίας [h] ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, [i] ἔχοντας δόγμα καθ' ὅτι [k] δίκην δώσουσιν οἱ Ἀμφισσεῖς ὑπὲρ ὧν εἰς τὸν θεὸν καὶ τὴν γῆν τὴν ἱερὰν καὶ τοὺς Ἀμφικτύονας ἐξήμαρτον. Ὅτι δὲ ἀληθῆ λέγω, [l] ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

125 Τοῦ δόγματος [m] οὖν τούτου [n] ἀποδοθέντος ὑφ' [o] ἡμῶν τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ [p] τῷ δήμῳ, καὶ τὰς πράξεις ἡμῶν [q] ἀποδεξαμένου τοῦ δήμου καὶ τῆς πόλεως [r] πάσης προαιρουμένης εὐσεβεῖν, καὶ [s] Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος καὶ ἐμοῦ φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος, ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ἄνθρωπος οὐκ [t] ἠδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ βουλευτήριον [u] καὶ μεταστησάμενος τοὺς ἰδιώ-

126 τας ἐκφέρεται προβούλευμα εἰς τὴν ἐκκλησίαν, [x] προσλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν· τὸ δ' αὐτὸ τοῦτο καὶ [y] ἐν τῇ ἐκκλησίᾳ [z] διεπράξατο ἐπιψηφισθῆναι καὶ γενέσθαι [a] δήμου ψήφισμα [b] ἤδη ἐπαναστάσης τῆς ἐκκλησίας, ἀπεληλυθότος ἐμοῦ (οὐ γὰρ ἄν ποτε ἐπέτρεψα) καὶ τῶν [c] πολλῶν [d] διαφειμένων· οὗ τὸ κεφάλαιόν ἐστι "τὸν [e] δὲ

[h] ἐν τῷ ῥητῷ e. h. l.
[i] ἔχοντας] ἔχοντες a. m. n. ἔχοντάς τε c.
[k] δίκην h. k. l. ceteri δίκας.
[l] ἀναγνώσεται] ἀνάγνωθι e.
[m] οὖν] δὲ c. om. a. d. e. f. h. k. l.
[n] ἀποδοθέντος] ἀναγνωσθέντος e. h. k. l.
[o] ἡμῶν τῇ e. h. k. l. ceteri ἡμῶν ἐν τῇ.
[p] τῷ δήμῳ om. a.
[q] ἀποδεξαμένου om. d.
[r] πάσης] ἁπάσης e. h. k. l.
[s] Δημοσθένους] τοῦ δημοσθένους c. d.
[t] ἠδύνατο] ἐδύνατο d. e.
[u] καὶ om. e. h. k. l.
[x] προσλαβὼν] προβαλὼν h.
[y] ἐν om. g. m. n.
[z] διεπράξατο] διεγράψατο d. f.
[a] δήμου ψήφισμα] δήμῳ ψήφισμα a. τοῦ δήμου τὸ ψήφισμα c. d. f.
[b] ἤδη ἐπαναστάσης] ἐπ' ἀναστάσει e. h. k. l.
[c] πολλῶν] πλείστων h. k. l.
[d] διαφειμένων a. e. g. h. k. l. m. n. ceteri δὲ ἀφειμένων.
[e] δὲ om. a. e. g. h. k. l. m. n.

" ἱερομνήμονα" φησὶ " [f]τὸν Ἀθηναίων καὶ τοὺς [g]πυλα-
" γόρους τοὺς [h]ἀεὶ πυλαγοροῦντας [i]πορεύεσθαι εἰς Πύ-
" λας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ
" τῶν προγόνων," εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ
ἔργῳ [k]αἰσχρῶς· κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν Πύ-
λαις ἀπαντᾶν, [l]ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος ἔμελλε
127 χρόνου γίνεσθαι. καὶ πάλιν ἐν τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον [m]σύγγραμμα γράφει, " τὸν ἱερομνήμονα" φησὶ " τῶν Ἀθηναίων καὶ τοὺς
" [n]πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας μὴ μετέχειν τοῖς
" [o]ἐκεῖσε συλλεγομένοις [p]μήτε [q]λόγων μήτε ἔργων μήτε
" δογμάτων μήτε πράξεως μηδεμιᾶς." τὸ δὲ μὴ μετέχειν τί ἐστι; [r]πότερα τἀληθὲς εἶπω ἢ τὸ ἥδιστον ἀκοῦσαι; [s]τἀληθὲς ἐρῶ· τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον [t]οὑτωσὶ τὴν πόλιν [u]διατέθεικεν. οὐκ ἐᾷ μεμνῆσθαι τῶν ὅρκων, οὓς [x]ἡμῶν [y]οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς οὐδὲ τῆς τοῦ θεοῦ μαντείας.

128 Ἡμεῖς μὲν οὖν ὦ ἄνδρες Ἀθηναῖοι κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτύονες συνελέγησαν εἰς Πύλας πλὴν μιᾶς πόλεως, ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ [z]παραπλήσιοι γένοιντο [a]αὐτῆς μηδενὶ τῶν Ἑλλήνων. καὶ συνελθόντες ἐψηφί-

[f] τὸν Ἀθηναίων g. m. ceteri τῶν Ἀθηναίων.
[g] πυλαγόρους] πυλαγόρας h.
[h] ἀεὶ] εἰσαεὶ g. m. n.
[i] πορεύεσθαι—πυλαγόρους om. f.
[k] αἰσχρῶς] καὶ αἰσχρῶς n.
[l] ὃς] ὃς δ.
[m] σύγγραμμα] πρόσταγμα e. h. k. l. et γρ. g. m.
[n] πυλαγόρους d. e. ceteri πυλαγόρας.
[o] ἐκεῖσε e. h. k. l. ceteri ἐκεῖ.
[p] μήτε] μὴ a. c. d. f. g. m. n.
[q] λόγων—ἔργων—δογμάτων] λόγου—ἔργου—δόγματος e. h. k. l.
[r] πότερα] πότερον e. h. k. l.
[s] τἀληθὲς e. vulg. τὸ ἀληθές.
[t] οὑτωσὶ] οὕτω d. f.
[u] διατέθεικεν] διέθηκεν a.g.m.n. διατέθηκεν d.
[x] ἡμῶν omnes : vulg. ὑμῶν.
[y] οἱ πρόγονοι ὤμοσαν] ὤμοσαν οἱ πρόγονοι e. h. k. l.
[z] παραπλήσιοι] παραπλήσιαι c.
[a] αὐτῆς] αὐτοῖς l.

σαντο ἐπιστρατεύειν ἐπὶ [b] τοὺς Ἀμφισσέας, καὶ στρατη- 40
γὸν εἵλοντο Κόττυφον τὸν Φαρσάλιον τὸν τότε τὰς γνώμας
[c] ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίπ-
που, ἀλλ' οὐδ' [d] ἐν τῇ Ἑλλάδι [e] παρόντος, ἀλλ' ἐν Σκύ-
θαις οὕτω μακρὰν ἀπόντος· ὃν αὐτίκα [f] μάλα [g] τολμήσει
λέγειν Δημοσθένης ὡς ἐγὼ ἐπὶ τοὺς Ἕλληνας ἐπήγαγον.
129 καὶ παρελθόντες τῇ πρώτῃ [h] στρατείᾳ καὶ μάλα με- 72
τρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσιν· ἀντὶ γὰρ τῶν μεγί-
στων ἀδικημάτων χρήμασιν αὐτοὺς ἐζημίωσαν, καὶ ταῦτ'
ἐν ῥητῷ χρόνῳ [i] προεῖπον τῷ θεῷ καταθεῖναι, καὶ τοὺς μὲν
ἐναγεῖς καὶ τῶν πεπραγμένων αἰτίους μετεστήσαντο, τοὺς
δὲ δι' εὐσέβειαν [k] φυγόντας κατήγαγον. ἐπειδὴ δὲ [l] οὔτε
τὰ χρήματα ἐξέτινον τῷ θεῷ τούς τ' ἐναγεῖς κατήγαγον
καὶ τοὺς εὐσεβεῖς [m] κατελθόντας διὰ τῶν Ἀμφικτυόνων 5
[n] ἐξέβαλον, οὕτως ἤδη τὴν δευτέραν ἐπὶ τοὺς [o] Ἀμφισσέας
[p] στρατείαν ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον, [q] ἐπανελη-
λυθότος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας,
τῶν μὲν θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας [r] ἡμῖν παραδε-
δωκότων, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγεν-
ημένης.
130 Ἀλλ' οὐ προὔλεγον, οὐ προεσήμαινον [s] ἡμῖν οἱ θεοὶ φυ-
λάξασθαι, μόνον [t] γε οὐκ ἀνθρώπων φωνὰς προσκτησά-

[b] τοὺς om. h. l.
[c] ἐπιψηφίζοντα] ψηφίζοντα h. l.
[d] ἐν ante τῇ om. n.
[e] παρόντος] παρχόντος h. παριόντος e.
[f] μάλα] μάλιστα c. d. f.
[g] τολμήσει] τολμήσειε a. g. m. n.
[h] στρατείᾳ]] στρατιᾷ c. d. f.
[i] προεῖπον] προεῖπὼν h. k. l.
[k] φυγόντας] φεύγοντας e. h. k. l.
[l] οὔτε] οὐδὲ a. c. d. f. g. m. n.
[m] κατελθόντας] καὶ κατελθόντας e. k.
[n] ἐξέβαλον a. e. h. k. l. ἐξέβαλον εἰς χειρόνειαν g.
[o] Ἀμφισσέας] ἀμφισσεῖς a. c. d. f. g. m. n.
[p] στρατείαν ante ἐπὶ ponunt a. g. m. n.
[q] ἐπανεληλυθότος] ἐπανελθόντος c. d.
[r] ἡμῖν] ὑμῖν e. k.
[s] ἡμῖν om. e. h. k. l.
[t] γε om. a. d. f. g. m. n.

μενοι; οὐδεμίαν τοι πώποτε ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ μὲν τῶν θεῶν σωζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην. οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι, ἡ τῶν [u] μυστῶν [x] τελευτή; οὐ περὶ τούτων [y] Ἀμεινιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν θεὸν ὅ τι χρὴ πράττειν, Δημοσθένης δὲ ἀντέλεγε φιλιππίζειν τὴν Πυθίαν φάσκων, ἀπαίδευτος ὢν καὶ ἀπολαύων καὶ ἐμπιπλάμενος τῆς [z] διδομένης ὑφ' ὑμῶν αὐτῷ ἐξουσίας; οὐ τὸ τελευταῖον ἀθύτων καὶ ἀκαλλιερήτων [a] ὄντων τῶν ἱερῶν [b] ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον; καίτοι [c] γε πρώην [d] ἀπετόλμησε λέγειν ὅτι παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν [e] ἡμῶν εἰς τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά. τίνος οὖν [f] εἶ σὺ ζημίας ἄξιος τυχεῖν, ὦ τῆς Ἑλλάδος ἀλιτήριε; εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά, σὺ δ' οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι πρὶν καλλιερῆσαι τοὺς στρατιώτας ἐξέπεμψας, [g] πότερα στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις ἢ [h] ὑπερωρίσθαι;

132 [i] Τοιγάρτοι τί τῶν [k] ἀνελπίστων καὶ ἀπροσδοκήτων ἐφ' ἡμῶν οὐ γέγονεν; οὐ γὰρ βίον γε [l] ἡμεῖς [m] ἀνθρώπινον βε-

[u] μυστῶν] μισθῶν e. h. l.
[x] τελευτή] τελετή d. g. h. l.
[y] Ἀμεινιάδης] ἀμινιάδης c. f. ἀμηνιάδης d.
[z] διδομένης] δεδομένης e. g. h. k. l. δίδομένης m.
[a] ὄντων τῶν ἱερῶν] τῶν ἱερῶν ὄντων a. c. d. f. g. m. n.
[b] ἐξέπεμψε] ἐξέπεμπε g. m. n.
[c] γε πρώην] πρώην γε e. πρώην γέ ποτε h. k. l.
[d] ἀπετόλμησε] ἀπετόλμα e.h.k.l.
[e] ἡμῶν εἰς τὴν h. k. l. εἰς τὴν τῶν κρατουμένων e. ceteri ἡμῶν ἐπὶ τήν.
[f] εἶ σὺ ζημίας ἄξιος e. h. k. l. ζημίας εἶ c. ceteri ζημίας ἄξιος εἶ.
[g] πότερα] πότερον a.c.d.f.g.m.n.
[h] ὑπερωρίσθαι] ὑπεροριζεσθαι c. d.
[i] Τοιγάρτοι τί] τί γάρ τοι e. h. l.
[k] ἀνελπίστων καὶ om. e. h. k. l.
[l] ἡμεῖς om. pr. h.
[m] ἀνθρώπινον] ἀπανθρώπιον h. l.

βιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς [n] ἐσομένοις μεθ' ἡμᾶς ἔφυμεν. οὐχ ὁ [o] μὲν τῶν Περσῶν βασιλεύς, ὁ τὸν [p] Ἄθων διορύξας, [q] ὁ τὸν Ἑλλήσποντον ζεύξας, ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος μέχρι [r] δυομένου, νῦν οὐ περὶ τοῦ κύριος [s] ἑτέρων εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος [t] σωτηρίας; καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἳ καὶ τὸ [u] ἐν Δελφοῖς ἱερὸν ἠλευθέρωσαν; Θῆβαι δέ, [x] Θῆβαι, πόλις [y] ἀστυγείτων, μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, εἰ καὶ δικαίως, περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι, ἀλλὰ τήν γε [z] θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως ἀλλὰ δαιμονίως [a] κτησάμενοι. Λακεδαιμόνιοι δ' οἱ ταλαίπωροι, προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὑμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι, τοῦτο πεισόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρὶς ὅ τι ἂν ἐκείνῳ [b] δόξῃ, καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι [c] κριθησόμενοι. ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι παρ' [d] ἡμῶν τὴν σω-

[n] ἐσομένοις μεθ' ἡμᾶς] μεθ' ἡμᾶς ἐσομένοις h.k.l. μεθ' ἡμᾶς ἐσόμενοι e.
[o] μὲν τῶν] τῶν μὲν a.
[p] Ἄθων h. ceteri ἄθω.
[q] ὁ] καὶ c.
[r] δυομένου] ἡλίου δυομένου e.h.k.l.
[s] ἑτέρων om. a. g. m. n.
[t] σωτηρίας] εὐτυχίας c. d. f.
[u] ἐν Δελφοῖς om. e. h. k. l.
[x] Alterum Θῆβαι om. a. c. d. f. in margine ponit h.
[y] ἀστυγειτῶν] ἀστυγειτόνων e.h.l.
[z] θεοβλάβειαν] νεοβλάβειαν e.h.l.
[a] κτησάμενοι] χρησάμενοι n.
[b] δόξῃ] δόξοι h.
[c] κριθησόμενοι] κριθήσονται a. c. d. f. g. m. n.
[d] ἡμῶν] ὑμῶν e. k. l.

τηρίαν εὑρησόμενοι, νῦν οὐκέτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους. καὶ ταῦθ' [e] ἡμῖν συμβέβηκεν ἐξ ὅτου Δημοσθένης [f] πρὸς τὴν πολιτείαν [g] προσελήλυθεν. εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται. λέγει γάρ που, παιδεύων τὰ πλήθη καὶ συμβουλεύων ταῖς πόλεσι
135 τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέχεσθαι. [h] λέξω [i] δὲ κἀγὼ τὰ ἔπη· διὰ τοῦτο γὰρ οἶμαι [k] ἡμᾶς παῖδας 73
ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

πολλάκι [l] δὴ [m] ξύμπασα πόλις κακοῦ ἀνδρὸς [n] ἀπηύρα,
ὅς [o] κεν [p] ἀλιτραίνῃ καὶ ἀτάσθαλα [q] μητιάαται.
τοῖσιν δ' οὐρανόθεν [r] μέγα πῆμα δῶκε Κρονίων, 5
[s] λιμὸν ὁμοῦ καὶ λοιμόν, ἀποφθινύθουσι δὲ [t] λαοί·
ἢ [u] τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ [x] ὅ γε τεῖχος,
ἢ [y] νῆας [z] ἐνὶ πόντῳ [a] τίνυται εὐρύοπα Ζεύς.

136 ἐὰν [b] δὲ περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον τὰς γνώμας ἐξετάζητε, οἶμαι ὑμῖν [c] δοξειν οὐ ποιήματα Ἡσιόδου εἶναι 10
ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτειαν· καὶ γὰρ

[e] ἡμῖν] ὑμῖν a. d. f. g. m. n.
[f] πρὸς] εἰς e. h. k.
[g] προσελήλυθεν] προελήλυθεν e. l. παρελήλυθεν h.
[h] λέξω] λέγω d.
δὲ
[i] δὲ] γὰρ a.
[k] ἡμᾶς παῖδας ὄντας] παῖδας ὄντας ἡμᾶς a.
[l] δὴ] δὲ n. καὶ h.
[m] ξύμπασα] σύμπασα c.
ἅπα
[n] ἀπηύρα] ἐπαυρεῖ h.
[o] κεν] μὲν n.
[p] ἀλιτραίνῃ] ἀλιτραίνει h. ἀλιταίνη e. k.
[q] μητιάαται d. e. f. k. l. ceteri μηχανάαται.
[r] μέγα πῆμα δῶκε a. c. d. f. g. m. verboque supra addito n. μέγα πῆμα ἔδωκε e. k. l. μέγ' ἐπήγαγε πῆμα h.
[s] λιμὸν ὁμοῦ καὶ λοιμόν] λοιμὸν ὁμοῦ καὶ λιμόν e. k.
[t] λαοί] λαοί, οὐδὲ γυναῖκες τίκτουσιν, μινύθουσι δὲ οἶκοι ζηνὸς φραδμοσύνησιν ὀλιμπίου, ἄλλοτε δ' αὖτε h.
[u] τῶν] τόν g. n. ὅ e. k. l.
[x] ὅ γε] τέγε f. γε a.
[y] νῆας] νέας a.
[z] ἐνὶ] ἐν a. c.
[a] τίνυται εὐρύοπα ζεύς d. τίνυται εὐρύοπα ζεύς a. c. d. f. g. m. n. τείνηται εὐρύπα ζεύς e. k. l. κρονίδης ἀποτίνυται αὐτῶν vulg.
[b] δὲ om. c. d. e. f. h. k. l.
[c] δόξειν] δείξειν h.

ναυτικὴ καὶ πεζὴ [d] στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας.

137 Ἀλλ' οἶμαι, οὔτε Φρυνώνδας οὔτε Εὐρύβατος οὔτ' ἄλλος οὐδεὶς πώποτε τῶν [e] πάλαι πονηρῶν τοιοῦτος μάγος καὶ γόης ἐγένετο, ὃς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ, τολμᾷ λέγειν βλέπων εἰς τὰ πρόσωπα τὰ [f] ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν συμμαχίαν ἡμῖν ἐποιήσαντο οὐ διὰ τὸν καιρόν, οὐ διὰ τὸν φόβον [g] τὸν περιστάντα αὐτούς, [h] οὐ διὰ τὴν ὑμετέραν δόξαν, ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας.

138 καίτοι πολλὰς μὲν [i] τούτου πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι, πρῶτος μὲν [k] οὗτος στρατηγὸς] Θρασύβουλος ὁ [l] Κολλυτεύς, ἀνὴρ ἐν Θήβαις πιστευθεὶς ὡς οὐδεὶς ἕτερος, πάλιν Θράσων ὁ [m] Ἐρχιεύς, πρόξενος ὢν Θηβαίοις, [n] Λεωδάμας ὁ Ἀχαρνεύς, οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος

139 ἀλλ' ἔμοιγε καὶ ἡδίων, [o ῥήτωρ καὶ οὗτος] [p] Ἀρχέδημος ὁ Πήληξ, [q] καὶ δυνατὸς [r] εἰπεῖν καὶ πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ διὰ Θηβαίους, [δημαγωγὸς] Ἀριστοφῶν ὁ Ἀζηνιεύς, πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν, [s ῥήτωρ] [t] Πύρανδρος ὁ Ἀναφλύστιος, ὃς [u] ἔτι καὶ νῦν ζῇ. ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς [x] ἐδυν-

[d] στρατιὰ] στρατεία c. d. f.
[e] πάλαι om. a. g. m. n.
[f] ὑμέτερα] ἡμέτερα e. k. l. proximum τὰ om. d.
[g] τὸν om. d.
[h] οὐ a. h. ceteri οὐδέ.
[i] τούτου πρότερον] πρότερον τούτου e. h. l. τούτου om. a.
[k] [οὗτος στρατηγὸς] om. a. g. m. n. οὗν στρατηγὸς h. mihi et hoc lemma esse videtur et quæ infra uncis inclusi.
[l] Κολλυτεὺς] κολυττεὺς a. g. m. n.
[m] Ἐρχιεὺς] ἀρχιεὺς a. c. d. e. f. ἀρχιερεὺς h. l.
[n] Λεωδάμας] εἶτα λεωδάμας e.
[o] [ῥήτωρ καὶ οὗτος] om. a.g.m.n.
[p] Ἀρχέδημος] ἀρχίδημος c. d. f.
[q] καὶ ante δυνατὸς om. n.
[r] εἰπεῖν καὶ] εἰπεῖν ὃς n. εἰπεῖν ὡς a. g. m.
[s] [ῥήτωρ] om. a.e.g.h.k.l.m.n.
[t] Πύρανδρος] πύρραντρος a. e. g. m. n. ut scriptum est p. 12, 13.
[u] ἔτι] ἔστι f.
[x] ἠδυνήθη] ἐδυνήθη a. c. e.

ἤθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν. τὸ δ' αἴτιον
οἶδα μέν, λέγειν δ' οὐδὲν [y] δέομαι διὰ τὰς ἀτυχίας αὐ-
140 τῶν. ἀλλ' οἶμαι ἐπειδὴ Φίλιππος [z] αὐτῶν ἀφελόμενος
Νίκαιαν Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον [a] ὃν πρό-
τερον ἐξήλασεν ἐκ τῆς χώρας [b] τῆς τῶν Βοιωτῶν, τοῦτον
πάλιν τὸν αὐτὸν πόλεμον [c] ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ'
αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν [d] κατα-
λαβὼν ἐχαράκωσε καὶ φρουρὰν εἰσήγαγεν, ἐνταῦθ' ἤδη, 30
ἐπεὶ τὸ δεινὸν [e] αὐτῶν ἥπτετο, μετεπέμψαντο Ἀθηναίους,
καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσήειτε εἰς τὰς [f] Θήβας ἐν τοῖς
ὅπλοις διεσκευασμένοι, [g] καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς,
πρὶν περὶ [h] συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι
141 Δημοσθένη. ὁ δ' εἰσάγων ἦν [i] ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος καὶ χρεία συμμαχίας, ἀλλ' οὐ Δημο-
σθένης, ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία [k] τὰ πάν- 35
των μέγιστα Δημοσθένης εἰς [l] ὑμᾶς ἐξημάρτηκε, πρῶτον
μὲν ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος [m] ὑμῖν,
τῷ δ' ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ
τὰ πράγματα δεδήλωκε, καὶ τί [n] δεῖ [o] τὰ [p] πλείω λέ-
γειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο,
προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν [q] γενήσε-

δέομαι

[y] δέομαι] δύναμαι h.

[z] αὐτῶν ἀφελόμενος] ἀφελόμενος αὐτῶν e. h. k. l.

[a] ὃν—πόλεμον om. e. l. in margine ponit h.

[b] τῆς om. d. f. g. h. k. m. n. τῶν om. a. c.

ἐ

[c] ἐπήγαγε] ἀπήγαγε h.

[d] καταλαβὼν] μεταλαβὼν n.

[e] αὐτῶν ἥπτετο] ἥπτετο αὐτῶν c. d. f.

[f] Θήβας] πόλεις g. m. n.

[g] καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς e. h. k. l. ceteri καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοί. Conf. p. 66, 13.

[h] συμμαχίας] τῆς συμμαχίας c.

[i] ὑμᾶς] ἡμᾶς e. h. k. l.

[k] τὰ om. e. h. l.

[l] ὑμᾶς] ἡμᾶς h.

[m] ὑμῖν] ἡμῖν e. h. k. l.

[n] δεῖ] δὴ d.

[o] τὰ om. c. d. f.

[p] πλείω] πλέω c.

[q] γενήσεσθαι] γίγνεσθαι e. h. k. l.

σθαι οὐ διὰ τοὺς καιροὺς ἀλλὰ διὰ τὰς αὐτῶν πρεσβείας
142 πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι ἐπὶ 40
τίσι δεῖ [r] ποιήσασθαι [s] τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον
[t] εἰ γίνεται, τοῦτο δὲ [u] προλαβὼν ἔκδοτον μὲν τὴν Βοιω-
τίαν [x] ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφί-
σματι, ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν
Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς ὀνόμασι κλέ-
πτων καὶ μεταφέρων τὰ πράγματα, ὥσπερ εἴωθεν, ὡς
τοὺς Βοιωτοὺς ἔργῳ κακῶς πάσχοντας τὴν τῶν ὀνομάτων 74
σύνθεσιν τῶν Δημοσθένους [y] ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλ-
143 λον ἐφ' οἷς κακῶς [z] πεπόνθεσαν ἀγανακτήσοντας· δεύτε-
ρον δὲ τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη
ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον
μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ
[a] τὴν ἡγεμονίαν τὴν [b] μὲν κατὰ [c] θάλατταν ἐποίησε κοινήν, 5
[d] τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ
[e] δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις, [f] ὥστε [g] παρὰ
τὸν γενόμενον πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα
τὸν ἡμέτερον στρατηγὸν βουλεύσασθαι περὶ τῆς τῶν στρα-
144 τιωτῶν σωτηρίας. καὶ ταῦτ' οὐκ ἐγὼ μὲν κατηγορῶ ἕτε-
ροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ λέγω καὶ πάντες
ἐπιτιμῶσι καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο 10
γὰρ πεπόνθατε πρὸς [h] Δημοσθένην· συνείθισθε ἤδη τἀδι-

[r] ποιήσασθαι e. h. k. l. ceteri ποιεῖσθαι.
[s] τὴν συμμαχίαν ante δεῖ ponit h.
[t] εἰ] εἴ τις e. h. l.
[u] προλαβὼν] προσλαβὼν n.
[x] ἅπασαν] πᾶσαν a. g. m. n.
[y] ἀγαπήσοντας—πεπόνθεσαν om. a.
[z] πεπόνθεσαν] ἐπεπόνθεσαν e. k. l. πεπόνθασιν d.
[a] τὴν] τὴν μὲν g. h. l.
[b] μὲν om. g.
[c] θάλατταν] θάλασσαν c. d. f. g. m. n.
[d] τὸ] τὴν a. τῆς d. f.
[e] δεῖ] δεῖν h. k. l.
[f] ὥστε] ὅθεν h. l.
[g] παρὰ] πρὸς h. l.
[h] Δημοσθένην] τὸν δημοσθένην h. l. δημοσθένη d. f.

κήματα [i] αὐτοῦ ἀκούειν, ὥστε οὐ [k] θαυμάζετε. δεῖ δὲ οὐχ οὕτως, [l] ἀλλ' ἀγαναχτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.

145 Δεύτερον δὲ καὶ πολὺ [m] τούτου μεῖζον ἀδίκημα ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημοκρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος καὶ μετήνεγκεν εἰς Θήβας εἰς τὴν Καδμείαν, [n] τὴν κοινωνίαν τῶν πράξεων τοῖς Βοιω- 15
τάρχαις συνθέμενος· καὶ τηλικαύτην αὐτὸς αὑτῷ δυναστείαν κατεσκεύασεν, ὥστ' ἤδη [o] παριὼν ἐπὶ τὸ βῆμα [p] πρεσβεύσειν μὲν ἔφη [q] ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς
146 [r] ἐκπέμπητε, εἰ δέ τις [s] αὐτῷ τῶν στρατηγῶν [t] ἀντείποι, [u] καταδουλούμενος τοὺς ἄρχοντας [x] καὶ συνεθίζων μηδὲν [y] αὐτῷ ἀντιλέγειν διαδικασίαν ἔφη [z] γράψειν τῷ βήματι πρὸς [a] τὸ [b] στρατηγεῖον· πλείω γὰρ ὑμᾶς ἀγαθὰ ὑφ' 20
ἑαυτοῦ ἔφη ἀπὸ [c] τοῦ βήματος πεπονθέναι ἢ ὑπὸ τῶν στρατηγῶν ἐκ τοῦ [d] στρατηγείου. μισθοφορῶν δ' ἐν τῷ ξενικῷ [e] κεναῖς χώραις, καὶ [f] τὰ στρατιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι πολλὰ [g] διαμαρτυρομένου καὶ σχετλιάζοντος ἐν

[i] αὐτοῖ] τούτου a. g. m. n.
[k] θαυμάζετε] θαυμάζεσθε n.
[l] ἀλλ' om. n.
[m] τούτου] τοῦτο e. h. l.
[n] τὴν om. c. d. f. m.
[o] παριὼν] περιὼν h. περιὼν d. f.
[p] πρεσβεύσειν] πρεσβεύειν c. πρεσβειτὸν e. h. l.
[q] ὅποι] ὅπου a. e. g. h. l. m. n. ἐπότ' c. d. f.
[r] ἐκπέμπητε] ἐκπέμποιτε d.
[s] αὐτῷ] αὐτῶν h. l.
[t] ἀντείποι] ἀντείπῃ h. l.
[u] καταδουλούμενος] καταδουλομένος c.
[x] καὶ om. n.
[y] αὐτῷ] ἑαυτῷ e.
[z] γράψειν] γράφειν e. h. k. l. γράφην d.
[a] τὸ] τὸν h. l.
[b] στρατηγεῖον] στρατήγιον a. e. h. k. l. m. n.
[c] τοῦ om. a. g. m. n.
[d] στρατηγείου] στρατηγίου a. e. k. l. n. στρατηγίου m.
[e] κεναῖς] καιναῖς a. e. g. h. k. l. m. n. ἐν ταῖς κεναῖς c.
[f] τὰ om. e. h. k. l.
[g] διαμαρτυρομένου] διαμαρτυρομένου h. διαμαρτυρουμένου g. l. m. n. διαμαρτυραμένου c. d. f. k. διαμαρτυράμενος e.

ταῖς ἐκκλησίαις ἐμοῦ, προσέμιξε φέρων [h] ἀναρπασθέντων
147 τῶν ξένων τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει. τί γὰρ
[i] ἂν οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι; οὐ
χωρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν χωρὶς δ' ἐν Ἀμ-
φίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι, ἀθύμους δὲ τοὺς
Ἕλληνας λαβεῖν τηλικαύτης πληγῆς [k] γεγενημένης; καὶ
[l] τηλικούτων κακῶν αἴτιος [m] γεγενημένος Δημοσθένης οὐκ
ἀγαπᾷ εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ [n] μὴ καὶ χρυσῷ
στεφάνῳ [o] στεφανωθήσεται ἀγανακτεῖ· οὐδ' [p] ἱκανόν
ἐστιν αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰ μὴ τῶν
Ἑλλήνων ἐναντίον ἀναῤῥηθήσεται, τοῦτ' [q] ἤδη ἀγανακτεῖ.
οὕτως, ὡς ἔοικε, πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλα-
βομένη δημοσίας ἀπεργάζεται συμφοράς.

148 Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν ὃ
μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν
Ἑλλήνων, οὐδ' ἀγνοοῦντος (οὐ γὰρ ἦν ἀσύνετος) ὅτι περὶ
τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας [r] σμικρῷ μέρει δια-
γωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιήσασθαι τὴν εἰ-
ρήνην καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος, καὶ τῶν
ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον
(εἰκότως· οὐ γὰρ ῥᾴτωρ ἀστράτευτος καὶ λιπὼν [s] τὴν
τάξιν [t] αὐτοὺς ἐνουθέτησεν, ἀλλ' ὁ Φωκικὸς πόλεμος [u] δε-
καετὴς [x] γεγονὼς ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσε),
149 τούτων [y] δὲ ἐχόντων οὕτως αἰσθόμενος Δημοσθένης, καὶ

[h] ἀναρπασθέντων τῶν] ἐκ τῶν ἀναρπασθέντων c. d. e. f. h. k. l.
[i] ἂν om. h. l.
[k] γεγενημένης] προγεγενημένης a. g. m. n.
[l] τηλικούτων] τοιούτων h.
[m] γεγενημένος] γενόμενος e. k. l.
[n] μὴ καὶ] καὶ μὴ a. m. n.
[o] στεφανωθήσεται] στεφανωθήσεσθαι h. k. l.
[p] ἱκανόν] ἱκανός h. l.
[q] ἤδη recepi ex e. h. k. l.
[r] σμικρῷ] μικρῷ h. k.
[s] τὴν τάξιν] τὰς τάξεις e. h. k. l.
[t] αὐτοὺς] αὐτοῦς h.
[u] δεκαετὴς] δεκέτης e. k. l. δεκαέτης d.
[x] γεγονὼς] προγεγενημένος e. h. k.
[y] δὲ om. e. h. k. l.

τοὺς [z] Βοιωτάρχας ὑποπτεύσας μέλλειν εἰρήνην [a] ἰδίᾳ ποι- 40
εῖσθαι χρυσίον ἄνευ αὐτοῦ παρὰ Φιλίππου λαβόντας,
ἀβίωτον ἡγησάμενος εἶναι εἴ τινος ἀπολειφθήσεται δωρο-
δοκίας, ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ, [b] οὐδενὸς ἀνθρώπων
λέγοντος οὔθ' ὡς δεῖ ποιεῖσθαι [c] πρὸς Φίλιππον εἰρήνην
οὔθ' ὡς οὐ δεῖ, ἀλλ' ὡς ᾤετο, [d] τοῦτο κήρυγμά τι τοῖς
Βοιωτάρχαις προκηρύττων ἀναφέρειν [e] ἑαυτῷ τὰ μέρη τῶν
150 λημμάτων, διώμνυτο τὴν Ἀθηνᾶν (ἦν, [f] ὡς ἔοικε, Φειδίας
ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει) ἢ 75
μὴν εἴ τις ἐρεῖ ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι,
ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν,
ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ
πρὸς [g] Λακεδαιμονίους πολέμου, ὡς λέγεται, τὴν πόλιν
ἀπώλεσεν. ὡς δ' οὐ προσεῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν 5
ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους
[h] πάλιν [i] ἀνέστρεψαν ἐξεληλυθότας, ἵνα βουλεύσησθε περὶ
151 τῆς εἰρήνης, ἐνταῦθ' [k] ἤδη παντάπασιν ἔκφρων ἐγένετο,
καὶ παρελθὼν ἐπὶ τὸ βῆμα προδότας τῶν Ἑλλήνων
[l] τοὺς Βοιωτάρχας ἀπεκάλεσε, καὶ [m] γράψειν ἔφη ψή-
φισμα ὁ τοῖς πολεμίοις [n] οὐδέποτ' ἀντιβλέψας πέμπειν
ὑμᾶς πρέσβεις εἰς Θήβας αἰτήσοντας Θηβαίους δίοδον
ἐπὶ Φίλιππον. ὑπεραισχυνθέντες δὲ οἱ [o] ἐν Θήβαις ἄρ- 10
χοντες μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν Ἑλλήν-

[z] Βοιωτάρχας] βοιωτάρχους h.
[a] ἰδίᾳ om. e. h. k. l.
[b] οὐδενὸς] οὐθενὸς c. f.
[c] πρὸς Φίλιππον εἰρήνην] εἰρήνην πρὸς Φίλιππον a.
[d] τοῦτο κήρυγμά τι] τοῦτο κηρύγματι n. κηρύγματι τούτῳ e. h. k. l.
[e] ἑαυτῷ] αὐτῷ a. d. f. g. m. n.
[f] ὡς ἔοικε] ᾤετο h.
[g] Λακεδ.] τοὺς λακεδ. a.
[h] πάλιν om. c. d. f.
[i] ἀνέστρεψαν] ἀνέτρεψαν e. h. l.
[k] ἤδη addidi sumptum ab e. h. k. l.
[l] τοὺς B. ἀπεκάλεσε] ἀπεκάλει τοὺς B. e. h. k. l.
[m] γράψειν ἔφη] γράφειν ἔφη d. f. γράφει e. h. k. l.
[n] οὐδέποτ'] οὐδεπώποτ' e. h. k. l.
[o] ἐν ταῖς Θήβαις e. h. k. l.

ων, ἀπὸ μὲν τῆς εἰρήνης [p] ἀπετράποντο, ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν.

152 Ἔνθα δὴ καὶ [q] τῶν ἀνδρῶν τῶν ἀγαθῶν ἄξιόν ἐστιν ἐπιμνησθῆναι, οὓς οὗτος ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον ἐτόλμησε τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν [r] ἀναβὰς ἐπὶ τὸν τάφον [s] τὸν τῶν [t] τελευτησάντων ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. ὦ πρὸς μὲν τὰ μεγάλα καὶ [u] σπουδαῖα [x] πάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν [y] τοῖς λόγοις τόλμαν [z] θαυμασιώτατε, ἐπιχειρήσειν [a] ἐθελήσεις αὐτίκα [b] μάλα, [c] βλέπων εἰς τὰ τούτων πρόσωπα, λέγειν ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; [d] ἐὰν δ' οὗτος λέγῃ, [e] ὑμεῖς ὑπομενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα [f] μνήμη;

153 [g] γένεσθε δή μοι μικρὸν χρόνον [h] τὴν διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίσαθ' ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάρρησιν μέλλουσαν [i] γίνεσθαι, καὶ λογίσασθε πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς [k] ἡρωϊκοῖς [l] πάθεσι τοῖς μετὰ ταῦτ' [m] ἐπεισιοῦσιν ἢ ἐπὶ τῇ τῆς πόλεως ἀγνωμοσύνῃ.

[p] ἀπετράποντο] ἀπετρέποντο a. c. d. f. g. m. n.

[q] τῶν ἀνδρῶν τῶν ἀγαθῶν] τῶν ἀγαθῶν ἀνδρῶν a. c. d. f. g. m. n.

[r] ἀναβὰς] ἀναβῆναι d.

[s] τὸν ante τῶν dedit k.

[t] τελευτησάντων e. h. k. l. ceteri τετελευτηκότων.

[u] σπουδαῖα] σπουδαῖα τῶν πραγμάτων c. d. f.

[x] πάντων] τῶν a. m. n. ἁπάντων c. d. f.

[y] τοῖς om. d. g.

[z] θαυμασιώτατε] θαυμασιωτάτους l.

[a] ἐθελήσεις] ἐθέλεις e. h. l.

[b] μάλα] μᾶλλον d.

[c] βλέπων om. a.

[d] ἐὰν] ἂν e.

[e] ὑμεῖς ὑπομενεῖτε] καὶ ὑμεῖς ὑπομενεῖτε h. ὑπομενεῖτε ὑμεῖς g.

[f] μνήμη] γνώμη h.

[g] γένεσθε δή] γίνεσθε δὲ h. l.

[h] τὴν διάνοιαν] τῇ διανοίᾳ infra p. 80, 26.

[i] γίνεσθαι] γενέσθαι a. g. m. n.

[k] ἡρωϊκοῖς] εἰρηνικοῖς h.

[l] πάθεσι] πράγμασι h.

[m] ἐπεισιοῦσιν] ἐπιοῦσιν d. h. k. l.

154 τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην, [n] καὶ παι- 25
δευθεὶς ἐλευθέρως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ
μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων ὥσπερ
[o] νυνὶ τῶν [p] τραγῳδῶν γίνεσθαι, ὅτ' εὐνομεῖτο μᾶλλον ἡ
πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, [q] προελθὼν ὁ
κῆρυξ καὶ παραστησάμενος τοὺς ὀρφανοὺς ὧν οἱ πατέρες
ἦσαν [r] ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανο-
πλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα 30
καὶ προτρεπτικώτατον [s] πρὸς ἀρετήν, ὅτι τούσδε τοὺς νεα-
νίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες
ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἦβης ὁ δῆμος ἔτρεφε, νυνὶ δὲ
καθοπλίσας τῇδε [t] τῇ πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ
τρέπεσθαι ἐπὶ τὰ [u] ἑαυτῶν, καὶ καλεῖ εἰς προεδρίαν.
155 τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν, ἀλλὰ παραστη- 35
σάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον τί ποτ'
[x] ἀνερεῖ ἢ [y] τί φθέγξεται; καὶ γὰρ [z] ἐὰν αὐτὰ διέξιῃ τὰ
ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ' οὐ τό [a] γ' ἐκ
τῆς ἀληθείας αἰσχρὸν [b] σιωπηθήσεται, ἀλλὰ τἀναντία
δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι, ὅτι τόνδε τὸν ἄν-
δρα, εἰ δὴ καὶ οὗτος ἀνήρ, στεφανοῖ ὁ δῆμος [c] ὁ Ἀθη-
ναίων [d] ἀρετῆς ἕνεκα [e] τὸν κάκιστον, [f] ἀνδραγαθίας ἕνεκα
156 τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν. μὴ πρὸς τοῦ Διὸς

[n] καὶ] ἢ καὶ a. c. d. f. g. m. n.
[o] νυνὶ] νῦν e. g. h. l.
[p] τραγῳδῶν] τραγῳδιῶν c.
[q] προελθὼν k. παρελθὼν e. h. l. ceteri προσελθών.
[r] ἐν τῷ πολ. τετελ.] τετελ. ἐν τῷ πολ. h.
[s] πρὸς] εἰς g. m. n.
[t] τῇ om. a.
[u] ἑαυτῶν] αὐτῶν e.
[x] ἀνερεῖ correctus n. ἂν αἱρῇ k. ceteri ἂν ἐρεῖ.
[y] τί] τί ποτε e. h. k. l.
[z] ἐὰν a. e. vulg. ἄν.
[a] γ' om. c. d. f. τε l.
[b] σιωπηθήσεται] σιωπήσεται c. d. f.
[c] ὁ Ἀθηναίων c. d. f. τῶν ἀθηναίων a. g. m. n. ἀθηναίων e. h. k. l.
[d] ἀρετῆς ἕνεκα ante εἰ δὴ ponit n. om. a. ἕνεκα om. e. h. k. l.
[e] τὸν om. a.
[f] ἀνδραγαθίας] καὶ ἀνδραγαθίας a. g. m. n.

καὶ [g] τῶν ἄλλων θεῶν, [h] ἱκετεύω ὑμᾶς, ὦ ἄνδρες Ἀθη- 40
ναῖοι, [i] μὴ τρόπαιον [k] ἵστατε [l] ἀφ' ὑμῶν αὐτῶν ἐν τῇ τοῦ
Διονύσου ὀρχήστρᾳ, μηδ' αἱρεῖτε [m] παρανοίας ἐναντίον τῶν
Ἑλλήνων τὸν δῆμον τῶν Ἀθηναίων, μηδ' ὑπομιμήσκετε
τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους
Θηβαίους, οὓς φυγόντας διὰ [n] τοῦτον [o] ὑποδέδεχθε τῇ
πόλει, ὧν ἱερὰ καὶ τέκνα καὶ τάφους ἀπώλεσεν ἡ Δη-
157 μοσθένους δωροδοκία καὶ τὸ βασιλικὸν χρυσίον· ἀλλ' 76
ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, [p] ἀλλὰ ταῖς γε δια-
νοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφοράς, καὶ νομί-
σαθ' ὁρᾶν ἀλισκομένην τὴν πόλιν, τειχῶν κατασκαφάς,
ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς
δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας
ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύ- 5
οντας ὑμᾶς, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις ἀλλὰ
τοῖς τούτων αἰτίοις, ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς
Ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα
καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυ-
158 λάξασθαι. οὔτε [q] γὰρ πόλις οὔτ' [r] ἀνὴρ ἰδιώτης οὐδεὶς
πώποτε καλῶς ἀπήλλαξε [s] Δημοσθένει συμβούλῳ χρη-
σάμενος. ὑμεῖς δ' ὦ ἄνδρες Ἀθηναῖοι οὐκ αἰσχύνεσθε εἰ
ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας 10
νόμον ἔθεσθε, [t] ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον
ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα

[g] τῶν ἄλλων om. e. h. k. l.
[h] ἱκετεύω ὑμᾶς post Ἀθηναῖοι ponunt e. h. k. l.
[i] μὴ om. e. h. k. l.
[k] ἵστατε] vulg. ἱστᾶτε.
[l] ἀφ' g. h. m.
[m] παρανοίας] παρανομίας e.
[n] τοῦτον] τούτων a. e. h. l.
[o] ὑποδέδεχθε] ὑποδέχεσθε m. n. ὑποδέδεχε k. l.
[p] ἀλλὰ om. c. d. f.
[q] γὰρ πόλις] πόλις γὰρ a. c. d. f. g. m. n.
[r] ἀνὴρ ἰδιώτης] ἰδιώτης ἀνὴρ a. c. d. f. g. m. n.
[s] Δημοσθένει συμβούλῳ] συμβούλῳ δημοσθένει d.
[t] ἐάν] ἄν e.

μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα, τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην [u] ἀνατετραφότα τοῦτον [x] ἐάσετε πάλιν [y] ἀπευθύνειν τὰ κοινά;

159 Ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων, ἐκεῖνο ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν ἀλλὰ καὶ τὴν ἐκ τῆς [z] πόλεως, τριήρη προσλαβὼν ὑμῶν καὶ τοὺς Ἕλληνας ἠργυρολόγησε. καταγαγούσης δ' αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροσδοκήτου σωτηρίας τοὺς μὲν πρώτους χρόνους [a] ὑπότρομος ἦν ἄνθρωπος, καὶ παριὼν [b] ἠμιθνὴς ἐπὶ τὸ βῆμα εἰρηνοφύλακα ὑμᾶς [c] αὐτὸν ἐκέλευε χειροτονεῖν· ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε [d] τὸ Δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ τοῦτο προσ-
160 ετάττετε· νυνὶ δ' ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ. ἐπειδὴ δ' ἐτελεύτησε [e] μὲν Φίλιππος, Ἀλέξανδρος δ' εἰς τὴν ἀρχὴν κατέστη, πάλιν [f] αὖ τερατευόμενος ἱερὰ μὲν ἱδρύσατο Παυσανίου, εἰς αἰτίαν δὲ εὐαγγελίων [g] θυσίας τὴν [h] βουλὴν [i] κατέστησεν, ἐπωνυμίαν [k] δ' [l] Ἀλεξάνδρῳ [m] Μαργίτην ἐτίθετο, ἀπετόλμα δὲ λέγειν ὡς οὐ κινηθήσεται [n] ἐκ Μακεδονίας· ἀγαπᾷν γὰρ αὐτὸν [o] ἔφη ἐν Πέλλῃ περιπατοῦντα καὶ τὰ σπλάγχνα φυλάττοντα. καὶ

[u] ἀνατετραφότα d.e.f.g.k. ἀνατετραγότα h. ceteri ἀνατετροφότα.
[x] ἐάσετε] ἐάσατε m. n.
[y] ἀπευθύνειν] ἐπευθύνειν a.c.f.g. k. m. n. ἀπευθύνειν h.
[z] Post πόλεως videtur aliquid deesse. Reiskius.
[a] ὑπότρομος—χρόνους om. l. in margine ponit h.
[b] ἠμιθνὴς] ἠμιθανὴς k. m. n. et fortasse g.
[c] αὐτὸν ἐκέλευε a.f.g.k.m.n. et margo h. om. pronomen e.
[d] τὸ] τὸ τοῦ h.
[e] μὲν recepi ex e. h. k. l.
[f] αὖ] αὐτὸς c. d. f. g.
[g] θυσίας] καὶ θυσίας a. g. m. n.
[h] βουλὴν] ἀρχὴν e. h. k.
[i] κατέστησεν] κατέστησε ποιῆσαι c.
[k] δ' om. a. c. d. f. g. m.
[l] Ἀλεξάνδρῳ] ἀλεξάνδρου h.
[m] Μαργίτην] μαργαρίτην d.
[n] ἐκ om. c. d.
[o] ἔφη ἐν] ἔφησε e. h. k. l.

[p] ταῦτα λέγειν ἔφη οὐκ εἰκάζων, ἀλλ' ἀκριβῶς εἰδὼς ὅτι αἵματός ἐστιν ἡ ἀρετὴ ὠνία, αὐτὸς οὐκ ἔχων αἷμα καὶ θεωρῶν τὸν Ἀλέξανδρον οὐκ ἐκ τῆς Ἀλεξάνδρου φύ-
161 σεως ἀλλ' ἐκ τῆς [q] ἑαυτοῦ ἀνανδρίας. ἤδη δ' [r] ἐψηφισμένων Θετταλῶν ἐπιστρατεύειν ἐπὶ τὴν [s] ὑμετέραν πόλιν, καὶ τοῦ νεανίσκου τὸ πρῶτον παροξυνθέντος εἰκό- 30
τως, [t] ἐπειδὴ περὶ Θήβας ἦν τὸ στρατόπεδον, πρεσβευτὴς ὑφ' ὑμῶν χειροτονηθείς, ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος ἦκεν ὑποστρέψας, οὔτ' ἐν εἰρήνῃ οὔτ' ἐν πολέμῳ χρήσιμον [u] ἑαυτὸν παρέχων. καὶ τὸ πάντων δεινότατον, ὑμεῖς [x] μὲν τοῦτον οὐ προὔδοτε, οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλ-
λήνων συνεδρίῳ, οὗτος δ' ὑμᾶς [y] νῦν [z] προδέδωκεν, εἴπερ
162 ἀληθῆ ἐστὶν ἃ λέγεται. ὡς γάρ φασιν οἱ [a] πάραλοι καὶ 35
οἱ πρεσβεύσαντες πρὸς Ἀλέξανδρον (καὶ τὸ πρᾶγμα εἰκότως πιστεύεται), ἔστι τις [b] Ἀριστίων Πλαταϊκός, ὁ τοῦ [c] Ἀριστοβούλου τοῦ φαρμακοπώλου υἱός, εἴ τις ἄρα καὶ ὑμῶν [d] γινώσκει. οὗτός ποτε ὁ νεανίσκος [e] ἑτέρων τὴν ὄψιν διαφέρων [f] γενόμενος ὤκησε πολὺν χρόνον ἐν τῇ [g] Δη-
μοσθένους οἰκίᾳ· ὅ τι δὲ [h] πράττων ἢ πάσχων, ἀμφίβο-
λος ἡ αἰτία καὶ τὸ πρᾶγμα οὐδαμῶς εὔσχημον [i] ἐμοὶ λέγειν. οὗτος, ὡς ἐγὼ ἀκούω, ἠγνοημένος ὅστις [k] ποτ' 40

[p] ταῦτα a. g. m. n. ceteri ταυτί.
[q] ἑαυτοῦ] αὐτοῦ e.
[r] ἐψηφισμένων] ἐπεψηφισμένων g. h. ἐπιψηφισμένων n. ἐπιψηφισμένων l. m.
[s] ὑμετέραν] ἡμετέραν e g.h.k.l.
[t] ἐπειδὴ] ἐπεὶ g.
[u] ἑαυτὸν] ὡς αὐτὸν l.
[x] μὲν] μὲν οὖν m.
[y] νῦν] νυνὶ e. h. k. l.
[z] προδέδωκεν] προὔδωκεν e. παρέδωκεν c.
[a] πάραλοι a. g. m. n. ceteri παράλιοι.
[b] Ἀριστίων] ἀριστείων k.
[c] Ἀριστοβούλου] ἀριστοφίλου e.h. k. ἀριστοφύλου l.
[d] γινώσκει] γινώσκη d.
[e] ἑτέρων] ἑταιρῶν a. g. m. n.
[f] γενόμενος om. d.
[g] Δημοσθένους] τοῦ δημοσθένους g.h.
[h] πράττων ἢ πάσχων] πάσχων ἢ πράττων e. h. k. l.
[i] ἐμοὶ] ἔμοιγε h. l.
[k] ποτ' ἐστι καὶ πῶς e. h. k. l. et

ἐστι καὶ πῶς βεβιωκώς, τὸν Ἀλέξανδρον ὑποτρέχει καὶ [l] πλησιάζει ἐκείνῳ. διὰ τούτου γράμματα [m] πέμψας ὡς Ἀλέξανδρον ἄδειάν τινα εὕρηται καὶ [n] διαλλαγὰς καὶ
163 [o] πολλὴν κολακείαν πεποίηται. ἐκεῖθεν δὲ [p] θεωρήσατε ὡς ὅμοιόν ἐστι [q] τὸ πρᾶγμα τῇ αἰτίᾳ. εἰ γάρ [r] τι τούτων [s] ἐφρόνει Δημοσθένης καὶ πολεμικῶς εἶχεν, ὥσπερ καὶ φησί, πρὸς [t] Ἀλέξανδρον, τρεῖς αὐτῷ καιροὶ κάλλιστοι 77
παραγεγόνασιν, ὧν οὐδενὶ φαίνεται κεχρημένος. εἷς μὲν ὁ πρῶτος, [u] ὅτ' εἰς [x] τὴν ἀρχὴν [y] οὐ πάλαι καθεστηκὼς Ἀλέξανδρος [z] ἀκατασκεύων αὐτῷ τῶν ἰδίων ὄντων εἰς τὴν Ἀσίαν διέβη, ἤκμαζε δ' ὁ τῶν Περσῶν βασιλεὺς καὶ ναυσὶ καὶ χρήμασι καὶ πεζῇ [a] στρατιᾷ, ἄσμενος [b] δ' ἂν
[c] ἡμᾶς εἰς τὴν [d] συμμαχίαν προσεδέξατο διὰ τοὺς ἐπιφε- 5
ρομένους [e] ἑαυτῷ κινδύνους. εἶπάς τινα ἐνταῦθα λόγον Δημόσθενες, ἢ ἔγραψάς τι ψήφισμα; βούλει [f] σε θῶ
[g] φοβηθῆναι καὶ χρήσασθαι τῷ [h] σαυτοῦ τρόπῳ; καίτοι
164 ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει. ἀλλ' ἐπειδὴ πάσῃ τῇ δυνάμει Δαρεῖος [i] καταβεβήκει, ὁ δ' Ἀλέξανδρος ἦν [k] ἀπειλημμένος ἐν Κιλικίᾳ πάντων ἐνδεής,

correcti g. m. ceteri καὶ τῶς τοτ' ἐστί.

[l] πλησιάζει] πλησιάζων e. h. l.

[m] πέμψας] πέμψας δημοσθένης c. d. f.

[n] διαλλαγὰς] καταλλαγὰς e. h. k. l.

[o] πολλὴν τὴν κολακείαν e. h. k. l.

[p] θεωρήσατε] θεωρήσετε e. h. k. l.

[q] τὸ om. n.

[r] τι] τοι e. k. l.

[s] ἐφρόνει Δημ.] δημ. ἐφρόνει e. h. k. l.

[t] Ἀλέξανδρον] τὸν ἀλέξανδρον c. d. f.

[u] ὅτ'] ὅτι h.

[x] τὴν om. h. l.

[y] οὐ om. n.

[z] ἀκατασκεύων h. l. k. ceteri ἀταρασκεύων.

[a] στρατιᾷ] στρατείᾳ d.

[b] δ' ἂν] ἂν δ' a. g. m.

[c] ἡμᾶς e. k. l. vulg. ὑμᾶς.

[d] συμμαχίαν] κοινὴν συμμαχίαν c. d. f.

[e] ἑαυτῷ] αὐτῷ a. c. d. f.

[f] σε θῶ] σε θεῶ g. l. m. σὺ θεὸν h.

[g] φοβηθῆναι] καὶ φοβηθῆναι c. d. f. m. n.

[h] σαυτοῦ e. et correcti g. h. αὐτοῦ n. m. αὐτῷ l. ceteri ἑαυτοῦ.

[i] καταβεβήκει] κατεβεβήκει a. k. m. n.

[k] ἀπειλ. ἐν Κιλικίᾳ] ἀπειλ. ἐν σικελίᾳ h. ἐν κιλικίᾳ ἀπειλ. a.

ὡς ἔφησθα σύ, αὐτίκα [l] δὲ μάλα [m] ἤμελλεν, ὡς ἦν ὁ παρὰ σοῦ λόγος, συμπατηθήσεσθαι ὑπὸ τῆς Περσικῆς ἵππου, τὴν δὲ σὴν ἀηδίαν ἡ πόλις οὐκ ἐχώρει καὶ τὰς ἐπιστολὰς ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιῄεις, ἐπιδεικνύων [n] τισὶ τὸ ἐμὸν πρόσωπον ὡς ἐκπεπληγμένου καὶ ἀθυμοῦντος, καὶ [o] χρυσόκερων ἀποκαλῶν καὶ κατεστέφθαι φάσκων εἴ τι πταῖσμα συμβήσεται Ἀλεξάνδρῳ, οὐδ' ἐνταῦθα ἔπραξας οὐδέν, ἀλλ' εἰς τινα καιρὸν [p] ἀνε-
165 βάλλου καλλίω. ὑπερβὰς τοίνυν ἅπαντα ταῦτα ὑπὲρ τῶν νυνὶ καθεστηκότων λέξω. Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον [q] μάχῃ καὶ διέφθειραν τοὺς περὶ Κόραγον στρατιώτας, Ἠλεῖοι δ' αὐτοῖς [r] συμμετεβάλοντο καὶ Ἀχαιοὶ πάντες πλὴν [s] Πελληναίων καὶ [t] Ἀρκαδία πᾶσα πλὴν Μεγάλης πόλεως, [u] αὕτη δὲ ἐπολιορκεῖτο καὶ καθ' ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι, ὁ δ' Ἀλέξανδρος ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης ὀλίγου [x] δεῖν πάσης [y] μεθειστήκει, ὁ δὲ Ἀντίπατρος πολὺν χρόνον συν-
ἦγε στρατόπεδον, τὸ δ' ἐσόμενον ἄδηλον ἦν. [z] ἐνταῦθ' ἡμῖν [a] ἀπόδειξιν [b] ποίησαι, [c] ὦ [d] Δημόσθενες, τί ποτ' ἦν ἃ ἔπραξας [e] καὶ τί ποτ' ἦν [f] ἃ ἔλεγες· [g] καὶ, εἰ βούλει,
166 παραχωρῶ [h] σοι τοῦ βήματος, ἕως ἂν [i] εἴπῃς. ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω σοι· ἃ δὲ τότ'

[l] δὲ μάλα e. h. k. l. μᾶλλον δὲ d. ceteri μάλα δ'.
[m] ἤμελλεν] ἔμελλεν e.
[n] τισὶ] τί correctus f.
[o] χρυσόκερων] χρυσόκερων d.
[p] ἀνεβάλλου] ἀνεβάλου e. k.
[q] μάχῃ] μάχης g. et γρ. m.
[r] συμμετεβάλοντο e. k. l. ceteri συμμετεβάλλοντο.
[s] Πελληναίων] πελληνέων k.
[t] Ἀρκαδία πᾶσα] ἀρκάδα πᾶσαν e. h.
[u] αὕτη e. h. k. l. vulg. αὐτή.
[x] δεῖν] μὲν c.
[y] μεθειστήκει] μεθεστήκει d.
[z] ἐνταῦθ'] ἐνταῦθα δ' g. m. n.
[a] ἀπόδειξιν om. e. f. h. l.
[b] ποίησαι] ποιῆσαι f. om. e.
[c] ὦ om. a. c. d. e. f. g. h. m.
[d] Δημόσθενες om. e.
[e] καὶ] ἢ a. g. m. n.
[f] ἃ] ὃ h. k. l.
[g] καὶ, εἰ—ἔλεγες om. a.
[h] σοι] σοῦ e. l.
[i] εἴπῃς] εἴποις e. h. k. l. m.

ἔλεγες, ἐγὼ [k] νυνὶ λέξω. οὐ μέμνησθε αὐτοῦ τὰ [l] μιαρὰ καὶ ἀπίθανα ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς [m] ὦ σιδήρεοι ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτ' [n] ἔφη παρελθὼν "ἀμπε- "λουργοῦσί τινες τὴν πόλιν, [o] ἀνατετμήκασί τινες τὰ "κλήματα [p] τοῦ δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν "πραγμάτων, φορμοῤῥαφούμεθα ἐπὶ τὰ στενά, τινὲς "πρῶτον ὥσπερ [q] τὰς βελόνας [r] διείρουσι." ταῦτα δὲ 167 [s] τί ἐστιν, ὦ [t] κίναδος; ῥήματα ἢ θαύματα; [u] καὶ πάλιν ὅτε κύκλῳ [x] περιδινῶν [y] σεαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες ὡς ἀντιπράττων Ἀλεξάνδρῳ "ὁμολογῶ τὰ Λα- "κωνικὰ [z] συστῆσαι, ὁμολογῶ Θετταλοὺς καὶ [a] Περῤῥαι- "βοὺς ἀφιστάναι." [b] σὺ γὰρ ἂν κώμην [c] ἀποστήσαις; σὺ γὰρ [d] ἂν [e] προσέλθοις μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰκίαν [f] ὅπου κίνδυνος πρόσεστιν; ἀλλ' εἰ μέν που χρήματα ἀναλίσκεται, [g] προσκαθιζήσει, πρᾶξιν δὲ ἀνδρὸς οὐ πράξεις· ἐὰν δ' αὐτόματόν τι συμβῇ, προσποιήσῃ καὶ [h] σαυτὸν ἐπὶ τὸ γεγενημένον [i] ἐπιγράψεις· ἂν δ' ἔλθῃ

[k] νυνὶ e. h. k. l. ceteri νῦν.

[l] μιαρὰ] μικρὰ pr. h.

[m] ὦ σιδήρεοι] ὡς σιδήρειοι k. ὡς σιδήρεια e. l. ὡς σιδήρεα h.

[n] ἔφη] ἔφησε e. h. l.

[o] ἀνατετμήκασί] ἀνατετολμήκασί e. l.

[p] τοῦ] τὰ τοῦ d. e. g. m.

[q] τὰς βελόνας] τοὺς βελῶνας e. h. l.

[r] διείρουσι] διετόρασι h. διετιρασι l.

[s] τί e. h. k. l. ceteri τίνος.

[t] κίναδος] κίναιδος a. c. d. f. κίναιδος g. m.

[u] καὶ om. e. h. l.

[x] περιδινῶν] περιάγων h. περι l.

[y] σεαυτὸν] σαυτὸν e.

[z] συστῆσαι] συστήσασθαι k.

[a] Περῤῥαιβοὺς] περαιβοὺς h. k. l.

[b] σὺ γὰρ] σὺ θετταλοὺς ἀποστήσειας, σὺ γὰρ c. σὺ θετταλοὺς ἀφιστάναι οὐ γὰρ e. h. k. σὺ θετταλοὺς ἀφιστάναι σὺ γὰρ l. illa σὺ θετταλοὺς ἀφιστάναι habet margo g. m. omissis autem σὺ γὰρ ἂν καὶ κώμην ἀποστήσειας. f. σὺ θετταλοὺς ἀποστήσειας. d. σὺ θετταλοὺς ἀφιστήσειας.

[c] ἀποστήσαις] ἀποστήσειας h. l k. ἀποστήσαιο c.

[d] ἂν om. l.

[e] προσέλθοις] προσέλθῃς d.

[f] ὅπου] ὅτου e.

[g] προσκαθιζήσει] προσκαθίζεις εἰς k. προσκαθίζειν εἰς e. h. l. προκαθεστήσῃ d. f. προσκαθεσθήσῃ ceteri. Conf. Lobeck. ad Phrynich. p. 269.

[h] σαυτὸν ἐπὶ] συναὐ ἐπὶ c. σαυτὸν ἔτι a. εἰς αὐτὸν ἔτι d. f.

[i] ἐπιγράψεις] ἐπιγράψῃς d.

φόβος τις, ἀποδράσῃ· [k] ἐὰν δὲ θαῤῥήσωμεν, δωρεὰς [l] αἰ- 35
τήσεις καὶ [m] χρυσοῖς στεφάνοις [n] στεφανοῦσθαι.

168 Ναί, ἀλλὰ δημοτικός ἐστιν. [o] ἐαν μὲν τοίνυν [p] πρὸς τὴν εὐφημίαν [q] αὐτοῦ τῶν λόγων [r] ἀποβλέπητε, ἐξαπατηθήσεσθε [s] ὥσπερ καὶ πρότερον· ἐὰν δ' εἰς τὴν φύσιν [t] καὶ τὴν ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε. ἐκεῖνος δὲ [u] ἀπολάβετε παρ' αὐτοῦ [x] τὸν λόγον. ἐγὼ μὲν μεθ' ὑμῶν λογιοῦμαι ἃ δεῖ ὑπάρξαι ἐν τῇ φύσει τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι, καὶ πάλιν ἀντιθήσω ποῖόν [y] τινα εἰκός ἐστιν 40
εἶναι τὸν ὀλιγαρχικὸν ἄνθρωπον καὶ φαῦλον· ὑμεῖς δ' ἀντιθέντες ἑκάτερα τούτων θεωρήσατ' αὐτόν, μὴ [z] ὁποτέρου
169 τοῦ λόγου ἀλλ' ὁποτέρου τοῦ βίου ἐστίν. οἶμαι τοίνυν ἅπαντας ἂν [a] ὑμᾶς ὁμολογῆσαι τάδε δεῖν ὑπάρξαι τῷ δημοτικῷ, πρῶτον μὲν [b] ἐλεύθερον αὐτὸν εἶναι καὶ πρὸς πατρὸς καὶ [c] πρὸς μητρός, [d] ἵνα μὴ διὰ τὴν [e] περὶ τὸ γένος ἀτυχίαν δυσμενὴς ᾖ τοῖς νόμοις οἳ σώζουσι τὴν δημοκρα- 78
τίαν, δεύτερον δ' ἀπὸ τῶν προγόνων εὐεργεσίαν τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, ἢ τό γ' ἀναγκαιότατον μηδεμίαν ἔχθραν, ἵνα μὴ βοηθῶν τοῖς [f] τῶν προγόνων ἀτυχήμασι κακῶς [g] ἐπιχειρῇ ποιεῖν τὴν πόλιν. τρίτον σώφρονα
170 καὶ μέτριον χρὴ πεφυκέναι αὐτὸν πρὸς τὴν καθ' ἡμέραν 5

[k] ἐὰν] ἂν e.
[l] αἰτήσεις] αἰτήσῃς d.
[m] χρυσοῖς στεφάνοις] χρυσοῦς στεφάνους e. h. l.
[n] στεφανοῦσθαι] ἀξιώσεις στεφανοῦσθαι e. h. k. l.
[o] ἐὰν] ἂν e.
[p] πρὸς] εἰς e. h.
[q] αὐτοῦ τῶν λόγων] τῶν λόγων αὐτοῦ a. g. m. n.
[r] ἀποβλέπητε] ἀποβλέψητε c.d.f.
[s] ὥσπερ—ἐξαπατηθήσεσθε om. l.
[t] καὶ τὴν] καὶ εἰς τὴν e. k.
[u] ἀπολάβετε] ἀπολάβητε e. l.
[x] τὸν om. e. h. k. l.
[y] τινα] τι e.
[z] ὁποτέρου] πρυτέρου n.
[a] ὑμᾶς ὁμολογῆσαι e. h. k. l. ὁμολογήσειν ὑμᾶς a. g. m. n. ὑμᾶς ὁμολογήσειν c. d. f.
[b] ἐλεύθερον αὐτὸν] αὐτὸν ἐλεύθερον c.e.f.h.k.l. αὐτῷ ἐλεύθερον d.
[c] πρὸς ante μητρὸς om. a. c. d. f. g. m. n.
[d] ἵνα μὴ διὰ τὴν—ἀτυχίαν] ἵνα τῇ—ἀτυχίᾳ e. h. k. l.
[e] περὶ] πρὸς a. c. d. f. g. m. n.
[f] τῶν om. c.
[g] ἐπιχειρῇ] ἐπιχειρεῖν l.

δίαιταν, ὅπως μὴ διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης δωροδοκῇ κατὰ τοῦ δήμου, [h] τέταρτον εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν· καλὸν γὰρ τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα, τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος καὶ [i] τὸν λόγον πείθειν [k] τοὺς ἀκούοντας· εἰ δὲ μή, τήν [l] γ' εὐγνωμοσύνην ἀεὶ προτακτέον τοῦ λόγου. πέμπτον ἀνδρεῖον [m] εἶναι τὴν ψυχήν, ἵνα μὴ παρὰ τὰ δεινὰ καὶ τοὺς [n] κινδύνους [o] ἐγκαταλίπῃ [p] τὸν δῆμον. τὸν δ' ὀλιγαρχικὸν [q] πάντα δεῖ τἀναντία τούτων ἔχειν· τί γὰρ δεῖ πάλιν [r] διεξιέναι; σκέψασθε δὴ τί τούτων ὑπάρχει [s] Δημοσθένει· ὁ δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις.

171 Τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεύς, ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ [t] ψεύδεσθαι· τὰ δ' ἀπὸ τῆς μητρὸς καὶ τοῦ πάππου τοῦ πρὸς μητρὸς πῶς ἔχει [u] αὐτῷ; [x] ἐγὼ φράσω. Γύλων ἦν ἐκ [y] Κεραμέων. οὗτος προδοὺς τοῖς πολεμίοις [z] Νύμφαιον τὸ [a] ἐν Πόντῳ, τότε τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς [b] ἀπ' εἰσαγγελίας ἐκ τῆς πόλεως ἐγένετο [c] θανάτου καταγνωσθέντος αὐτοῦ, [d] τὴν κρίσιν οὐχ ὑπομείνας, καὶ ἀφικνεῖται εἰς Βόσπορον, κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων τοὺς ὠνο-

[h] τέταρτον] τέταρτον δὲ g. m. n.
[i] τὸν λόγον πείθειν om. d.
[k] τοὺς—εὐγν. om. c.
[l] γ'] δὲ a. om. e. h. k. l.
[m] εἶναι] καὶ αὐτὸν εἶναι c. e. k. l. καὶ αὐτὴν εἶναι h.
[n] κινδύνους] πολέμους a. c. d. f. g. m. n.
[o] ἐγκαταλίπῃ] ἐγκαταλείπῃ a. g. m. n.
[p] τὸν δῆμον] τὴν τάξιν a.
[q] πάντα δεῖ τἀναντία a. c. e. h. k. l. m. πάντα δὴ τἀναντία g. πάντα τἀναντία d. f.
[r] διεξιέναι] ἐξιέναι l.
[s] Δημοσθένει] δημοσθένης pr. h.
[t] ψεύδεσθαι] ψείσασθαι d.
[u] αὐτῷ] αὐτῶν l.
[x] ἐγὼ φράσω om. e. h. k. l.
[y] Κεραμέων] κεραμέων ἀπόδημος g. et margo h. m.
[z] Νύμφαιον] νυμφαῶν e. k. l. νύμφαιον h.
[a] ἐν Πόντῳ] ἐν τῷ πόντῳ c. d. f. g. k. m. n.
[b] ἀπ' εἰσαγγελίας c. e. k. l. et margo f. m. ἐπ' εἰσαγγελίας h. ἀπὸ ἀγγελίας g. ceteri om.
[c] θανάτου] θανάτω e.
[d] τὴν κρίσιν οὐχ ὑπομείνας] οὐχ ὑπομείνας τὴν κρίσιν a.

172 μασμένους κήπους, καὶ γαμεῖ γυναῖκα πλουσίαν μὲν νὴ
Δία καὶ χρυσίον ἐπιφερομένην πολύ, [e]Σκύθιν δὲ τὸ γένος,
[f]ἐξ ἧς [g]γίνονται αὐτῷ θυγατέρες δύο, ἃς ἐκεῖνος δεῦρο
μετὰ πολλῶν χρημάτων [h]ἀποστείλας [i]συνῴκισε τὴν μὲν
ἑτέραν ὁτῳδήποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι· τὴν δ'
ἑτέραν ἔγημε παριδὼν τοὺς τῆς πόλεως [k]νόμους Δημο-
σθένης ὁ Παιανιεύς, ἐξ ἧς ὑμῖν ὁ περίεργος καὶ συκοφάν-
της [l]γεγένηται Δημοσθένης. οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου
[m]τοῦ πρὸς μητρὸς πολέμιος ἂν εἴη τῷ δήμῳ ([n]θάνατον
γὰρ αὐτοῦ τῶν προγόνων κατέγνωτε), τὰ δ' ἀπὸ τῆς μη-
τρὸς Σκύθης, βάρβαρος ἑλληνίζων τῇ φωνῇ· ὅθεν [o]καὶ τὴν
173 πονηρίαν οὐκ ἐπιχώριός ἐστι. Περὶ δὲ τὴν καθ' ἡμέραν
δίαιταν τίς ἐστιν; [p]ἐκ τριηράρχου λογογράφος ἀνεφάνη,
[q]τὰ πατρῷα καταγελάστως προέμενος· ἄπιστος δὲ καὶ
περὶ ταῦτα δόξας εἶναι καὶ [r]τοὺς λόγους ἐκφέρων τοῖς
ἀντιδίκοις ἀνεπήδησεν ἐπὶ τὸ βῆμα· πλεῖστον [s]δ' ἐκ τῆς
[t]πολιτείας εἰληφὼς ἀργύριον ἐλάχιστα [u]περιεποιήσατο.
νῦν μέντοι τὸ βασιλικὸν χρυσίον [x]ἐπικέκλυκε τὴν δαπά-
νην αὐτοῦ, [y]ἔσται δ' οὐδὲ τοῦθ' ἱκανόν· οὐδεὶς γὰρ [z]πώ-
ποτε πλοῦτος [a]τρόπου πονηροῦ περιεγένετο. καὶ τὸ κε-

[e] Σκύθιν] σκῦθιν h. σκῆθιν l.
[f] ἐξ ἧς γίνονται] γίνονται δ' c.d.f.
[g] γίνονται αὐτῷ θυγ. δύο] αὐτῷ γίνονται δύο θυγ. e. h. k. l.
[h] ἀποστείλας] στείλας a.g.m.n.
[i] συνῴκισε] συνῴκησε d. συνῴκισε δὲ a.
[k] νόμους — οὐκοῦν] νόμους ἐξ ἧς δημοσθένης ὁ παιανιεὺς γεγένηται οὐκοῦν d. f.
[l] γεγένηται Δημοσθένης] δημοσθένης γεγένηται a. c. h. k. l. δημοσθένης γεγέννηται e.
[m] τοῦ πρὸς μητρὸς om. e. h. k. l.
[n] θάνατον] θανάτου e.
[o] καὶ] κατὰ margo n. om. e.
[p] ἐκ] ἐκ τοῦ c.
[q] τὰ π. καταγ.] καταγ. τὰ π. e. h. k. l.
[r] τοὺς λόγους] τοῖς λόγοις e. l.
[s] δ' om. n.
[t] πολιτείας e. h. k. l. et margo g. m. ceteri πόλεως.
[u] περιεποιήσατο] ἐποιήσατο n.
[x] ἐπικέκλυκε] ἐπικέκθηκε g. h. l. m. n.
[y] ἔσται] ἔστι c. d.
[z] πώποτε om. c. d. f.
[a] τρόπου πονηροῦ] πονηροῦ τρόπου e. h. l.

φάλαιον, [b] τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται
174 ἀλλ' ἐκ τῶν ὑμετέρων κινδύνων. Περὶ δ' εὐγνωμοσύνην
καὶ λόγου δύναμιν πῶς πέφυκε; [c] δεινῶς λέγειν, [d] κακῶς
[e] βιῶναι. οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι [f] καὶ
παιδοποιίᾳ, ὥστ' [g] ἐμὲ μὴ βούλεσθαι λέγειν ἃ [h] τούτῳ
πέπρακται· ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ [i] τῶν 35
πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. ἔπειτα τί συμ-
βαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δ' ἔργα φαῦλα.
175 Πρὸς δὲ ἀνδρίαν βραχύς μοι λείπεται λόγος. [k] εἰ [l] μὲν
γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι ἢ ὑμεῖς μὴ συνήδειτε [m] αὐτῷ,
διατριβὴν ὁ λόγος ἂν μοι [n] παρεῖχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς
ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις καὶ ὑμεῖς σύνιστε, λοιπὸν
ὑπομνῆσαι τοὺς περὶ τούτων κειμένους νόμους. ὁ γὰρ 40
Σόλων ὁ παλαιὸς νομοθέτης ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις
ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον καὶ τὸν λελοιπότα
τὴν τάξιν καὶ τὸν δειλὸν ὁμοίως· εἰσὶ [o] γὰρ [p] καὶ δειλίας
γραφαί. [q] καίτοι θαυμάσειεν ἄν τις ὑμῶν εἰ εἰσὶ φύσεως
γραφαί. εἰσίν. τίνος ἕνεκα; ἵν' ἕκαστος [r] ἡμῶν τὰς ἐκ
τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ τοὺς πολεμίους
176 [s] ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος [t] ὑπάρχῃ. ὁ μὲν 79
τοίνυν νομοθέτης τὸν ἀστράτευτον καὶ τὸν δειλὸν καὶ τὸν
λιπόντα τὴν τάξιν ἔξω τῶν περιῤῥαντηρίων τῆς ἀγορᾶς

[b] τὸν βίον om. a. ῶ
[c] δεινῶς] δεινὸς a.c.e.f.k.l. δεινὸς h.
[d] κακῶς] κακὸς e. k.
[e] βιῶναι] ἴσ. βιῶν margo g.h.m.
[f] καὶ παιδοποιίᾳ] ἐκ παιδὸς c.
[g] ἐμὲ μὴ] μή με e. h. k. l. μὴ solum n. ceteri με μή.
[h] τούτῳ om. n.
[i] τῶν om. d. e.
[k] εἰ—λόγος om. l. in margine ponit h.
[l] μὲν—μὴ] μὴ—μηδὲ e.
[m] αὐτῷ om. a. e. g. k. m. n. et margo h.
[n] παρεῖχεν e. h. k. l. ceteri παρέσχεν.
[o] γὰρ] δὲ e. l.
[p] καὶ om. l.
[q] καίτοι—γραφαί om. e. k. l.
[r] ἡμῶν] ὑμῶν a. c. d. f. g. m. n.
[s] ἀμείνων] μάλ' ἀμείνων c. d. f.
[t] ὑπάρχῃ] ὑπάρχοι a. c. f. ὑπάρχει d. γίγνηται e. h. k. l.

ἐξείργει, [u] καὶ οὐκ ἐᾷ στεφανοῦσθαι οὐδ' εἰσιέναι εἰς τὰ ἱερὰ [x] τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νόμων κελεύεις [y] ἡμᾶς στεφανοῦν, καὶ τῷ [z] σαυτοῦ ψηφίσματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς εἰς τὴν ὀρχή- στραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου [a] τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα.

Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε ὅταν φῇ δημοτικὸς εἶναι. θεωρεῖτ' αὐτοῦ μὴ τὸν λόγον ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησὶν εἶναι ἀλλὰ τίς ἔστιν.

177 Ἐπεὶ [b] δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, [c] ἕως ἔτι μέμνημαι, προλέγω ὑμῖν, [d] ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους [e] ταύτας δωρεὰς καὶ τοὺς εἰκῇ δι- δομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται οὔτε τὰ τῆς πόλεως πράγματα [f] ἐπανορθωθήσεται· [g] τοὺς μὲν [h] γὰρ πονηροὺς οὐ [i] μή ποτε βελτίους [ii] ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. Ὅτι δ' ἀληθῆ λέγω, μεγάλα [k] τούτων οἶμαι σημεῖα δείξειν
178 ὑμῖν. εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε πότερον [l] ὑμῖν ἐνδοξοτέρα δοκεῖ [m] ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προ- γόνων, [n] ἅπαντες ἂν [o] ὁμολογήσαιτε [p] ὅτι ἐπὶ τῶν προγό-

[u] καὶ om. e.
[x] τὰ post ἱερὰ om. l.
[y] ἡμᾶς] ὑμᾶς l. σαυτοῦ
[z] σαυτοῦ] ἑαυτοῦ e. k. l. ἑαυτῷ h.
[a] τὸν om. e. h. k. l.
[b] δὲ] δὴ l. δὴ δὲ d.
[c] ἕως] ἕως ἂν e. h. l.
[d] ὦ recepi ex e. h. k. l.
[e] ταύτας δωρεὰς] δωρεὰς ταύτας a.
[f] ἐπανορθωθήσεται] οὐδέποτ' ἐπανορθωθήσεται k. l. οὐδέποτ' ἐπανορθώσετε h.
[g] τοὺς] καὶ τοὺς e.
[h] γὰρ om. e. g. h. k. l. m. n.
[i] μήποτε] δέ ποτε a. om. e. h. k. l.
[ii] ποιήσετε] ποιήσητε c. d. f.
[k] τούτων] νῦν c. d. f.
[l] ὑμῖν om. c. d. f.
[m] ἡ πόλις] ἡ πόλις ὑμῶν k. ἡ πόλις ἡμῶν a. e. g. m. n. ἡ πόλις δοκεῖ (non omisso superiori δοκεῖ) l.
[n] ἅπαντες—προγόνων om. n.
[o] ὁμολογήσαιτε] ὁμολογήσετε e. d. f. l. ὁμολογήσητε a. g. m. ὁμολογήσοιτε h.
[p] ὅτι recepi ex h.

νων. ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν ἢ [q] νυνί; τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ [r] σιτήσεις ἐν πρυτανείῳ πότερον τότε [s] ἦσαν πλείους ἢ νυνί; [t] τότε μὲν ἦν σπάνια τὰ καλὰ παρ' ἡμῖν καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· [u] νῦν δ' ἤδη [x] καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ
179 στεφανοῦν ἐξ ἔθους ἀλλ' [y] οὐκ ἐκ προνοίας ποιεῖσθε. οὐκ- 20
οὖν ἄτοπον [z] οὕτωσὶ διαλογιζομένοις τὰς μὲν δωρεὰς [a] νῦν πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε [b] μᾶλλον ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δ' ἀμείνους. ἐγὼ [c] δὲ τοῦθ' ὑμᾶς ἐπιχειρησω διδάσκειν. Οἴεσθ' [d] ἄν ποτε ὦ ἄνδρες Ἀθηναῖοι ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ [e] Ὀλύμπια ἢ [f] εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων παγκράτιον ἢ [g] καὶ ἄλλο τι τῶν βαρυτέρων 25
ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ ἀλλὰ τῷ διαπραξαμένῳ; [h] οὐδεὶς ἄν ποτ' ἠθέλησεν ἐπασκεῖν. νῦν δ' [i] οἶμαι διὰ τὸ σπάνιον [k] καὶ τὸ περιμάχητον καὶ τὸ καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης ἐθέλουσί τινες τὰ σώματα παρακαταθέμενοι καὶ τὰς μεγίστας ταλαιπω-
180 ρίας [l] ὑπομείναντες διακινδυνεύειν. ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς [m] εἶναι ἀγωνοθέτας [n] πολιτικῆς ἀρετῆς, κἀκεῖνο 30

[q] νυνί—νυνὶ] νῦν—νῦν e. k. l.
[r] σιτήσεις] σιτίσεις a. c.
[s] ἦσαν πλείους] πλείους ἦσαν e.
[t] τότε] τοῦτο l.
[u] νῦν] νυνὶ e. h. k.
[x] καταπέπλυται] καταλέλυται a. καταπεπάτηται h.
[y] οὐκ om. l.
[z] οὕτωσὶ διαλογιζ.] οὕτως ἰδία λογίζ. h. k. l.
[a] νῦν] νυνὶ k. om. e. l.
[b] μᾶλλον] μᾶλλον ἢ νῦν a. c. d. f. g. m. n.
[c] δὲ om. e. h. k. l.
[d] ἄν om. a. c. d. f. g. m. n.
[e] Ὀλύμπια] Editi Παναθήναια.
[f] εἰς ante ἄλλον om. e. h. k. l.
[g] καὶ om. e.
[h] οὐδεὶς ἄν] οὐδέ c. d. f.
[i] οἶμαι om. e. h. k. l.
[k] καὶ ante περιμάχητον om. e. h. k. l. ante καλὸν om. h. l.
[l] ὑπομείναντες] ὑπομείνατε d.
[m] εἶναι om. h. l.
[n] πολιτικῆς] τῆς πολιτικῆς c.

[o] ἐκλογίσασθε, ὅτι ἐὰν [p] μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε. Ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον [q] ὑμᾶς
181 βούλομαι διδάξαι. πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς ὁ στρατηγήσας ὅτ' [r] ἐν τῇ [s] περὶ [t] Σαλαμῖνα 35 ναυμαχίᾳ τὸν Πέρσην [u] ἐνικᾶτε, ἢ Δημοσθένης [x] ὁ [y] τὴν τάξιν λιπών; Μιλτιάδης δὲ ὁ τὴν ἐν Μαραθῶνι μάχην [z] τοὺς βαρβάρους νικήσας, ἢ οὗτος; ἔτι δ' οἱ ἀπὸ Φυλῆς [a] φεύγοντα τὸν δῆμον καταγαγόντες; Ἀριστείδης δ' ὁ δίκαιος [b] ἐπικαλούμενος, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν
182 Δημοσθένει; ἀλλ' ἴγωγε μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον [c] ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου [d] κἀκείνων τῶν ἀνδρῶν. ἐπιδειξάτω τοίνυν 40 Δημοσθένης ἐν τῷ [e] αὑτοῦ λόγῳ εἴ που γέγραπταί τινα [f] τούτων τῶν ἀνδρῶν στεφανῶσαι. ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὐκ, ἀλλὰ μεγαλόφρων, [g] κἀκεῖνοί γε [h] οἱ [i] μὴ [k] τετιμημένοι τῆς πόλεως [l] ἄξιοι· οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ [m] ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθά-

[o] ἐκλογίσασθε] ἀναλογίσασθε c. λογίσασθε e. h. k. l.
[p] μὲν om. e. h. k. l.
[q] ὑμᾶς βούλομαι] βούλομαι ὑμᾶς n.
[r] ἐν om. c. d. f.
[s] περὶ] παρὰ g. m. n.
[t] Σαλαμῖνα] σαλαμῖνι a. c. d. g. m. n.
[u] ἐνικᾶτε] νενικήκατε e. h. k. l.
[x] ὁ] ὁ νῦν k. ὁ νυνὶ e. l.
[y] τὴν τάξιν] τὰς τάξεις c. d. f. h.
[z] τοὺς βαρβάρους νικήσας] νικήσας τοὺς βαρβάρους e. h. k. l.
[a] φεύγοντα] φεύγοντες e. h. k. l.
[b] ἐπικαλούμενος om. a. g. m. n.
[c] ἡγοῦμαι] ἡγοῦμαι εἶναι e. h. k.
[d] κἀκείνων e. ceteri καὶ ἐκείνων.
[e] αὑτοῦ] ἑαυτοῦ e. h. k. αὐτῷ m.
[f] τούτων τῶν ἀνδρῶν] τῶν ἀνδρῶν τούτων a. g. m. n.
[g] κἀκεῖνοί] κἀκεῖνό a. g. m. n.
[h] οἱ] εἰ a.
[i] μὴ] μὲν n.
[k] τετιμημένοι] οὕτω τετιμημένοι c. d. f.
[l] ἄξιοι] ἀνάξιοι c. d. f.
[m] ἀπ'] ὑπ' h.

183 νατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον; [n] ὧν 80
ἄξιόν ἐστι μνησθῆναι.

[o v] Ἦσάν τινες, [p] ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ τοὺς τότε καιροὺς οἳ πολὺν [q] πόνον ὑπομείναντες καὶ μεγάλους κινδύνους [r] ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους· οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ἠτήσαν δωρεάν, [s] καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ [t] τῇ τῶν Ἑρ- 5
μῶν, [u] ἐφ' ᾧτε μὴ [x] ἐπιγράφειν [y] τὰ ὀνόματα τὰ ἑαυτῶν,
ἵνα μὴ τῶν στρατηγῶν ἀλλὰ τοῦ δήμου [z] δοκῇ εἶναι τὸ
184 ἐπίγραμμα. Ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων [a] εἴσεσθε. ἐπιγέγραπται [b] γὰρ [c] ἐπὶ [d] μὲν τῷ πρώτῳ τῶν Ἑρμῶν

[e] ἦν [f] ἄρα κἀκεῖνοι [g] ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν [h] ἐπ' Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοάς, 10
[i] λιμόν τ' αἴθωνα [k] κρατερόν τ' ἐπάγοντες [l v] Ἄρηα
πρῶτοι δυσμενέων [m] εὗρον ἀμηχανίην.

185 ἐπὶ δὲ τῷ δευτέρῳ

ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι [n] τάδ' [o] ἔδωκαν
ἀντ' εὐεργεσίης καὶ μεγάλης [p] ἀρετῆς. 15

[n] ἅν om. c. d. f.
[o v] Ἦσάν] ἦσαν δέ g. m. n.
[p] ὦ ἄνδρες Ἀθηναῖοι] Addidi sumpta ab e. h. k. l.
[q] πόνον ὑπομείναντες] πόνων ὑπομείναντες χρόνων a. g. m. n. ὑπομείναντες χρόνον c. d. f.
[r] ἐπὶ] ἐν g. m. n.
[s] καὶ om. e. h. k. l.
[t] τῇ ante τῶν om. e. h. k. l.
[u] ἐφ' ᾧτε] ἔφη τε c. g. m. n. ἔφην τε a. ἔφησε d. f.
[x] ἐπιγράφειν] ἐπιγράψειν c.
[y] τὰ ὀνόματα τὰ] τὸ ὄνομα τὸ e. h. k. l.
[z] δοκῇ] δοκεῖ d.
[a] εἴσεσθε] γνώσεσθε e. h. k. l.
[b] γὰρ om. h. k. l.
[c] ἐπὶ] ἐν h. l.
[d] μὲν τῷ] τῷ μὲν a. m. n.
[e] ἦν] ἦσαν e. h. k. l. conf. Ge. Chœroboscus Anecdott. nostr. p. 1293.
[f] ἄρα om. h. ἆρα rec. h.
[g] ταλακάρδιοι] τλησικάρδιοι c.
[h] ἐπ' Ἠϊόνι] ἐπὶ Ἰόνι d.
[i] λιμόν] λοιμόν n.
[k] κρατερόν] καρτερόν e.
[l v] Ἄρηα] ἔριν c.
[m] εὗρον] τεῦχον f.
[n] τάδ'] τάγ' e. h. k. l.
[o] ἔδωκαν] δῶκαν c. d.
[p] ἀρετῆς] χάριτος ἀμοιβῆς a.

[q] μᾶλλόν τις [r] τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
[s] ἀμφὶ [t] ξυνοῖσι πράγμασι [u] μόχθον ἔχειν.

186 ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῆ
ἕκ ποτε τῆσδε [x] πόληος ἅμ' [y] Ἀτρείδῃσι Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωϊκὸν [z] ἀμπεδίον,
ὅν [a] ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα [b] χαλκοχιτώνων
[c] κοσμητῆρα [d] μάχης ἔξοχον ἄνδρα μολεῖν.
οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς πολέμου [e] τ' ἀμφὶ καὶ ἠνορέης.

[f] ἔστι που [g] τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου.

187 [h] Προσέλθετε [i] δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην· ἁπάντων γὰρ [k] ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη γέγραπται. τίς οὖν ἦν ὁ στρατηγός; οὐτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες [l] ἀποκρίναισθε ἂν ὅτι Μιλτιάδης, ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται. [m] πῶς; οὐκ ἤτησε [n] τὴν δωρεὰν ταύτην; [o] ἤτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ [p] πρώτῳ γραφῆναι, [q] παρα-

[q] μᾶλλον] ὡς μᾶλλον c.
[r] τάδ'] ταῦτ' e. l.
[s] ἀμφὶ] χαίρων ἀμφὶ e. h. k. l.
[t] ξυνοῖσι] ξειναῖς h.
[u] μόχθον] μόθον l. πόνον a.
[x] πόληος] πόλεως c. d. g. m.
[y] Ἀτρείδῃσι] ἀτρείδαισι e. ἀτρείδεσι l. ἀτρείδεσσι h.
[z] ἀμπεδίον] ἐς πεδίον h. k. l.
[a] ποθ'] περ a.
[b] χαλκοχιτώνων] θωρηκτάων supra versum g. h. m. περ φρονεόντων a.
[c] κοσμητῆρα e. h. k. l. κοσμήτορα a. g. m. κοσμήτορα c. d. f. κοσμητῆρα n.
[d] μάχης] μάχην h.
[e] τ' om. e. h. k. l.
[f] ἔστι] ἐνταῦθ' ἔστι c.
[g] τὸ om. c. d.
[h] προσέλθετε] προέλθετε d. e. f. h. k. l.
[i] δὴ] Editi οὖν.
[k] ὑμῖν] ἡμῖν e. h. k. l.
[l] ἀποκρίναισθε ἂν] ἀποκρίνεσθε ἂν f. ἀποκρίθαισθε ἂν n. ἀποκρίνεσθε ἂν d. ἀποκρίνασθε ἂν m. ἀποκρινεῖσθε ἂν g. ἀποκρινεῖσθε e. h. l. ἂν ἀποκρινεῖσθε k.
[m] πῶς] πῶς οὖν e.
[n] τὴν δωρεὰν ταύτην] ταύτην τὴν δωρεὰν e. h. k. l.
[o] ἤτησεν—ἔδωκεν om. e. l.
[p] πρώτῳ γραφῆναι] γραφῆναι πρώτῳ e. h. k. l.
[q] παρακαλοῦντι] παρακαλοῦντί g. h. m.

καλοῦντι τοὺς στρατιώτας. Ἐν τοίνυν τῷ μητρῴῳ [r] παρὰ
188 τὸ βουλευτήριον, ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα
τὸν δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. ἦν μὲν [s] γὰρ ὁ [t] τὸ
ψήφισμα [u] γράψας καὶ νικήσας [x] Ἀρχῖνος ὁ ἐκ Κοίλης,
εἷς τῶν [y] καταγαγόντων τὸν δῆμον, ἔγραψε δὲ πρῶτον 35
μὲν [z] αὐτοῖς εἰς θυσίαν καὶ [a] ἀναθήματα δοῦναι χιλίας
δραχμάς (καὶ τοῦτ' ἐστὶν ἔλαττον ἢ δέκα δραχμαὶ κατ'
ἄνδρα [b] ἕκαστον), ἔπειτα κελεύει [c] στεφανῶσαι θαλλοῦ
στεφάνῳ [d] αὐτῶν ἕκαστον, ἀλλ' οὐ χρυσῷ· τότε μὲν γὰρ
ἦν [e] ὁ τοῦ θαλλοῦ [f] στέφανος [g] τίμιος, [h] νυνὶ δὲ καὶ ὁ [i] χρυ-
σοῦς καταπεφρόνηται. [k] καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κε-
λεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν σκεψαμένην ὅσοι [l] αὐτῶν
ἐπὶ [m] Φυλῆς ἐπολιορκήθησαν, [n] ὅτε Λακεδαιμόνιοι καὶ οἱ 40
τριάκοντα [o] προσέβαλλον τοῖς καταλαβοῦσι Φυλήν, οὐχ
ὅσοι τὴν τάξιν [p] ἔλιπον ἐν Χαιρωνείᾳ τῶν πολεμίων ἐπι-
189 όντων. Ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται [q] ὑμῖν τὸ ψή-
φισμα.

[r] ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ [s] ΤΟΙΣ ΑΠΟ ΦΥΛΗΣ.

[t] Παρανάγνωθι [u] καὶ ὃ γέγραφε Κτησιφῶν Δημοσθένει
τῷ τῶν μεγίστων [x] κακῶν αἰτίῳ.

[r] παρὰ om. e. l.
[s] γὰρ om. c.
[t] τὸ om. m. n.
[u] γράψας καὶ om. e. h. k. l.
[x] Ἀρχῖνος] ἀρκῖνος e. h. l.
[y] καταγαγόντων] καταγόντων n. ἀγαγόντων c. d. f.
[z] αὐτοῖς εἰς θυσίαν] εἰς θυσίαν αὐτοῖς a.
[a] ἀναθήματα] ἀναθύματα d.
[b] ἕκαστον om. e. h. k. l.
[c] στεφανῶσαι] στεφανοῦσθαι a. c. d. f. g. m. n.
[d] αὐτῶν] αὐτὸν e. k.
[e] ὁ] καὶ ὁ e. h. k. l.
[f] στέφανος] στεφάνου a. m.
[g] τίμιος] οὐ τίμιος n.
[h] νυνὶ] νῦν e. h. k. l.
[i] χρυσοῦς] χρυσὸς c. d. f.
[k] καὶ om. e. l.
[l] αὐτῶν om. e. h. k. l.
[m] φυλῆς] φυλῇ a. g. m. n.
[n] ὅτε] οἵ τε a. e. h. k.
[o] προσέβαλλον] προσέβαλον e. l.
[p] ἔλιπον] ἔλειπον d.
[q] ὑμῖν] ἡμῖν e. l.
[r] Titulum om. a. περὶ—Φυλῆς om. m. n.
[s] ΤΟΙΣ] τῆς c.
[t] Παρανάγνωθι] ἀνάγνωθι n.
[u] καὶ] δὲ καὶ e.
[x] κακῶν αἰτίῳ] αἰτίῳ κακῶν e. h. k. l.

ΨΗΦΙΣΜΑ.

Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται [y] ἡ τῶν καταγα- 81
γόντων [z] τὸν δῆμον δωρεά. [a] εἰ ταῦτ' ἔχει καλῶς, [b] ἐκεῖνο
αἰσχρῶς· εἰ [c] ἐκεῖνοι κατ' ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνά-
ξιος ὢν στεφανοῦται.

190 Καίτοι πυνθάνομαί γ' αὐτὸν μέλλειν λέγειν ὡς οὐ δί-
καια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα·
οὐδὲ γὰρ [d] Φιλάμμωνα [e] φήσει τὸν πύκτην Ὀλυμπιάσι
στεφανωθῆναι νικήσαντα Γλαῦκον τὸν παλαιὸν [f] ἐκεῖνον 5
πύκτην, ἀλλὰ τοὺς καθ' [g] ἑαυτὸν ἀγωνιστάς, ὥσπερ
[h] ὑμᾶς ἀγνοοῦντας ὅτι τοῖς μὲν πύκταις ἐστὶν [i] ὁ ἀγὼν
πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι πρὸς [k] αὐ-
τὴν τὴν ἀρετὴν ἧς [l] καὶ ἕνεκα στεφανοῦνται. δεῖ γὰρ τὸν
κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάῤῥησιν ἐν τῷ θεάτρῳ ποιῆ-
ται πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν ὡς [m] Παταικίωνος
ἄμεινον πεπολίτευσαι διέξιθι, ἀλλ' ἐφικόμενος τῆς ἀν- 10
δραγαθίας οὕτω τὰς χάριτας [n] τὸν δῆμον ἀπαίτει.

191 Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀνα-
γνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα ὃ ἐπιγέ-
γραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν.

[o] ΕΠΙΓΡΑΜΜΑ.

τούσδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἵ ποτε [p] τοὺς [q] ἀδίκοις

[y] ἡ τῶν] ἡμῶν h. l.
[z] τὸν δῆμον om. e. h. k. l.
[a] εἰ ταῦτ'] εἴτ' c. d. f.
[b] ἐκεῖνο] ἐκείνω a.
[c] ἐκεῖνοι] ἐκεῖνο l. δ' ἐκεῖνοι c. e.
[d] Φιλάμμωνα] φιλάμμονα d. f. n
[e] φήσει] φησὶ a. g. k. m. n. φασὶ h. φασὶ e. l.
[f] ἐκεῖνον om. e. h. k. l.
[g] ἑαυτὸν] ἑαυτῶν d.
[h] ὑμᾶς] ἡμᾶς c. d. e. f. h. k. l.
[i] ὅ om. c. d. f.
[k] αὐτὴν] ἀρετὴν h. l.
[l] καὶ om. e. h. k. l. n.
[m] Παταικίωνος — πεπολίτευσαι] es σαι παταικίωνα—πεπολίτευκασι h.
[n] τὸν δῆμον] τῷ δήμῳ a.
[o] Titulum om. a.
[p] τοὺς] τοῖς l.
[q] ἀδίκοις] ἀδίκους c.

θεσμοῖς [r] ἄρξαντας [s] πόλιος πρῶτοι καταπαύειν ἤρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

192 Ὅτι τοὺς [t] παρὰ τοὺς νόμους [u] ἄρξαντας κατέλυσαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι. ἔναυλον γὰρ ἦν [x] ἔτι τότε πᾶσιν [y] ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. καὶ γάρ τοι, ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει, [z] ὃς πολλάκις πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς. ἔφη γάρ, ὅτε ἀρτίως [a] κατεληλύθει ὁ δῆμος, εἴ τις [b] εἰσίοι [c] γραφὴν παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον. τί γὰρ [d] ἐστιν [e] ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος καὶ πράττοντος;

193 καὶ τὴν ἀκρόασιν, ὡς ἐκεῖνος [f] ἀπήγγελλεν, οὐ τὸν αὐτὸν τρόπον [g] ἐποιοῦντο ὥσπερ νῦν γίνεται, ἀλλ' ἦσαν [h] πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς [i] παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις [k] ἀνεπόδιζον τὸν γραμματέα καὶ ἐκέλευον πάλιν ἀναγινώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ ἠλίσκοντο οἱ [l] παράνομα γράφοντες οὐκ εἰ πάντας [m] παραπηδήσαιεν τοὺς νόμους,

[r] ἄρξαντας] ἄρξαντας κατέλυσαν c.

[s] πόλιος πρῶτοι h. k. πόλης πρῶτοι e. l. ceteri πρῶτοι πόλεως.

[t] παρὰ τοὺς νόμους] παρανόμους l. παρανόμως h. k. παρὰ τὸν νόμον n.

[u] ἄρξαντας] ἄρξαντες l.

[x] ἔτι om. a.

[y] ὅτι] ὅτε e. h. k. l.

[z] ὃς] οὓς Marklandus.

[a] κατεληλύθει] κατελύθη e. l.

[b] εἰσίοι a. c. d. f. g. m. n. ceteri εἰσῄει.

[c] γραφὴν scripti omnes.

[d] ἐστιν] οὐδέν ἐστιν l.

[e] ἀνοσιώτερον] ἀνοσιώτατον n.

[f] ἀπήγγελλεν] ἀπήγγειλεν d. e. l. ἀπήγγειλεν h.

[g] ἐποιοῦντο] ἐποίουν d. f.

[h] πολὺ χαλεπώτεροι οἱ] πολλοὶ e. h. l. articulum om. et k.

[i] παράνομα] τὰ παράνομα a. g. m. n.

[k] ἀνεπόδιζον] ἀνεπόδιζον g. ἐνεπόδιζον h. et margo m.

[l] παράνομα] τὰ παράνομα e. h. k. l.

[m] παραπηδήσαιεν] παραπεσήσαιεν h.

ἀλλ' εἰ μίαν [n] μόνον συλλαβὴν [o] παραλλάξαιεν. τὸ δὲ
νυνὶ γινόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν
[p] γὰρ γραμματεὺς ἀναγινώσκει τὸ παρανόμον, οἱ δὲ δι-
καστὰι ὥσπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώ-
194 μενοι πρὸς ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν. ἤδη δ' ἐκ τῶν
τεχνῶν [q] τῶν Δημοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρί-
οις παραδέχεσθε. [r] μετενήνεκται γὰρ [s] ὑμῖν τὰ τῆς πό-
λεως δίκαια· ὁ μὲν γὰρ κατήγορος [t] ἀπολογεῖται, ὁ δὲ
φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε ὧν
μέν εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δ' οὐκ εἰσὶ δικασταί,
περὶ τούτων ἀναγκάζονται [u] τὴν ψῆφον [x] φέρειν. λέγει
δὲ ὁ φεύγων, [y] ἐὰν ἄρα ποθ' ἅψηται τοῦ πράγματος,
οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη [z] ποτὲ καὶ πρότε-
195 ρον [a] ἕτερος [b] τοιαῦτα γράψας ἀπέφυγεν. ἐφ' ᾧ καὶ
[c] νυνὶ [d] μέγα φρονεῖν ἀκούω Κτησιφῶντα, ἐτόλμα δ' ἐν
[e] ὑμῖν [f] ποτὲ σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεὺς
λέγων ὅτι γραφὰς παρανόμων [g] πέφευγεν ἑβδομήκοντα
καὶ πέντε. ἀλλ' [h] οὐχὶ ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ
δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ
τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων ὅτι πλεῖστα πάντων
γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν [i] πέ-
φευγε παρανόμων, καλῶς (οἶμαι) σεμνυνόμενος. ἐγρά-

[n] μόνον] μόνην h.
[o] παραλλάξαιεν] παραλλάξειαν d. f.
[p] γὰρ om. c. g. h. l. m.
[q] τῶν Δημ.] τοῦ δημ. e. h. k. l.
[r] μετενήνεκται] μετήνεγκται e. μετήνεκται l.
[s] ὑμῖν] ἡμῖν e. h. k. ὑμῶν ceteri.
[t] ἀπολογεῖται] ἀπολεῖται c. f. ἀπωλεῖται d.
[u] τὴν om. n.
[x] φέρειν] ἐκφέρειν g. et γρ. m.
[y] ἐὰν e. vulg. ἄν.
[z] ποτὲ om. c. d.
[a] ἕτερος] Editi ἄλλος.
[b] τοιαῦτα] τοσαῦτα e. h. k. l.
[c] νυνὶ] νῦν d. e. f. h. k. l.
[d] μέγα φρονεῖν] μεγαλωφρονεῖν h. k. l.
[e] ὑμῖν] ἡμῖν e. h. l.
[f] ποτὲ om. e.
[g] πέφευγεν] ἀπέφυγεν e. h. k. l.
[h] οὐχὶ] οὐχ e. h. k. l.
[i] πέφευγε] ἔφευγε e. h. k. l.

φοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς φίλους, εἴ τι [k] ἐξαμάρ-
196 τοιεν εἰς τὴν πόλιν. ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. Ἀρχῖνος 82
γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων Θρασύβουλον τὸν [l] Στειριέα γράψαντά [m] τι παρὰ τοὺς νόμους, [[n] στεφανοῦν] ἕνα τῶν [o] συγκατελθόντων αὐτῷ ἀπὸ Φυλῆς, καὶ εἷλε νεωστὶ γεγενημένων αὐτῷ τῶν εὐεργεσιῶν, ἃς οὐχ [p] ὑπελογίσαντο οἱ δικασταί· ἠγοῦντο γάρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς Θρασύβουλος κατήγαγεν, 5
οὕτω νῦν [q] μένοντας ἐξελαύνειν [r] γράφοντά τι παρὰ τοὺς
197 νόμους. ἀλλ' οὐ νῦν, [s] ἀλλὰ πᾶν τοὐναντίον γίνεται· οἱ γὰρ ἀγαθοὶ [t] στρατηγοὶ [u] ὑμῖν καὶ τῶν τὰς σιτήσεις τινὲς εὑρημένων ἐν τῷ πρυτανείῳ ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν [x] ὑπολαμβάνοιτε· εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ [y] πολιτείᾳ ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σώζουσι, 10
τολμᾷ βοηθεῖν τοῖς παράνομα γράφουσι, καταλύει τὴν
198 πολιτείαν ὑφ' ἧς τετίμηται. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ [z] δικαίῳ συνηγόρῳ [a] καὶ σώφρονι; ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσιὴ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ,

[k] ἐξαμάρτοιεν h. ceteri ἐξαμαρτάνοιεν.
[l] Στειριέα] σταμιέα d.
[m] τι om. e. h. k. l.
[n] [στεφανοῦν] om. d. f.
[o] συγκ. αὐτῷ ἀπὸ Φυλῆς] ἀπὸ φυλῆς αὐτῷ συγκ. e. h. l.
[p] ὑπελογίσαντο] ὑπελογίζοντο c. ἐλογίζοντο d. f.
[q] μένοντας] μέλλοντας d.
[r] γράφοντά τι παρὰ τοὺς νόμους] παρὰ τοὺς νόμους γράφοντά τι a. c. d. f. g. m. n.
[s] ἀλλὰ πᾶν e. h. k. l. vulg. ἀλλ' ἅπαν.
[t] στρατηγοὶ] στρατιῶται c. d. f.
[u] ὑμῖν e. k. ἡμῖν h. l. ceteri ὑμῶν.
[x] ὑπολαμβάνοιτε] ὑπολαμβάνητε k. l. n. ὑπολαμβάνηται h.
[y] πολιτείᾳ] πόλει l. n.
[z] δικαίῳ συνηγόρῳ] συνηγόρῳ δικαίῳ g. m. n.
[a] καὶ σώφρονι om. e. h. k. l.

τὸ δὲ δεύτερον ὕδωρ τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς 15
αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ
[b] μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον [c] ὕδωρ ἐγχεῖται
199 τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας. ὅστις
μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, [d] τὴν ὀργὴν τὴν
ὑμετέραν [e] παραιτεῖται· ὅστις δ' ἐν τῷ πρώτῳ λόγῳ τὴν
ψῆφον αἰτεῖ, [f] ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰ-
τεῖ, ὧν οὔτε αἰτῆσαι [g] οὐδὲν ὅσιον οὐδενὶ οὔτ' αἰτηθέντα
ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτούς, ἐάσαντας [h] ὑμᾶς 20
τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν, [i] ἀπαν-
200 τᾶν εἰς τὴν τίμησιν. ὅλως δ' ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι,
ὀλίγου δέω εἰπεῖν ὡς καὶ νόμον δεῖ [k] τεθῆναι ἐπὶ ταῖς
γραφαῖς [l] μόνον [m] ταῖς παρανόμων, μὴ ἐξεῖναι μήτε τῷ
κατηγόρῳ συνηγόρους [n] παρασχέσθαι μήτε τῷ τὴν γρα-
φὴν τῶν παρανόμων [o] φεύγοντι. οὐ γὰρ ἀόριστόν ἐστι τὸ
δίκαιον, ἀλλ' ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. ὥσ- 25
περ γὰρ ἐν τῇ τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν
καὶ τὸ μή, τὸν κανόνα προσφέρομεν ᾧ διαγινώσκεται,
201 οὕτω καὶ ἐν ταῖς γραφαῖς [p] ταῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ δικαίου τουτὶ τὸ σανίδιον καὶ τὸ ψήφισμα καὶ οἱ παραγεγραμμένοι νόμοι. ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε· καὶ τί δεῖ σε [q] Δημοσθένη παρακαλεῖν; ὅταν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον ἄνθρωπον καὶ 30

[b] μὴ om. e. h. k. l.
[c] ὕδωρ om. pr. h.
[d] τὴν ὀργὴν—αἰτεῖ om. e.
[e] παραιτεῖται] αἰτεῖται g. m. n.
[f] ὅρκον αἰτεῖ om. a. g. m. n. post νόμον αἰτεῖ ponunt e. h. k. l.
[g] οὐδὲν] οὐδέν ἐστιν e. h. k. l.
[h] ὑμᾶς τὴν πρώτην] τὴν πρώτην ὑμᾶς e. h. k. l.
[i] ἀπαντᾶν] ἔπειτα ἀπαντᾶν Reiskius ex Helmstad.
[k] τεθῆναι] τιθέναι l.
[l] μόνον] μόναις k. om. n.
[m] ταῖς h. ceteri τῶν.
[n] παρασχέσθαι] παρέχεσθαι c. d.
[o] φεύγοντι] γράφοντι h. l.
[p] ταῖς ante τῶν recepi e k.
[q] Δημοσθένη a. vulg. δημοσθένην.

τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.

202 Τίς οὖν ἐστὶν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ [r]ἐρῶ. ἐπειδὰν [s]προσελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο [t]δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν [u]ἄνευ θορύβου τὸ σανίδιον [x]λαβεῖν καὶ τοὺς νόμους τῷ ψηφίσματι [y]παραναγνῶναι. ἐὰν δὲ μὴ προσποιῆται 35
ὑμῶν ἀκούειν, μηδὲ ὑμεῖς [z]ἐκείνου ἐθέλετε ἀκούειν· οὐ γὰρ τῶν φευγόντων τὰς οὐ δικαίας ἀπολογίας εἰσεληλύθατε ἀκροασόμενοι, ἀλλὰ τῶν ἐθελόντων δικαίως ἀπο-
203 λογεῖσθαι. ἐὰν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν [a]Δημοσθένη παρακαλῇ, μάλιστα μὲν μὴ [b]προσδέχεσθε [c]κακοῦργον ἄνθρωπον, οἰόμενον [d]ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ τοῦθ' [e]ὑμῶν μηδεὶς καταλογι- 40
ζέσθω, ὃς [f]ἂν [g]ἐπανερομένου Κτησιφῶντος εἰ [h]καλέσῃ Δημοσθένη πρῶτος [i]ἀναβοήσῃ "κάλει, [k]κάλει." ἐπὶ σαυτὸν καλεῖς, [l]ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ [m]τὴν δημοκρατίαν καλεῖς. ἂν [n]δ' ἄρα [o]ὑμῖν δόξῃ ἀκούειν, ἀξιώ-

[r] ἐρῶ] δὲ ἐρῶ c. προερῶ e. k. l. προσερῶ h.
[s] προσελθὼν] προελθὼν e. k. l.
[t] δὴ] γὰρ h. om. l.
[u] ἄνευ θορύβου] ἀθορύβως e. k. l. ἀγαθορύβως (in margine posita ἄνευ) h.
[x] λαβεῖν] λαβὼν a.
[y] παραναγνῶναι] παραγνῶναι c.
[z] ἐκείνου] ἐκεῖνον e. h.
[a] Δημοσθένη] δημοσθένει f. δημοσθένην e. g. h. k. l. m. n. quorum e. h. k. l. anteponunt παρακαλῇ.
[b] προσδέχεσθε] προσδέχεσθαι e. k.
[c] κακοῦργον ἄνθρωπον] σοφιστὴν e. h. k. l.
[d] ῥήμασι om. e. h. k. l.
[e] ὑμῶν] ὑμῖν e. h. l.
[f] ἂν om. g. h. l.
[g] ἐπανερομένου] ἐαυτερομένου n.
[h] καλέσῃ] καλέσει c. d. f. καλέσειε e. h. k. l. καλέσω a. g. m. n. conf. p. 36, 24. et 44.
[i] ἀναβοήσῃ] ἀναβοήσει h. k. l.
[k] Alterum κάλει om. e. h. l.
[l] ἐπὶ τοὺς—δημ. καλεῖς om. c. d. in margine ponit h. ἐπὶ δὲ τοὺς l.
[m] τὴν om. e. k. l.
[n] δ' om. c. d. f. n.
[o] ὑμῖν] ἡμῖν d.

σατε τὸν Δημοσθένη τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι ὅνπερ
204 κἀγὼ [q] κατηγόρηκα. ἐγὼ δὲ πῶς κατηγόρηκα; ἵνα καὶ
ὑπομνήσω ὑμᾶς. οὔτε τὸν [r] ἴδιον βίον [s] τὸν Δημοσθένους
πρότερον διεξῆλθον οὔτε [t] τῶν δημοσίων ἀδικημάτων [u] οὐδε- 83
νὸς πρότερον ἐμνήσθην, ἄφθονα δήπου καὶ πολλὰ [x] ἔχων
λέγειν, ἢ πάντων γ' ἂν εἶην ἀπορώτατος· ἀλλὰ πρῶτον
μὲν [y] τοὺς νόμους ἐπέδειξα ἀπαγορεύοντας μὴ στεφανοῦν
τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξήλεγξα γράψαντα
Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν οὐδεν [z] προβαλό- 5
μενον, οὐδὲ [a] προσεγγράψαντα "ἐπειδὰν δῶ τὰς εὐθύνας,"
ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπεφρονη-
κότα· καὶ τὰς ἐσομένας πρὸς [b] ταῦτα προφάσεις εἶπον,
205 ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. δεύτερον δ' ὑμῖν δι-
εξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαῤῥή-
δην ἀπείρηται τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κη-
ρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ [c] φεύγων τὴν 10
γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν ἀλλὰ καὶ τὸν
καιρὸν τῆς ἀναῤῥήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ
ἐκκλησίᾳ ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάῤῥησιν γίνεσθαι,
[d] οὐδ' ἐκκλησιαζόντων Ἀθηναίων ἀλλὰ μελλόντων τραγῳ-
δῶν εἰσιέναι. ταῦτα δ' εἰπὼν μικρὰ μὲν περὶ τῶν [e] ἰδίων
εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων
206 [f] λέγω. οὕτω δὴ καὶ τὸν Δημοσθένην [g] ἀξιώσατε ἀπολο- 15

[q] κατηγόρηκα ἐγὼ δὲ] ὧδέ c. d. f.
[r] ἴδιον] δῖον d.
[s] τὸν] τοῦ e. h. k. l.
[t] τῶν δημ. ἀδικ.] τῶν ἀδικ. τῶν δημ. e. h. k. l.
[u] οὐδενὸς πρότερον] πρότερον οὐδενὸς a.
[x] ἔχων λέγειν] λέγειν ἔχων e. h. k. l.
[y] τοὺς νόμους ἐπέδειξα] ἐπέδειξα τοὺς νόμους e. k. l. ἀπέδειξα τοὺς νόμους h.
[z] προβαλόμενον Stephanus: libri scripti προβαλλόμενον.
[a] προσεγγράψαντα] προσγράψαντα h.
[b] ταῦτα] ταύτας a. c. f. g. m. n.
[c] φεύγων] φυγὼν c. d. f.
[d] οὐδ'] οὐκ e. h. k. l.
[e] ἰδίων] οἰκείων a.
[f] λέγω om. c. d. f.
[g] ἀξιώσατε ἀπολογεῖσθαι] ἀπολογεῖσθαι ἀξιώσατε g.

γεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων [h] νόμον πρῶτον [i] καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δὲ [k] τὸ μέγιστον λέγω, ὡς [l] οὐδὲ ἄξιός ἐστι τῆς δωρεᾶς. ἐὰν δ' ὑμῶν δέηται [m] συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς [n] ἀπολογίας [o] λύσει τὸ παράνομον, μὴ [p] συγχωρεῖτε, [q] μηδ' ἀγνοεῖθ' ὅτι πάλαισμα τοῦτ' ἐστὶ δικαστηρίου· οὐ γὰρ εἰσαῦθίς ποτε [r] βούλεται πρὸς τὸ παράνομον ἀπολογεῖσθαι, ἀλλ' οὐδὲν ἔχων δίκαιον εἰπεῖν ἑτέρων παρεμβολῇ πραγμάτων
207 εἰς λήθην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμβαλεῖν. ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως [s] ἀλλήλοις διαγωνιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως [t] περὶ τῆς τάξεως [u] αὐτῷ τοῦ λόγου μάχεσθε, καὶ μὴ ἐᾶτε αὐτὸν [x] εἰς τοὺς ἔξω τοῦ παρανόμου [y] λόγους περιίστασθαι, ἀλλ' ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες ἐν τῇ [z] ἀκροάσει εἰσελαύνετε αὐτὸν εἰς τοὺς τοῦ [a] πράγματος λόγους, καὶ τὰς ἐκτροπὰς αὐτοῦ τῶν
208 λόγων ἐπιτηρεῖτε. [b] ἀλλ' ἃ δὴ συμβήσεται ὑμῖν, [c] ἐὰν τοῦτον τὸν τρόπον τὴν ἀκρόασιν [d] ποιῆσθε, [e] ταῦθ' ὑμῖν ἤδη δίκαιός εἰμι προειπεῖν. ἐπεισάξει [f] γὰρ τὸν γόητα [g] καὶ

[h] νόμον] νόμων l. m.
[i] καὶ τὸν] πρὸς τὸν e. h. k. l. om. c. d. f.
[k] τὸ] τὸν a. malim δ.
[l] οὐδὲ ἄξιός] οὐδὲ ἀνάξιός k. οὐδὲν ἀνάξιός e.h.l. et γρ. g. οὐκ ἀνάξιός f.
[m] συγχωρῆσαι] συγχωρεῖτε e.h.l.
[n] ἀπολογίας] ἐπαγγελίας e. h. l.
[o] λύσει] λύσῃ d.
[p] συγχωρεῖτε] συγχωρῆτε f.
[q] μηδ' ἀγνοεῖθ' om. a. f.
[r] βούλεται] βούλοιτ' ἂν e. h. k.l. et γρ. g. m. βουλεύεται f. βουλεύσεται d.
[s] ἀλλήλοις] ἀλληλοῖς h. ἀλλήλοις a. m. n. πρὸς ἀλλήλους c. d. f.
[t] περὶ] καὶ περὶ c. d. f.
[u] αὐτῷ τοῦ λόγου] αὐτοῦ τοῦ λόγου g. τοῦ λόγου αὐτῷ e. h. k. l.
[x] εἰς τοὺς om. a. c. d. f. g. m. n.
[y] λόγους] λόγου d. f.
[z] ἀκροάσει] ἐκκλησίᾳ e. h. k. l.
[a] πράγματος] παρανόμου e.h.k.l.
[b] ἀλλ' om. e.h.k.l. δὴ om. c.d.f.
[c] ἐὰν] ἐὰν μὴ Taylorus post Lambinum.
[d] ποιῆσθε] ποιήσησθε e. h. k. l.
[e] ταῦθ'] τοῦθ' e. h. k. l.
[f] γὰρ om. h. k. l. n.
[g] καὶ om. d.

[h] βαλαντιοτόμον καὶ διατετμηκότα τὴν πολιτείαν. οὗτος
[i] κλάει μὲν [k] ῥᾷον ἢ [l] ἄλλοι γελῶσιν, ἐπιορκεῖ δὲ πάντων
[m] προχειρότατα· οὐκ ἂν θαυμάσαιμι δὲ εἰ μεταβαλλό-
μενος τοῖς [n] ἔξω περιεστηκόσι λοιδορήσεται, φάσκων τοὺς
μὲν ὀλιγαρχικοὺς ὑπ' αὐτῆς τῆς ἀληθείας [o] διηριθμημένους
ἥκειν πρὸς τὸ τοῦ κατηγόρου βῆμα, τοὺς δὲ δημοτικοὺς
209 πρὸς τὸ τοῦ φεύγοντος. ὅταν δὴ [p] τὰ τοιαῦτα λέγῃ, πρὸς
μὲν τοὺς στασιαστικοὺς λόγους ἐκεῖνο αὐτῷ ὑποβάλλετε,
[q] ὅτι "ὦ Δημόσθενες, εἰ [r] σοὶ ἦσαν ὅμοιοι οἱ ἀπὸ Φυλῆς
"φεύγοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἄν [s] ποθ' ἡ
"δημοκρατία κατέστη. νῦν δὲ ἐκεῖνοι μὲν μεγάλων κα-
"κῶν συμβάντων ἔσωσαν τὴν πόλιν τὸ κάλλιστον ἐκ
"παιδείας ῥῆμα φθεγξάμενοι, μὴ μνησικακεῖν· σὺ δὲ
"[t] ἐλκοποιεῖς, καὶ μᾶλλόν σοι μέλει τῶν [u] αὐθημερὸν
"λόγων ἢ τῆς σωτηρίας τῆς πόλεως." ὅταν δ' ἐπίορκος
ὢν εἰς τὴν [x] διὰ τῶν ὅρκων πίστιν καταφυγγάνῃ, ἐκεῖνο
ἀπομνημονεύσατε αὐτῷ, [y] ὅτι τῷ πολλάκις μὲν ἐπιορ-
κοῦντι ἀεὶ δὲ πρὸς [z] τοὺς αὐτοὺς μεθ' ὅρκων ἀξιοῦντι
πιστεύεσθαι [a] δυοῖν θάτερον ὑπάρξαι δεῖ, ὧν οὐδέτερόν ἐστι
Δημοσθένει ὑπάρχον, ἢ τοὺς θεοὺς [b] καινοὺς ἢ τοὺς ἀκρο-
210 ατὰς μὴ τοὺς αὐτούς. περὶ δὲ τῶν δακρύων καὶ τοῦ τόνου

[h] βαλαντιοτόμον] βαλλαντιοτόμον a. f.
[i] κλάει γρ. m. ceteri κλαίει.
[k] ῥᾷον] ῥαδίως a. c. d. f. g. m. n.
[l] ἄλλοι] οἱ ἄλλοι k.
[m] προχειρότατα] προχειροτατα ἀνθρώπων c. d. f.
[n] ἔξω] ἔξω τῆς πόλεως c. d. f.
[o] διηριθμημένους] ἠναγκασμένους γρ. e.
[p] τὰ τοιαῦτα] ταῦτα a. c. d. f. g. m. n.
[q] ὅτι om. a. g. m. n.
[r] σοὶ ἦσαν ὅμοιοι] ὅμοιοι ἦσαν σοι e. h. k. l.
[s] ποθ' ἡ] ποτε f. ποτε ἦδη g.
[t] ἐλκοποιεῖς] λογοποιεῖς c. d. f.
[u] αὐθημερὸν] αὐθημέρων c. e. f. l. αὐθημέρων h. αὐθημερῶν k.
[x] διὰ] ἀπὸ e. h. l.
[y] ὅτι om. n.
[z] τοὺς om. h. l.
[a] δυοῖν θάτερον] ἓν τοῖν δυοῖν e. h. k. l.
[b] καινοὺς] κεκαινοὺς h. m. κενοὺς c. d. f.

τῆς φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ " ποῖ [c] καταφύγω, ὦ
" ἄνδρες Ἀθηναῖοι; [d] περιγράψατέ με [e] ἐκ τῆς πολιτεί-
" ας· οὐκ ἔστιν [f] ὅποι [g] ἀναπτήσομαι," ἀνθυποβάλλετε 84
αὐτῷ " [h] ὁ δὲ δῆμος ὁ Ἀθηναίων ποῖ [i] καταφύγῃ, Δημό-
" σθενες; [k] πρὸς ποίαν συμμάχων παρασκευήν; πρὸς
" ποῖα χρήματα; τί [l] προβαλλόμενος ὑπὲρ τοῦ δήμου
" [m] πεπολίτευσαι; ἃ μὲν γὰρ ὑπὲρ [n] σεαυτοῦ βεβούλευ-
" σαι, [o] ἅπαντες ὁρῶμεν. ἐκλιπὼν μὲν τὸ ἄστυ οὐκ
" οἰκεῖς, ὡς δοκεῖς, [p] ἐν Πειραιεῖ, ἀλλ' ἐξορμεῖς ἐκ τῆς 5
" πόλεως, ἐφόδια δὲ πεπόρισαι [q] τῇ σαυτοῦ ἀνανδρίᾳ τὸ
" βασιλικὸν χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα."
211 ὅλως δὲ τί τὰ δάκρυα; τίς ἡ κραυγή; τίς ὁ τόνος τῆς
φωνῆς; οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ Κτησιφῶν, ὁ
δ' ἀγὼν οὐκ ἀτίμητος, σὺ δ' [r] οὔτε περὶ τῆς οὐσίας οὔτε
περὶ [s] τοῦ σώματος οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνιζῇ;
ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ [t] ἡ σπουδή; περὶ χρυσῶν
στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νό- 10
212 μους· ὃν ἐχρῆν, εἰ καὶ μανεὶς ὁ δῆμος ἢ τῶν καθεστηκό-
των ἐπιλελησμένος ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στε-
φανοῦν αὐτόν, παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν " ἄν-
" δρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καὶ-
" ρὸν ἀποδοκιμάζω ἐν ᾧ τὸ κήρυγμα γίνεται· οὐ γὰρ δεῖ

[c] καταφύγω] καταφεύγω e. φύγω a. g. m. n.
[d] περιγράψατε] περιεγράψατέ h. k. περιεγράψετε e. l.
[e] ἐκ τῆς πολιτείας om. e. h. k. l.
[f] ὅποι] Editi ὅπῃ.
[g] ἀναπτήσομαι] ἀναπτήσωμαι m. ἀναπτήσωμαι n.
[h] ὁ δὲ δῆμος ὁ Ἀθηναίων] ὁ δὲ δῆμος ἀθηναίων e. k. ὁ δὲ ἀθηναίων δῆμος h. l.
[i] καταφύγῃ] καταφύγοι a.
[k] πρὸς] ἢ πρὸς a. c. d. g. m. n.
[l] προβαλλόμενος] προσβαλλόμενος c.
[m] πεπολίτευσαι] τί πεπολίτευσαι e. h. k. l.
[n] σεαυτοῦ] σαυτοῦ.
[o] ἅπαντες] πάντες e. h. k. l.
[p] ἐν] ἐν τῷ h.
[q] τῇ σ. ἀνανδρίᾳ] τῆς σ. ἀνανδρίας e. h. l.
[r] οὔτε περὶ τῆς οὐσίας] Hæc post ἐπιτιμίας ponunt e. h. k. l.
[s] τοῦ om. e.
[t] ἡ om. c. d.

"ἐφ' οἷς ἡ πόλις [u]ἐπένθησε καὶ ἐκείρατο, ἐπὶ τούτοις "[x]ἐμὲ στεφανοῦσθαι." ἀλλ' οἶμαι, ταῦτα μὲν [y]ἂν εἴποι ἀνὴρ [z]ὄντως [a]βεβιωκὼς [b]μετ' ἀρετῆς· ἃ δὲ σὺ λέξεις,
213 εἴποι ἂν κάθαρμα ζηλοτυπῶν ἀρετήν. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα τοῦτό [c]γε ὑμῶν οὐδεὶς [d]φοβηθήσεται, μὴ [e]ὁ Δημοσθένης, ἀνὴρ μεγαλόψυχος καὶ τὰ πολεμικὰ διαφέρων, ἀποτυχὼν τῶν ἀριστείων [f]οἴκαδε ἐπανελθὼν ἑαυτὸν [g]διαχρήσηται· ὃς τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος παρὰ [h]πάντας τοὺς νόμους γέγραφε στεφανῶσαι, μυριάκις κατατέτμηκε καὶ τούτων μισθοὺς [i]εἴληφε τραύματος ἐκ προνοίας γραφὰς γραφόμενος, καὶ κατακεκονδύλισται, ὥστε αὐτὸν [k]οἶμαι τὰ τῶν κονδύλων ἴχνη τῶν Μειδίου ἔχειν ἔτι φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλὴν ἀλλὰ [l]πρόσοδον κέκτηται.

214 Περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην βραχέα βούλομαι εἰπεῖν, τὰ δὲ πολλὰ ὑπερβήσομαι, ἵνα καὶ πεῖραν [m]ὑμῶν λάβω, εἰ δύνασθε τοὺς σφόδρα πονηρούς, κἂν μή τις προείπῃ, [n]διαγινώσκειν· ὃ δ' ἐστὶ κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι πρὸς
215 ὑμᾶς, τοῦτ' ἐρῶ. περιέρχονται [o]γὰρ [p]τὴν ἀγορὰν ἀληθεῖς κατ' ἀλλήλων ἔχοντες δόξας καὶ λόγους οὐ ψευδεῖς

[u] ἐπένθησε καὶ ἐκείρατο] ἐκείρετο καὶ ἐπένθησε e. h. k. l.
[x] ἐμὲ στεφανοῦσθαι] ἐμ' ἐστεφανῶσθαι l.
[y] ἂν om. a. n.
[z] ὄντως] ὄντος c. οὕτω e. h. l.
[a] βεβιωκὼς] βεβιωτικὼς e.
[b] μετ'] ἐπὶ μετ' l.
[c] γε om. e. h. k. l.
[d] φοβηθήσεται] φοβήσεται a. c. d. e. f. h. k. l.
[e] ὁ om. e. h. k. l.
[f] οἴκαδε ἐπανελθὼν] ἐπανελθὼν οἴκαδε e. h. k. l.
[g] διαχρήσηται] διαχρήσεται e. h. l.
[h] πάντας om. a. g. m. n.
[i] εἴληφε] εἴληχε a.
[k] οἶμαι] οἴομαι e.
[l] πρόσοδον] πρόσωδον d. κεφάλαιον Toupius.
[m] ὑμῶν ante καὶ ponunt e. h. k. l. post λάβω g. m. n.
[n] διαγινώσκειν] ἐπιγινώσκειν h.
[o] γὰρ om. g. m. n.
[p] τὴν] κατὰ τὴν e. h. om. c. d.

λέγοντες. ὁ μὲν γὰρ Κτησιφῶν [q]οὐ τὸ [r]καθ' ἑαυτὸν φησι φοβεῖσθαι ([s]ἐλπίζειν γὰρ δόξειν ἰδιώτης εἶναι), ἀλλὰ τὴν [t]τοῦ Δημοσθένους ἐν τῇ πολιτείᾳ δωροδοκίαν φησὶ φοβεῖσθαι καὶ τὴν [u]ἐμπληξίαν καὶ δειλίαν· ὁ δὲ Δημοσθένης εἰς [x]αὐτὸν μὲν ἀποβλέπων θαρρεῖν φησίν, τὴν δὲ τοῦ Κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι. τοὺς [y]δὴ κατεγνωκότας ἀλλήλων ἀδικεῖν μηδαμῶς ὑμεῖς οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων ἀπολύσητε.

216 Περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βούλομαι [z]προειπεῖν. πυνθάνομαι γὰρ λέξειν [a]Δημοσθένην [b]ὡς ἡ πόλις ὑπ' αὐτοῦ [c]μὲν ὠφέληται πολλά, [d]ὑπ' ἐμοῦ δὲ καταβέβλαπται, καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων αἰτίας [e]ἀνοίσειν [f]ἐπ' ἐμέ. οὕτω γάρ ἐστιν, ὡς ἔοικε, δεινὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολίτευμαι παρ' [g]ὑμῖν [h]ἐγὼ ἢ εἴ
217 τινας δημηγορίας εἴρηκα, τούτων κατηγορεῖν, ἀλλὰ καὶ τὴν ἡσυχίαν [i]μου τοῦ βίου διαβάλλει καὶ τῆς σιωπῆς μου κατηγορεῖ, ἵνα μηδεὶς αὐτῷ [k]τόπος ἀσυκοφάντητος [l]παραλείπηται, καὶ τὰς ἐν τοῖς γυμνασίοις μετὰ τῶν [m]νεωτέρων μου [n]διατριβὰς καταμέμφεται, [o]καὶ κατὰ τῆσδε τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου φέρει τινὰ αἰτίαν, λέγων ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς

[q] οὐ τὸ] αὐτὸν h.
[r] καθ' ἑαυτὸν] κατ' αὐτὸν e.
[s] ἐλπίζειν—φοβεῖσθαι om. a.
[t] τοῦ om. pr. d.
[u] ἐμπληξίαν] ἐκπληξίαν n.
[x] αὐτὸν] ἑαυτὸν a.
[y] δὴ] δὲ δὴ a. g. m. δὲ n.
[z] προειπεῖν] προσειπεῖν e. g. k. l. m. n.
[a] Δημοσθένην] δημοσθένη e.
[b] ὡς] ὅτι
[c] μὲν om. e. h. k. l.
[d] ὑπ' ἐμοῦ δὲ] δὲ ὑπ' ἐμοῦ c. f.
δὲ om. d.
[e] ἀνοίσειν] ἀνήσειν h. k. l.
[f] ἐπ'] ὑπ' l.
[g] ὑμῖν] ἐμῶν e. h. l.
[h] ἐγὼ] κἀγὼ m. n. et correctus h.
[i] μου] αὐτὴν c. d. f.
[k] τόπος] τρόπος h.
[l] παραλείπηται] παραλίπηται a. c. d. g. h. m. n.
[m] νεωτέρων] νέων h. l.
[n] διατριβὰς om. n.
[o] καὶ om. h. l.

πόλεως ἐγραψάμην ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ
P τὴν πρὸς αὐτὸν ἔχθραν. καὶ νὴ Δί', ὡς ἐγὼ πυν-
θάνομαι Q μέλλει με R ἀνερωτᾶν διὰ τί S τὸ μὲν κεφά-
λαιον T τῆς πολιτείας αὐτοῦ ψέγω, τὰ δὲ καθ' ἕκαστον 85
οὐκ ἐκώλυον οὐδ' ἐγραφόμην, ἀλλὰ διαλιπὼν καὶ πρὸς
τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα τὴν γραφήν.
218 ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς U ἐζήλωκα, οὔτ'
ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς εἰρημένους ἐν ὑμῖν
λόγους ἐμαυτῷ ἀρρήτους εἶναι X βουλοίμην, οὔτε τὰ αὐτὰ
τούτῳ δημηγορήσας ἐδεξάμην ἂν ζῆν. τὴν δ' ἐμὴν σιωπὴν 5
219 ὦ Δημόσθενες Y ἡ τοῦ βίου μετριότης παρεσκεύασεν· ἀρκεῖ
γάρ μοι μικρὰ καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ, ὥστε
καὶ Z σιγῶ καὶ λέγω βουλευσάμενος A ἀλλ' οὐκ ἀναγκα-
ζόμενος ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης. σὺ δ' οἶμαι λα-
βὼν μὲν B σεσίγηκας, ἀναλώσας δὲ κέκραγας. λέγεις
δὲ οὐχ C ὁπόταν σοι δοκῇ οὐδ' ἃ βούλει, ἀλλ' ὁπόταν οἱ
μισθοδόται D σοι προστάττωσιν· οὐκ αἰσχύνῃ E δὲ ἀλαζο- 10
220 νευόμενος ἃ παραχρῆμα F ἐξελεγχῃ ψευδόμενος. ἀπη-
νέχθη γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσματος γραφή, ἣν οὐχ
ὑπὲρ τῆς πόλεως ἀλλ' ὑπὲρ τῆς G πρὸς Ἀλέξανδρον ἐνδεί-
ξεως με φὴς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος, πρὶν Ἀλέ-
ξανδρον εἰς τὴν H ἀρχὴν καταστῆναι, I οὔπω σοῦ τὸ περὶ

P τὴν] τὴν τοῦ c. om. n.
Q μέλλει] μέλλειν c. g. m. n.
R ἀνερωτᾶν] ἐρωτᾶν n.
S τὸ μὲν κεφάλαιον] τὰ μὲν κεφάλαια g. m.
T τῆς πολ. αὐτοῦ] αὐτοῦ τῆς πολ. e. h. k. l.
U ἐζήλωκα] ἐζήλωσα h. l.
X βουλοίμην] Deest ἄν.
Y ἡ om. d.
Z σιγῶ] σιωπῶ h. k. l.
A ἀλλ' om. e. h. k. l.
B σεσίγηκας] σιγήσας l. σιγήσαις h.
C ὁπόταν — ὁπόταν] ὅταν — ὅταν e. h. k. l.
D σοι] οἱ σοὶ e. h.
E δὲ] γὰρ c. d. f.
F ἐξελέγχῃ] ἐξελεγχθήσῃ e. h. k. et γρ. g. m. ἐξελεχθήσῃ l.
G πρὸς] εἰς a. c. d. f. g. m. n.
H ἀρχὴν] βουλὴν a.
I οὔπω] εἴπω c.

Παυσανίαν ἐνύπνιον ἑωρακότος οὐδὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμένου. πῶς [k] ἂν οὖν ἐγὼ [l] προενεδεικνύμην Ἀλεξάνδρῳ, εἴ γε μὴ ταυτὸ ἐνύπνιον ἐγὼ καὶ
221 Δημοσθένης εἴδομεν; Ἐπιτιμᾷς δέ μοι εἰ μὴ συνεχῶς [m] ἀλλὰ διαλείπων [n] πρὸς τὸν δῆμον [o] προσέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν [p] ἡμᾶς μεταφέρων οὐκ ἐκ δημοκρατίας ἀλλ' ἐξ ἑτέρας πολιτείας. [q] ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐκ ὁ βουλόμενος ἀλλ' ὁ δυναστεύων [r] κατηγορεῖ, ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος καὶ ὅταν αὐτῷ [s] δόξῃ. [t] καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖον ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν [u] παραλείπειν ἡμέραν ἐργαζο-
222 μένου καὶ μισθαρνοῦντος. Ὑπὲρ δὲ τοῦ [x] μήπω κεκρίσθαι ὑπ' ἐμοῦ [y] μηδὲ τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ [z] τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις ἢ σαυτὸν παραλογιζῃ. τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων ἐν οἷς ὑπ' ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆ-
223 μον ἀμνημονεῖν· τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς [a] τριηράρχους ἁρπάγματα τίς ἂν [b] ἀποκρύψαι χρόνος δύναιτ' [c] ἄν, ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων [d] νεῶν, [e] καὶ

[k] ἂν οὖν] οὖν ἂν h. l.
[l] προενεδεικνύμην—ἐγὼ om. c.
[m] ἀλλὰ] ἀλλὰ καὶ n.
[n] πρὸς] εἰς h.
[o] προσέρχομαι] εἰσέρχομαι h. l.
[p] ἡμᾶς om. a. m. n.
[q] ἐν] εἰ e.
[r] κατηγορεῖ] Immo δημηγορεῖ.
[s] δόξῃ] δοκῇ a. e. h. k. l.
[t] καὶ ante τὸ om. n.
[u] παραλείπειν] παραλιπεῖν a. c. d. f. g. m. n.
[x] μήπω] μηδέπω a. c. g. m. n.
[y] μηδὲ] μήτε e. h. k. l.
[z] τοὺς post ἐπὶ om. h. k. l.
[a] τριηράρχους] τριηράρχας a.
[b] ἀποκρύψαι χρόνος] χρόνος ἀποκρύψαι e. h. k. l.
[c] ἄν om. e.
[d] νεῶν om. a. g. h. m. n.
[e] καὶ—πέντε om. l. in margine ponit h.

σαυτὸν πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξηλέγχθης ὑπ' ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν [f] ταχυναυτουσῶν [g] τριηράρχους [h] ὑφηρημένος, [i] πλεῖον τῆς [k] πόλεως ἀφανίζων ναυτικὸν ἢ [l] ὅτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ [m] Πόλλιν ἐνίκησαν; οὕτω δὲ ταῖς αἰτίαις ἐνέφραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυνον εἶναι μὴ σοὶ τῷ [n] ἀδικήσαντι ἀλλὰ τοῖς ἐπεξιοῦσι, πολὺν μὲν τὸν Ἀλέξανδρον καὶ [o] τὸν Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιρούς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος. [p] οὐ τὸ τελευταῖον εἰσαγγέλλεσθαι μέλλων ὑπ' ἐμοῦ τὴν [q] Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου [r] κατεσκεύασας, τοῦ τὰ ἀγοράσματα [s] Ὀλυμπιάδι ἀγοράζοντος, καὶ τὸν αὐτὸν ἄνδρα [t] διεστρέβλωσας τῇ σαυτοῦ χειρὶ [u] γράψας αὐτὸν θανάτῳ ζημιῶσαι, καὶ παρὰ τῷ αὐτῷ ἐν Ὠρεῷ κατήγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν [x] ἐνέβαλες [y] ἄνδρα φίλον καὶ ξένον ποιούμενος, καὶ τοῦτον ἀπέκτεινας; καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ' ἐμοῦ καὶ κληθεὶς ξενοκτόνος οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ' [z] ἀπεκρίνω ἐφ' ᾧ [a] ἀνεβόησεν ὁ δῆμος καὶ ὅσοι ξένοι

[f] ταχυναυτουσῶν] ταχυνουσῶν e. h. l.

[g] τριηράρχους] τριηράρχους h.

[h] ὑφηρημένος] ὑφηρημένους a. c. d. f.

[i] πλεῖον] πλέον a. n.

[k] πόλεως] πόλεως ἡμῶν a. c. d. f. g. m. n.

[l] ὅτε] ὁπότε e. h. k. l.

[m] Πόλλιν] πόλιν c. d. e. l. n. π λλιν a.

[n] ἀδικήσαντι] ἀλκήσαντι c. ἀλκίσαντι d.

[o] τὸν om. a. c. d. f. g. m. n.

[p] οὐ τὸ] οὕτω c. d. f.

[q] Ἀναξίνου] ἀναξίου e.

[r] κατεσκεύασας] κατασκευάσας a. g. h. k. m.

[s] Ὀλυμπιάδι] ὀλυμπιάσιν e. h. l.

[t] διεστρέβλωσας] δὶς στρεβλώσας a. g. m. n.

[u] γράψας] ἔγραψας a. g. m. n.

[x] ἐνέβαλες] ἀνέβαλες d.

[y] ἄνδρα φίλον καὶ ξένον ποιούμενος] κατ' ἀνδρὸς φίλου καὶ ξένου e. h. k. l.

[z] ἀπεκρίνω] ἀπεκρίνου a. c. d. f. g. h. m. n.

[a] ἀνεβόησεν ὁ δῆμος] ἂν ἐβόησεν ὁ δῆμος n. ὁ δῆμος ἀνεβόησεν e. h. k. l.

[b]περιέσταναν τὴν ἐκκλησίαν· ἔφησθα γὰρ τοὺς τῆς πό-
λεως ἄλας περὶ πλείονος [c]ποιήσασθαι τῆς ξενικῆς τρα-
226 πέζης. ἐπιστολὰς [d]δὲ σιγῶ ψευδεῖς καὶ κατασκόπων 86
συλλήψεις καὶ βασάνους ἐπ' [e]αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ
μετά τινων [f]ἐν τῇ πόλει νεωτερίζειν βουλομένου. ἔπειτα
[g]ἐπερωτᾷν με, ὡς ἐγὼ πυνθάνομαι, [h]μέλλει, τίς [i]ἂν εἴη
τοιοῦτος ἰατρὸς ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι
μηδὲν [k]συμβουλεύοι, τελευτήσαντος δὲ [l]αὐτοῦ ἐλθὼν εἰς
τὰ [m]ἔνατα διεξίοι πρὸς τοὺς οἰκείους ἃ ἐπιτηδεύσας ὑγιὴς 5
227 [n]ἂν ἐγένετο. σαυτὸν δ' οὐκ [o]ἀντερωτᾷς, τίς ἂν εἴη δημα-
γωγὸς τοιοῦτος ὅστις τὸν μὲν δῆμον [p]θωπεῦσαι δύναιτο,
τοὺς δὲ καιροὺς ἐν οἷς ἦν σώζεσθαι τὴν πόλιν [q]ἀποδοῖτο,
τοὺς δ' εὖ φρονοῦντας [r]κωλύοι διαβάλλων [s]συμβουλεύειν,
ἀποδρὰς δ' ἐκ τῶν κινδύνων καὶ τὴν πόλιν ἀνηκέστοις
[t]κακοῖς περιβαλὼν ἀξιοῖ στεφανοῦσθαι ἐπ' ἀρετῇ, ἀγαθὸν
μὲν [u]πεποιηκὼς μηδέν, πάντων δὲ [x]τῶν κακῶν αἴτιος γε- 10
γονώς, ἐπερωτῴη δὲ [y]τοὺς συκοφαντηθέντας ἐκ τῆς πολι-
τείας ἐπ' ἐκείνων τῶν καιρῶν ὅτ' ἐνῆν σώζεσθαι, διὰ τί
228 αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν; [z]ἀποκρύπτοιτο δὲ

[b] περιέσταναν] περιέστῆσαν h. περιέστησαν e. k. l.
[c] ποιήσασθαι] ποιεῖσθαι h. k. l.
[d] δὲ] γὰρ e. μὲν (omisso σιγῶ) n.
[e] αἰτίαις] αἰτίοις h.
[f] ἐν τῇ π. νεωτ.] νεωτ. ἐν τῇ π. e. h. k. l.
[g] ἐπερωτᾷν] ἐρωτᾷν h.k.l. ἐρωτᾷ e.
[h] μέλλει] μέλλειν g. h. l. om. e.
[i] ἂν] ἂν οὖν a.
[k] συμβουλεύοι] συμβουλεύῃ a. συμβουλεύει e.
[l] αὐτοῦ om. e. h. k. l.
[m] ἔνατα a. d. e. ἔνατα f. vulg. ἔννατα.
[n] ἂν ἐγένετο] ἐγένετο ἄν e. h. k. l.
[o] ἀντερωτᾷς] ἀνερωτᾷς a. d. e. k. l. ἐρωτᾷς h.
[p] θωπεῦσαι] παιδεῦσαι h. et γρ. m.
[q] ἀποδοῖτο a. e. ἀπόλλυσιν c. vulg. ἀπόδοιτο.
[r] κωλύοι] κωλύει g. k. m.
[s] συμβουλεύειν] συμβουλεύων n.
[t] κακοῖς] συμφοραῖς e. h. k. l.
[u] πεποιηκὼς μηδέν] μηδὲν πεποιη-κὼς e. h. k. l.
[x] τῶν om. c. d.
[y] τοὺς om. n.
[z] ἀποκρύπτοιτο] ἀποκρίνοιντο c. d. f. n. ἀποκρίνοιτο margo m.

[a]τὸ πάντων τελευταῖον, ὅτι τῆς μάχης [b]ἐπιγενομένης οὐκ [c]ἐσχολάζομεν περὶ τὴν σὴν εἶναι [d]τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν· ἐπειδὴ δὲ οὐκ [e]ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐν- 15
ταῦθ' [f]ἐνέστην καὶ τὴν γραφὴν ἀπήνεγκα.

229 Καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, [g]ὧν ἐγὼ πυνθάνομαι [h]Δημοσθένη λέξειν, ἐφ' ᾧ νυνὶ μέλλω λέγειν [i]ἀγανακτῶ μάλιστα. ἀφομοιοῖ γάρ [k]μου τὴν φύσιν [l]ταῖς Σειρῆσιν, ὡς ἔοικε. καὶ γὰρ [m]ὑπ' ἐκείνων οὐ κηλεῖσθαί φησι τοὺς ἀκροωμένους ἀλλ' [n]ἀπόλλυσθαι, διόπερ [o]οὐδ' εὐδοκιμεῖν τὴν τῶν [p]Σειρήνων μουσικήν· καὶ δὴ [q]καὶ τὴν τῶν ἐμῶν [r]λόγων ἐμπειρίαν καὶ τὴν φύσιν μου γεγενῆσθαι 20
ἐπὶ [s]βλάβῃ τῶν ἀκουόντων. καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ [t]πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμενόν ἐστι τὸ ἔργον μὴ ἔχειν
230 ἐπισδεῖξαι· εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους [u]ἦν ὁ λόγος, ἀλλ' ἀνδρὸς στρατηγοῦ μεγάλα μὲν [x]τὴν πόλιν κατειργασμένου, λέγειν δὲ [y]ἀδυνάτου καὶ [z]τὴν τῶν

[a] τὸ] τῶν h. l.
[b] ἐπιγενομένης] ἐπιγινομένης e. h. k. l. γενομένης a.
[c] ἐσχολάζομεν] ἐσχόλαζον g. m.
[d] τιμωρίαν] τὴν μωρίαν k.
[e] ἐπέχρη n.
[f] ἐνέστην] ἀνέστην h. ἔνεστι d.
[g] ὧν] ὡς a. c. e. f. g. h. k. l. m.
[h] Δημοσθένη a. c. d. e. f. ceteri δημοσθένην.
[i] ἀγανακτῶ μάλιστα] μάλιστα ἀγανακτῶ l. μάλιστα ἀγανακτῶν e. h. k. ceteri ἀγανακτῶν μάλιστα.
[k] μου om. d. f.
[l] ταῖς Σειρ. ὡς ἔοικε] ὡς ἔοικε ταῖς σειρ. e. h. k. l.
[m] ὑπ' ἐκείνων οὐ κηλεῖσθαί φησι] ἐκείνας φησὶν οὐ κηλεῖν e. h. k. l.
[n] ἀπόλλυσθαι] ἀπόλλυσθε a.
[o] οὐδ'] οὐκ a. c. d. f. g. m.
[p] Σειρήνων] εἰρημένων d. f. n.
[q] καὶ ante τὴν om. e. h. l.
[r] λόγων ἐμπειρίαν] εὐπορίαν λόγων e. h. k. l. εὐπορίαν etiam γρ. g. m. ἀπειρίαν a.
[s] βλάβῃ] βλάβην n.
[t] πρέπειν] τρέπειν l.
[u] ἦν] ἐστὶν a.
[x] τὴν πόλιν e. h. k. l. ceteri τῇ πόλει.
[y] ἀδυνάτου] ἀδύνατον e.
[z] τὴν τῶν] διὰ τοῦτο pr. g.

ἀντιδίκων διὰ τοῦτο ἐζηλωκότος φύσιν, [a]ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὧν διαπέπρακται δυναμένῳ φράσαι, τὸν δὲ κατήγορον [b]ὁρᾷ δυνάμενον καὶ τὰ μὴ πεπραγμένα [c]ὑφ' αὐτοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν. ὅταν δ' ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων [d]πικρῶν καὶ περιέργων, ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ τὰ ἔργα καταφεύγῃ, τίς [e]ἂν ἀνάσχοιτο; [f]οὗ τὴν [g]γλῶτταν, ὥσπερ τῶν αὐλῶν, ἐάν τις [h]ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστι.

231 Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ [i]ζητῶ πρὸς τί [k]ἂν ἀποβλέποντες [l]ἀποψηφίσαισθε τὴν γραφήν. [m]πότερ' ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνώμη παρανομωτέρα γεγένηται. ἀλλ' ὡς ὁ τὸ ψήφισμα γράψας [n]οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρ' εἰσὶ παρ' ὑμῖν εὐθῦναι βίου, εἰ τοῦτον ἀφήσετε. ἐκεῖνο δ' οὐ λυπηρόν, εἰ πρότερον μὲν [o]ἐνεπίμπλατο ἡ ὀρχήστρα χρυσῶν στεφάνων [p]οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν, ἐκ δὲ [q]τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γί-
232 νεσθε, οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν τις τῶν τραγικῶν ποιητῶν [r]τῶν μετὰ ταῦτα [s]ἐπεισαγόντων ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον,

[a] ὅτι] ὅτι οὐ h.
[b] ὁρᾷ] ὁρᾶν c.
[c] ὑφ' αὐτοῦ a. c. ὑπ' αὐτοῦ e. g. h. k. l. m. ceteri ὑφ' ἑαυτοῦ.
[d] πικρῶν] τῶν πικρῶν e. h. k. l.
[e] ἂν om. d. f.
[f] οὗ] οὗτος c. οὐ d.
[g] γλῶτταν] γλῶσσαν c. d. n.
[h] ἀφέλῃ τὸ] ἀφέλοιτο n.
[i] ζητῶ] ζητῶ πυθέσθαι c. d. f.
[k] ἂν ἀποβλέποντες] ἂν ἀποβλέψαντες e. ἀναβλέψαντες h. k. l. ἀποβλέπωντες n.
[l] ἀποψηφίσαισθε] ἀποψηφίσεσθε e. f. g. m. n. ἀποψηφίσεσθαι a. ἀποψηφίσασθε k. ἀποψηφίσασθαι l. ἀπέψηφίσασθε h. ἀποψηφίζεσθαι d.
[m] πότερ'] πότερον a. c. d. f. g. m. n.
[n] οὐκ ante ἐπιτήδειος om. a.
[o] ἐνεπίμπλατο] ἐνεπίπλατο a. c. d.
[p] οἷς] οὓς e. h. k. l.
[q] τῶν] τοῦ c.
[r] τῶν om. pr. m.
[s] ἐπεισαγόντων] ἐπεισαγαγόντων e.

οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν [t]"Ομηρος ἄνανδρον αὐτὸν εἶναι καὶ συκοφάντην· αὐτοὶ δ' ὅταν [u]τὸν τοιοῦτον ἄνθρωπον [x]στεφανῶτε, οὐκ οἴεσθε ἐν [y]ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; οἱ [z]μὲν γὰρ πατέρες [a]ὑμῶν τὰ ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ, τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας [b]τοὺς φαύλους ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους [c]περιθεῖναι τῷ δήμῳ.

233 καὶ φατὲ μὲν εὐτυχεῖς εἶναι, ὡς [d]καὶ ἐστὲ καλῶς ποι- 87
οῦντες, ψηφιεῖσθε [e]δ' ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι, ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι; καὶ τὸ πάντων ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἀλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς [f]ἐκ Διονυσίων, [g]ἐὰν μὴ δικαίως τοὺς κυκλίους χο- 5
ροὺς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δὲ [h]οὐ κυκλίων [i]χορῶν [k]κριταὶ καθεστηκότες ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς τὰς δωρεὰς οὐ κατὰ [l]τοὺς νόμους [m]οὐδ' ὀλίγοις καὶ [n]τοῖς
234 ἀξίοις, ἀλλὰ [o]τῷ διαπραξαμένῳ δώσετε; ἔπειτ' ἔξεισιν ἐκ τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτὴς ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. ἀνὴρ [p]γὰρ ἰδιώτης ἐν

[t] "Ομηρος ἄνανδρον αὐτὸν] αὐτὸν ὅμηρος ἄνανδρον e. h. k. l.
[u] τὸν τοιοῦτον] τῶν τοιούτων l.
[x] στεφανῶτε] στεφανοῦτε e. h. l. στεφανῶτε g. m.
[y] ταῖς τῶν Ἑλλήνων δόξαις] ταῖς δόξαις ταῖς τῶν ἑλλήνων k. ταῖς δόξαις τῶν ἑλλήνων e. h. l.
[z] μὲν om. d.
[a] ὑμῶν] ἡμῶν c.
[b] τοὺς φαύλους] καὶ φαύλους h.
[c] περιθεῖναι—ὑπὸ om. n.
[d] καὶ om. e. l.
[e] δ'] μὲν l.
[f] ἐκ] ἐκ τῶν a.
[g] ἐὰν] ἂν e.
[h] οὐ κυκλίων] οὐκ ἐγκυκλίων e. h. k. l.
[i] χορῶν om. l.
[k] κριταὶ om. c. d. f. m. post καθεστηκότες ponunt e. h. k. l.
[l] τοὺς om. e.
[m] οὐδ'] ἀλλ' k.
[n] τοῖς om. e. h. l.
[o] τῷ διαπραξαμένῳ] τῶν διαπραξαμένων c.
[p] γὰρ] δὲ h. γε n.

πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκεν [q] τὴν αὐτὸς αὑτοῦ δυναστείαν. ἔπειθ' ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ· δι' [r] αὐτὸν γὰρ οἶμαι γέγονε τὸ ἁμάρτημα· ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο ἄδηλος γεγένηται· ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται.

Δοκοῦμεν δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερα [s] καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες. ὅτι μὲν γὰρ ἐπὶ τῶν [t] νῦν καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προέσθε τὰ τῆς δημοκρατίας ἰσχυρά, οὐκ ἐπαινῶ· ὅτι δ' οὐ γεγένηται [u] φορὰ καθ' ἡμᾶς ῥητόρων πονηρῶν ἅμα καὶ τολμηρῶν, εὐτυχοῦμεν. πρότερον μὲν γὰρ τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἱ ῥᾳδίως [x] οὕτω [y] κατέλυσαν τὸν δῆμον· ἔχαιρε [z] γὰρ κολακευόμενος, ἔπειτ' αὐτὸν οὐχ οὓς ἐφοβεῖτο, ἀλλ' οἷς [a] ἑαυτὸν ἐνεχείριζε, κατέλυσαν· ἔνιοι [b] δὲ καὶ αὐτοὶ τῶν τριάκοντα [c] ἐγένοντο, [d] οἱ πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν [e] πρὶν τὰς αἰτίας ἀκοῦσαι ἐφ' αἷς ἔμελλον ἀποθνήσκειν, καὶ οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων [f] εἴων τοὺς προσήκοντας [g] παραγίγνεσθαι. οὐχ [h] ὑφ' [i] ὑμῖν αὐτοῖς [k] ἕξετε τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν

[q] τὴν αὐτὸς e. h. k. l. ceteri αὐτὸς τήν.
[r] αὐτὸν] αὐτοῦ h. et γρ. m.
[s] Prius καὶ om. l. utrumque om. pr. m.
[t] νῦν] νυνὶ e. h. k. l.
[u] φορὰ καθ' ἡμᾶς ῥητ. πονηρῶν ἅμα καὶ τολμηρῶν] καθ' ἡμᾶς φορὰ ῥητ. τολμηρῶν ἅμα καὶ πονηρῶν e. h. k. l.
[x] οὕτω om. e. h. k. l.
[y] κατέλυσαν] κατέλευσαν e. h. k. l.
[z] γὰρ] μὲν n.
[a] ἑαυτὸν om. g.
[b] δὲ] δὲ αὐτῶν e. h. k. l.
[c] ἐγένοντο] ἐγένετο m.
[d] οἱ] οἱ καὶ h. καὶ d. f. l. n.
[e] πρὶν] πρὶν καὶ a. g. m. et supra versum h.
[f] εἴων] εἶργον h. εἴρων l.
[g] παραγίγνεσθαι] παραγενέσθαι a. c. d. f. n.
[h] ὑφ' om. a.
[i] ὑμῖν] ὑμᾶν c.
[k] ἕξετε] εἴξετε e.

ἐπηρμένους; οὐ μέμνησθ' ὅτι οὐδεὶς πώποτε [l]ἐπέθετο πρό- 25
τερον [m]δήμου καταλύσει, πρὶν ἂν [n]μεῖζον τῶν δικαστη-
ρίων [o]ἰσχύσῃ;

237 Ἡδέως [p]δ' ἂν ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, [q]ἐναντίον
ὑμῶν ἀναλογισαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα,
διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην [r]στεφανῶσαι. εἰ
μὲν γὰρ [s]λέγεις, ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος [t]ἐποι-
ήσω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτά-
φρευσε, θαυμάζω σου. τοῦ γὰρ ταῦτ' [u]ἐξειργάσθαι κα-
λῶς τὸ γεγενῆσθαι τούτων αἴτιον μείζω κατηγορίαν ἔχει· 30
οὐ γὰρ περιχαρακώσαντα [x]χρὴ τὰ [y]τείχη οὐδὲ [z]τὰς δη-
μοσίας ταφὰς [a]ἀνελόντα τὸν ὀρθῶς πεπολιτευμένον, δω-
ρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινὸς [b]αἴτιον γεγενημένον τῇ
238 πόλει. εἰ δὲ ἤξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσμα-
τος, ἐν ᾧ τετόλμηκας γράφειν ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ
διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ [c]τῷ 35
Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ
ψηφίσματος ἄψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ τι λέγεις.
τὰς μὲν γὰρ [d]περὶ τοὺς Ἀμφισσέας καὶ τοὺς Εὐβοέας
δωροδοκίας παραλείπω· ὅταν δὲ τῆς πρὸς Θηβαίους

[l] ἐπέθετο πρότερον] πρότερον ἐπέθετο n.
[m] δήμου] τῇ τοῦ δήμου a. c. d. f. g. m. n.
[n] μεῖζον] μεῖζω a. c. d. e. f. g. m. n.
[o] ἰσχύσῃ] ἰσχύσει n. ἰσχύσοι h. ἰσχύσειν l.
[p] δ' om. d. h. l.
[q] ἐναντίον ὑμῶν ἀναλογ.] ἀναλογ. ἐναντίον ὑμῶν n. ἐναντίον ὑμῶν ὁμολογησαίμην a. c. g. m.
[r] στεφανῶσαι] στεφανωθῆναι e. h. k. l.
[s] λέγεις] λέξεις e. h. k. l.
[t] ἐποιήσω] ἐποίησας e.
[u] ἐξειργάσθαι k. ἐξεργάσασθαι e. σθῆναι l. ἐξεργάσασθαι h. ceteri ἐξεργασθῆναι.
[x] χρὴ] δεῖ a.
[y] τείχη] τείχη οὐδὲ τοὺς τάφρους c. τείχη οὐδὲ τὰς τάφρους d. f. n.
[z] τὰς δημοσίας ταφὰς] ταφὰς δημοσίας e. h. k. l.
[a] ἀνελόντα] ἐνελόντα m.
[b] αἴτιον γεγενημένον] γεγενημένου e. h. l.
[c] τῷ] τῶν a. c. d. e. g. h. k. l. m.
[d] περὶ] ἐπὶ c.

συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δημοσθένει, τοὺς [e] μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δ' εἰδότας καὶ [f] αἰσθανομένους ὑβρίζεις. ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων, δι' ἣν ἐγένετο [g] ἡ συμμαχία, [h] λανθάνειν οἴει ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει [i] περιτιθείς. ἠλίκον [k] δ' ἐστὶ τὸ [l] ἀλαζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. ὁ γὰρ τῶν Περσῶν βασιλεὺς οὐ πολλῷ [m] πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν, ἐν ᾗ [n] τά τε δὴ ἄλλα καὶ [o] μάλ' ἀπαιδεύτως [p] διελέχθη, καὶ ἐπὶ τελευτῆς [q] ἐνέγραψεν ἐν τῇ ἐπιστολῇ, "ἐγώ" φησὶν "ὑμῖν χρυσίον οὐ δώσω· [r] μή με αἰτεῖτε· οὐ γὰρ λήψεσθε." [s] Οὗτος [t] μέντοι ὁ αὐτὸς [u] ἐγκαταληφθεὶς ὑπὸ τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐχ αἰτούντων Ἀθηναίων, αὐτὸς ἑκὼν κατέπεμψε [x] τριακόσια τάλαντα τῷ δήμῳ, ἃ σωφρονῶν [y] ὁ δῆμος [z] οὐκ ἐδέξατο. ὁ δὲ κομιζων ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων. τὸ δὲ αὐτὸ τοῦτο καὶ [a] τὴν Θηβαίων συμμαχίαν [b] ἐξειργάζετο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας [c] ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τά-

239 240 88

[e] μὲν] μὲν γὰρ a.
[f] αἰσθανομένους] αἰσθομένους e. h. k. l.
[g] ἡ om. d.
[h] λανθάνειν οἴει] οἴει λανθάνειν a. c. d. f. g. m. n.
[i] περιτιθείς] περιτίθης c. d.
[k] δ' om. l.
[l] ἀλαζόνευμα] ἄξίωμα h.
[m] πρότερον om. e. h. k. l.
[n] τά τε] τάδε m.
[o] μάλ'] μεγάλα h.
[p] διελέχθη] διειλέχθη g. m. n. διηλέχθη h.
[q] ἐνέγραψεν] ἀνέγραψεν n.
[r] μή με] μήτε h. l.
[s] οὗτος] οὔτε n.
[t] μέντοι] τοίνυν e. h. k. l.
[u] ἐγκαταληφθεὶς] ἐγκαταλειφθεὶς g. m.
[x] τριακόσια] τριάκοντα e. g. h. k. l. m. πεντήκοντα a.
[y] ὁ δῆμος] om. a. c. d. f. g. m. n.
[z] οὐκ] οὖν n.
[a] τὴν Θηβαίων συμμαχίαν] τὴν συμμαχίαν θηβαίων e. h. k. l.
[b] ἐξειργάζετο] ἐξειργάσατο e. h. k. l. et γρ. g.
[c] ἐνοχλεῖς] ἐνώχλεις pr. k.

λαντα [d] ὑποσιωπᾷς ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου
241 [e] ἀπεστέρησας. Οὐ δι' ἔνδειαν [f] μὲν χρημάτων [g] ἕνεκα
πέντε ταλάντων οἱ ξένοι [h] τοῖς Θηβαίοις τὴν ἄκραν οὐ
παρέδοσαν; διὰ [i] δὲ ἐννέα τάλαντα ἀργυρίου πάντων
Ἀρκάδων ἐξεληλυθότων καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων
βοηθεῖν ἡ πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς καὶ ταῖς
ἡδοναῖς ταῖς [k] σαυτοῦ χορηγεῖς. καὶ τὸ κεφάλαιον, τὸ
μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ κίνδυνοι παρ'
[l] ὑμῖν.

242 Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν [m] αὐτῶν θεωρῆσαι.
εἰ γὰρ [n] τολμήσει Κτησιφῶν μὲν [o] Δημοσθένη παρακα-
λεῖν [p] λέξοντα εἰς ὑμᾶς, [q] οὗτος δ' ἀναβὰς ἑαυτὸν [r] ἐγ-
κωμιάσει, βαρύτερον τῶν ἔργων ὧν [s] πεπόνθατε τὸ ἀκρόα-
αμα [t] γίνεται. ὅπου [u] γὰρ τοὺς μὲν [x] ὄντας ἄνδρας ἀγα-
θούς, οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα, [y] ἐὰν τοὺς
καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν· ὅταν [z] δὲ ἄν-
θρωπος αἰσχύνῃ τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ,
τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν [a] ἀκούων;

243 Ἀπὸ μὲν [b] οὖν τῆς ἀναισχύντου πραγματείας, ἐὰν
σωφρονῇς, ἀποστήσῃ, [c] ποίησαι δὲ ὦ Κτησιφῶν διὰ σαυ-
τοῦ τὴν ἀπολογίαν. οὐ γὰρ δή που τοῦτό γε σκήψῃ, ὡς

[d] ὑποσιωπᾷς] ἀποσιωπᾷς h.
[e] ἀπεστέρησας] ἀπεστέρηκας e. h. l.
[f] μὲν om. e. h. post ἕνεκα ponunt k. l.
[g] ἕνεκα] ἕνεκα γὰρ h.
[h] τοῖς Θηβαίοις] θηβαῖοι e. h. k. l.
[i] δὲ ἐννέα] ἐννέα δὲ a. c. d. f. m. n.
[k] σαυτοῦ] αὐτοῦ f. αὑτοῦ c. d.
[l] ὑμῖν] ἡμῖν e. h. k.
[m] αὐτῶν om. l.
[n] τολμήσει] τολμήσειε a. c. d. f. g. m. n.
[o] Δημοσθένη a. c. d. e. n. δημοσθένει l. ceteri δημοσθένην.
[p] λέξοντα] λέγοντα c. h.
[q] οὗτος] αὐτὸς g.
[r] ἐγκωμιάσει] ἐγκωμιάζει h. l.
[s] πεπόνθατε] πεπόνθαμεν e. h. k. l.
[t] γίνεται] γενήσεται correctus n.
[u] γὰρ] γὰρ δὴ a. g. m.
[x] ὄντας] ὄντας g. n.
[y] ἐὰν post ἐπαίνους ponunt e. h. k. l.
[z] δὲ delebat Marklandus.
[a] ἀκούων om. g. h. k. l. m.
[b] οὖν om. c. d. f.
[c] ποίησαι] Malim ποιήσῃ sive ποιήσει.

[d] οὐ δυνατὸς εἶ λέγειν. καὶ γὰρ ἂν ἄτοπόν σοι [e] συμβαίνοι, εἰ πρώην μέν ποθ' [f] ὑπέμεινας πρεσβευτὴς ὡς Κλεοπάτραν τὴν Φιλίππου θυγατέρα χειροτονεῖσθαι [g] συναχθεσθησόμενος ἐπὶ τῇ [h] τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ, [i] νυνὶ δὲ οὐ φήσεις δύνασθαι [k] λέγειν. ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν [l] δύνασαι παραμυθεῖ-
244 σθαι, γράψας δὲ μισθοῦ ψήφισμα οὐκ ἀπολογήσῃ; ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γινώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, [m] ἂν μή τίς [n] σοι [o] συνείπῃ; ἐπερώτησον [p] δὴ τοὺς δικαστὰς εἰ ἐγίνωσκον Χαβρίαν καὶ [q] Ἰφικράτην καὶ Τιμόθεον, καὶ [r] πυθοῦ παρ' [s] αὐτῶν διὰ τί τὰς δωρεὰς [t] αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντες [u] γὰρ ἅμα σοι ἀποκρινοῦνται ὅτι
Χαβρίᾳ μὲν διὰ τὴν περὶ Νάξον ναυμαχίαν, [x] Ἰφικράτει δὲ [y] ὅτι [z] μόραν Λακεδαιμονίων ἀπέκτεινε, Τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ [a] πόλεμον ἔργα [b] πέπρα-
245 κται. Δημοσθένει δ' [c] ἀντεροῦ διὰ τί [d] δώσετε; ὅτι δωροδόκος, ὅτι δειλός, ὅτι τὴν τάξιν ἔλιπε. καὶ πότερον [e] τοῦ-

[d] οὐ δυνατὸς] ἀδύνατος h. οὐ δυνατὸν g. l.
[e] συμβαίνοι] συμβαίνει (omisso antea ἂν) a. g. m.
[f] ὑπέμεινας] ὑπομείνας h. l.
[g] συναχθεσθησόμενος] συναχθησόμενος g.
[h] τοῦ om. n.
[i] νυνὶ] νῦν e. h. k. l.
[k] λέγειν om. e. g. h. k. l.
[l] δύνασαι] δύνασθαι e.
[m] ἂν] ἐὰν e.
[n] σοι om. d. e. h. k. l.
[o] συνείπῃ] συνείποι m. n.
[p] δὴ] δὲ h. l.
[q] Ἰφικράτην] ἰφικράτου l.
[r] πυθοῦ] πύθοῦ h. k. πύθου g. m. πιθοῦ l.
[s] αὐτῆν] αὐτὸν l.
[t] αὐτοῖς om. l. αἰτεῖς correctus g.
[u] γὰρ om. l. ἅμα σοι om. h. l. σοι ἅμα e. k.
[x] Ἰφικράτει] ἰφικράτην e. ἰφικράτης l.
[y] ὅτι] διότι l.
[z] μόραν] μοῖραν scripti omnes.
[a] πόλεμον] τὸν πόλεμον n.
[b] πέπρακται] τέτυκται a.
[c] ἀντεροῦ] ἐάν τις ἐρωτᾷ a. c. d. f. g. m. n.
[d] δώσετε] οὐ δώσετε a. d. g. m. n. οὐ δώσετε φήσετε c. f.
[e] τοῦτον om. pr. h.

τον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς [f]ἀτιμώσετε καὶ τοὺς ὑπὲρ 35
ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς [g]νομίσαθ' ὁρᾶν
σχετλιάζοντας εἰ οὗτος στεφανωθήσεται. καὶ γὰρ ἂν
εἴη δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, [h]εἰ τὰ μὲν ξύλα καὶ τοὺς
λίθους καὶ τὸν σίδηρον, [i]τὰ ἄφωνα καὶ [k]ἀγνώμονα, ἐάν
[l]τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, [m]καὶ ἐάν τις
[n]αὐτὸν [o]διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν χω-
246 ρὶς τοῦ σώματος θάπτομεν, [p]Δημοσθένη δέ, ὦ Ἀθηναῖοι, 40
τὸν γράψαντα μὲν τὴν πανυστάτην ἔξοδον, προδόντα δὲ
τοὺς στρατιώτας, τοῦτον ὑμεῖς τιμήσετε. οὐκοῦν ὑβρίζον-
ται μὲν οἱ τελευτήσαντες, ἀθυμότεροι δὲ οἱ ζῶντες γίνονται
ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν δὲ μνή-
μην ἐπιλείπουσαν. [q]τὸ δὲ μέγιστον, [r]ἐὰν ἐπερωτῶσιν
[s]ὑμᾶς οἱ νεώτεροι πρὸς [t]ποῖον [u]χρὴ παράδειγμα αὐτοὺς
247 τὸν βίον ποιεῖσθαι, [x]τί κρινεῖτε; εὖ γὰρ ἴστε, [y]ὦ ἄνδρες
Ἀθηναῖοι, ὅτι οὐχ [z]αἱ παλαῖστραι οὐδὲ τὰ διδασκαλεῖα
οὐδ' ἡ μουσικὴ [a]μόνον παιδεύει τοὺς [b]νεωτέρους, ἀλλὰ 89
πολὺ μᾶλλον τὰ δημόσια [c]κηρύγματα. κηρύττεταί τις
ἐν τῷ θεάτρῳ ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα [d]καὶ ἀνδρα-
γαθίας καὶ εὐνοίας ἄνθρωπος [e]ἀσχήμων ὢν τῷ βίῳ

[f] ἀτιμώσετε] ἀτιμωρήτους ἐάσετε e. h. k. l. ἀτιμάσετε n.
[g] νομίσαθ' e.h.k.l. ceteri νομίζεθ'.
[h] εἰ in margine ponit n.
[i] τὰ ἄφωνα] τὸν ἄφωνον e.
[k] ἀγνώμονα] τὰ ἀγνώμονα a. c. g. k.m. τὸν ἀγνώμονα e.l. τὸν ἄκμονα h.
[l] τῳ] τε c. τις n.
[m] καὶ om. l.
[n] αὐτὸν] ἑαυτὸν c. e.
[o] διαχρήσηται] διαχρήσῃ h. k. l. διαχειρίσηται a. c. e. g. m.
[p] Δημοσθένη] δημοσθένει l. ceteri δημοσθένην.
[q] τὸ δὲ] καὶ τὸ e. h. k. l.
[r] ἐὰν om. e. h. k. l.
[s] ὑμᾶς] ὑμῖν n.
[t] ποῖον] ὁποῖον e. h. k. l.
[u] χρὴ παράδειγμα] παράδειγμα χρὴ c. d. f. n.
[x] τί κρινεῖτε om. e. h. k. l.
[y] ὦ ἄνδρες Ἀθηναῖοι addidi ex e. h. k. l.
[z] αἱ παλαῖστραι] ἡ παλαίστρα e. h. k. l.
[a] μόνον] μόνη h.
[b] νεωτέρους] νέους e. h. k. l.
[c] κηρύγματα] δίκαια e. h. k. l.
[d] καὶ ἀνδραγαθίας καὶ εὐνοίας om. e. h. k. l.
[e] ἀσχήμων ὢν] ἀσχημονῶν a. e. g. k.l. εὐσχημονῶν h.m. ἀσχήμων ἐν n.

[f]καὶ βδελυρός; [g]ὁ δέ γε νεώτερος ταῦτ' ἰδὼν διεφθάρη. δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκὸς ὥσπερ Κτησιφῶν; οἱ δέ γε ἄλλοι πεπαίδευνται. τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν; ὁ δέ γε εἰκότως οὐ πείθεται, ἀλλὰ τὸ [h]νουθετεῖν
248 [i]ἐνοχλεῖν ἐνταῦθα· [k]ἤδη δικαίως ὀνομάζεται. ὡς [l]οὖν μὴ μόνον κρίνοντες ἀλλὰ καὶ [m]θεωρούμενοι, οὕτω τὴν ψῆφον φέρετε, εἰς [n]ἀπολογισμὸν τοῖς [o]νῦν μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ [p]ὑμᾶς τί [q]ἐδικάζετε. εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι τοιαύτη [r]δόξει ἡ πόλις εἶναι, ὁποῖός [s]τις ἂν [t]ᾖ ὁ κηρυττόμενος· ἔστι δὲ ὄνειδος μὴ τοῖς προγόνοις [u]ὑμᾶς ἀλλὰ τῇ [x]Δημοσθένους ἀνανδρίᾳ προσ-
249 εικασθῆναι. πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην [y]ἐκφύγοι; [z]ἐὰν τοὺς προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε. ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ, φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ [a]πολὺ οἱ τοῖς ἔργοις πλεῖστον ἀπέ-
250 χοντες. [c]Ὅταν οὖν [b]λάβητε ῥήτορα ξενικῶν στεφάνων καὶ κηρυγμάτων [c]ἐν τοῖς [d]Ἕλλησιν ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν κελεύετε [d]καὶ [e]τὸν λόγον, [f]ὥσπερ [g]τὰς βεβαιώ-

[f] καὶ βδελυρός om. e. h. k. l.
[g] ὁ δέ γε] ὁ δὲ e. οὐδεὶς h. οὐδὲν n.
[h] νουθετεῖν] παιδεύειν a. g. m.
[i] ἐνοχλεῖν ἐνταῦθα] ἐνταῦθα ἐνοχλεῖν a. g. m. n.
[k] δικαίως] καὶ δικαίως a. g.
[l] οὖν om. e.
[m] θεωρούμενοι] θεωροῦντες e. h. k. l.
[n] ἀπολογισμὸν] ἀπολογίαν a. g. m.
[o] νῦν μὲν] μὲν νῦν n. νῦν μὲν οὖν a.
[p] ὑμᾶς] ἡμᾶς l.
[q] ἐδικάζετε] ἐκδικάζεται a.
[r] δόξει ἡ πόλις] ἡ πόλις δόξει e. h. k. l.
[s] τις om. g.
[t] ᾖ] εἴη e. h. k.
[u] ὑμᾶς] ἡμᾶς a. c. d. f. k. l. m. ὑμῶν h. ἡμῶν g. om. u.
[x] Δημοσθένους] τοῦ δημοσθένους f. n.
[y] ἐκφύγοι] ἐκφεύγοι e. k.
[z] ἐὰν] ἐὰν οὖν c. qui post φυλάξησθε addit καλῶς ποιήσεται.
[a] πολὺ] τὸ πολὺ d. f.
[b] λάβητε] λαβόντες n.
[c] ἐν om. e. h. k. l.
[d] καὶ om. a. g. h. m.
[e] τὸν λόγον] τῶν λόγων c. e. d. f. k. l. n.
[f] ὥσπερ om. a.
[g] τὰς] καὶ τὰς a. e. g. h. k. l. m.

σεις τῶν [h] κτημάτων ὁ νόμος κελεύει ποιεῖσθαι, εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα. [i] ὅτῳ δὲ ταῦτα μὴ [k] μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, [l] καὶ τῆς
251 δημοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης [m] ὑμᾶς. ἢ οὐ δεινὸν ὑμῖν [n] δοκεῖ εἶναι [o] ὅτι τὸ μὲν βουλευτήριον καὶ ὁ δῆμος παροῦται, αἱ δ' ἐπιστολαὶ καὶ [p] αἱ πρεσβεῖαι ἀφικνοῦνται [q] εἰς ἰδιωτικὰς οἰκίας, οὐ παρὰ τῶν τυχόντων ἀνθρώπων ἀλλὰ παρὰ τῶν [r] πρωτευόντων ἐν τῇ Ἀσίᾳ καὶ [s] τῇ Εὐρώπῃ; καὶ ἐφ' οἷς ἐστὶν [t] ἐκ τῶν νόμων ζημία θάνατος, ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν ἀλλ' ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις
[u] παραναγινώσκουσιν, [x] καὶ παρακελεύονται [y] ὑμῖν οἱ μὲν βλέπειν [z] εἰς τὰ ἑαυτῶν πρόσωπα ὡς φύλακες [a] τῆς δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεὰς ὡς σωτῆρες τῆς πό-
252 λεως ὄντες. ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν συμβεβηκότων ὥσπερ [b] παραγεγηρακὼς ἢ παρανοίας ἐαλωκὼς αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας [c] περιποιεῖται, τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν. ἔπειτ' ἀπέρχεσθε ἐκ τῶν ἐκκλησιῶν [d] οὐ βουλευσάμενοι, ἀλλ' ὥσπερ ἐκ τῶν ἐράνων, τὰ [e] περιόντα νειμάμενοι. Ὅτι δ' οὐ ληρῶ, ἐκεῖθεν
253 τὸν λόγον θεωρήσατε. ἐγένετό τις (ἄχθομαι δὲ [f] μεμνη-

[h] κτημάτων] κηρυγμάτων c.d.f.n.
[i] ὅτῳ] οὕτω l. et pr. h.
[k] μαρτυρεῖται] μαρτυρεῖτε e. h. l.
[l] καὶ] οὕτω γὰρ καὶ c.
[m] ὑμᾶς] ὡς ὑμᾶς d.
[n] δοκεῖ ante ὑμῖν ponunt a.g.m. post εἶναι e. h. k. l. εἶναι om. n.
[o] ὅτι] εἰ a. d. g. m.
[p] αἱ post καὶ om. a. g. m.
[q] εἰς—πρωτευόντων om. n.
[r] πρωτευόντων in margine h. πρωτευόντων ἀνθρώπων d. f.
[s] τῇ] ἐν τῇ c. d. f. n.
[t] ἐκ] ἢ παρὰ e. h. k. l.
[u] παραναγινώσκουσιν] παραγινώσκουσιν c. d. ἐπαναγινώσκουσιν n.
[x] καὶ παρακελ.] παρακελ. δὲ d. f. καὶ παρακελ. δὲ c.
[y] ὑμῖν οἱ μὲν] οἱ μὲν ὑμῖν c. d. e. f. k. l. οἱ μὲν ὑμᾶς h.
[z] εἰς] εἰς καὶ h. καὶ l.
[a] τῆς om. d.
[b] παραγεγηρακὼς] γεγηρακὼς h.l.
[c] περιποιεῖται] περιπονεῖται n.
[d] οὐ in margine n.
[e] περιόντα] περιόντα k.
[f] μεμνημένος πολλάκις] πολλάκις μεμνημένος a. c. d. f. g. m. n.

μένος πολλάκις [g]τὰς ἀτυχίας τῆς πόλεως) ἐνταῦθ' ἀνὴρ ἰδιώτης, [h]ὃς ἐκπλεῖν [i]μόνον εἰς Σάμον [k]ἐπιχειρήσας ὡς προδότης τῆς πατρίδος αὐθημερὸν [l]ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη. ἕτερος [m]δ' [n]ἰδιώτης ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην ποτὲ εἰσηγγέλθη καὶ ἴσαι [o]αὐτῷ αἱ ψῆφοι ἐγένοντο· εἰ δὲ [p]μία μόνον μετέπεσεν, ὑπερώριστ' ἂν ἡ ἀπέ-
254 θανεν. ἀντιθῶμεν δὴ τὸ [q]νυνὶ [r]γινόμενον. ἀνὴρ ῥήτωρ, [s]ὁ πάντων τῶν κακῶν [t]αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, [u]ἀπέδρα δ' ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι [x]οἴεται δεῖν. οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον ὡς κοινὴν τῶν Ἑλλήνων συμφο-
255 ράν; ἢ συλλαβόντες ὡς ληστὴν τῶν πραγμάτων, ἐπ' ὀνόματον διὰ τῆς πολιτείας πλέοντα, τιμωρήσεσθε; καὶ τὸν καιρὸν [y]μὴν μνήσθητε ἐν ᾧ τὴν ψῆφον φέρετε. ἡμερῶν μὲν ὀλίγων [z]μέλλει τὰ Πύθια γίνεσθαι καὶ τὸ συνέδριον [a]τὸ τῶν Ἑλλήνων συλλέγεσθαι· διαβέβληται [b]δ' ἡ πόλις ἐκ τῶν Δημοσθένους πολιτευμάτων περὶ τοὺς [c]νῦν καιρούς· δόξετε δ', ἐὰν μὲν [d]τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην, ἐὰν

[g] τὰς ἀτυχίας τῆς πόλεως] ἀτυχία τῇ πόλει e. h. k. l.
[h] ὃς om. e. h. k. l.
[i] μόνον] μόνος a. c. e. g. h. l. m. n. om. d. f.
[k] ἐπιχειρήσας] ἐγχειρήσας d. f. n.
[l] ὑπὸ] ἀπὸ e. h. k. l.
[m] δ' om. e. k.
[n] ἰδιώτης ἐκπλεύσας] ἐκπλεύσας ἰδιώτης e. h. k. l.
[o] αὐτῷ αἱ ψῆφοι] αἱ ψῆφοι αὐτῷ a. c. d. f. g. m. n.
[p] μία] μιᾶ a. μίαν h. l. m.
[q] νυνὶ e. h. k. l. ceteri νῦν.
[r] γινόμενον] γενόμενον n.
[s] ὁ πάντων] τὸ πάντων a. ἁπάντων d. f. n.
[t] αἴτιος] αἴτιον a.
[u] ἀπέδρα] ἀποδέδρακε e. h. k. l.
[x] οἴεται] οἴεσθαι h.
[y] μὴν μνήσθητε Helmstad. μὴ μνησθῆτε a. e. g. h. k. l. m. ceteri μέμνησθε.
[z] μέλλει τὰ Πύθια] τὰ πύθια μέλλει g. m.
[a] τὸ ante τῶν om. e. h. k. l.
[b] δ' ἡ] δ' ἡμῶν ἡ a. c. d. f. g. m. n.
[c] νῦν] νυνὶ e. h. k. l.
[d] τοῦτον στεφανώσητε] τοῦτον στεφανωθήσητε m. οὗτος στεφανώσητε n.

δὲ τοὐναντίον [e] τούτου πράξητε, [f] ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν.

256 Μὴ οὖν ὡς [g] ὑπὲρ ἀλλοτρίας ἀλλ' ὡς ὑπὲρ οἰκείας τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ [h] ἄνδρας ἀξιολογωτέρους ἀποθεσθε. καὶ μὴ μόνον τοῖς [i] ὠσὶν ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσὶν οἱ [k] βοηθήσοντες Δημοσθένει, πότερον οἱ [l] συγκυνηγέται ἢ [m] οἱ συγγυμνασταὶ αὐτοῦ, [n] ὅτ' ἦν ἐν ἡλικίᾳ. ἀλλὰ μὰ τὸν Δία τὸν Ὀλύμπιον, οὐχ ὑς ἀγρίους κυνηγετῶν οὐδὲ τῆς τοῦ σώματος εὐεξίας [o] ἐπιμελόμενος, ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς
257 τὰς οὐσίας κεκτημένους διαγεγένηται. ἀλλ' εἰς τὴν ἀλαζονείαν [p] ἀποβλέψαντες, ὅταν φῇ [q] Βυζαντίους μὲν ἐκ τῶν χειρῶν [r] πρεσβεύσας ἐξελέσθαι [s] τῶν Φιλίππου, [t] ἀποστῆσαι δὲ Ἀχαρνᾶνας, ἐκπλῆξαι δὲ Θηβαίους δημηγορήσας· οἴεται γὰρ [u] ὑμᾶς εἰς τοσοῦτον εὐηθείας [x] ἤδη προβεβηκέναι ὥστε καὶ ταῦτα [y] ἀναπεισθήσεσθαι, ὥσπερ Πειθὼ τρέφοντας ἀλλ' οὐ συκοφάντην ἄνθρωπον [z] ἐν τῇ
258 πόλει. Ὅταν δ' ἐπὶ τελευτῆς ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων αὐτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ

[e] τούτου om. a.

[f] ἀπολύσετε] ἀπολύσητε f.

[g] ὑπὲρ—ὑπὲρ] περὶ—περὶ e.h.k.l.

[h] ἄνδρας ἀξιολογ.] ἀξιολογ. ἄνδρας a. c. d. f. g. m. n.

[i] ὠσὶν] σώμασιν d. f.

[k] βοηθήσοντες] βοηθήσαντες c. συνβοηθήσοντες n.

[l] συγκυνηγέται] κυνηγέται e.

[m] οἱ om. n.

[n] ὅτ' ὃς n.

[o] ἐπιμελόμενος a. k. ceteri ἐπιμελούμενος. Quod addebatur διατετέλεκεν, omisi cum d.e.f.h.k.l.

[p] ἀποβλέψαντες] βλέψαντες c.d.f.

[q] Βυζαντίους] τοὺς βυζαντίους g. m. βυζάντιον c. d. f. n.

[r] πρεσβ. ἐξελ.] ἐξελ. πρεσβ. e. h. k. l.

[s] τῶν] τοῦ a. c. d. e. g. h. l. m.

[t] ἀποστῆσαι δὲ om pr. n.

[u] ὑμᾶς] ἡμᾶς e. k. l.

[x] ἤδη om. n.

[y] ἀναπεισθήσεσθαι] ἀναπεισθήσεσθε c. d f. ἀναπεισθήσεται l.

[z] ἐν om. n.

λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν τοὺς τῆς πόλεως εὐεργέτας, Σόλωνα μὲν τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθόν, σωφρόνως, [a] ὡς προσῆκεν αὐτῷ, δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων,
259 Ἀριστείδην [b] δὲ τὸν τοὺς [c] φόρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος τὰς θυγατέρας ἐξεδώκεν ὁ δῆμος, σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ, καὶ ἐπερωτῶντα εἰ οὐκ αἰσχύνεσθε [d] εἰ οἱ μὲν πατέρες [e] ὑμῶν [f] Ἀρθμιον τὸν Ζελείτην κομίσαντα εἰς [g] τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου [h] τοῦ Ἀθηναίων, παρ' οὐδὲν [i] μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν [k] δ' ἐκ τῆς πόλεως καὶ ἐξ ἀπά-
260 σης ἧς [l] Ἀθηναῖοι ἄρχουσιν, ὑμεῖς δὲ Δημοσθένην, οὐ [m] κομίσαντα τὸ ἐκ Μήδων [n] χρυσίον ἀλλὰ δωροδοκήσαντα καὶ ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν. Θεμιστοκλέα δὲ καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους [o] τοὺς τῶν προγόνων [p] οὐκ οἴεσθε [q] στενάξειν, εἰ ὁ
30 μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν [r] ἀντιπράττειν στεφανωθήσεται;

261 Ἐγὼ μὲν οὖν, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ σύνεσις

[a] ὡς] ὥσπερ c. d. f. n.
[b] δὲ om. e. l.
[c] φόρους] νόμους a.
[d] εἰ οἱ] ὅτι οἱ e. h. k. l.
[e] ὑμῶν] ἡμῶν k.
[f] Ἄρθμιον] ἀρίθμιον c. e. f. h. l.
[g] τὴν om. g. m.
[h] τοῦ Ἀθηναίων c. d. k. m. ceteri τῶν ἀθηναίων.
[i] μὲν om. e. h. k. l.
[k] δ' om. n.
[l] Ἀθηναῖοι ἄρχουσιν] ἄρχουσιν ἀθηναῖοι e. h. k. l.
[m] κομίσαντα] κολάσαντα pr. h.
[n] χρυσίον] χρυσίον ἐπιδημήσαντα —Ἀθηναίων (e versu 24.) h. k. l.
[o] τοὺς ante τῶν om. e. g. k. l. n. et pr. h.
[p] οὐκ] οὐκ ἂν c. e. d. f. n.
[q] στενάξειν] στενάξαι a. g. m. ἀναστενάξαι c. d. f. n.
[r] ἀντιπράττειν] ἀντιπρᾶξαι c. d. f. n.

καὶ παιδεία, ᾗ διαγινώσκομεν τὰ καλὰ καὶ [s]τὰ αἰσχρά, [t]βεβοήθηκα καὶ εἴρηκα. καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην, εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ τῶν [u]παραλειπομένων αὐτοὶ τὰ δίκαια [x]καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

[s] τὰ post καὶ om. h. l.
[t] βεβοήθηκα] βεβόηκα e. h. l.
[u] παραλειπομένων] παραλελειμμένων a. c. d. f. g. m. n.
[x] καὶ τὰ συμφίροντα om. d. f.

[ΑΙΣΧΙΝΟΥ]

ΕΠΙΣΤΟΛΑΙ.

Α.

[a]ΦΙΛΟΚΡΑΤΕΙ. 656

Λυσαντες ἐκ Μουνυχίας ἑσπέρας λαμπρῷ σφόδρα
[b]Σκίρωνι περὶ μέσην ἡμέραν κατήχθημεν εἰς [c]Κορησ- 657
σὸν τὴν Κέω. καθίσαντες δὲ ἡμέρας ἐννέα ([d]σκαιὸς 658
γὰρ ἦν ὁ ἄνεμος) εἶτα [e]ἑσπέρας λύσαντες ἅμα τῇ
ἕῳ εἰς Δῆλον ἤλθομεν. Δήλιοι δὲ ἐνόσουν λοιμώδη τινὰ
νόσον· τὰ μὲν πρόσωπα ἐπίμπλαντο λεύκης καὶ τὰς
τρίχας λευκοὶ ἐγίνοντο, ὁ δὲ [f]τράχηλος καὶ τὰ στέρνα
ἀνώδει, πυρετοὶ δ' οὐκ ἐγίγνοντο οὐδὲ ἀλγηδόνες μεγά-
λαι, οὐδὲ τὰ κάτω μέρη παρήλλαττεν οὐδέν [g]τι. ταῦτα
δ' [h]ἐτίθεντο κατὰ μῆνιν Ἀπόλλωνος αὐτοῖς συμβεβη- 659
κέναι, ταφέντος ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφανῶν, οὐ πρό-
τερον εἰωθός· ἐκ [i]τούτου [k]προσβαλεῖν [l]αὐτοῖς τὸν θεὸν
τὴν νόσον [m]ταύτην ὑπελάμβανον. ἡμεῖς δὲ [n]ὥσπερ εἴς τι

[a] ΦΙΛΟΚΡΑΤΕΙ om. a.
[b] Σκίρωνι] σκίρωνι τῷ ἀργέστῃ ἀνέμῳ a.
[c] Κορησσὸν τὴν Κέω c. κορεσσὸν τὴν κίων a. vulg. Νηρησσὸν τὴν Κείων.
[d] σκαιὸς γὰρ ἦν ὁ ἄνεμος] καὶ γὰρ ἦν ἄνεμος ἐναντίος a. c.
[e] ἑσπέρας] πάλιν editi: possis πάλιν ἑσπέρας.
[f] τράχηλος] τράχηλος αὐτῶν editi.
[g] τι addidi ex a. c.
[h] ἐτίθεντο] ἐτίθοντο a. c.
[i] τούτου] vulg. τούτου οὖν.
[k] προσβαλεῖν] προσβάλλειν a. c.
[l] αὐτοῖς] αὐτοὶ a.
[m] ταύτην om. a.
[n] ὥσπερ εἴς a. ὡς περί c.

ἔθνος ἀλλόφυλον ἢ νῆσον ἐν τῇ ἔξω [o] θαλάσσῃ ἀφιγμένοι,
καὶ ἰδόντες ἐξαίφνης [p] ποικίλους ἀνθρώπους, νυκτὸς [q] ἔτι
ἀποφεύγοντες ὠχόμεθα, πυνθανόμενοι ἀλλήλων κατὰ τὸν
πόρον, εἰ τὸ χρῶμα [r] ἔχοι ἕκαστος οἷον ἐκόμιζεν οἴκοθεν,
καὶ τὰς τρίχας. ζάλη δὲ καὶ ἄνεμος ἐξώστης ἐμπεσὼν
ἀπήνεγκεν ἡμᾶς [s] ὑπὲρ Κρήτην πλησίον Ψαμαθοῦντος. ὡς 660
δὲ ἐν [t] συνόπτῳ ἦμεν ἤδη, ἀντιπνεῖ πνεῦμα Λιβυκόν. εἶτα
πνεύσαντος ἡμῖν [u] ἀπαρκτίου πάλιν πέντε νύκτας ἐν
θαλάττῃ [x] ἐφερόμεθα, ἐν [y] αἷς προσέσχομεν [z] Ἀθρώνῃ, ἵνα
μάθωμεν μὴ πολυπραγμονεῖν, εἴ τις ἐν τῇ [a] ἑαυτοῦ πα-
τρίδι κατὰ τοὺς νόμους ἢ μὴ στεφανοῦται. κἀκεῖθεν τέτ-
ταρσιν ἡμέραις ἀφικόμεθα εἰς ἐπίνειόν τι τῆς Ῥοδίας, 661
ὅπου νοσήσαί μοι συνέβη τὴν περὶ τὸ ἄσθμα νόσον. ὡς δὲ
[b] ἐπιμείναντος αὐτόθι οὐκ ἐνεδίδου ἡ νόσος, διέπλευσα εἰς
Ῥόδον, καὶ ἐδέξατο ἡμᾶς εὐμενῶς ὁ τόπος· εὐθὺς γὰρ
ὡς [c] ἀφικόμην, πολὺ ῥᾴων ἐγενόμην. καὶ ταυτὶ μὲν [d] ἔχο-
μέν σοι τέως ἐπιστέλλειν· τὰ δ' ἄλλα ὡς ἂν ἕκαστα
[e] συμβαίνῃ, δηλώσομεν. εὐτύχει, καὶ μὴ [f] πολιτεύου μηδὲ
πρόσκρουε μήτε τοῖς πλέον σοῦ μήτε τοῖς ἔλαττον δυνα-
μένοις.

[o] θαλάσσῃ a. c. vulg. θαλάττῃ.

[p] ποικίλους ἀνθρώπους] vulg. χρῶμα (vel cum Reiskio χρῆμα) ποικίλον ἀνθρώπων.

[q] ἔτι ἀποφεύγοντες] τε ἐπιφεύγοντες a. ἔτι om. c.

[r] ἔχοι] ἔχει a. c.

[s] ὑπὲρ] εἰς a. c.

[t] συνόπτῳ a. c. vulg. ἀπόπτῳ.

[u] ἀπαρκτίου] ἀπ' ἄρκτου a. c.

[x] ἐφερόμεθα vulg. ante πέντε ponunt. om. a.

[y] αἷς] οἷς c. et pr. a.

[z] Ἀθρώνῃ] ἐν ἀτορώνῃ a. τορώνῃ c.

[a] ἑαυτοῦ] αὐτοῦ c.

[b] ἐπιμείναντος] vulg. ἐπιμειναντός μου.

[c] ἀφικόμην] vulg. διέβην.

[d] ἔχομεν] vulg. εἴχομεν.

[e] συμβαίνῃ] vulg. συμβαίνοι.

[f] πολιτεύου μηδὲ adjeci ex a. c. in quibus est μήτε.

B.

ΚΤΗΣΙΦΩΝΤΙ.

[a]ΕΠΕΣΤΕΙΛΕΝ ἡμῖν Νικόστρατος, ὁ πρὸς μητρὸς θεῖος, ὡς [b]ἐπηρεάζοις μὲν εἰς αὐτὸν οὐ μετρίως, ἐμοὶ δὲ [c]ὀνειδίζοις τὴν διὰ σέ μοι συμβᾶσαν συμφοράν. ἐγὼ δὲ θαυμάζω, τί παθὼν ἐξιοῦσι μὲν οἴκοθεν ἡμῖν τοσαῦτα δι-
5 ελέχθης, ὥστε πεισθῆναί με μηδὲν ὧν διελέχθης πεπλά- 662
σθαι σε, μηδ' ἄλλως φρονεῖν, βλέποντα πρῶτον μὲν εἰς τὴν ἐμὴν [d]συμφοράν, ἣν οὐκ ἀπεικὸς εἶναι καὶ τοὺς ἐχθροὺς ἐλεεῖν ὑπελάμβανον, ἔπειτα [e]δὲ εἰς τὸ σκυθρω-
πόν [f]σου καὶ ὅμοιον δεδακρυμένῳ· ὥστ' ἔγωγε καὶ ἐπέ- 663
10 σκηψα ἐνίοις τῶν προσηκόντων ἡμῖν, εἴ του δέοιντο, προσ-
ιέναι σοι, καὶ μηδενὸς ὑστερήσειν ὑπεσχόμην αὐτοῖς, καὶ αὐτὸς δὲ ἐπέστειλα περὶ ὧν ἐχρημάτιζον Ἀθηνῇσί μοι γενέσθαι πολλάκις· νῦν δ' [g]οὐδ' ἐμποδὼν ἔτι οὖσιν ἡμῖν, [h]οὐδὲ [i]διοχλοῦσι σοὶ οὔδ' ἄλλῳ τινὶ Ἀθηναίων, ἐπηρεά-
15 ζεις, καὶ οὔτε εἰς τὴν τύχην ἀποβλέπεις οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων, ἀλλ' ἐπαγωνιζῇ ἔτι καὶ ἐκπεπτωκόσι τῆς πατρίδος καὶ ἀπεστερημένοις ἐπιτιμίας καὶ πόλεως καὶ πολιτῶν καὶ φίλων. καὶ ὅσα [k]μὲν εἰς ἐμὲ ἀπόντα ἐβλασφήμεις, σοὶ μὲν ἴσως φέροι ἄν τινα εἰκότως καὶ 664
20 φθόνον καὶ μῖσος, ὥσπερ [l]ἂν εἴ τινα τῶν τεθνεώτων ἐπι-

[a] ΕΠΕΣΤΕΙΛΕΝ] ἀπέστειλεν C.
[b] ἐπηρεάζοις] ἐπηρεάζεις a.
[c] ὀνειδίζοις] ὀνειδίζεις a. c.
[d] συμφορὰν] Editi ξυμφοράν.
[e] δὲ] vulg. δὲ καί.
[f] σου om. a. c.
[g] οὐδ'] vulg. οὐκ.
[h] οὐδὲ—οὐδ'] Libri οὔτε—οὔτε.
[i] διοχλοῦσι] vulg. διενοχλοῦσι.
[k] μὲν om. pr. a.
[l] ἂν om. a.

βάλλοιο βλασφημεῖν, ἐν οὕτω χρηστῇ [m]τε καὶ φιλανθρώπῳ πόλει· ἐγὼ δὲ οὐκ ἂν διὰ [n]ταῦτα φαυλότερος νομισθείην, [o]ἀπὼν ὑπὸ σοῦ λοιδορούμενος, ἀτυχέστερος μέντοι καὶ ἐλεεινότερος ἴσως [p]νομισθεὶς [q]ποτὲ μὲν οὐδὲν ἤττων· νῦν δὲ οὐδὲ μίαν ὑπὲρ [r]αὐτοῦ φωνὴν [s]ἐκπέμπειν, ἀλλ' οὐδὲ ἀκούειν λοιδορούμενος δύναμαι. τὸ δὲ γέροντα ἐπιεικῆ ὑβρίζεσθαι, μηδεμίαν ἐλπίδα [t]ἔτι ἔχοντα τοῦ δυνήσεσθαί ποτε ἀμύνασθαι, ὅς γε τὴν σύμπασαν ἐλπίδα ἐφ' [u]ἡμῖν αὐτοῖς ἀκμὴν ἔχει τοῖς μηδ' [x]ἑαυτοὺς σώζειν 665
ἔτι δυναμένοις, πῶς οὐχ αἰσχρόν ἐστιν; ἀλλὰ μὴ πρὸς [y]Διός, μὴ σύγε, ὦ Κτησιφῶν, μηδὲ εἰ τὰ μάλιστα ἡμᾶς ἀνιᾷν [z]ἔτι βούλει, καὶ εἰ μὴ πεπλήρωκέ σε μηδὲν τῶν ἡμετέρων κακῶν, μίασμα τοῦτο [a]προσθῇς [b]σαυτῷ τε καὶ τοῖς παισίν, οὓς τρέφεις βοηθοὺς [c]ἔσεσθαι δηλονότι [d]τοῦ γήρως σοῦ προσδοκῶν. καὶ μέμνησο ὅτι οὐδὲ Αἰσχίνης εἰς τοῦτό ποτε ἀφίξεσθαι ἤλπισεν, οὐδ' ἄλλοι πολλοὶ καὶ ἔτι μᾶλλον ἀκμάσαντες ἐν τῇ ἑαυτῶν [e]πόλει καὶ [f]πολὺ λαμπρότεροι ἐμοῦ τε καὶ σοῦ γενόμενοι.

Γ.

Οἱ μὲν ἄλλοι πάντες, ὅσοι φεύγουσιν ἀδίκως, ἢ δέον- 666
ται τῶν πολιτῶν ὅπως ἐπανέλθωσιν, ἢ διαμαρτόντες τούτου λοιδοροῦσι τὰς ἑαυτῶν πατρίδας ὡς φαύλως αὐτοῖς προσφερομένας· ἐγὼ δὲ ἐπείπερ ἀναξίως ὧν ἐπολιτευσά-

[m] τε addidi ex a. c.
[n] ταῦτα] vulg. τοῦτο.
[o] ἀπὼν post λοιδορούμενος ponit a.
[p] νομισθεὶς] φανεὶς a.
[q] ποτὲ] vulg. καὶ ποτέ: Reiskius τότε μὲν οὐδ' ἐνυττόμην.
[r] αὐτοῦ] vulg. ἐμαυτοῦ.
[s] ἐκπέμπειν om. a.
[t] ἔτι ἔχοντα τοῦ δυνήσεσθαι] ἔχοντα ἔτι τοῦ δυνήσασθαι a.
[u] ἡμῖν] ὑμῖν c.
[x] ἑαυτοὺς] αὐτοὺς a.
[y] Διός] τοῦ διὸς c.
[z] ἔτι addidi ex a. c.
[a] προσθῇς] μὴ προσθῇς editi.
[b] σαυτῷ] αὐτῷ a. ἑαυτῷ c.
[c] ἔσεσθαι] vulg. ἔσεσθαί σοι.
[d] τοῦ γήρως σου] γῆρας σὺ a.
[e] πόλει] vulg. πατρίδι.
[f] πολὺ] πολλῷ a.

μην ἠτύχησα καὶ κατηγορῶν ἄλλων αὐτὸς ἑάλων, ἄχθομαι μὲν ὥσπερ εἰκός ἐστιν, ἀγανακτῶ δὲ οὐδέν. οὐ γὰρ οὕτως ἔγωγε ἠλίθιός εἰμι, ὥστε ἐξ ἧς πόλεως ὁ Θεμιστοκλῆς ὁ τὴν Ἑλλάδα ἐλευθερώσας ἐξηλάθη, καὶ ὅπου Μιλτιάδης, ὅτι μικρὸν [g]ὤφλε τῷ δημοσίῳ, γέρων ἐν τῷ δεσμωτηρίῳ ἀπέθανε, ταύτῃ τῇ πόλει Αἰσχίνην τὸν Ἀτρομήτου φεύγοντα ἀγανακτεῖν οἴεσθαι δεῖν, εἴ τι τῶν εἰωθότων Ἀθήνησιν [h]ἔπαθεν. ἀλλ' ἔγωγε καὶ λαμπρὸν εἰκότως [i]μοι νομίσαιμ' ἂν [k]αὐτὸ γενέσθαι τὸ μετ' ἐκείνων ἐν ἀδοξίᾳ παρὰ τοῖς ἔπειτα ἀνθρώποις, καὶ ἄξιος τῶν ὁμοια παθεῖν ἐκείνοις [l]γεγονέναι. 667

Δ.

[m]Ἐπεί [n]σοι δοκεῖ πυνθάνεσθαι περὶ Κλεοκράτους, ὅστις ἔστιν ὁ Κλεοκράτης, ἄκουε· παύσῃ γὰρ οὐ πρόϊκα πολυπραγμονῶν, οὐδ' ἅπει πρὶν μακρᾶς ἀκοῦσαι διηγήσεως. τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις, Ἀρίφρονα τὸν ἐκ Δαμαγήτου εἴ που πυνθάνοιο, ὃν καὶ ὁ μέγας αἴρει Πίνδαρος. ἀλλ' ὅπως μὴ γέλωτα ὀφλισκάνῃς ζητῶν ὅστις ἐστὶν ὁ Πίνδαρος. τουτὶ μὲν γὰρ οἶμαι ὅτι καὶ παρὰ Μαντίᾳ τῷ γραμματιστῇ ἅμα ἐμοί ποτε ἔμαθες τὸ γράμμα· καὶ εἰ μηδενὸς ἔτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις [o]Μελανίππου ἑκάστοτε ἀκούεις λέγοντος "[p]αἵ τε λιπαραὶ καὶ [q]ἀοίδιμοι Ἑλλάδος ἕρεισμ' Ἀθῆναι," καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου [r]τὸ ἔπος τοῦτό 668 669

[g] ὤφλε] vulg. ὤφειλε.
[h] ἔπαθεν] ἔπαθον a.
[i] μοι vulg. om.
[k] αὐτὸ] Reiskius αὐτῷ.
[l] γεγονέναι] γεγονέναι :—ὄμμασι πυρσοτόκοισιν ἀλάστορες εἴκετε παντες ὃν θέμις ἀντιθέους ἱερὸν δόμον ἀμφιπολεύειν a.
[m] Ἐπεί] vulg. ἐπειδή.
[n] σοι δοκεῖ] δοκεῖ σοι a.
[o] Μελανίππου] μελανώπου a.
[p] αἵ] ᾗ a.
[q] ἀοίδιμοι] διδυμα a.
[r] τὸ ἔπος τοῦτο] τοῦτο τὸ ἔπος a.

ἐστι λέγοντος, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος, οἱ δὲ [s]ἡμέτεροι πρόγονοι διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν, μετὰ τοῦ [t]καὶ εἰκόνι χαλκῇ τιμῆσαι· καὶ ἦν αὕτη καὶ εἰς ἡμᾶς ἔτι, πρὸ τῆς βασιλείου στοᾶς, καθήμενος [u]ἐνδύματι καὶ λύρᾳ ὁ Πίνδαρος, διάδημα ἔχων καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμένον βιβλίον. οὗτος δὴ ὁ Πίνδαρος [x]Δαμάγητον ᾄδει ἐκεῖνον, εἰς ὃν ἀνατείνει τὸ Κλεοκράτους γένος. λέγει δέ που ὁ αὐτὸς Πίνδαρος καὶ τὰ περὶ τοὺς Διαγορείους καὶ τὰ περὶ τὴν πρεσβῦτιν, ἧς τὸ μητρῷον αὐτοῦ γένος ἅπτεται. καὶ εἰ μὴ σφόδρα ἤδειν ποιητῶν ὑπέρφρονα ὄντα σε, καὶ τὰ ἀγοραῖα ταῦτα καὶ τὰ ἀπολέσαντα ἡμᾶς ἐπιτηδεύματα μᾶλλον περιέποντα, κἂν ἀποχρῆν ὑπελάμβανόν σε ὑπομνῆσαι [y]μόνον τὰ περὶ τοὺς Διαγορείους εἰπὼν ἔπη Πινδάρου· [z]νῦν δὲ οἶδα ὅτι μάτην σοι ταύτην τὴν λύραν λέξομεν. δοκεῖ οὖν μοι ἀνάγκη εἶναι διηγήσασθαί σοι τὸ δίη- 670
γημα τοῦτο· ἄξιον γὰρ ἀκοῦσαι, εἰ καὶ μὴ προσῆκον Κλεοκράτει. λέγεται γὰρ [a]γυνή ποτε πρεσβῦτις Ὀλυμπιάσι παρελθοῦσα εἰς τὸ στάδιον ἑστάναι τε ἅμα τοῖς ἀνδράσι καὶ [b]θεᾶσθαι τοὺς ἀγωνιζομένους, ἐπιστάντων δὲ αὐτῇ τῶν Ἑλλανοδικῶν, ὅτι ἐτόλμησε παρελθεῖν εἰς τὸ στάδιον, ἀποκρίνασθαι " τίνι γὰρ ἄλλῃ [c]τοῦτο γυναικὶ " δέδωκε καυχήσασθαι οὕτως ὁ θεός, ὅτι καὶ πατέρα " καὶ τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας [d]ἔχει καὶ υἱὸν ἐπ' " Ὀλύμπια ἄγει;" ταύτης οὖν τῆς πρεσβύτιδος καὶ τούτου τοῦ γένους ἀπορρώξ ἐστιν ὁ Κλεοκράτης, ὡς ἔστι

[s] ἡμέτεροι] vulg. ὑμέτεροι.
[t] καὶ addidi ex a. c.
[u] ἐνδύματι] ἐν ἐνδύματι Hemsterhus. ad Aristophan. Plut. p. 479. b.
[x] Δαμάγητον om. pr. a.
[y] μόνον] ἄλλον pr. a.
[z] νῦν] νυνὶ c.
[a] γυνή ποτε] vulg. ποτε γυνή.
[b] θεᾶσθαι] θεάσασθαι c.
[c] τοῦτο γυναικὶ] γυναικὶ τοῦτο a.
[d] ἔχει—ἄγει] ἔχοι—ἄγοι a. c.

μᾶλλον πάντων ἢ αὐτοῦ πυθέσθαι. καὶ πλείω μὲν οὐ βούλομαι λέγειν· [e]μὴ οὐ μηνῦσαί σοι ὅπερ ἠξίωσας, ὅστις ἔστιν ὁ Κλεοκράτης, βούλεσθαι μόνον, ἀλλὰ καὶ ἐγκεκωμιακέναι αὐτόν, ὥσπερ καὶ Θρασύμαχος [f]τὸν 671
ξένον, συντετάχθαι, καὶ ἀποτίνειν ταύτην τὴν χάριν τῶν λαμπρῶς ἐστιᾶσθαι, δοκῶ. [g]τοσοῦτον μέντοι εἴποιμ' ἄν, ὅτι ἡ πρεσβῦτις ἐκείνη, εἰ τοῦτον ἐγνώκει τὸν [h]Κλεοκράτη, πολὺ ἂν μᾶλλον ἐπὶ τούτῳ ἢ ἐπὶ τοῖς πέντε Ὀλυμπιονίκαις ἐσεμνύνετο.

Ε.

Ὁ μὲν Ἰουλιάδης, ᾧ μάλιστ' ἐπεποίθεις, οὔτε ὅτε ἀφίγμεθα εἰς Ῥόδον παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον ἦν, οὔτ' ἐπανελθὼν εἰς Ῥόδον περιττῶς ἠσμένισεν ἡμᾶς, ἔξω δὴ τοῦ τὰ κοινὰ ταῦτα προστάξαι, λέγειν εἴ τινων χρήζομεν. ὁ δὲ Κλεοκράτης οὐδὲ μὰ τοὺς θεοὺς ἐπιστεῖλαί σοι δυναίμην ἂν αὐτάρκως τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας, ὅσῃ κέχρηται περὶ ἐμέ. καὶ γὰρ οἰκίαν [i]παρεσκεύασέ μοι δημοσίᾳ δοθῆναι καὶ χωρίον ἐν [k]Καμείρῳ, καὶ αὐτὸς δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτήδεια καὶ εἰς ἑνιαυτὸν 672
[l]ἄφθονα, οὐκ ἐμοὶ μόνον ἀλλὰ καὶ Τεύθραντι καὶ Ὀπλιστίᾳ, [m]τὰ μὲν ἄλλα [n]εἰ καὶ φαυλότερα τῶν Ἀθήνησιν, ὥσπερ ἔλαιον καὶ μέλι, ἀλλ' οἵων παρόντων οὐδὲν ἂν τῶν [o]ἐκεῖ δεηθείημεν, οἶνόν γε μὴν καὶ πολὺ ἀμείνω τοῦ παρ' [p]ὑμῖν, καὶ ἐκ στροβίλου ἅμα καὶ ἀλεύρων καὶ ἀρωμάτων πεποιημένα ἐν τύποις τραγήματα, ὧν καὶ πέπομφά σοι. ταῦτα [q]δ' ἡμῖν ἔπεμψε, καὶ πυρῶν μεδίμνους,

[c] μὴ] ἵνα μὴ H. Wolfius.
[f] τὸν ξένον] τῶν ξένων a.
[g] τοσοῦτον] vulg. τοσοῦτο.
[h] Κλεοκράτη] κλεοκράτην c.
[i] παρεσκ. μοι δημ. δοθ.] δημ. δοθ. μοι παρεσκ. a.
[k] Καμείρῳ] καμήρω a.
[l] ἄφθονα] ἄφθονων a.
[m] τὰ] vulg. καὶ τά.
[n] εἰ καὶ] καὶ εἰ a. c.
[o] ἐκεῖ] ἐκεῖθεν a.
[p] ὑμῖν] ἡμῖν c.
[q] δ'] Immo θ'.

ὅσοις ἐγὼ μεδίμνοις οὐχ ὅπως ἐμαυτὸν ἀλλὰ καὶ πάντας Κοθωκίδας διαρκεῖν ἂν [r]ἐδυνάμην· καὶ πολλὰ δὲ ἄλλα πρὸς τούτοις, ἃ γράφειν αἰσχύνομαι, ἵνα μή τινα 673
δηλῶν ἐμὴν μικρολογίαν δόξω. τὸ μὲν γὰρ τὰ μικρὰ πάνυ ὑπερασπάζεσθαι μικρολογίας [s]μέν τινος εἶναί φημι καὶ ἀπειροκαλίας· φιλοφρονημάτων δὲ καὶ μικρῶν πάνυ ἔγωγε ἠττᾶσθαι ὁμολογῶ. παρέχει δὲ ἡμῖν καὶ ἄλλα καλλίω, συῶν τε ἀγρίων καὶ δορκάδων τῶν πέραθεν ἀπολαύσματα. ἔτι δὲ καὶ αὐτὸς ἡμῖν σύνεστιν ὀσημέραι, καὶ μεταδίδωσι τῆς αὐτοῦ σοφίας, ἡ σοφωτέρα ἢ καθ' ἡμᾶς ἐστίν. ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν παθεῖν φυλάττεται, σοφίᾳ καὶ οὐχ, ὥσπερ οἱ ἄφρονες, πείρᾳ διδασκόμενος· οὐ γὰρ πολιτεύεται. καὶ ὅσον γ' ἐπὶ Κλεοκράτει, οὐδεμιᾶς πόλεως ἄλλης οὐδὲ ἀνθρώπων ἐπιθυμῶ, ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμφορᾷ, καὶ ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐτόθι πολιτείας. καὶ οὕτω μὲν ὑπεραγαπῶ τὰ παρόντα, καὶ ὅπερ φασὶ Σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδονῆς εἰπεῖν, 674
ὥσπερ κυνὸς λυττώσης ἀπηλλάχθαι [t]ποτὲ τῆς τοῦ πολιτεύεσθαι ἡδονῆς δοκῶ, καὶ ὅταν ὁ νοῦς ἐπικρατῇ, τρισευδαίμων ἔγωγε ἐμαυτῷ τῆς φυγῆς, ἣν [u]φεύγω, φαίνομαι· ὅταν δ' αὖ πάλιν ὑπέλθῃ μοι λογισμός τε καὶ γνώμη τῶν αὐτόθι, οὐχ ἑταίρων μόνον ἀλλὰ καὶ συγγενῶν καὶ ἐκκλησίας καὶ [x]Κολυττοῦ, ἐν ᾧ πέντε καὶ [y]τετταράκοντα ἔτη ᾤκησα, καὶ τοῦ [z]Ἀλῆσι [a]χωρίου καὶ τῶν ἐκεῖ μοι μετὰ σοῦ καὶ Φιλίνου διατριβῶν γενομένων, μεταῤῥεῖ ἅπαν τὸ αἷμα ἄλλοσέ ποι τῶν σπλάγχνων

[r] ἐδυνάμην] vulg. ἠδυνάμην.
[s] μέν] τὲ μέν a.
[t] ποτὲ—δοκῶ Reiskius: ποιεῖ— ᾧ a.c.
[u] φεύγω] φεύγων a.
[x] Κολυττοῦ] κολλυτοῦ a.
[y] τετταράκοντα] τεσσαράκοντα c.
[z] Ἀλῆσι] ἄλσει c. ἀλωπεκῆσι correctus a.
[a] χωρίου] πεδίου pr. a.

πάλιν, καί μοι δήποτε καὶ λοιδορίαι, αἷς ἐλοιδορούμην ὑπὸ Δημοσθένους, ἥδισταί δοκοῦσι, καὶ σκώμματα, ἐφ' οἷς οὐδεὶς ἔξω Κτησιφῶντος ἐγέλασε πώποτε. ἀλλὰ γὰρ ἄλις μὲν ἡμῖν δακρύων. σὺ δ' εὐτυχοίης, καὶ μὴ μόνον πολιτείαν ἅπασαν ἀλλὰ καὶ Λεπτίνην φεῦγε, ὅτι πρὸς ἡμᾶς ἔχει φιλαπεχθημόνως, καὶ ὅτι τἄλλα τοιοῦτός ἐστιν, ὅτου περιεῖναι μὲν [b] μηδενὸς λαμπρότερον, ἡττᾶσθαι δὲ ἀδοξότατον. καὶ μάλιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς· εἰ δ' αὖ [c] συνέλθοις ἐκ τύχης καὶ 675
καθ' ἡμῶν λέγοι τι, πειρῶ σιωπᾶν, ἂν ἰσχύῃς, καὶ γελᾶν. ἀλλ' ὁ μὲν δίδωσιν ἀποχρῶσαν δίκην τῷ πᾶσιν ἀνθρώποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος· σὺ δέ, εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ' ἡμᾶς ποτέ, καὶ παρασχὼν σεαυτὸν [d] ἰδεῖν ἡμῖν ἐπανίοις πάλιν.

5.

[a] ΦΙΛΟΚΡΑΤΕΙ.

ΑΡΙΣΤΩΝ οὗτος, ὁ κομίζων σοι τὴν ἐπιστολήν, ὁ πρῶτός ἐστιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ. πέπλευκε δὲ Ἀθήναζε κατὰ χρείαν κηδεστοῦ γέροντος, ἀργύριον εἰσπράξων παρὰ τοῦ τραπεζίτου Χαρμόλα. σκόπει οὖν ὅπως αὐτὸν ὑποδέξῃ φιλοφρόνως· ἔστι [b] δὲ κομιδῇ εὐτελὴς τὴν δίαιταν καὶ πρέπων ἡμῖν. ᾧ καὶ τὰ ἄλλα συμπράξεις, ὡς μάθῃ ὅτι οὐ παντελῶς ἔρημον φίλων [c] ὑπε-

[b] μηδενὸς Reiskius: libri μηδένα.
[c] συνέλθοις] Libri συνέλθῃς.
[d] ἰδεῖν ἡμῖν ἐπανίοις] vulg. ἡμῖν ἰδεῖν ἐπανήκοις.
[a] ΦΙΛΟΚΡΑΤΕΙ om. a. c.
[b] δὲ] δὴ a.
[c] ὑπεδέξατο] ὑπέλαβεν a. c.

δέξατο, ἀλλ' ἔστιν [d] ἔτι τις Ἀθήνησιν Αἰσχίνου λόγος καὶ μνήμη.

Z.

[a] ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ.

Ἐπιθομην τὰ ῥηθέντα [b] Μελανώπῳ πρὸς ὑμᾶς, καὶ τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν, Μελανώπῳ δὲ οὐκ ἐπανελθὼν [c] μόνον νομίζω τοῖς βεβιωμένοις αὐτῷ πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ τυχὸν ἔτι καὶ 676
[d] τῆς πατρίδος ἐστερημένος ὅμως ἀρκέσαι πειράσομαι. ἐγὼ γὰρ ὦ Μελάνωπε κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ, φημὶ μέντοι βοηθῶν [e] τοῖς νόμοις ταῦτα πεπονθέναι, καὶ ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι παρ' αὐτοὺς ἀγωνιζόμενος. ἐμοὶ μὲν οὖν τὸ δεδυστυχηκέναι πολιτευομένῳ κοινόν ἐστι πρὸς [f] Θεμιστοκλέα καὶ Ἀριστείδην καὶ ἄλλους πολλοὺς τῶν λαμπροτάτων ποτὲ ἐν τῇ πόλει γενομένων· σοὶ δὲ τὸ [g] μέχρι μὲν χθὲς καὶ πρώην θεσμοθετοῦντος ἤδη σοῦ προεστάναι τὴν μητέρα, 677
τρὶς δὲ ἐμπεσεῖν τὸν πατέρα σου εἰς τὸ δεσμωτήριον, σὲ δὲ [h] πραθέντα δισχιλίων δραχμῶν τὴν ἀκμὴν ἡταιρηκέναι, τοῖς περὶ Τίμαρχον νέοις κοινὰ ταῦτ' εἶναι, οὐ τοῖς περὶ Θεμιστοκλέα [i] ἢ Ἀριστείδην τὸν δίκαιον ὑπολαμβάνω. ἀλλὰ Μελανώπῳ μὲν αὖθις, ἐὰν ὑμῖν [k] δοκῇ, διαλέξο-

[d] ἔτι sumpsi ab a.
[a] Titulum om. a. c.
[b] Μελανώπῳ] τῷ μελανώπῳ a.
[c] μόνον] μόνον πρὸς ὑμᾶς a.
[d] τῆς om. a. c.
[e] τοῖς νόμοις ταῦτα] ταῦτα τοῖς νόμοις a. c.
[f] Θεμιστοκλέα] θεμιστοκλῆν a.
[g] μέχρι μὲν] μὲν μέχρι a.
[h] πραθέντα δισχιλίων] πραχθέντα τρισχιλίων a. c.
[i] ἢ] vulg. καί.
[k] δοκῇ] vulg. ποτὲ δέξῃ.

μαι παρών· [l]ὑμῖν δὲ τῆς [m]μὲν εὐνοίας, ἣν ἀπόντι μοι παρέσχεσθε [n]θορυβοῦντες καὶ μὴ θέλοντες ἀκροάσασθαι τῶν λοιδορούντων ἡμᾶς, πολλὴν χάριν ἔχω. δικαιότερον μέντοι καὶ ἄμεινον [o]ἐμὲ αὐτὸν ἐᾶσαι πρὸς τοὺς λοιδοροῦν-
5 τας λέγειν, ψηφισαμένους ἃ πολλάκις πολλοῖς ἤδη ἐψηφίσασθε [p]τὰ μέγιστα ἁμαρτοῦσιν εἰς ὑμᾶς· εἰ δὲ μή, τό γε δεύτερον ἂν δεηθείην, ἀνέχεσθαι πολὺ μᾶλλον τῶν [q]λοιδορούντων ἡμᾶς ἢ χαριζεσθαι δοκοῦντας, ὅτι τῶν βλασφημιῶν οὐκ ἀκροᾶσθε, μειζω τὴν ὑποψιαν τῶν δυ-
10 ναμένων λέγεσθαι ποιεῖν.

Η.

Σὺ μὲν οὐδέπω καὶ νῦν ἀφῖξαι πρὸς ἡμᾶς, ἀλλὰ καὶ 678
νόσους καὶ δίκας καὶ πάντα μᾶλλον τοῦ μὴ βούλεσθαι ἐλθεῖν πρὸς ἡμᾶς αἰτιᾷ· Νικίας δὲ ἀφῖκται πάλαι καὶ Ἀνδρωνίδας. εἰ μὲν οὖν νῦν γε σὺν Φιλίνῳ (πυθάνομαι
15 γὰρ αὐτὸν ἐξιέναι) διέγνωκας ἀφικνεῖσθαι πρὸς ἡμᾶς, τάχα ἂν εἴη σοι ἔτι ἀπολογία καὶ λυθείη ὁ πόλεμος· εἰ δὲ οὐδὲ σὺν ἐκείνῳ [r]διέγνωκας ἐξιέναι, σὺ μὲν [s]ἐπιστελεῖς διὰ παντὸς ἡμῖν ἀφῖξεσθαι, ἐγὼ δὲ ἅπαξ ἀνιάσομαι.

Θ.

20 Περαιωθεὶς ἐπὶ Φύσκον, ἡσυχάσας ἐκείνην τὴν ἡμεραν (οὐχ [t]ὑπ' ἀργίας, ἀλλὰ [u]μηκυνεῖν ἔδοξεν ἡ περὶ τὸ ἄσθμα νόσος), ὡς τὴν νύκτα ἐνέδωκε καὶ ῥᾴων ἐγενόμην, βαδίσας εἰς τὴν [v]Ἄμμον ἐπεῖδον τὰ χωρία. καὶ μοι 679

[l] ὑμῖν] νυνὶ c.
[m] μὲν om. a. c.
[n] θορυβοῦντες] θορυβοῦντες δὴ a. c.
[o] ἐμὲ αὐτὸν] ἐμαυτὸν a.
[p] τὰ om. a. c.
[q] λοιδορούντων] λοιδορουμένων a. c.
[r] διέγνωκας] ἔγνωκας a.
[s] ἐπιστελεῖς] ἐπιστέλλεις a.
[t] ὑπ'] ὑπὲρ c.
[u] μηκυνεῖν] μηκύνειν a. c.

ἔδοξε καλὰ μὲν ἄλλως καὶ ποικίλα εἶναι τὰ χωρία· καὶ γὰρ ἐλαιῶν ἦν [x] καὶ πολλὰ φυτὰ καὶ ἄμπελοι συχναὶ καὶ σπόριμα [y] πλείονα καὶ νομαὶ καλαί· ἐπαύλιον δὲ οὐδὲ μέτριον, ἀλλὰ πάντα ἐρείπια. ἐδέξατο [z] δ' ἡμᾶς ὁ Μυρωνίδης φιλανθρώπως σφόδρα. τὰ μέντοι χωρία δυοῖν ταλάντοιν ἐπριάμην, καὶ νῦν ἐπαύλιόν τι μηχανῶμαι τοιοῦτον, οἷον ἐμηχανώμην ἐγὼ κεκτημένος βραχέα καὶ μέλλων ὅμως οἰκεῖν ἐνθάδε, μὰ τοὺς θεοὺς οὐχ [a] ἡδέως στερόμενος τῆς ἐμαυτοῦ πόλεως, καὶ μάλιστα τοιαύτης ἐν ᾗ δύναιτο ἄν τις ἥσσον ἀλγεῖν ὑπολαμβάνων οἰκεῖν. [b] ἔῤῥωσο.

I.

Ὁ [c] δὲ Κίμων οἷα κατὰ πόλιν ἑκάστην καὶ αἰγιαλὸν ἡμᾶς δέδρακεν, οὐ κήδους, οὐ νόμου φειδόμενος οὐδενός. [d] κατὰ θέαν εἰς Ἴλιον ἀφικόμην τῆς τε γῆς καὶ θαλάττης. καὶ ἃ μὲν εἶδον αὐτόθι, γράφειν ἐπεὶ δοκεῖ [e] ὕλην ἔχειν ἄφθονον, σιωπήσω· δέδοικα γὰρ μὴ ποιητικῆς λαβόμενος φλυαρίας ἀπειροκαλεύεσθαι δόξω· τὰ δὲ Κίμωνος ἔργα καὶ τὴν ἀκρασίαν, οὐδ' εἴ μοι δέκα [f] μὲν [g] γλῶσσαι, δυναίμην ἀρκέσαι λέγων. διατριβόντων γὰρ ἡμῶν πολλὰς ἡμέρας ἐν Ἰλίῳ καὶ μὴ πληρουμένων τῆς θέας τῶν [h] τάφων (ἦν δέ μοι γνώμη μένειν, ἕως ἅπαντα διεξέλθω τὰ ἐν [i] τῇ Ἰλιάδι ἔπη πρὸς αὐτοῖς ἑκάστοις ὑπὲρ ὧν τὰ ἔπη ἐστὶ [k] γεγενημένα) ἐμπίπτει ἡμέρα, ἐν ᾗ πει- 680

[x] καὶ ante πολλὰ om. a. c.
[y] πλείονα] Reiskius πίονα.
[z] δ' om. a. c.
[a] ἡδέως στερόμενος a. c. vulg. ἡδόμενος ἐπὶ τῇ στερήσει.
[b] ἔῤῥωσο addidi ex a. c.
[c] δὲ] δὴ a. c.
[d] κατὰ] ὅτε κατὰ c.
[e] ὕλην ἔχειν ἄφθονον] ἄφθονον ἔχειν τὴν ὕλην a. ὕλην ἔχων ἄφθονον Reiskius.
[f] μὲν om. a.
[g] γλῶσσαι] γλῶσσαι δέκα δὲ στόματ' εἶεν recens a.
[h] τάφων] vulg. Περγάμων.
[i] τῇ om. a.
[k] γεγενημένα] γιγνόμενα a. γιγνόμενος c.

ρῶνται τοὺς γάμους οἱ πλεῖστοι τῶν θυγατέρων, ὅσων ἐπιτρέπει [l] ἡ ὥρα, ποιεῖν. ἐγένοντο δὲ συχναὶ αἱ γαμούμεναι. νενόμισται δὲ ἐν τῇ Τρωάδι γῇ τὰς γαμουμένας παρθένους ἐπὶ τὸν Σκάμανδρον ἔρχεσθαι, καὶ λουσαμένας [m] ἀπ' αὐτοῦ τὸ ἔπος τοῦτο ὥσπερ ἱερόν τι ἐπιλέγειν "λαβέ μου Σκάμανδρε τὴν παρθενίαν." ἐν δὴ ταῖς ἄλλαις [n] Καλλιῤῥόη ὄνομα παρθένοις μεγάλη, [o] πατρὸς δὲ 681
οὐ τῶν ἐπιφανῶν, ἐπὶ τὸν ποταμὸν ἦκε [p] λουσομένη. καὶ ἡμεῖς ἅμα [q] τοῖς τε οἰκείοις τῶν γαμουμένων καὶ τοῖς ἄλλοις ὄχλοις, πόῤῥωθεν τὴν ἑορτὴν καὶ τὰ λουτρὰ τῶν [r] παρθένων, ᾗ θέμις [s] αὐτοῖς ἐξωτέρω ὁρᾶν, ἐθεώμεθα. ὁ δὲ καλὸς κἀγαθὸς Κίμων ἐγκρύπτεται εἰς θάμνον τοῦ Σκαμάνδρου, καὶ στέφει ἑαυτὸν δόναξιν· ἦν δὲ αὐτῷ δηλαδὴ τὸ στρατήγημα τοῦτο καὶ ὁ λοχος ἐξ ἡμέρας ἐπὶ τὴν Καλλιῤῥόην [t] εὐτρεπής. λουμένης δὲ καὶ τὸ εἰωθὸς ἔπος, ὡς μετὰ ταῦτα ἐπυθόμην, λεγούσης, "λαβέ μου "Σκάμανδρε τὴν παρθενίαν," ἐκθορὼν ἐκ τῶν θάμνων ὁ Σκάμανδρος Κίμων "ἡδέως" ἔφη "δέχομαι καὶ λαμ- "βάνω Καλλιῤῥόην Σκάμανδρος ὤν, καὶ πόλλ' ἀγαθὰ "[u] ποιήσω." ταῦτα ἅμα λέγων καὶ ἁρπάσας τὴν παῖδα ἀφανὴς γίνεται. οὐ μὴν καὶ τὸ πρᾶγμα ἀφανὲς γίνεται, ἀλλὰ τέτταρσιν ὕστερον ἡμέραις πομπὴ μὲν ἦν Ἀφροδίτης, ἐπόμπευον δὲ αἱ νεωστὶ γεγαμημέναι, καὶ ἡμεῖς τὴν πομπὴν ἐθεώμεθα. ἡ δὲ νύμφη ἰδοῦσα τὸν Κίμωνα, ὡς μηδὲν 682
αὐτῷ κακὸν [x] συνειδότα ἅμα ἐμοὶ θεώμενον, προσεκύνησε,

[l] ἡ ὥρα ποιεῖν] vulg. ὁ νόμος ποιεῖν καὶ ἡ ὥρα.
[m] ἀπ'] ὑπ' c.
[n] Καλλιῤῥόη] καλλιθρόη pr. a.
[o] πατρὸς δὲ οὐ τῶν ἐπιφ.] οὐ τῶν ἐπιφ. πατρὸς a.
[p] λουσομένη] λουσαμένη c.
[q] τοῖς τε] τε τοῖς c.
[r] παρθένων] γαμουμένων a.
[s] αὐτοῖς ἐξωτέρω] αὐτοὶ ἔξω.
[t] εὐτρεπής] εὐπρεπής c.
[u] ποιήσω] ποιήσω σοι a. c.
[x] συνειδότα] συνιδώτα a.

καὶ ἀποβλέψασα [y] πρὸς τὴν τροφὸν "ὁρᾷς" ἔφη, "[z] τίτθη, "τὸν Σκάμανδρον, ᾧ τὴν παρθενίαν ἔδωκα;" καὶ ἡ τίτθη ἀκούσασα ἀνέκραγε, καὶ τὸ πρᾶγμα [a] ἔκπυστον [b] γίνεται. ὡς δὲ οἴκαδε εἰσέρχομαι, καταλαμβάνω τὸν Κίμωνα, καὶ οἷα ἦν εἰκὸς ἐργάζομαι, καλῶν ἀνόσιον καὶ δι' αὐτὸν ἀπολωλέναι λέγων ἡμᾶς. ὁ δὲ οὐδὲν δι' αὐτὸ ἔδεισεν, οὐδὲ ἠσχύνθη τοῖς πεπραγμένοις, ἀλλὰ μύθους [c] ἐπεβάλλετο λέγειν μακρούς, τοὺς ἀπανταχόθι τροχῶν ἄξια εἰργασμένους καταριθμούμενος. καὶ γὰρ ἐν Μαγνησίᾳ [d] τοῦτο περὶ Μαίανδρον τὸν ποταμὸν ἔφη γεγονέναι ὑπό τινος τῶν ἐκεῖ νέων. ἀφ' οὗ καὶ ἔτι σήμερον [e] Ἄτταλον τὸν ἀθλητὴν ὁ πατήρ, ἔφη, αὐτοῦ οὐχ ἑαυτοῦ υἱὸν ἀλλὰ τοῦ Μαιάνδρου εἶναι πείθεται, καὶ διὰ τοῦτο αὐτὸν οὕτω πάνυ [f] νομίζει σαρκῶν τε καὶ ῥώμης εὖ ἔχειν· ἐπειδὰν δὲ πολλὰς λαβὼν πληγὰς [g] καὶ ἀπειπάμενος [h] ἐξίῃ, τὸν ποταμὸν αὐτῷ νεμεσῆσαι λέγειν, ὅτι νικήσας οὐ πα- 683
τέρα [i] ἀνηγόρευσεν αὐτόν. οὐκ ἄρ' ἀπορεῖ γε ἡττώμενος προφάσεως. καὶ περὶ Ἐπίδαμνον δ' ὁμοίως, [k] πόλιν κατ' Ἰόνιον, ἔφη μουσικὸν ὑπ' εὐηθείας πεπεῖσθαι ὅτι [l] Ἡρακλέους εἴη τὸ ἐκ μοιχοῦ γεγονὸς αὐτῷ παιδίον. ἐγὼ δὲ οὐκ ἐπαιδοποιησάμην, ἔφη, ἅπαξ δὲ διελέχθην παιδὶ ὑπερώρῳ τε ἤδη, καὶ λουομένην αὐτὴν μετὰ μιᾶς γραὸς ἰδών. καὶ ἄλλως [m] δ' ἐδόκει μοι, ἔφη, ὡς μὴ παντάπασι τὰ ἐν Ἰλίῳ τραγικά τε καὶ φοβερὰ ἦ παθεῖν, 684

[y] πρὸς] εἰς a. c.
[z] τίτθη] τίτθη ἤθη a. Item v. inferiori.
[a] ἔκπυστον] ἔκπυστον a. c.
[b] γίνεται] γέγονε a.
[c] ἐπεβάλλετο] ἐπεβάλετο c.
[d] τοῦτο] ταυτὸ τοῦτο c.
[e] Ἄτταλον] ἄταλλον a.
[f] νομίζει] νομίζειν c.
[g] καὶ vulg. om.
[h] ἐξίῃ] Libri ἐξίοι.
[i] ἀνηγόρευσεν] ἀνηγόρευεν a. c.
[k] πόλιν κατ' Ἰόνιον] πάλιν κατιὼν δὲ a. c. πόλιν κατ' Ἰόνιον Reiskius.
[l] Ἡρακλέους] ἡρακλέος a.
[m] δ' ἐδόκει Reiskius: libri δὲ δοκεῖ.

δεῖν [n] τι καὶ ἡμᾶς καὶ οἷον ἐν κωμῳδίαις περὶ τὸν Σκάμανδρον ἐργάσασθαι. κἀγὼ μὲν ἄλλο οὐδὲν ἢ [o] ποῖ λήξει ἡ τοσαύτη ἀναισχυντία προσμένων, λιθινος [p] ὑπ' ἀπιστίας ἐγεγόνειν· ὁ δὲ ἐῴκει καὶ τρίτην Ἀπόλλωνός [q] μοι καὶ [r] Διονύσου μοιχείαν ἐπάξειν, ἕως ἰδὼν ἐγὼ ὄχλον προσιόντα τῇ θύρᾳ "τοῦτ' ἐκεῖνο" ἔφην, "καταπρήσοντες "ἡμᾶς πάρεισι," καὶ δι' ὀπισθοδόμου τινὸς εὐθέως πρὸς Μελανιππίδην φεύγων ᾠχόμην, ἐκεῖθεν δὲ ἑσπέρας ἐπὶ θάλατταν [s] εἰς τοὔμπροσθεν, εἶτα [t] ὡς τὸν ξενῶνα [u] ἀνέμῳ κατήχθημεν, ὃν μηδεὶς ἂν ἄλλος ἢ φεύγων τὸ Κιμώνειον ἄγος [x] ὑπομείναι πλέων. τοιαῦτα μὲν παθὼν δεῖν σοι γράφειν, ὡς σχετλιάσοντι καὶ ἐμοῦ μᾶλλον, ὤμην· σὺ δὲ ἂν ἱκανῶς, οἶμαι, γελάσειας. 685

ΙΑ.

[a] ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ ΤΩΝ ΑΘΗΝΑΙΩΝ.

ΤΑ μὲν ἄλλα δεῖν ὑμῖν ἐπιστέλλειν, περὶ ὧν ἐβουλόμην, καὶ πρότερον ᾠόμην· οὐ γὰρ ἀφηρῆσθαί γε τοῦτο [b] ἀτυχήσαντα τῶν παρ' ὑμῖν ὑπελάμβανον· συμβουλεύειν δὲ καὶ πολυπραγμονεῖν οὐ μικρᾶς ἔμοιγε ἀκρασίας [c] ἐφαίνετο ἔργον εἶναι, δεδωκότι τηλικαύτην δίκην τοῦ πολιτεύεσθαι,

[n] τι καὶ] καί τι a. c.
[o] ποῖ] ὅποι a.
[p] ὑπ' ἀπιστίας] ὑπασπιστίας a.
[q] μοι] μοι δοκῶ a.
[r] Διονύσου] διονυσίου c.
[s] εἰς τοὔμπροσθεν] εἶτα πρόσθεν a. εἰς τἄμπροσθεν c.
[t] ὡς τὸν om. a.
[u] ἀνέμῳ] ὥστη ἀνέμῳ a.
[x] ὑπομείναι] ὑπομείνοι c. ὑπομένοι a.

[a] Titulum om. c.
[b] ἀτυχήσαντα] ἀτυχησάντων a.
[c] ἐφαίνετο ἔργον] ἔργον ἐφαίνετο a.

πλὴν εἴ τι δέοι καλούντων ὑμῶν. ἄλλως δὲ [d] μηδὲ ῥᾴδιά τισι [e] τῶν ἐπιτηδείων, οὐχ ὅτι [f] πόλει, συμβουλεύειν [g] προσήκειν ᾠόμην· ὑμῖν [h] τε ἑώρων ἄλλους [i] εἶναι καὶ λέγειν καὶ πράττειν δυναμένους τὰ κοινά· κατέλιπον γὰρ οὐκ ὀλίγους. ἐπεὶ δὲ οἱ μὲν τεθνᾶσι, πολλοὶ δὲ ἠτυχήκασιν ὥσπερ ἐγώ, περιέστηκε δὲ ἡ πόλις εἰς ἐρημίαν τῶν 686
πολιτευομένων, ἀκούω δὲ τοὺς μὲν αὐτοῦ παρόντας τοὺς δὲ καὶ δι' ἐπιστολῶν κινεῖν τι τῶν τῆς πόλεως πραγμάτων, ἕτοιμος ἤδη τὰ δοκοῦντα τῇ πόλει συμφέρειν, ὡς [k] μόνον ἔξεστί μοι, δι' ἐπιστολῶν λέγειν. εἰ δὲ καὶ νῦν τὰ Μακεδόνων φρονεῖν ἐροῦσί με, καὶ παραπρεσβείας πάλιν [l] γράφονταί τινες ἀπόντα [m] με ἢ προδοσίαν τῆς Ἑλλάδος, ἕτοιμος ἤδη καὶ Ῥόδου καὶ γῆς ἁπάσης Ἑλληνίδος πρόσω φεύγειν, ἐὰν βούλωνται, καὶ πρὸς τὸν ἐν Πέρσαις ἄπειμι καὶ Μήδοις βασιλέα. καίτοι τὰ Περσῶν [n] γε καὶ Μήδων οὐδεὶς ἔφη [o] μέ ποτε φρονεῖν, καὶ πάντων ἥκιστα Δημοσθένης. ἀλλ' οὐδ' [p] ἐκεῖθεν [q] παύσομαι γράφων, ἃ τῇ πόλει δόξῳ συμφέρειν, οὐ [r] χαρίζεσθαι μέλλων ὑμῖν, ὥσπερ ἄλλοι τινές, ἀλλ' ἐλευθέρως νουθετεῖν. εὖ γὰρ εἰδέναι χρὴ ὅτι τῶν πολιτευόμενων οἱ μᾶλλον ἐπιπλήττειν ἢ χαρίζεσθαι θέλοντες ὑμῖν δοκεῖν, οὗτοι καὶ μάλιστα πρὸς ἡδονὴν λέγουσι, τὴν ὑπὸ [s] προσχήματι παῤῥησίας ὁδὸν τοῦ κολακεύειν ἑλόμενοι· καὶ γὰρ αὕτη τίς ἐστι τοῦ χαρίζεσθαι πολίταις καὶ ἡγεμόσι [t] πολὺ κα- 687

[d] μηδὲ ῥᾴδιά τισι] μὴ ῥᾴδιά τισι c. μηδὲν ἃ διάτισιν a.
[e] τῶν om. a.
[f] πόλει om. c.
[g] προσήκειν a. c. ἃ προσήκει Reiskius.
[h] τε] δὲ a. c.
[i] εἶναι om. a. c.
[k] μόνον] vulg. μόνως.
[l] γράφονται] γράφουσί a.
[m] με] με δίκην a. c.
[n] γε] τε a. με a.
[o] με om. a. c.
[p] ἐκεῖθεν] ἐκεῖσε a. c.
[q] παύσομαι γράφων post συμφέρειν ponit c.
[r] χαρίζεσθαι μέλλων ὑμῖν] χαριζόμενος ὑμῖν μετὰ τοῦ δοκεῖν a.
[s] προσχήματι] πρόσχημα τῆς a. c.
[t] πολὺ] ἡ πολὺ a. c.

κουργοτέρα προαίρεσις· ἣν βαδίζοντές τινες Ἀθήνησι καὶ [u]περιόντος ἐμοῦ παρ' ὑμῖν (οὕτω γάρ [x]με χρὴ λέγειν) καὶ νῦν, ὅσον ἐφ' ὑμῖν, [y]τεθνεῶτος, αἰτιῶνται μὲν ὑμῶν τὴν ὀλιγωρίαν ὡς οὐκ ἐθελόντων ἄρχειν τῆς Ἑλλάδος, προτρέπονται δὲ ἐπὶ τὴν ἡγεμονίαν ὡς δυναμένους. [z]ὑμεῖς δέ, μετὰ τοῦ δοκεῖν ἀργοὶ γεγονέναι, δύνασθαι τῶν Ἑλλήνων ἄρχειν νομίζεσθαι θέλετε μᾶλλον, ἢ μετὰ τοῦ μένειν ὑμῶν τὰς προθυμίας ἐνδεῖσθαι τῆς δυνάμεως. πυνθάνομαι γὰρ τελευτήσαντος Ἀλεξάνδρου προτρέπειν τινὰς ὑμᾶς καινοτέρων ἅπτεσθαι πραγμάτων· ἐγὼ δὲ βουλοίμην ἂν ταῦτα συμβουλεύειν ὑμῖν μετὰ τοῦ ταῦτα συμφέ- 688
ρειν. οὐ γὰρ ἡγούμην, [a]μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεούς, ὅτι λαμπρόν ἐστι τὸ τοῖς μὲν βαρβάροις [b]πολεμεῖν τοὺς δὲ Ἕλληνας ἐλευθεροῦν, καὶ ταῦτά γε καὶ τοὺς πατέρας ἡμῶν προελομένους· ἀλλ' εἰς μὲν τὸ βούλεσθαι τὰ κράτιστα τὴν γνώμην [c]οὖσαν ἱκανήν, εἰς δὲ τὸ δύνασθαι καὶ τύχης ἀγαθῆς ὑμᾶς δεομένους. προσήκειν [d]οὖν μεμνῆσθαι καὶ ὑμᾶς ὑπελάμβανον ὅτι Ἀθηναίοις μὲν ἐπιστέλλομεν, Ἀθηναίοις δὲ οὐκ ἐν οἷς Θεμιστοκλῆς ἐπολιτεύσατο, ἀλλ' οἳ τὰς μὲν [e]γνώμας ἐκείνων [f]οὐ χείρους εἰσί, τὰς [g]δὲ πρὸς τοὺς πολέμους ἀφορμὰς οὐχ ὁμοίας ἔχουσιν. [h]ἐπεὶ δότωσαν μὲν [i]ἡμῖν τριακοσίας τριήρεις οἱ τὰ τῆς Ἑλλάδος ἄξια γράφοντες [k]ἡμῖν, δότωσαν δὲ τρισμύρια τάλαντα ἀργυρίου καὶ χρυσίου ἀπέφθου [l]δισχίλια, δότωσαν δὲ ἀν-

[u] περιόντος] παριόντος a.
[x] με om. a.
[y] τεθνεῶτος] τὰ τεθνεῶτος παθόντος a.
[z] ὑμεῖς] ἐμοὶ a. c.
[a] μὰ] μετὰ a.
[b] πολεμεῖν] vulg. ἀεὶ πολεμεῖν.
[c] οὖσαν ἱκανήν] vulg. ἱκανὴν οὖσαν.
[d] οὖν] οὖν καὶ a.
[e] γνώμας] γνώμας καὶ τὰς νοήσεις a.
[f] οὐ χείρους om. a. c.
[g] δὲ] μέντοιγε a.
[h] ἐπεὶ δότωσαν] ἐπιδότωσαν a.
[i] ἡμῖν] ὑμῖν c. ὑμῶν a.
[k] ἡμῖν] ὑμῖν a. c.
[l] δισχίλια] vulg. τρισχίλια.

δρῶν ἐν ἥβῃ νέων [m]τοσοῦτον πλῆθος, ἤδη γεγυμνασμένων 689
ἐν ὅπλοις· καὶ μηκέτι συμβουλευέτωσαν. αὐτοὶ γὰρ εἰ-
δήσομεν ἃ χρὴ πράττειν, δυνάμενοι τὰ δόξαντα πράττειν,
μηδὲ ῥαψῳδείτωσαν μάτην ἐπαινοῦντες [n]ἡμῶν τοὺς προ-
γόνους τε καὶ τὴν χώραν, ὅτι ἐγένοντο ἐν αὐτῇ καὶ ὑπὲρ
αὐτῆς, [o]εἰσεγένοντο ἐν αὐτῇ οἱ θεοί. ἐπεὶ [p]πύθεσθε αὐτῶν,
τί ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ τὴν πόλιν ὤνησε τῶν Ἀθη-
ναίων, ὅτι Ἄρης πρὸς Ποσειδῶνα ὑπὲρ [q]Ἁλιῤῥοθίου ἐν
Ἀρείῳ πάγῳ ἐκρίθη; ἀλλ' εἰ πρὸς Ἀντίπατρον, ἢ ὅστις
[r]ἄλλος Μακεδόνων βασιλεύς, ἱκανοί ἐσμεν ἀγωνίσασθαι,
τοῦτο χρὴ σκοπεῖν. κἂν ἱκανοὶ ὦμεν, ἀγαθῇ τύχῃ ἀνα-
λαβόντες [s]τὰ ὅπλα εὐθέως [t]ἐλευθερῶμεν τοὺς Ἕλληνας·
εἰ δὲ τούτου μὲν ὀλιγωρήσομεν, κολακευόμενοι δὲ ἡσθησό-
μεθα, πῶς οὐ μετὰ τοῦ δοκεῖν ἑαυτοῖς αἴτιοι γεγονέναι 690
τῶν συμφορῶν, ὃ μόνον οὐδὲ παραμυθίαν ἔχει τοῖς κακῶς
πράττουσιν, ἀτυχήσομεν; ἔστι δὲ καὶ πόλεως καὶ ἀνδρὸς
εὖ φρονοῦντος [u]ἔργον πρὸς τὰς παρούσας ἀφορμὰς ὑπὲρ
τῶν παρόντων βουλεύσασθαι· τὸ δὲ τὴν μὲν τόλμαν εἰς τὰ
πράγματα, οἷς [x]ἐπιχειρεῖτε, ἐκ τῆς πρόσθεν ἰσχύος ἔχειν,
τὴν δὲ ἰσχὺν πάλαι ποτ' ἐσχηκέναι μεγάλην, [y]ὁμοιόν γε
φαίνεται ὥσπερ ἂν εἴ τις Ὀλυμπιάσι πολλάκις νικήσας
ὕστερον γέρων ὢν ἀπογράφοιτο ἔτι καὶ προκαλοῖτο τοὺς
[z]ἀντιπάλους, ἀναμιμνησκόμενος ἧς ἔσχηκεν, οὐ τῆς πα- 691
ρούσης, δυνάμεως. ἄξιον δὲ καὶ ἃ [a]λέγειν αὐτοὺς πυνθά-

[m] τοσοῦτον] τοσοῦτο a. c.
[n] ἡμῶν] ὑμῶν a.
[o] εἰσεγένοντο ἐν] εἴ τι γένοιτο Reiskius.
[p] πύθεσθε] πείθεσθαι c.
[q] Ἁλιῤῥοθίου] ἀλλιροθίου a.
[r] ἄλλος] ἄλλων a.
[s] τὰ om. a. c.
[t] ἐλευθερῶμεν] ἐλευθεροῦμεν c.
[u] ἔργον] ἔργον δεῖν c. ἔργον ἀεὶ Reiskius.
[x] ἐπιχειρεῖτε] ἐπιχειρῆτε Reiskius. ἐπιχορηγεῖ τοῖς a. ἐπιχορηγει c.
[y] ὁμοιόν] ὅμοιά a. c.
[z] ἀντιπάλους] ἀντιγράφους a. c.
[a] λέγειν αὐτοὺς] ἔλεγεν αὐτοῖς ὡς a.

νομαι λογίσασθαι μεθ' ὑμῶν, ὡς καινὰ καὶ [b]θαυμαστὸν ὅσον εἰς ἃ βούλονται τῇ πράξει συλλαβεῖν δυνάμενα. [c]φάσκουσι γὰρ δεῖν ὑμᾶς ὁμονοεῖν, ὥσπερ ὑμᾶς οὐκ ἐπισταμένους ὅτι τοῦτο μὲν πάσῃ πόλει, καὶ πολεμεῖν καὶ [d]εἰρηνεύειν βουλομένῃ, κράτιστόν ἐστιν. [e]ἡμᾶς δὲ οὐ τοῦτο δεῖ σκοπεῖν, εἰ ὁμονοητέον [f]πολεμοῦσιν· ὁμονοητέον γὰρ καὶ πολεμοῦσι καὶ μὴ παντὸς [g]ἕνεκα· ἀλλ' εἰ βουλομένοις πολεμεῖν καὶ ὁμονοεῖν, [h]ὡς ἴσμεν ἅπαντες, αὐτάρκης ἐστὶν ἡ δύναμις. ἕως δ' ἂν μήτε [i]συστρατείας πολεμοῦν- 692
τες ἔξομεν, μήτε χρημάτων [k]πόρους δεικνύωσιν, ἀλλὰ τὴν Ἀθηνᾶν ἔγγυον διδῶσι τοῦ πολέμου, μηδὲν διαφέρειν [l]αὐτοὺς αὐτίκα νομίζωμεν. ἀλλ' [m]ἐκεῖνον μέν, ὥσπερ ἦν ἄξιος παραπλὴξ τὴν διάνοιαν ὤν, κατελύσατε εἰκότως· 693
[n]τούτοις δὲ ἀπόχρη τὸ μηδὲν παθεῖν κακὸν παραδοξους λόγους μελετῶσι καὶ μηδὲ λειψανον ἐῶσιν [o]ὑμῖν τι τῶν πραγμάτων, ἀλλὰ καὶ τούτων φθονοῦσι πράττειν [p]ἃ δεῖ βουλομένοις, ἕως ἂν τὸ Θηβαίων πολιτεύσωνται πολίτευμα, μηλόβοτον [q]ὑμῶν γενέσθαι τὴν χώραν καὶ κατασκαφῆναι τὴν πόλιν ἀναγκάσαντες. οὐ γάρ, εἰ κακῶς ἔχει τὰ πράγματα, διὰ τοῦτο μηδέν, ὅπως μὴ χεῖρον ἕξει, φροντιστέον.

[b] θαυμαστὸν Reiskius: libri θαυμαστά.
[c] φάσκουσι γὰρ δεῖν] φάσκειν a.c.
[d] εἰρηνεύειν] εἰρήνην a. εἰρήνην ἄγειν c.
[e] ἡμᾶς δὲ οὐ τοῦτο δεῖ] ὑμῖν δεῖ δὲ οὐ τοῦτο a. et omisso pronomine c.
[f] πολεμοῦσιν] ὑμῖν πολεμοῦσιν a. ὑμῖν πολεμοῦσιν ὑπὲρ τῶν ἑλλήνων c.
[g] ἕνεκα] εἵνεκα a.
[h] ὡς] ὡς δεῖν Reiskius.
[i] συστρατείας] συστρατιὰς a. c.
[k] πόρους] σωροὺς a.
[l] αὐτοὺς] Reiskius αὐτοῦ.
[m] ἐκεῖνον] ἐκείνω a.
[n] τούτοις δὲ ἀπόχρη τὸ] τούτῳ δὲ ἀπεχρήσατο: an ἀποχρησάτω?
[o] ὑμῖν] ἡμῖν a. c.
[p] ἃ δεῖ] δὴ a.
[q] ὑμῶν] ἡμῶν a. c.

IB.

[a]ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ ΤΩΝ ΑΘΗΝΑΙΩΝ.

Εγω προσῆλθον τῷ πολιτεύεσθαι γεγονὼς ἔτη τρία καὶ 694
τριάκοντα, μὰ Δί' οὐ τριταγωνιστεῖν μαθών, ὡς Δημοσθένης ἔλεγεν, ἀλλὰ καὶ [b]γράφειν ἐλευθερίως, καὶ παιδείας φροντίσας τὰ μέτρια, καὶ λόγους οἵους λέγειν ἐν Ἀθήναις ἔπρεπε. καὶ τούτους οὐκ εἰς συκοφαντίαν γυμνάσας, οὐδέ τινι τῶν πολιτῶν δίκην δικασάμενος εὑρεθήσομαι λαβὼν ἀργύριον, οὐδὲ ὕβρεις ἀποδόμενος, ἀλλ' οὐδὲ ὑβρισθεὶς ὅλως οὐδὲ ἀφορμὴν προπηλακισμοῦ παρασχών, οὐδὲ εἰς δίκην τινὰ τῶν πολιτῶν καταστήσας ἔξω Τιμάρχου μόνου. καὶ οὐκ ἀλαζονεύομαι πρὸς ὑμᾶς ὡς πολλὰ πάνυ λαβεῖν ἐξὸν μοι χρήματα μὴ λαβών, ἀλλ' ὡς ἦν προσῆκον, δίκην κατὰ τοὺς νόμους λαβών. καὶ 695
μετὰ ταῦτα πάλιν Κτησιφῶντα, πολλὰ μὲν ὑπ' αὐτοῦ παθὼν πολλὰ δὲ ὑπὸ Δημοσθένους, παρανόμων ἐγραψάμην, δικαιοτάτην ὦ θεοὶ γραφήν. καὶ οὐδὲν θαυμαστὸν εἰ καὶ τῶν νόμων τῶν ὑμετέρων καὶ τῶν ἐμῶν λόγων ἡ Δημοσθένους δεινότης κρείσσων ἐγένετο. [c]ἐφάνη δὲ ἴσως ἐφ' οἷς κατηγορήθην πρότερον ὑπὸ Δημοσθένους, πολὺ μείζοσι δηλονότι [d]τούτων οὖσι δι' ἃ νῦν ἐξέπεσον, οὐ μικρὸν [e]εἰς ὑμᾶς δεῖγμα τοῦτο τοῦ καλῶς [f]ἐμὲ πεπολιτεῦσθαι [g]νομίζειν, ὅτι οὐδὲ Δημοσθένους κατηγοροῦντος ἑάλων.

[a] Titulum om. a. c.
[b] γράφειν] Malim τραφείς.
[c] ἐφάνη] ἔφην a. c.
[d] τούτων] οὕτως a.
[e] εἰς om. a. c.
[f] ἐμὲ πεπολιτεῦσθαι] πολιτεύεσθαι a. c.
[g] νομίζειν] νομίζεσθαι a.

μετὰ δὲ ταύτην τὴν συμφορὰν καὶ [h]τέλεον [i]καταφανῆ πᾶσι τοῖς Ἕλλησιν, οὐχ ὅπως μόνοις ὑμῖν, ἐμαυτὸν οἶομαι γεγονέναι. τίς γὰρ οὐκ οἶδεν ὅτι ἀποθανόντες οἱ ἄνθρωποι οὕτω καὶ φεύγοντες ἐκ [k]τῶν πατρίδων, τότε δὴ καὶ μάλιστα, [l]ὁποῖοί τινες ἐγένοντο τοὺς τρόπους, διαδείκνυνται; καὶ γὰρ ἃ συνέκρυπτον αὐτοὶ πρότερον, ἐκ μέσου [m]γενομένων ἀναφαίνεται καθαρῶς· αἰτιᾶται γὰρ 696
πολὺ μᾶλλον τῶν ἐχθρῶν ἕκαστος [n]αὐτοὺς οὐδὲν ἀντειπεῖν δυναμένους. οἱ δὲ δὴ φεύγοντες ἐπὶ τοιαύταις αἰτίαις, ὡς τὰ τῶν πολεμίων ἀεὶ προαιρούμενοι καὶ παντελῶς, δεικνύουσι καὶ τοὺς τρόπους καὶ τὰς ἐν τῷ πολιτεύεσθαι γενομένας αὐτοῖς γνώμας καταφανεῖς· [o]καὶ γὰρ ὅπως φέρουσι τὰς συμφορὰς καὶ ὡς διάκεινται πρὸς τὰς ἑαυτῶν πατρίδας, ἐξετάζονται σαφῶς. ἆρ' οὖν [p]ὡς καὶ Φιλίππῳ προδοὺς τὴν [q]ἐμαυτοῦ πατρίδα καὶ [r]παραπρεσβεύσας τοιαῦτα κατὰ τῆς πόλεως, [s]ὡς δὴ θεραπεύσας Μακεδόνας, ἐπειδὴ τάχιστα φεύγων παρ' ὑμῶν ᾠχόμην, πρὸς Ἀλέξανδρον ἀπηλλάγην, χάριν τε ὧν παρεσχόμην αὐτῷ, κομιούμενος καὶ προμηθείας δηλονότι τευξόμενος παρ' αὐτῷ; καὶ οὐκ ἔσθ' ὅπως οὐχ ἑώρων τὰ μὲν ἐν Βοιωτίᾳ πανδοκεῖα Δημάδην ἔχοντα καὶ χωρία ζευγῶν εἴκοσιν ἀροῦντα καὶ χρυσᾶς ἔχοντα φιάλας, Ἡγήμονα [t]δὲ καὶ Καλλιμέδοντα, τὸν μὲν ἐν Πέλλῃ τὸν δὲ ἐν Βερροίᾳ, καὶ δωρεὰς ἅμα εἰληφότας καὶ γυναῖκας εὐπρεπεστάτας γεγαμηκότας. καὶ μὴν οὐδὲ πρὸς Θηβαίους οὐδ'

[h] τέλεον] An τελέως?
[i] καταφανῆ] ὡς καταφανῆ a.
[k] τῶν πατρίδων] τῆς πατρίδος a.
[l] ὁποῖοί τινες] Libri τινες ὁποῖοι.
[m] γενομένων] γενομένων ἐκείνων c.
[n] αὐτοὺς post μᾶλλον ponit c. om. pr. a.
[o] καὶ γὰρ] καὶ γὰρ καὶ a. c.
[p] ὡς om. a.
[q] ἐμαυτοῦ] ἑαυτοῦ c.
[r] παραπρεσβεύσας] παρασκευάσας c.
[s] ὡς] καὶ a.
[t] δὲ καὶ] μὲν καὶ a.

εἰς Θετταλίαν ὠχόμην παρ' ὑμῶν, οὐδὲ πρὸς ἄλλους τι- 697
νάς, παρ' οἷς ἡ λοιδορεῖν ἔδει με τὴν πατρίδα τὴν ἐμὴν
ἢ λοιδορουμένης αὐτῆς ἀκούειν, ἀλλ' εἰς [u]Ῥόδον ἀφικόμην,
οὔτε μὰ τὸν Δία [x]δυσμενῶν ὑμῖν οὔτ' ἄλλως φιλαπεχθη-
μόνων ἀνθρώπων πόλιν. τὸ μὲν γὰρ ἄγχιστα τῆς [y]ἑαυτῶν
πατρίδος ἑστάναι κατειρωνευομένων ἔμοιγε τῆς συμφορᾶς
εἶναι μᾶλλον ἢ στεργόντων ἐδόκει τὴν πόλιν· τὸν δὲ ὄντως
στέργοντα τὴν ἑαυτοῦ πόλιν ὡς πορρωτάτω μᾶλλον αὐτῆς
ἐχρῆν ἀπιέναι, καὶ μηδὲν ἐν τοῖς [z]ὀφθαλμοῖς ὑπόμνημα
ἔχειν, ὃ τὴν γνώμην ἀμύξει. καὶ γὰρ οὐδ' ἐνταῦθα μεί- 698
νας, ἐν Ῥόδῳ, φανείην ἄν, ἀλλὰ τῆς [a]στερεᾶς ἐλόμενός
τι μικρὸν φρουρίον, [y]Ἄμμον, κἀνταῦθα πριάμενος χωρία
τοσούτων ταλάντων, [b]ὅσων εἰκὸς ἦν τὸν Φιλίππου μὲν
πρότερον εἶτ' Ἀλεξάνδρου μισθωτὸν ὕστερον γενόμενον καὶ
Φωκεῖς προδόντα καὶ τὴν τῶν Ἑλλήνων ἐλευθερίαν Μα-
κεδόσι, κάθημαι μεθ' ἑπτὰ θεραπόντων ἐνταῦθα καὶ δυοῖν
[c]μόνοιν γνωρίμων καὶ τῆς μητρός, ἡ τρίτον ἔχουσα καὶ 699
ἑβδομηκοστὸν ἔτος ἔπλευσε σὺν ἐμοὶ μεθέξουσα τῆς δι'
ὑμᾶς μοι συμφορᾶς [d]γενομένης, καὶ μετὰ γυναικός, ἡ
συνεξέπεσέ μοι κωλύοντος αὐτὴν τοῦ πατρὸς καὶ μένειν
ἴσως [e]ἀναγκαζόντων τῶν νόμων, τὸν τρόπον τῆς πόλεως
μᾶλλον ἢ τοὺς νόμους [f]ἐπισταμένη, καὶ μετὰ τριῶν παί-
δων οὐδέπω καὶ νῦν τῆς ἑαυτῶν συμφορᾶς ἐπαισθομένων,
οὐδὲ ὁποίαν αὐτοῖς ὁ θεὸς δέδωκε γινομένοις πατρίδα τὴν
Ἀθηναίων πόλιν, [g]ὁποίαν δ' εὐθέως γενομένων [h]αὖ ἀφή-

[u] Ῥόδον] ῥώμην a.
[x] δυσμενῶν] δυσμεναίνων a.
[y] ἑαυτῶν] ἑαυτοῦ a.
[z] ὀφθαλμοῖς] ὄμμασιν a.
[a] στερεᾶς] περαίας Marklandus.
[b] ὅσων] δυοῖν ὅσων c. δυοῖν ὅσον a.
[c] μόνοιν] μόναν a. μόνον c.
[d] γενομένης om. a.
[e] ἀναγκαζόντων] ἀναγκάζοντος a.
[f] ἐπισταμένη] ἐπισταμένην c.
[g] ὁποίαν—πάλιν om. c.
[h] αὖ ἀφῄρηται πάλιν] ἀνήρηται πόλιν a.

ρηται πάλιν. καὶ ἕτεροι μέν, ὡς ἔοικε, [i]τοὺς ἑαυτῶν παῖδας, τοὺς ἢ ἐν Βοιωτίᾳ γεννηθέντας [k]ἢ ἐν Αἰτωλίᾳ, πρὸς [l]ὑμᾶς πέμπουσι τῆς αὐτόθι παιδείας μεθεξοντας· οἷς δὲ ταῦτα παρὰ τῆς φύσεως ὑπῆρξεν, οὐ δημοποιήτου πατρὸς οὖσιν οὐδ' ἐπ' [m]αἰτίαις αἰσχραῖς ἑαλωκότος, φεύγουσιν ἔτι νήπιοι, καὶ τρέφονται πένητες ἐν ἐρημίᾳ τε καὶ φυγῇ πατρῴᾳ. καὶ περὶ μὲν [n]τῶν Λυκούργου [o]παίδων Δημοσθένης ὑμῖν ἐπιστέλλει, καὶ δεῖται καλῶς ποιῶν χαρισασθαι τὸ πατρῷον αὐτοῖς ὄφλημα, καὶ ὑμεῖς οὐδὲν [p]ἀλλ' ἢ Ἀθηναίων ἔργον, ἐλεήσαντες αὐτοὺς καὶ χαρισάμενοι, ἐποιήσατε· καὶ γὰρ ὀργίζεσθαι ῥᾳδίως ὑμῖν ἔθος ἐστὶ καὶ [q]χαρίζεσθαι πάλιν· ἐγὼ δὲ ὑπὲρ τῶν ἐμαυτοῦ παιδων οὐκ ἂν ὑμᾶς [r]πείσαιμ' ἂν δεόμενος, ὡς μή μοι μόνον ἐν ὀρφανίᾳ τραφῶσιν, ἀλλ' ὀρφανοὶ ἅμα καὶ φυγάδες ὄντες, οὔτε ἀδικήσαντες παῖδες ὄντες, ἀλλ' οὐδὲ ἄλλως ἑαλωκότες, τὰ μέντοι τῶν ἑαλωκότων πάντα πεπονθότες. εἶτα [s]τελευτήσαντος ἀναμνήσθητέ μου, καὶ χαρίσασθε τὰς δεήσεις, [t]νῦν προσέχοντες ἡμῖν. ἀλλὰ [u]καὶ πράξατε, ἄνδρες Ἀθηναῖοι, καὶ πείσθητε, τὰ συνήθη [x]ὑμῖν αὐτοῖς καὶ μέτρια ποιοῦντες. οὐ γὰρ ἂν δὴ [y]τῶν τρόπων [z]ἀποσταίητε καὶ καταλύσαιτε τὴν τῆς πόλεως δόξαν, ἣν ἐπὶ χρηστότητι [a]μείζω καὶ φιλανθρωπίᾳ διὰ παντὸς ἔσχεν ἡ ταῖς ἄλλαις πάσαις ἡ πόλις. οὐδ' ἂν Μελάνωπος ἰσχύσειε

[i] τοὺς—τοὺς ἢ] ἢ τοὺς—ἢ τοὺς a. c.
[k] ἢ] δὲ a.
[l] ὑμᾶς] ἡμᾶς a.
[m] αἰτίαις αἰσχραῖς] αἰτίας αἰσχρᾶς c.
[n] τῶν om. c.
[o] παίδων] λόγων pr. a.
[p] ἀλλ'] ἄλλ' c.
[q] χαρίζεσθαι] χαρίσασθαι c.
[r] πείσαιμ' ἂν Reiskius: libri πεισαίμην.
[s] τελευτήσαντος] τελευτήσαντες c.
[t] νῦν] νῦν οὖ Reiskius.
[u] καὶ πράξατε] γὰρ εἴξατε Reiskius.
[x] ὑμῖν] τε c. om. a.
[y] τῶν om. c.
[z] ἀποσταίητε] ἀποστήσετε a.
[a] μείζω om. a.

πλεῖον κωλύων ὑμᾶς μιμεῖσθαι τὴν ἑαυτῶν χρηστότητα καὶ φιλανθρωπίαν, ἢ παρακαλῶν οὐκ Αἰσχίνης· οὐδαμῶς μὰ τοὺς θεούς· οὐ γὰρ αὐτάρκης οὐδ' [b] εὐτυχὴς πείθειν ἔγωγε τὴν πατρίδα τὴν ἐμήν, καὶ μάλιστα νῦν, ἐμαυτοῦ χάριν πείθειν δοκῶν· ἀλλ' ὁ τῆς πόλεως τρόπος καὶ τὸ πάλαι ὑμῶν ὄνομα καὶ τὸ τῶν προγόνων ἦθος, ᾧ ἀναγκαιότερον δήπουθεν ἢ Μελανώπῳ καθ' ἡμῶν δεομένῳ προσ- 702
ἔχειν.

[b] εὐτυχὴς] vulg. εἰπειθής.

ΥΠΕΡ ΤΗΣ ΔΩΔΕΚΑΕΤΙΑΣ.

Της μὲν τῶν κινδυνευόντων σωτηρίας, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τῆς τιμωρίας ὑμεῖς παρὰ τῶν νόμων τὴν ἐξουσίαν εἰλήφατε· οὔτε δὲ ἰατρὸς ἐμπείρως δύναται θεραπεῦσαι τοὺς κάμνοντας, ἂν μὴ τὴν αἰτίαν τοῦ νοσήματος κατανοήσῃ, οὔτε δικαστὴς ὁσίαν θεῖναι τὴν ψῆφον, ἐὰν μὴ 2 ταῖς τῆς κρίσεως δικαίοις ἢ παρηκολουθηκώς. ἐμπεσὼν δὲ αὐτὸς εἰς [a]μέσην τῶν ῥητόρων δυσμένειαν, ὥσπερ τῆς παρὰ θεῶν, οὕτω τῆς παρ' ὑμῶν δέομαι τυχεῖν βοηθείας. διαβάλλουσι γάρ μου τὸν βίον, οἰόμενοι τὸν λόγον ἄπιστον καταστήσειν. ἐγὼ δ' ἀποθανὼν μὲν ἢ ζῶν οὐδέν εἰμι· τί γὰρ Ἀθηναίοις, εἰ παρανάλωμα Δημάδης; δακρύσει δέ μου τὴν ἀπώλειαν οὐχ ὁ στρατιώτης (πῶς γάρ, ὃν αὔξει μὲν πόλεμος, εἰρήνη δ' οὐ τρέφει;) ἀλλ' ὁ τὴν χώραν γεωργῶν καὶ ὁ τὴν [b]θάλατταν πλέων καὶ πᾶς ὁ τὸν [c]ἡσύχιον βίον ἠγαπηκώς, ᾧ τὴν Ἀττικὴν ἐτείχισα, τοὺς ὅρους τῆς χώρας περιβαλὼν οὐ λίθοις ἀλλὰ τῇ τῆς 3 πόλεως ἀσφαλείᾳ. δεινὸν δέ τι συμβαίνει πολλοῖς τῶν κρινόντων, [d]ὦ ἄνδρες δικασταί. ὥσπερ γὰρ ἡ τῶν ὀφθαλμῶν νόσος τὴν ὅρασιν συγχέασα κωλύει τὰ ἐμπεδὼν κείμενα θεωρεῖν, οὕτως ἄδικος παρεισδύνων λόγος εἰς τὰς τῶν δικαστῶν γνώμας οὐκ ἐᾷ δι' ὀργὴν συνορᾶν τὴν ἀλή-

[a] μέσην] τὴν E.
[b] θάλατταν] θάλασσαν E.
[c] ἡσύχιον] ἥσυχον E.
[d] ὦ ἄνδρες rec. E. ὧδε M. ὦ N. om. pr. E. vulg. ὧδε.

θειαν. διὸ καὶ δεῖ συνορᾶν ὑμᾶς εὐλαβῶς ἐπὶ τῶν κινδυνευόντων μᾶλλον ἢ τῶν ἐγκαλούντων· οἱ μὲν γὰρ αὐτόθεν ἔχουσιν ἐκ τῆς πρωτολογίας ὁποῖον αὐτοὶ βούλονται τὸν δικαστήν, οἱ δ' ἀναγκάζονται πρὸς [c]ὠργισμένους κριτὰς 179
4 τὴν διάνοιαν ἀντιτάσσεσθαι. ἐὰν μὲν οὖν φαίνωμαι τοῖς ἐγκαλουμένοις ἔνοχος, καταψηφίσασθε, μὴ φείσησθε· οὐ παραιτοῦμαι· ἂν δ' εὑρίσκωμαι τῶν ἐγκεκλημένων κεχωρισμένος τῷ δικαίῳ, τοῖς νόμοις, τῷ συμφέροντι, μὴ πρόησθέ με [f]τῇ τῶν κατηγόρων ὠμότητι. εἰ δὲ πάντως ἀποθανὼν συμβαλοῦμαί τι πρὸς τὴν κοινὴν σωτηρίαν, ὡς οὗ- 5
τοι λέγουσιν, ἑτοίμως ἔχω τελευτᾶν· κτήσασθαι γὰρ ἰδίῳ θανάτῳ δημοσίαν εὔνοιαν καλόν, ἐὰν [g]ἡ χρεία τῆς πατρίδος ἀλλὰ μὴ ὁ τούτων λόγος [h]τὸ νῦν [i]ἀφαιρῆται.
5 δότε δή μοι πρὸς θεῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δότε διαλεχθῆναι ὡς προαιροῦμαι πρὸς ὑμᾶς περὶ τῶν δικαίων. δοκῶ μὲν γὰρ δύναμιν εἶναί μοι καὶ τοῖς ἄλλοις βοηθεῖν· ἐν δὲ τούτοις ἐμποδίζει μου τὸν λόγον ὁ φόβος. ἄλλως 10
δὲ οὐ τὸν ἔλεγχον τοῦ [k]πράγματος δέδοικα, ἀλλὰ τὴν τῶν ἀντιδίκων διαβολὴν μόνον, ἥτις οὐ κρίνει τοὺς ἀδικοῦντας, ἀλλὰ φύεται τοῖς [l]δοκοῦσι λέγειν ἢ πράττειν.
6 ἡ παρ' ὑμῖν ἐλπὶς δὲ δικαία· [m]ἐὰν δὴ ταύτης κατατύχω, πάσας [n]ἀπολύσομαι τὰς διαβολάς· ἄνευ δὲ ταύτης οὔτε ὁ λόγος οὔθ' οἱ νόμοι οὔθ' ἡ τῶν πραγμάτων ἀλήθεια σῶσαι [o]δύναιντ' ἂν τὸν ἀδίκως κρινόμενον· οὐκ ἀγνοεῖτε δὲ ὅτι πολλοὶ πολλάκις ἤδη τῶν ἐγκαλούντων ἀπὸ μὲν 15

[c] ὠργισμένους] ὠργιζομένους E.
[f] τῇ om. T.
[g] ἡ E. I. T. vulg. ᾗ.
[h] τὸ] vulg. τι.
[i] ἀφαιρῆται] ἀφαιρήσηται C. ceteri ἀφαιρήσεται.
[k] πράγματος δέδοικα, ἀλλὰ τὴν τῶν ἀντιδίκων διαβολὴν μόνον, ἥτις C. ceteri πράγματος, ἀλλὰ τῇ τῶν ἀδίκων μόνῃ, ὅς.
[l] δοκοῦσι] vulg. ἀδικοῦσι: fortasse legendum εὖ δοκοῦσι.
[m] ἐὰν δὴ ταύτης κατατύχω C. ceteri ἐὰν ταύτης κατατυχών.
[n] ἀπολύσομαι] ἀπολύσωμαι I.
[o] δύναιντ' ἂν C. vulg. δύνανται.

τῆς κατηγορίας ἔδοξαν δίκαια λέγειν, [p]παρατεθείσης δὲ τῆς ἀπολογίας εὑρέθησαν αὐτοὶ συκοφαντοῦντες· ὃ δὴ καὶ νῦν πέπεισμαι τούτοις παρακολουθήσειν ὑμῶν ἀκούειν προαιρουμένων μετ' εὐνοίας.

7 Ἐπεὶ δὲ καὶ τῆς ἄλλης μου πολιτείας κατηγορεῖν ἐπεχείρησαν, βραχέα βούλομαι περὶ αὐτῆς εἰπεῖν, ἔπειθ' οὕτως ἐπὶ τὴν λοιπὴν δικαιολογίαν ἀπελθεῖν, ἵνα μὴ λά-
8 θωσιν ὑμᾶς παρακρουσάμενοι. γεγονὼς γὰρ ὦ ἄνδρες Ἀθηναῖοι Δημάδου πατρός, ὡς καὶ ὑμῶν οἱ πρεσβύτεροι γινώσκουσιν, τὸν μὲν ἄλλον χρόνον οὕτως ἔζων ὡς [q]ἠδυνάμην, οὔτε κοινῇ τὸν δῆμον ἀδικῶν οὔτ' ἰδίᾳ λυπῶν οὐδένα τῶν ἐν τῇ πόλει, πειρώμενος δ' ἀεὶ τοῖς ἰδίοις πόνοις τὴν ἀσθένειαν τοῦ βίου διορθοῦσθαι. ἡ πενία δ' ἴσως δύσχρηστον μὲν ἔχει τι καὶ χαλεπόν, κεχώρισται δ' αἰσχύνης, ὡς ἄν, οἶμαι, τῆς ἀπορίας ἐπὶ πολλῶν οὐ τρόπου
9 κακίαν ἀλλὰ τύχης ἀγνωμοσύνην ἐλεγχούσης. προσελθὼν δὲ τοῖς κοινοῖς οὐκ εἰς δίκας καὶ τὴν ἀπὸ τῆς λογογραφίας ἐργασίαν ἔθηκα τὸν πόνον, ἀλλ' εἰς τὴν ἀπὸ τοῦ βήματος παῤῥησίαν, ἣ τοῖς μὲν λέγουσιν ἐπισφαλῆ παρέχεται τὸν βίον, τοῖς δ' εὐλαβουμένοις μεγίστην δίδωσιν ἀφορμὴν πρὸς [r]κατόρθωσιν· οὐ γὰρ [s]ἐν τῇ τοῦ λέγοντος
10 χάριτι δεῖ συνεκπίπτειν τὴν τῆς πατρίδος σωτηρίαν. χιλίων [t]ταφὴ Ἀθηναίων μαρτυρεῖ μοι, κηδευθεῖσα ταῖς τῶν ἐναντίων χερσίν, ἃς ἀντὶ πολεμίων φιλίας ἐποίησα τοῖς ἀποθανοῦσιν. ἐνταῦθα ἐπιστὰς τοῖς πράγμασιν ἔγραψα τὴν εἰρήνην· ὁμολογῶ. ἔγραψα καὶ Φιλίππῳ τιμάς· οὐκ ἀρνοῦμαι. δισχιλίους γὰρ αἰχμαλώτους ἄνευ λύτρων καὶ χίλια πολιτῶν σώματα χωρὶς [u]κήρυκος καὶ τὸν

[p] παρατεθείσης] παραθείσης C.
[q] ἠδυνάμην] ἐδυνάμην E.
[r] κατόρθωσιν] τὴν κατόρθωσιν T.
[s] ἐν] Deleverim.
[t] ταφὴ] τὲ φὴ M.N.T. τε φῆ E.
[u] κήρυκος] κήρυκας T.

[x]Ὡρωπὸν ἄνευ πρεσβείας λαβὼν ὑμῖν ταῦτ' ἔγραψα.
11 [y]ἐπείληπτο δὲ τῆς γραφούσης χειρὸς οὐχ ἡ δωροδοκία
τῶν Μακεδόνων, ὡς οὗτοι πλαττόμενοι λέγουσιν, ἀλλ' ὁ
καιρὸς καὶ ἡ χρεία καὶ τὸ τῆς πατρίδος συμφέρον καὶ ἡ
τοῦ βασιλέως φιλανθρωπία· ἐλθὼν γὰρ ἐπὶ τὸν κίνδυνον
ἐχθρὸς τῶν ἀγώνων φίλος ἐχωρίσθη, τὸ τῶν νενικηκότων
12 ἆθλον τοῖς σφαλεῖσι προσθείς. πάλιν τοίνυν ἦκε [z]τῇ πό-
λει καιρὸς ἕτερος, ἵνα τοὺς μεταξὺ κινδύνους ἐκὼν ἐπιλά-
θωμαι· καὶ πάντες [a]μὲν οἱ τὴν Ἑλλάδα κατοικοῦντες
τὸν Ἀλέξανδρον ἐπὶ τὴν ἡγεμονίαν ἀνεβίβαζον, καὶ τοῖς
ψηφίσμασιν ἀναπλάττοντες φρόνημα [b]μεῖζον τοῦ δέοντος
ἀνδρὶ νέῳ καὶ φιλοδόξῳ [c]περιέθηκαν, λοιποὶ δὲ ἦμεν
ἡμεῖς καὶ Λακεδαιμόνιοι, πρόβλημα τῆς σωτηρίας ἔχον-
τες οὐ χρημάτων πλῆθος, οὐχ ὅπλων παρασκευάς, οὐχὶ
πεζῶν σύνταξιν, ἀλλ' ἐπιθυμίαν μεγάλην, δύναμιν δ'
13 ἀσθενῆ καὶ ταπεινήν. ὧν μὲν γὰρ ἐσύλησε τὴν ἰσχὺν ὁ
περὶ Λεῦκτρα κίνδυνος, ὁ δὲ [d]πρότερον ἀπείρατος ὢν πο-
λεμίας σάλπιγγος Εὐρώτας Βοιωτοὺς ἐν τῇ Λακωνικῇ
στρατοπεδεύοντας [e]εἶχεν· ἀπέκειρε γὰρ τὴν ἀκμὴν τῆς
Σπάρτης ὁ Θηβαῖος, καὶ τοὺς ὅρους τῆς Λακωνικῆς τε-
θειμένους τὴν ἀκμὴν τῶν [f]νέων συνέκλεισε ταῖς τέφραις.
τὰς δ' ἡμετέρας παρασκευὰς ἀνάλωσεν ὁ πόλεμος, καὶ
τὴν ἐλπίδα τῶν ζώντων συνέτριψεν ἡ συμφορὰ τῶν ἀπο-
14 θανόντων. Θηβαῖοι δὲ μέγιστον εἶχον δεσμὸν τὴν τῶν
Μακεδόνων φρουράν, ὑφ' ἧς οὐ μόνον τὰς χεῖρας [g]συνεδέ-
θησαν ἀλλὰ [h]καὶ τὴν παῤῥησίαν ἀφῄρηντο· τῷ γὰρ

[x] Ὡρωπὸν] ὁρωπὸν N. ὀρωπὸν M.T. N.T.
[y] ἐπείληπτο] ἐπείληστο I.
[z] τῇ πόλει om. E.
[a] μὲν om. C.
[b] μεῖζον] μικρὸν E.
[c] περιέθηκαν] περιέθηκα E. I. M.
[d] πρότερον] πρότερος M.
[e] εἶχεν] vulg. εἶδεν.
[f] νέων] νεῶν E. I. M. N. T.
[g] συνεδέθησαν] συνεδίθησαν T.
[h] καὶ om. I.

Ἐπαμινώνδου σώματι συνεθαψε τὴν δύναμιν τῶν Θηβαίων ὁ καιρός. ἤκμαζον δὲ τοῖς σώμασιν οἱ Μακεδόνες, οὓς ἤδη ταῖς ἐλπίσιν ἐπὶ τὰ σκῆπτρα καὶ τοὺς
15 Περσῶν θησαυροὺς ἡ τύχη διεβίβαζεν. ἐνταῦθ' ὁμοίως Δημοσθένης μὲν ἐκύρωσε πόλεμον, καλὴν μὲν τοῖς ὀνόμασιν, οὐ σωτήριον δὲ τοῖς ἔργοις συμβουλίαν εἰσηγησάμενος τοῖς πολίταις· ὡς δὲ πλησίον [i] ἔστη τῆς Ἀττικῆς, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο, καὶ τὸ περιμάχητον καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄστυ βοῶν καὶ προβάτων ὥσπερ ἔπαυλις καὶ τῶν βοσκημάτων ἐπληροῦτο, βοηθείας δ' οὐδαμόθεν ἦν ἐλπίς, ἔγραψα τὴν εἰρηνην.
16 ὁμολογῶ, καὶ φημὶ καλῶς καὶ συμφερόντως [k] πεπραχέναι τοῦτο· κρεῖττον γὰρ ἐπερχόμενον ἐκκλῖναι τὸ νέφος ἢ φερομένῳ συναπενεχθῆναι τῷ ῥεύματι. ἀξιῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἐκ τῶν πραγμάτων λύπην ἐμοὶ παρ' ὑμῶν μηδεμίαν ἀπογεννῆσαι δυσμένειαν. οὐ γὰρ ἐγὼ κρατῶ τῆς τύχης, ἀλλ' ἡ τύχη τοῦ βίου, δι' ἣν κινδυνεύει.
17 δεῖ δὲ τὸν σύμβουλον, καθάπερ [l] τὸν ἰατρόν, οὐ τῆς νόσου τὴν αἰτίαν ἔχειν, ἀλλὰ τῆς θεραπείας τὴν χάριν ἀπολαμβάνειν. [m] καταχωρίσαντες οὖν τὰ συμβάντα διὰ τὰς ἔξωθεν αἰτίας, ψιλῶς ἐπὶ τῶν πραγμάτων γυμνὴν
18 θεωρήσατέ μου τὴν πολιτείαν. μετὰ ταῦτα τοίνυν τῇ πόλει τρίτος [n] ἐγένετο κίνδυνος πάντων χαλεπώτατος, οὐκέτι πεμφθεὶς ὑπὸ τῆς τύχης, ἀλλ' ὑπὸ τῶν τότε ῥητόρων ἐπαχθείς. καί μοι τῶν πεπραγμένων ἀναμνήσθητε, ἡνίκα Δημοσθένης καὶ Λυκοῦργος τῷ μὲν λόγῳ παρατωττόμενοι τοὺς Μακεδόνας ἐνίκων ἐν [o] Τριβαλλοῖς, μόνον

[i] ἔστη] ἔστι T.
[k] πεπραχέναι] πεπράχθαι C.
[l] τὸν om. C.
[m] καταχωρίσαντες] καταχωρήσαντες T.
[n] ἐγένετο T. ἐπὶ N. om. I. vulg. ἐπήγετο.
[o] Τριβαλλοῖς] τριβαλοῖς C. E. I. M. N. T.

δ' οὐχ ὁρατὸν ἐπὶ τοῦ βήματος νεκρὸν τὸν Ἀλέξανδρον προέθηκαν, ἐν τῷ δήμῳ δ' ἀλείψαντες λόγοις εὐπρεπέσι Θηβαίων τοὺς παρόντας φυγάδων θυμοὺς ἐπ' ἐλπίδι τῆς ἐλευθερίας ἠκόνησαν, ἐμὲ [p] δὲ στυγνὸν καὶ περίλυπον ἔφασκον εἶναι μὴ συνεωδοκοῦντα. . . . . .

p δὲ] om. omnes.



Bekker Bekker
Author
Title Oratores attici III
DATE.
Jan 31/28
NAME OF BORROWER.
Hutton.
8292
LCx.C
B

University of Toronto
Library

DO NOT
REMOVE
THE
CARD
FROM
THIS
POCKET

Acme Library Card Pocket
Under Pat. "Ref. Index File"
Made by LIBRARY BUREAU